

SIGILLVM · VNIVERSITATIS · CALIFORNIENSIS
FIAT LVX
MDCCCLXVIII
EX LIBRIS
751m
1869
v.1

HERODOTI HISTORIAE.

RECENSUIT

HENRICUS STEIN.

TOMUS I.

BEROLINI

APUD WEIDMANNOS

A. MDCCCLXIX.

CONLEGIS GEDANENSIBUS

THEOPHILO ROEPERO

FRANCISCO BRESLERO

AMICITIAE ERGO.

PRAEFATIO.

Codicum Herodoteorum grandis etiam nunc extat numerus. sed qui praeter ceteros digni et idonei visi sunt, quorum coniuncta memoria pro fundamento critico uteremur, eos, antequam de ipsius recensionis causis ac rationibus singillatim exponam, enumerabo accuratiusque describam, reliquos brevi dimissurus mentione.

1. *A* Florentinus sive Mediceus bibliothecae Laurentianae plutei LXX tertius, membraneus, forma quadrata maiori, foliorum 376. scriptus est sàeculo huius aevi decimo, eximio artificio ac decore, a duabus manibus, quarum altera grandior aliquanto et crassior tricenis singulis fere versibus, altera inde a folio 239 excipiens plane nitida ac concinna tricenis ternis singulas complevit paginas. ab utraque saepe et ipsa verba nullo intermisso spatio continuata et accentuum spirituumque apices neglecti. hic illic librarii quae oculorum calamive errore commisissent ipsi fere radendo oblitterando supplendo correxerunt. non paucas praeterea per primum maxime librum vel adlevit marginibus vel ipsis interposuit versibus notulas tum critici tum grammatici generis inutiles plerasque impor-

tunasque homo scilicet grammaticus saeculi, ni fallit scripturae novitas, quinti decimi. manu item recenti adiecti leguntur folii 26 r. margini versiculi politici quattuordecim, ad A 94 pertinentes, ineptissimi. at eisdem quibus scriptoris oratio manibus et summaria propemodum perpetua et scholia paucissima eaque perbrevia in marginibus sunt adscripta. tractavit autem hunc primus dedita opera Iacobus Gronovius iuvenili admodum aetate a. 1675, expressit vel certe exprimere sibi visus est idem senex quadraginta annis post editione a. 1715 absoluta: quam utrumque non plene et fideliter atque omnino parum digne immodica sui suaeque operae iactatione, multis nunc manifestum est locis. velut, ut aliquot e magno numero promam, A 171 Μίνω τε κατήκοοι esse in codice testatur, cum absit vocula τε. 172 Καυχώνιοι bis et Καυχωνικόν, cum sit et Καύνιοι et Καυνικόν sicuti in ceteris omnibus. Δ 113 ἐς τὴν ὑστεραίην ἐλθεῖν] 'in MS. nuspiam legitur particula ἐς', extat autem supra versum. nec magis vera A 192 Τριτανταίγμῃ, 205 στρατίην, B 32 ἅπαντας εἶναι, 42 ὅσοι δή, Γ 26 ἐκ τῶν Θηβῶν, 139 ἐπιθυμέου τῆς χλανίδος, 153 Μεγαβύζου τοῦ ὅς, H 109 ἀποξηρασμένον. quamquam longe plurimos errores et sibi et eis, qui postea hunc scriptorem edidere, eo peperit quod temere suae scilicet diligentiae fidens, quidquid in exemplari quo utebatur Aldino vel Stephaniano a codice discrepare non adnotasset, ita in codice scriptum esse pro certo habebat, illi autem parum cauti silentio eius pro testimonio, editione pro codice abuti consueverunt. nec vero maiori fide ex eisdem membranis nostra aetate de locis quibusdam quamvis paucis testatus est Carolus Abicht. ut in hoc libro et vetustate et dignitate plane

egregio acciderit quod nescio an in nullo alio, ut eidem homines et ingentibus cumularent laudibus (nam Gronovio quidem 'vix superandus ab ipsius auctoris si esse posset αὐτογράφῳ' videbatur, p. 192, 30) et tractarent tamquam novicium et sordidum fastidiosa quadam incuria. ego quam potui plenissime exscripsi per menses autumnales anni 1862, haud interpellare id negotium coactus feriarum Laurentianarum, quae per illam anni partem haberi solent, ingrato otio. emigrarunt enim mecum et hic et aliquot alii libri ferreis illis vinculis paulisper laxati in bibliothecam Magliabecchianam. mox ineunti vere anni proximi, sicubi interea e collatione Angelicani dubitatio suborta erat, iterata cura examinavi.

2. *B* Romanus bibliothecae nunc Angelicanae Augustinorum (C. I. 6), olim Sfortianus, deinde saeculo proximo superiori Cardinalis Passionei, unde Passionei nomen invenit, foliorum membraneorum 330, forma grandi, scriptus saeculo XI*) satis accurate nec invenuste. in marginibus eadem fere breviaria sunt quae in *A* sed longe rariora, et scholia aliquot tum ab eadem qua reliqua manu tum a tribus aliis eisque recentioribus; praeterea glossae noviciae plurimae. initio codicis cum aliquo casu intercepti essent et quaternio primus totus et alterius, praeter folium primum et ulti-

*) Hoc ut tam confidenter ponerem, cum Wesseling eum nescio cuius auctoritate ad saeculum XII depressisset, fecit summa similitudo scripturae quae est huic cum codice quodam bibliothecae Genuensis 'Missionariorum Urbanorum', continenti Proverbia Ecclesiasticum Canticum Canticorum cum Catena interpretum, cui quidem librarius ita subscripsit: ἐτελειώθ' ἡ δέλτος αὕτη διὰ χειρὸς θεοδώ α χ (h. e. θεοδώρου μοναχοῦ) μηνὶ μαΐω κθ. ἰνδικτιῶνος ιγ. ἐν τῷ ͵ςφπγ ἔτει (h. e. anno mundi 6583, qui est annus Christi 1075).

mum, h. e. ut nunc folia numerantur, praeter folium 8 et 14, cetera omnia, quae quidem continebant A 1-35 med. ἐμεωυτοῦ ἀέκων et 42 πρήσσοντας ἰέναι — 68 med. ὑπὸ ἀπιστίης: supplevit id damnum manus alia (*b*) saeculi opinor XIV. quae manus cum minutiori uteretur modulo litterarum, quaternionis primi quae fuerant octo folia ad septem redegit, alterius quae deerant sex compensavit foliis quinque. huius codicis varietatem lectionis accepit Wesseling beneficio Cardinalis Passionei, apud quem ille tum etiam erat, non sine cura enotatam nec tamen plenam ac nescio quo errore, sive eius qui excerpsit sive editoris, aliquotiens idque maxime per ultimos libros plane falsam ac fere cum aliorum codicum lectionibus confusam. itaque denuo contuli.

3. *C* Florentinus, olim inter libros vetustos Abbatiae sive monasterii Benedictinorum Beatae Mariae Florentinae, ubi vidit eum Montfaucon (diar. ital. p. 365. biblioth. I p. 414), numero 207, nunc inter codices graecos e monasteriis Etruscis in Laurentianam translatos primus. membraneis constat foliis 310 quadratis, parum curiose habitus sic ut multis nunc locis impeditius legatur. scripturam periti quidem et exercitati hominis, sed non satis diligentis nimiumque currentis ac saepius aberrantis, ad saeculum retulerim undecimum. primae paginae cum paene situ et atramenti pallore evanuissent, refecit manus aliquanto recentior. itemque cum casu aliquo interissent folia 9. 10. 11. 12. 13, quae continebant A 41 παρέχων πᾶσαν - 68 ἀπελθὼν ἐς Σπάρτην, ea lacuna postea suppleta est saeculo quinto decimo (*c*). fuit autem hic codex initio huius saeculi fraude aliqua e sua apud Benedictinos sede trans Alpes

abreptus aliquamdiu in Germania apud Baronem Guestphalum de Schellersheim. a quo devenit ad Creuzerum una cum codice item Florentino scholia Hesiodea continenti: de quo praeter Gaisfordium ipse nonnulla Creuzer memorat in sylloge epistularum ad Hermannum datarum p. 147. 170. 195: ab illo ad Schweighaeuserum, cuius haec de ea re verba sunt. 'Accesserunt primum e membranaceo vetusto Codice Italico, integrum Scriptoris nostri opus exhibente, neque umquam antea excusso, excerptae Lectiones, a Creuzero, penes quem tunc is codex erat, ultro mihi oblatae; moxque, venia ab illustri membranarum possessore, Libero Barone de Schellersheim, Eisbergae aliorumque in Westphalia locorum domino, per eiusdem Creuzeri apud illum gratiam et in me benevolentiam impetrata, ipsae illae praestantissimae Membranae ad me transmissae, earumque usura in tantum temporis spatium, quantum mihi ipsi commodum visum fuisset, supra quam dici potest liberaliter concessa' (Tom. I, 1 p. VI). 'Quem codicem nota *F*. distinxi, membranaceus ille est, olim Florentinus, cuius usuram ad hunc usque diem (h. e. ad annum 1816) mihi concessam Creuzero debeo, et illustris Schellershemii beneficio' (Tom. I, 2 p. XXXV sq.). e Germania atque e Schellersheimii possessione haud legitima, ut opinor, qua via cuiusve opera et intercessione codex Florentiam remearit, non magis comperi quam illinc quo pacto auferri potuerit: nec qui bibliothecae Laurentianae, in quam ille post diuturnum exilium relatus est, illo ipso tempore praefuit catalogumque graecorum codicum adventiciorum accurate perscriptum reliquit, Franciscus de Furia, rem suspitionis plenam illustravit. ipse eum per duos libros pri-

mos exegi, nec poenituit eius operae, cum non pauca a Schweighaeusero vel praetermissa vel neglegentius enotata deprehenderem. de illis igitur libris meam interpono fidem, cetera praeter paucos quosdam locos a me consulto inspectos a Schweighaeusero sumpsi omnia. qui dum ad hunc potissimum codicem suam moderatur editionem, saepius quam velles aut omisit de eo nominatim testari, aut quae enotasset inter describendas lectiones effugerunt hominem haud incuriosum sed 'obtusae oculorum aciei': id quod moneo ne quis eo silentio cupidius abutatur. in folio codicis ut nunc est ultimo legitur Λέξεων Herodotearum fragmentum: quae desunt perierunt cum folio proximo, quamquam ne illud quidem ipsum adeso membranae margine integrum mansit. sed de hoc plura in volumine altero, ubi Λέξεις illae edentur.

4. *P* Parisinus bibliothecae ut nunc vocatur imperialis numero 1633, membraneus, forma paulo maiori quam quadrata, continens fasciculos octonorum foliorum 36 signatos inde ab undetricesimo numeris in imis marginibus primi cuiusque et octavi folii adscriptis. ultimi fasciculi quatuor folia manserunt vacua. singulae paginae tricenis quinis fere versibus absolvuntur. scriptus est arte plane singulari summaque cura, saeculo, ut mihi videbatur, tertio decimo, compendiis paene nullis. librarius quidquid calamo turbasset religiose correxit, idemque multas tum inter ipsos versus tum in marginibus adscripsit varietates, nonnumquam antiqua deleta meliorem scilicet aliunde suffecit lectionem, saepius etiam signis quibusdam adpictis (·:· ·: +) significasse contentus vel extare diversitatem vel requiri. qua quidem cura effectum est ut libri evaderet

species omni paene foeditate mendorum sordiumque purgata. primus hinc excerptas a Menoto et Geinozio lectiones adhibuit Wesseling, sed turpi describentium sive errore sive socordia cum duobus aliis Parisinis longe deterioribus fere confusas. post illos hic illic inspexit Larcher, contulit autem una cum reliquis Parisinis omnibus in usum Schweighaeuseri homo graecus Georgiades Thessalonicensis mediocri pro dignitate libri fide et assiduitate. ego cum totum retractassem a. 1862, si qua postea in dubitationem venerunt, opera officiosa cum Rudolfi Sonnenburgi tum maxime Caroli Wescheri factum laetor ut de memoria codicis iam plane constare videatur.

5. *R* Romanus bibliothecae Vaticanae numero 123, forma octava, bombycinus, foliorum 336, saeculi XIV, miscellaneus (conf. Emperius ad Dion. Chrysost. p. 791). insunt haec. Dionis Διογένης ἢ περὶ ἀρετῆς, eiusdem Διογένης ἢ περὶ τυραννίδος (fol. 1—8), et haec quidem recentiori manu scripta: deinde (fol. 9—11) sententiae aliquot poeticae ex Anthologia decerptae: tum a fol. 12 usque ad finem Herodoti libri, e quibus quintus casu aliquo intercidit. argumenta in marginibus adscripta, per libros I et II satis multa ac cum *AB* fere congruentia, inde a libro III diversa esse incipiunt atque futilia, mox magis magisque rarescere. versibus hic illic glossae sive vocum singularum interpretamenta interiecta sunt. primus contuli.

6. *d* Florentinus Laurentianae plut. LXX 6 foliis membraneis constat 340 oblongis, neglegenter scriptus. praescriptionem hanc habet: Ἡροδότου ἁλικαρνασέως ἱστορία ἐν ἐννέα τμήμασιν· ἃ καὶ μοῦσαι καλεῖ (leg. καλεῖται)· ὧν τὰ ὀνόματα κλειώ. εὐτέρπη. θάλεια. μελπομένη.

τερψιχόρη. ἐρατὼ. πολύμνια. οὐρανία. καλλιόπη. subscriptionem autem in fine hanc: ἐτελειώθη τὸ παρὸν βιβλίον διὰ χειρὸς ἐμοῦ τοῦ ἁμαρτωλοῦ νικολάου τοῦ τρικλίνου. μηνὶ μαρτίω. ἰνδικτιῶνος αη· ἔτους ,ς ὢκ ου (i. e. anni post Christum 1318). in marginibus hic illic et argumenta rerum qualia in *A* leguntur et scholia, ac praeter ea στίχοι aliquot πολιτικοί ab homine aevi byzantini pro more et captu illorum temporum excusi, velut hi quos infra posui in margine exempli loco.*) nam cuncti edi hoc praesertim loco non merentur, sunt autem praeter illos ad Γ 14 undecim, ad Γ 16 quattuor, ad Γ 23 quindecim, ad Γ 29 tres, ad Γ 37 item tres. contuli libros septem.

7. 𝔟 Venetus, olim Bessarionis Cardinalis, nunc bibliothecae S. Marci CCCLXIV, membraneus, 385 foliorum grandium. praeter Herodotum insunt Thucydidis libri octo et Hellenicorum Xenophontis libri septem. praescripta habet prorsus eadem quae *d*. subscripta autem haec: τέλος εἴληφεν ἡ βίβλος αὕτη ὁρισμῷ μὲν καὶ προστάξει τοῦ παναγιωτάτου μου κυρίου κ΄ β΄ (Βησσαρίωνος in catalogo Zanettii) καρδηνάλεως τῆς (ἁγίας ibid.) ῥωμαϊκῆς ἐκκλησίας καὶ πατριάρχου κωνσταντίνου πόλεως, χειρὶ δὲ γραφεῖσα ἰωάννου πρεσβυτέρου τοῦ

---

*) ad B 172:

στίχ ἀνεκτὸς ἦν ἅμασις τῇ σπουδῇ νέμων
μικροῦ τριτημόριον ἡμέρας χρόνου.
οἱ γὰρ παρ' ἡμῖν τυραννοῦντες ἐκτόπως
πάννυχον ἅμα καὶ πανήμερον χρόνον
ταῖς παιδιαῖς προσεῖχον ἢ καὶ ταῖς μέθαις,
ἀνδροπόδων βιοῦντες ἐμπαθῆ βίον,
ἐξ ὧν τὸ κάλλος τῆς νέας ῥωμαΐδος
γηραλέα συνέσχε ῥυτὶς ἀθρόον.
ἡ βασιλὶς δὲ καὶ πασῶν ὑπερτάτη
ληστῶν ὑπῆρξε δυσμενῶν κατοικία.

πλουσιαδηνοῦ, παρ' αὐτοῦ ἀναχθέντος εἰς ἄρχοντα τῶν ἐκκλησιῶν ἐν τῇ περιωνύμῳ τῆς κρήτης νήσῳ. περιέχει δὲ ἡ βίβλος αὕτη βιβλία κδ' τῶν σοφῶν τούτων ἀνδρῶν· ἐννέα μὲν Ἡροδότου, Θουκυδίδου δ' ὀκτὼ καὶ Ξενοφῶντος ἑπτά. ἔτει ἀπὸ χριστοῦ ,αυξθ' ἰνδικτιῶνος γης. in hoc excutiendo commodavit mihi operam suam sane diligentem Iosephus Mueller.

8. *q* Parisinus bibliothecae imperialis 1635, bombycinus, forma grandi. insunt praeter Herodotum Xenophontis Cyropaedia et Anabasis, sed haec quidem a manu recentiori. post Herodotum statim sequuntur στίχοι ἡρωϊκοί duo et viginti plane insulsi, quibus librarius aliqui olim operam suam ei qui imperavit adulando commendat: Σῆσιν ἐφετμῆσιν θεοείκελε δέσποτα εἶξας κτλ. deinde haec: Δόξα σοι πάντων ἕνεκα παντοκράτωρι | Τῶν συντελεστῇ τῶν καλῶν θεῷ χάρις, atque haec postrema:

Ἔτεσι πέντε, πενταπλῆς τῆς δεκάδος·
Ἐννάκις αὖτις, τῆς νῦν ἑκατοντάδος·
Τὰς χιλιάσδε, σὺν διπλῆς τῆς τριάδος·
Ἰνδικτιῶνος πάλιν δὶς τῆς πεντάδος.

(h. e. anno mundi 6955 sive post Christum 1447), sic ut dedi corrupta. Georgiades cum hunc quoque exscripsisset et quod mireris aliquanto plenius quam *P*, satis habui aliquot capita primi libri tractavisse.

9. r inter Urbinates bibliothecae Vaticanae numero 88, in membranis grandibus, saeculi XIV. praescripta sunt eadem quae in *d*. contulit cum eo librum quintum meo rogatu Franciscus Umpfenbach.

10. *s* olim Gulielmi Sancroft Archiepiscopi Cantuariensis, nunc bibliothecae collegii S. Emmanuelis apud Cantabrigienses (II, 105), 'liber chartaceus et parum vetus, at pulchre scriptus et perfectus, in 4^to',

ut est in vetere catalogo. editorum primus adhibuit Thomas Gale, post illum usus est Wesseling lectionis varietate multo quam ab illo accuratius exscripta ab Antonio Askew; postremo perdiligenter retractavit Gaisford, nec tamen 'plura de eo edisserere attinere' putabat callide taciturnus. 'licet enim, inquit, permulta nunc protulerim, quorum indicio eius indoles certius quam antea innotescat, satis tamen correcte de eius praestantia iudicasse mihi videntur viri eruditi.'

11. *v* Vindobonensis LXXII, olim Ioannis Sambuci, chartaceus, foliorum quadratorum 474, saeculi XIV (vid. Kollar. p. 462). lectionibus inde excerptis usus est Wesseling.

Praeter hos igitur undecim codices, e quibus quinque (*ABCPR*) tanquam fundamentum esse voluimus lectionis constituendae, reliquos aut subsidii loco assumpsimus (𝔡𝔯) aut ut de vicissitudinibus textus constaret vel ubique (*d*) vel ubi res posceret (𝔡*qsv*): aliquanto igitur quam illi plures per bibliothecas dispersi sunt et aetate fere et dignitate inferiores, ad rem autem criticam post illos inutiles omnes. quos ubi una deinceps serie comprehendero additisque, in quibus recte fieri potuit, literis significavero cuius quisque generis et tanquam prosapiae videatur, — nec enim de omnibus constat aut operae pretium erat anxie explorare —, tum ad illos revertetur oratio. sunt igitur hi.

Florentini:

12. Laurentianus plut. LXX 29, membraneus, in fol., saeculi XV. (*ABC*)

13. Laurentianus plut. LXX 32, chartaceus, in oct., saeculi XV vel XVI, codicis eiusdem plutei sexto

(*d*) adeo similis, ut vel indidem vel ex eo ipso derivatus videatur.

14. Riccardianus 25, chartaceus, in fol., saeculi XV vel XVI.

Mediolanenses:

15. Ambrosianus A. 253 Inf., membraneus, formae maximae, saeculi XIII vel XIV, sat venuste scriptus sed omnium mendosissime nec expertus manum emendatricem. post Herodotum habet Plutarchi βίων παραλλήλων per τρία βιβλία distributorum βιβλίον πρῶτον sive vitas XVIII a Theseo usque ad Ciceronem. (*B*?)

16. Ambrosianus A. 163 Sup., chartaceus, in qu., saeculi XIV vel XV. (*R*)

17. Ambrosianus I. 23 Sup., chartaceus, in oct., saeculi XVI. praemissa habet περὶ διαλέκτου ἰάδος καὶ προφορᾶς αὐτῆς et λεξικὸν ἐκ μέρους κατὰ στοιχεῖον τῶν ἡροδοτείων λέξεων (incip. ἀνέλη, desin. ψῶσαν θάλπουσαν). (*R*)

18. Ambrosianus L. 115 Sup., bombycinus, in qu., XV saeculi. hiat inde a c. 75 libri noni. fuit olim inter libros Io. V. Pinellii. (*d*)

19. Ambrosianus C. 82 Sup., bombycinus, in qu. in fine habet στίχους ἡρωϊκούς eosdem quos Parisinus *q*, cuius per omnia similis est, deinde: ἔτει ͵ςωϡωλωδω ἰνδικτιῶνος δης (i. e. anno post Christum 1426). 'Ex insula Chio advectus 1606. Fuit e libris Michaelis Sophiani.' antecedunt Herodotum Theophrasti χαρακτῆρες, deinde λεξικὸν ἡροδοτείων λέξεων (incip. ἀνέλη, desin. ψῶσαν θάλπουσαν), postremo loco στίχοι ἰάμβιοι (sic) 29, quorum primus est σαθρὸν μὲν εὐτύχημα, κούφη τερπνότης, ultimus σώσεις ἐφεξῆς ἥνπερ ἔσχες εἰκόνα.

20. Mutinensis II. H. 6, chartaceus, in fol., saec. XV.

Neapolitani:

21. III. B. 1, bombycinus, in qu. in fine haec scripta sunt: ἐτελειώθη τὸ παρὸν βιβλίον μηνὶ αὐγούστω ἰνδικτίονος γ', ἔτους ͵ϡμη (= a. 1440 Chr.) διὰ χειρὸς ἐμοῦ ἰωάννου διακόνου καὶ δευτερεύοντος τῆς ἁγιωτάτης μητροπόλεως λακεδαίμονος τοῦ χανδακηνοῦ. (*d*). subsequitur continuo carmen sive vaticinium de Isthmi munitionibus impressionibusque barbarorum, cuius hoc est initium: τί δίζεαι μαθέειν τριαινοκράτορος αὐλαίης ἕρκους πέρι. quod alibi edetur.

22. III. B. 2, chartaceus, in qu., saec. XIV vel XV. (*d*)

23. III. B. 3, chartaceus, in qu., saec. XVI. (*d*)

24. III. B. 4, chartaceus, in oct., saec. XVI. in fine στίχοι ἡρωϊκοί eidem qui in Parisino *q*.

Romani:

25. Palatinus 152, bombycinus, in oct., saec. XII vel XIII. inest praeter varia Philonis Iudaei et Isaaci Syri fol. 193—237 Herodoti Καλλιόπη inde a libri octavi verbis ultimis οἱ μὲν ταῦτα ὑποκριναμένων Ἀθηναίων ἀπαλλάσσοντο ἐς Σπάρτην, quae antecedit subscriptio eiusdem libri stichometrica ΧΧΗΗΗΔΔ, in fine autem noni haec: ΗΡΟΔΟΤΟΥ ΙϹΤΟΡΙΩ͂Ν Θ̃ ΧΧΗΗΠΓ. (*AB*)

26. Palatinus 176, chartaceus, in fol., XVI saec. praescriptum est ἡροδότω κλειὼ χάριν ὤπασεν ἱστοριάων. (*R*)

27. Palatinus 215, chartaceus, in oct., XV saec. clauditur hisce: τέλλος σὺν θεῷ ἁγίω· ἐγράφη δι' ἐξόδου χυροῦ ἰωάννου πρώτου ἱερέως τῆς κρήτης τοῦ συμεονάκη· καὶ πόνος ἰωάννου ἱερέως τοῦ σηρίγω· σεπτευρίω γ̄.'

28. Vaticanus 122, chartaceus, in fol., saec. XV vel XVI.

29. Vaticanus 1359, chartaceus, in oct. ipsum Herodotum praecedunt λουκιανοῦ περὶ ἡροδότου (fol. 1—3 r.) et summaria brevissima novem librorum (fol. 3 v.), subsequuntur autem haec fol. 486 v.: δημητρίου ῥαοὺλ καβάκη σπαρτιάτου καὶ βυζαντίου: ἐγράφη ἐν ῥώμη. ἐν ῷ
ἔτει
χρόνω ὄτροντω τούρκοι κατέλαβων, deinde alia eiusdem Demetrii semibarbara.

Veneti:

30. Marcianus CCCLXV, chartaceus, in fol., saec. XV.

31. Marcianus CCCLXVI, chartaceus, in fol., saec. XV.

Parisini:

32. bibliothecae imperialis 1634, chartaceus, in fol., scriptura non ineleganti, sed mendis foedatus creberrimis. finitur hisce: ἡ παροῦσα βίβλος ἐγράφη ἐν τῷ ἄστρῳ διὰ χειρὸς ἐμοῦ τοῦ εὐτελοῦς κωνσταντίνου ἱερέως καὶ χαρτοφύλακος πίσσης, ὑπηρετοῦντος ἐν τῷ βασιλικῷ κλήρῳ κατὰ μῆνα ἰούνιον τῆς δεκάτης ἰνδικτιῶνος τοῦ ἑξακισχιλιοστοῦ ὀκτακοσιοστοῦ ὀγδοηκοστοῦ ἔτους (= 1372 p. Chr.). (*d*)

33. eiusdem bibliothecae 2933, chartaceus, in fol., saeculi XVI, pessimae notae. inest praeter Herodotum aliaque quaedam λεξικὸν τῶν ἡροδοτείων λέξεων (fol. 206). (*d*)

34. eiusdem bibliothecae 1405, chartaceus, in fol., miscellaneus. Herodoti inest libri primi pars prior usque ad c. 86 ἐς λόγους ἐλθεῖν, quae visa est ex ipsa Aldina transcripta esse.

35. Remigianus apud Wesselingium, in Γ 70 desinens.

36. Cantabrigiensis chartaceus, libri primi parte mancus, olim Antonii Askew, a quo Wesseling acceperat varietatem lectionis. (*ABC*)

37. Etonensis a Galeo hic illic inspectus.

Oxonienses:

38. Baroccianus 114, chartaceus, XV saec., in qu.

39. Baroccianus 102, miscellaneus, chartaceus, XV saec., in qu.

40. Baroccianus 200, chartaceus, in fol., anno 1515 manu Andreae Doni nitide scriptus, continet A 45—E 92.

41. Bodleianus 2935. inspexit Gaisfordius, velut ad Γ 23.

42. Matritensis bibliothecae regiae XXXI, 'chartaceus folii modo, foliorum numero 273, a Constantino Lascari exaratus Messanae a. 1487.' Iriartae sunt verba.

Vidi hos ipse praeter Mutinensem, cuius tum (a. 1862) casu aditus intercludebatur, ac Venetos Britannicos paucosque alios. postremo autem, ne quid ad plenam codicum notitiam desideretur, eos quoque strictim commemorabo, quibus excerpta harum historiarum sive sola per se sive aliis intermixta continentur. quorum in numero vetustate princeps est

43. Turonensis, a Peirescio olim in Cypro insula emptus, ex eclogis Constantinianis earum servans excerpta, quae pertinent ad titulum περὶ ἀρετῆς καὶ κακίας. loci insunt ex Herodoto sumpti numero 63 (fol. 164—167 et 184—190), quos contulit nuper varietatemque lectionum edidit maiori diligentia quam fructu Iulius Wollenberg. nec enim fere quicquam inde ad augendam illustrandamve supellectilem criticam pro-

venit, fuitque codex, unde loci illi descripti sunt, ex eo genere quod nunc *ABC* repraesentant.

44. Parisinus bibliothecae imperialis 134 suppl., membraneus, in oct., saeculi XIII vel XIV, continens fol. 1—32 ἐκ τῶν ἡροδότου ἱστοριῶν, deinde ἐκ τῶν πλουτάρχου παραλλήλων, Διογένους λαερτίου ἐκ τ῀ȣ βιȣ΄ τῶν φιλοσόφων, Φιλοστράτου ἐκ τȣ̃ βίων᾽τῶν σοφιστῶν. diligenter excussit Heyler iussu Schweighaeuseri, qui *f* litera signavit. revisi et ipse nec tamen adhibui nisi rarissime. (*ABC*)

45. Parisinus bibliothecae imperialis 1731, chartaceus in oct. subscripta haec sunt neglegentissime sicut cetera: ἐτελεώθην τὸ παρὸν εὐχειρίδιον τῇ ἐμοὶ χειρὶ διμητρίου χανταχουζηνοῦ τοῦ βυζαντίου ἐν τῶν βρετανικῶν νύσον. ἐν τῇ πόλει τῇ χαλουμένει λοῦντρα. ἐν μηνὶ ὀκτωβρύω τρίτῃ. ἔτους ͵ςλπδ ἀπὸ χ̃υ δὲ γεννήσεως ͵αυοδ.

46. Heidelbergensis bibliothecae Palatinae 129, chartaceus, saec. XV, excerpta continens e multis scriptoribus poetisque. Herodotea edidit Creuzer in appendice commentationum Herodotearum inde a p. 425.

Absoluto librorum manu scriptorum recensu, iam progrediendum est ad explicandas eorum, quos ex illa multitudine ut potissimos selegimus, origines cognationesque. quod si in omni genere critico id praecipuum ac summum est, ut librorum testimoniis diligenter collectis certo iudicio efficias, qualis in codice illo, unde hanc omnem prosapiam descendisse necesse sit, scriptura fuerit ac species verborum: id negotium in Herodoto aliquanto tutius ac confidentius quam in plerisque scriptoribus graecis administrabitur: non quod maior

in hoc fuerit quam in ceteris librariorum cura, sed quia solito plenius et planius demonstrari potest, quibus maxime causis atque adeo gradibus ad hanc varietatem deventum sit. nec latuit inde a Wesselingio duo omnino esse codicum genera, unum quod *ABCd* continetur: — nam qui a nobis *ABC* significati sunt, in eo apparatu, quem Gaisfordius e copiis superiorum composuit, *MPF* litteris notantur, locum autem Parisinorum apud illum *bd* (n. 1634. 2933) iam Florentinus noster *d* integritate illis potior occupavit: — alterum vero genus id, cuius exemplaria nunc optima esse apparuit et *P*, qui est Gaisfordii *a*, et *R*, cuius vicem antehac Sancroftianus *s* ac Vindobonensis *v* obtinuerunt aliquanto deteriores. de generum igitur divisione etsi omnino recte statuebatur, plurimum tamen dubitationis errorisque nascebatur inde quod libri interdum fidem commutare, quique plerumque socii inter se concordesque esse solerent, haud raro eidem discordare ac diversa sequi signa videbantur. et vides profecto singulis paene paginis nunc *ABCd* cum *PR*, saepe *CPd* cum *ABR*, saepissime vero unum *R* cum ceteris omnibus discrepare. quae res cum per se mira esset difficilisque explicatu, praesertim cum ne constaret quidem satis de singulorum praeter duos *Cs* memoria, tum vero omne de dignitate cuiusque ac pondere iudicium perturbabat atque adeo impediebat, nec extitit adhuc qui apparatus Gaisfordiani promiscuam et confusam varietatem illustraret et ad usum emendationis exigeret aut certe de singulorum librorum utilitate recto iudicio statueret. quid enim attinebat vel *A* vel *C* Florentinorum vel Sancroftiani praestantiam iactare, nisi simul demonstrares certam aliquam legem ac normam, ad quam

iustam recensionem per omnes aequabiliter partes dirigi oporteret. itaque vidimus qui Sancroftiani fidem graviter nec immerito accusaret, Mediceum autem (*A*) praeter ceteros unice collaudaret, idem et illius permultas lectiones easque manifesto interpolatas securus retineret et opimas quas *A* offerret dapes mira quadam insipientia aspernaretur. nunc tandem ut tenebrae illae discuterentur, non feliciori aliquo acumine effectum est, verum ipsa codicum notitia et absolutius collecta et diligentius examinata. quo autem citius ac semel perspiceretur omnis et cognationis et propagationis ratio, hoc visum est delineationis adhibere artificium.



Ab illo igitur codice prisco ac primario, quem archetypum parentemque horum omnium fuisse necessario credimus (Ω), duo paulatim genera (XΨ) in diversas diffluxere partes multimodis iam inter se disparia, ita tamen ut, quae alterum utrum vitia traxisset, alterius ope facile corrigeres vetustique illius exempli integriorem speciem fere instaurares. atque ex altero eorum tres deinde subortae sunt propagines, quarum unam (χ) repraesentant nunc libri duo omnium qui extant antiquissimi (*AB*): ex

altera derivatus erat is liber unde descriptus est *C*, sed non prius quam ille ((φ)) correctoris manu multas variasque subisset mutationes: ex tertia denique post nescio quot vicissitudines et longiori intervallo temporis talis provenit qualem nunc habemus *d* inde a B 134. hi igitur quattuor stirpem referunt unam eamque omnino, si trium spectas membranas, vetustiorem. alterius enim, quae a Ψ originem habet, nunc extant exemplaria inter multa genere cognata duo potissima *PR*, et ipsa inter se non aetatis modo sed etiam scripturae diversitate haud mediocriter diiuncta, idque non tam librariorum, quae fere insimulari solet, inertia aut iniuria temporis quam certa opera consilioque doctorum hominum. quibus libris adiunguntur alteri *q*, alteri *tsv* Laurentianique *d* pars prior et Angelicani *B* particula illa libri primi novicia manu suffecta (*b*).

Genera postquam distribuimus, iam de indole eorum et auctoritate ita exponemus, ut prius singula exemplaria quae sibi propria habeant indicemus.

AB, quos coniunctim appello, quippe tanta inter se similitudine ut fere unius instar sint, nec tamen tanta ut alter ex altero descriptus videatur: hi igitur uti vetustissimi sunt omnium, ita est ubi praeter *Cd* ceterosque integritatem orationis praestent soli. cuius rei haec habeto exempla. A 110 τῶν βουκόλων τῶν. Γ 110 δή, quod idem pro δεῖ requirebat Bekker. Δ 103 ἐπαναχθέντες, ut coniectabat Lhardy. E 111 γένος μὲν Κὰρ τὰ δέ, 119 Λάβραυνδα. H 60 συνήγαγόν τε. Θ 137 ὀπτῴη. I 66 κατηρτημένως. quae sane nec multa sunt numero nec aliis quae omisi magnopere adaugentur. nec vero in hoc propria eorum virtus continetur, sed quod uni ex omnibus interpolatorum temeritate fere

vacua manserunt, adeo ut, si illis careremus, non esset omnino quo genuinam ac priscam lectionem ab insiticia doctorumque inventis discerneremus: quod quam late pateat, infra apparebit. quamquam ipsa illa integritate factum est ut multa resederint vitia leviora, qualia facile irrepunt aut neglegentia describentium aut importantur ineptiis argutiisque legentium, longe illa plurima ionismum depravantia, ut βασιλεῖ τέλει ἀληθεῖ, Θρηκῶν, aut μέχρις οὕτως οὐχ nonnusquam pro μέχρι οὕτω οὐκ, et perraro pro multitudine vocabulorum hiatum facientium ν finale. et talia non possunt non subnasci ipsis vicibus describendi facilique et tuta opera detergentur. graviora alia et ipsa fere ad dialectum pertinentia temere nulloque certo aut satis constanti consilio inlata sunt: quorum in numero habenda inprimis haud infrequens augmenti temporalis omissio verborumque purorum contractio, tum color quidam epicus hic illic aspersus, velut Γ 42 κεχαρηότες, Δ 14 τεθνηώς, 26 τεθνηότα. et haec quidem duo illi sibi sive habent sive retinent propria.

Nam tertius eiusdem generis *C* tametsi aetatis spatio ab illis distat modico et habet, ut par est, plurima cum illis communia et bona et vitia, haud mediocri tamen recedit dissimilitudine lectionis. in quo est quidem aliqua culpa librarii. sed attentius si inquiras, multo maiorem partem eorum, quibus ab communi genere separatur, reperies non describendi incuria commissam, sed a manu aliqua emendatrice consulto interpolatam. codices autem quoniam duplici ratione corrigi solebant, aut ad exemplum alterius qui praestantior videretur, aut ita ut corrector pro suo ingenio ac doctrina mutaret quidquid mancum et vitiosum aut

aliquam ob causam emendabile iudicaret: omnis haec quae in *C* apparet διόρθωσις e genere coniecturali est. quo eam qui instituit saeculo vixerit, non magis explorari potest, quam quibus eius commenta viis ac tanquam rivulis in diversa exemplaria propagata et dispersa sint. extant autem non in uno *C*, sed plurima transierunt in eum librum a quo *P* deductus est, permulta etiam in tertium quendam ((ↄ)), unde eius quem dicimus *d* maior pars, h. e. inde a B 134, defluxit: ut trium horum codicum quae nunc multis locis apparet communio non stirpis sit neque errorum sed interpolationis et correctionum. de origine autem hoc mihi dispicere videor, manum διασκευαστοῦ in eo ipso libro expoliendo versatam esse, ad cuius exemplum postea *C* scriptus est: in quo cum plurima ita legantur sicuti in illo correcta erant, sunt tamen ad quae cum librarius inter scribendum non advertisset γραφάς, in marginibus opinor et inter versus, adscriptas, postmodo repetiit supra scribendo. A 209 ἐξ$^{\epsilon}$ηγέρθη *C*, ἐξεγέρθη *P*. B 113 τὸ^{τῶ} ἀπαρχῆς *C*, τῶι ἀπ᾽ ἀρχῆς *P*. 123 πετει$^{\eta}$νά *C*, πτηνά *P*. idem homo operarius cum alicubi in libro illo scriptum inveniret ἐφοίτω$^{\epsilon}$ν ὥ$^{\epsilon}$ρων ἐπει$^{\eta}$ρώτω$^{\epsilon}$ν, male diligens talia procudit monstra: ἐφοίτεων (A 96. Δ 1. I 49), ὥρεων (Δ 3. 134. E 29. 91), ἐπηρώτεων (E 82). hinc simul expeditur quod haud pauca in *P* vel in *Pd* ex eodem fonte derivata leguntur quae in *C* non sunt. nam quod per ultimos libros magis magisque rarescit emendatio, ipsius qui instituit ardor videtur refrixisse. quem hominem fuisse grammaticum non imperitum et praeter multa aut inutilia aut falsa nonnulla tamen recte aut probabiliter administrasse, uti haud aegre concedent qui exempla

infra composita consideraverint, ita haud vereor ne cui saevisse in laudem illius videar, quod inventa vel sprevi vel ex hac quam inde ab Aldina occupavere sede expuli praeter pauca omnia. laudandus autem in primis est quod ionismi nitorem in vetustis exemplaribus, ut supra memoravi, obscuratum reparavit curiose atque in levioribus saltem feliciter, sed assiduitate haud per omnia pari. ut A 5 Ἄργεϊ, 14 ἀληθέϊ, 31 ὁρτῆς, 179. 185 Εὐφρήτης, 111 κατεστεῶτα, 208 κατά, B 86. 149 αὖτις (quamquam idem A 186 παρεντήκην perperam), 174 ἐπιτήδεα, 178 τουτέων, Γ 8 πίστις et ποιέηται, 134 δέξαι, 135 πολλαπλήσια: quamquam ne talia quidem omnia ubique perpurgavit. idem etsi semel iterumque extirpavit ficticia, velut μοίρην A 91, longe tamen plura novavit vel praeter necessitatem, ut in prosodia ἐρῆμος ἑτοῖμος ὁμοῖος properispomena, Νεκώς Σεθώς Φερώς aliaque consimilia oxytona, Παλαιστινῶν (Γ 5) etiam praeter rationem (vid. G. Dindorf Epiphan. praefat. p. VIII sq.): vel prorsus temere ac contra legem ac consuetudinem si minus scriptorum ionicorum at certe orationis Herodoteae, quae partim infra suo quidque loco refellentur, hic potissima quaedam in conspectu ponam: οὖρος οὐνομάζειν Ψαμμίτιχος Συρηκούσιοι passim, ξυμφορή (A 32) autem ξυνεβάλοντο ξυμπεσεῖν aliaque huiusmodi maxime per libros E Z H, quamquam ne ibi quidem ubique et constanter. in verborum quoque declinatione tametsi fortius aliquanto rem gessit, longe afuit a perpetua ad certas leges emendatione. verba enim aliquot in αω cum passim sic formata adverteret ut littera ω ex αω contracta ionico more in εω diduceretur, continuo eam heteroclisiam cum in multa alia eiusdem coniugationis verba transtulit, tum eas

quoque formas, quarum primitiva positio esset in αο vel αου, non tam in εο quam in εω dilatavit: quo de genere et temerario et omnem illum locum perdifficilem magis etiam perturbanti pluribus alibi dicetur. idem quod augmentum quod vocatur temporale in nonnullis verbis omissum vidit, postulare sic dialecti rationem ratus, in aliis hic illic suo arbitratu sustulit. hinc illa ἄγον, ἀπελόμεθα, ἐξεγέρθη, συνενείχθη, ἔρξε, ἕποντο. et haec quidem in dialecto, plura etiam in ipsa oratione versantur vel vindicanda ab mendis vel ad subtiliorem elegantioremque speciem expolienda. et menda haud dubie exemit cum scripsit e coniectura A 30 γῆν pro τήν, 82 ὑπελείποντο pro ὑπελίποντο, E 75 παραλυομένου pro παραλυομένων, H 130 ῥεέθρων pro ῥέεθρον. recteque et supplevit particulam B 125 λελέχθω γάρ et eiecit A 94 καὶ καταβῆναι. at quam est talium numerus exiguus prae multitudine inutilium aut etiam pravorum. de quibus ut breviter absolvam, immisit nulla necessitate de suo articulum B 125 αἱ μηχαναί, Γ 27 πάντες οἱ Αἰγύπτιοι, 68 ὁ Καμβύσης, Δ 89 ἀνὰ τὸν ποταμόν, Z 86β ἐς τὴν Σπάρτην, Θ 106 ὁ Ἑρμότιμος, I 8 ὁ Ἀλέξανδρος, — pronomen B 8 τὸν αὐτὸν τρόπον τὸν καί, Γ 98 φλοΐνην ἥν, ne ionice quidem, — γάρ B 94 τὰ γὰρ ἐν Ἕλλησι, Δ 119 ὁ μὲν γὰρ Γελωνός, — τε Θ 66 Τηνίους τε καί, — καί I 41 πολλὸν δὲ καὶ ἄργυρον, denique vel singula vocabula, ut Γ 28 φορέει, Δ 184 ὁδοῦ, I 7 ἐόν, vel plura ut B 122 εἴτε δι' ἄλλο τι. mutavit porro temporum rationem, velut ἐγένοντο pro ἐγίνοντο A 31. 175. B 103. Θ 108, ἐκάλεσε pro ἐκάλεε Γ 27, ἕστασαν pro ἔστησαν I 18, contra ἀπέπεμπε pro ἀπέπεμψε Γ 21. est etiam ubi invertit ordinem verborum tamquam minus aptum (Δ 48. H 176. Θ 107). e reliquo iam coniecturarum numero haud

mediocri haec sunto pro exemplis. B 8 πέτρινον τείνει] ὑπερτείνει, Γ 34 τελέσαι] καλέσαι, 99 ἐς δὲ τούτου λόγον] ἐκ δὲ τούτου τοῦ λόγου. insunt praeterea in hoc codice aliquot varietates post additae manu recentiori (C^2), quae fere eo translatae sunt a *R*, ut λειποψυχίης A 86, ἐδόκεε δέ et ἐπταστόμου B 10.

Nam praeter correctorem *C* extitit alter quidam, quem dico *R*, aetate illi haud multum, ingenio et audacia longe dispar. cuius auctoritas, si modo auctoritas dicenda est quae credebatur integritas esse ac vetustas, et illis saeculis plurimum et hac aetate apud eos ipsos valuit quibus suspecta esse coepisset; quamquam haud pauca ei imputabantur quae ipse non commisisset. nam de codice *R* eoque genere frequenti codicum, cuius nunc illud exemplum vetustissimum atque optimum superesse videtur nec tamen per se ipsum aut vetustum aut emendatum, quae iam enarranda habeo multa ac varia, minuendae sunt ac paene perimendae quae adhuc de eius praestantia obtinuit opinionis. quodque antehac cum plerisque omnibus laudator eius fui specieique deceptus blanditiis permultas ratas esse volui lectiones, quas nunc cum plurimis aliis ab editoribus certatim comprobatis expuli, videretur sane esse quod erubescerem: nisi excusabilem arbitrarer vetere instituto culpam eius, qui et indicium ultro profiteretur et ea afferret in iudicium primus, unde plane aliquando et cognosci causa et iudicari posset.

Habet autem illud genus codicum (𝔓), in quo praeter *R* et *brsv* sunt et eius quem dicimus *d* pars prior, hoc sibi praeter ceteros proprium et tamquam notam stirpis, quod librum primum exhibet multifariam mutilatum vel dicam decurtatum, non infelici aliquo casu, sed certo

alicuius hominis consilio: qui, amputatis quaecunque minus necessaria cursumque narrationis mora molesta nimirum retardare viderentur (A 45. 46—52. 54. 56—68. 73—75. 77—79. 92. 93. 94. 96—100. 103 —106. 131—133. 135—139. 140—177. 181—183) aut etiam parum verecunda legentiumque mores corruptura (A 199), interruptum subinde filum intertextis paucis verbis quoquo modo potuit reparavit: adeo ut puerorum eum magis providisse usui quam quicquam aliud spectasse putem. nec id negotium ultra librum A producere sustinuit. hoc vero dubium admodum ab eodem illo qui correxit, quem *R* appello, etiam decurtationem coeptam an ab alio aliquo credamus. et mea huc magis inclinat sententia. ille enim ut sane habet ac prae se fert multa in homine critico reprehendenda, immodicam libidinem atque aestum quendam ferventem novandi semperque aliquid praeter fidem membranarum moliendi, suorum inventorum ingentem admirationem, vetustatis autem irreverentiam, nec tamen in ipso mutandi opere satis consilii constantiaeque: ita acumine ingenii plane eximio indefessaque mentis intentione permulta primus aut solus in scriptura tralaticia et perspexit foedata corrupta lacera et refecit eventu haud raro felici. sic, ut aliquot eius generis exempla carptim proponam, A 9 pro ἐσόψεται scripsit σε ὄψεται, cui fidem asserit Dionysii testimonium, 88 χρόνῳ] χρή, 126 τῆς χώρης] τις χῶρος. B 11 πλοίου ἀρξαμένου] πλόου ἀρξαμένῳ, 15 αὐτῶν] αὐτήν, 124 ἄλλῳ] λαῷ, 175 καταχθόμενον] καὶ ἀχθόμενον. Γ 20 καὶ] φασι, 31 τοῖσι] τοῖσι Πέρσῃσι, 54 ὑπερέβησαν] ἐπέβησαν, 59 Θυρέαν] Ὑδρέαν, 61 τε ἦσαν] εἴησαν, Γ 80. Η 22 ἐντός] ἐκτός, Γ 91 Κυρήνης] καὶ Κυρήνης, 116 ὑπέρ] ὑπέκ, 117 πανταχοῦ]

πενταχοῦ, 126 ἀρχῇ] ταραχῇ. Δ 51 ἔρχεται] ἄρχεται, 138 Στρατίης vel Στραττίης] Στράττις (cf. Θ 132), ibidem Αἰαχίδας] Αἰάκης (cf. Z 13. 25), 140 οἱ] οἷα, 172 γάλα] ἐπὶ γάλα. E 20 Μακεδών] Μακεδόνων, 92ⁿ οὔκων ἤν μὴ παύσησθε] οὔκων παύσεσθε, H 219 ἅμα ἠοῖ] ἅμα οἷ, aut expulit aliunde invecta Γ 126. quid quod vidit olim quae postea critici nobiles vidisse sibi primi videbantur, velut Γ 7 ἕλξαντες] σάξαντες, 66 μὴ μέν] μή μιν, Δ 5 τοῦ] τῶν, 78 αὕτη] αὐτή cum Reiskio, Δ 79 κάτισε] κατεῖσε cum Valckenario, Γ 68 ἀνιστάμενος] ἐνιστάμενος cum utroque, Γ 69 ἦν] εἰ cum Schaefero, Z 87 πεντήρης] πεντετηρίς cum Schoemanno Opusc. I p. 315. cumque orationis Herodoteae proprietates in paucis calleret multaque ex intima eius indole subtiliter observasset, acrique iudicio exquireret quid ad aequabilitatem convenientiamque sermonis desideraretur, in omni genere emendationis effecit haud exigua numero, quibus nihil fere ad veritatis perfectionem deesse videatur praeter ipsam necessitatem emendandi. cuiusmodi sunt velut haec, quae e grandi numero decerpta infra posui. A 102 δύο καὶ εἴκοσι] δύο τε καὶ εἴκοσι, B 168 Ἑρμοτυβίων] Ἑρμοτυβίων ἄλλοι, Γ 11 τούς] τούτους, 12 διαρρήξειας] διαράξειας, 14 πάντες] πατέρες, 31 βασιληίους] βασιληίους καλεομένους, Δ 3 ἐτράφη] ἐπετράφη, 76 ἔθεσι] ἤθεσι, 189 κάρτα γὰρ ταύτῃ χρέωνται καλῶς αἱ Λίβυσσαι] κάρτα γὰρ ταύτῃ χρέωνται αἱ Λίβυσσαι καὶ χρέωνται καλῶς, E 91 ἀπικόμενοι] ἀκεόμενοι, H 53 ἀποστείλας] ἀπολύσας, I 53 ταῦτ' ἀναινομένου] ταῦτα νενωμένου. multo etiam plura excogitavit non veri similia illa quidem sed tamen specie haud improbabili, velut illud insigni audacia B 176 τοῦ αὐτοῦ ἐόντος λίθου] Αἰθιοπικοῦ ἐόντος λίθου, quod adhuc in editionibus legebatur. sunt praeterea, ne quid lauda-

bile praetermittam, quae non ipse commentus videtur sed ex accurata auctorum lectione collegisse, velut ex Stobaeo ((Γ 53. 80. 82. Δ 104. Z 86. H 49. 102. 160), Plutarcho (Γ 46. Δ 160. Z 105), Zenobio (Δ 23), Stephano Byzantio vel ipso Herodiano (Δ 93), Photii lexico (Γ 8): non unius autem auctoritate fecit quod Z 105 nomen cursoris, quod in ceteris est libris Φειδιππίδης, fortasse ioculariter ad artem hominis declinatum, scripsit Φιλιππίδης. in eis enim quae hominem grammaticum artisque peritum requirerent, in orthographicis prosodiacisque Herodianeam disciplinam praefert haud indiligenter perceptam: quo factum ut ab hoc habeamus aliquot nomina vel scripta rectius vel suis accentibus instructa, ut Γ 136 γαῦλον (cf. Lentzii Herodianus I p. 156), H 154 Παταίκου et Γ 37 Παταίκοισι (cf. ibid. p. 151, Δ 164 Ἀλαζείρ (in quo est corrigendi conatus imperfectus) et Ἀλάζειρα (ibid. p. 49), 172 sqq. Νασαμῶνες (ibid. p. 32), H 109 Δίκαιαν (ibid. p. 272), 176 Ἀνθήλης (ibid. p. 322), I 43 Ἐγχελέων (et debebat E 61 Ἐγχελέας: ibid. p. 237). quibus addi potest Γ 122 Κνωσίου (ibid. p. 206), Δ 48 Ὄρδησος (ibid. p. 210, 12). nec sine eiusmodi auctoritate fecisse arbitror ut regis Aegyptii nomen, quod scribitur in ceteris fere codicibus Μοῖρις, ubique mutaret in Μύρις: quod et ipse olim multiplici argumentatione vindicabam, nunc debui omittere, non quod minus iam probetur per se ipsum, sed quia a fide codicum paene nihil habet praesidii. at in Ἰνταφρένης (Γ 70. 118 sq.), quod eximie ille emendavit pro eo quod fuerat Ἰνταφέρνης, eo magis nunc quoque adsentior, quod de scriptura Ἀρταφρένης, quod est nomen illius plane simile, multo autem apud Herodotum usu crebrius, iam a codicum fide prorsus exploratum est.

talibus igitur tam multis tamque variis sanae doctrinae fructibus si contentus ingenii temperasset impetui, haud dubie inter eos qui de Herodoto bene meruere egregium obtineret locum. sed dum furore quodam ruit ac saevit in ipsa sana nihilque suspecta, et laudi suae plane officit et ipsi arti moveret invidiam, si haec ars esset potius dicenda quam exsultans quaedam lascivia, immemor ille plane aut nescius, quod conquestus est quidam haud immerito in causa dispari, 'improbe facere qui in alieno libro ingeniosus esset'. nec meminere nuper admodum tres homines Batavi, quorum quidem et doctrinam admiror et probo industriam, sed qui in hoc scriptore parum modeste ac nullo ferme sive ad corrigendum sive ad explanandum fructu exercuere vires. et horum quidem 'emendationes' ipsa multitudine suspectas licuit praeter paucas quasdam neglegere, et vereor ut ipsis etiam nunc satis placeant: illius commenta non potuimus pro instituti nostri ratione quamvis magnam partem futilia non commemorare: quae ne prorsus sine utilitate chartas impleverint, documento esse velimus quantum olim, in hoc praesertim scriptore, satius sit abstinere quam nugari. de aetate autem hominis non ultra saeculum duodecimum deprimenda certum indicium est quod praeter alios Eustathius nonnusquam in commentariis Homericis, perpetuo autem in Dionysiacis usus est exemplo ad huius recensionem perscripto. ad codicem autem ut iam redeamus, quamvis sit ille et interpolatione correctoris et librariorum stupida interdum socordia ab exemplo illo quod Ψ diximus mutatus, tamen, quia ab alterius correctoris (*C*) novationibus plane vacuus relictus est, efficitur ut, quidquid *ABR* codicum coniuncta fide praestetur, id

ipsum fuerit in archetypo (Ω): contra quidquid unus *R* offerat, id omne sit aut correctum aut erratum.

Brevius iam de reliquis expediam. *P* enim, postquam statim a fonte suo (Φ) receperat plurimam eorum partem, quae a correctore *C* importata diximus, idem homo qui scripsit iterata cura ita retractavit ut, quae videret in aliis exemplis vel melius vel non peius scripta, aut sufficeret priori scripturae radendo deletae aut intra versus vel extra adscriberet. ita factum, ut totiens huius codicis ipse textus (P^t) vel scriptura prior (*Ppr.*) a correcto (*Pcorr.*) vel, ut hoc verbo utar, marginali (P^m) discernenda esset. cumque lectiones illae post illatae partim ab altero genere (*ABCd*) partim ab correctore *R* repetitae sint nullo discrimine, sed ad arbitrium librarii hominis nec inepti nec ubique sapientis, evasit species codicis sive recensionis contaminatae, quae originem haberet cum *R* communem, interpolationem fere cum *C*, praeterea modo ad alteram stirpem deflecteret modo ad *R* correctum. hoc cum ita sit, sequitur *q* codicem quique alii cum illo ex *P* derivati sunt, obscuratis contaminationis indiciis, et inutiles esse et, si ipso *P* careremus, dubitationis errorisque plenas: ipsius autem *P* in eo sitam esse utilitatem haud mediocrem, quod, ubi cum *R* a principio consentiat, communis parentis (Ψ) memoriam referat, ubi item a primo contra eum cum *ABCd* faciat, correctum illum coarguat aut errore depravatum. habet idem quaedam sibi propria pauca illa quidem sed memorabilia, nec fere laudis expertia. nam praeterquam quod in orthographicis aliquanto est ceteris purgatior, quaedam ad dialectum maxime pertinentia unus recte aut certe constanter scripta exhibet. velut cum et codicum nonnusquam

fide ac consensu (A 39 φοβέεαι, H 50 διαιρέεαι, 161 δέεαι) et ipsa ratione constet nec contraxisse Herodotum nec imminuisse verborum formas in εεαι a primo exeuntes, hic unus retinet vel potius redintegrat plenam terminationem in Archetypo altera ε fraudatam, A 206 προθυμέεαι, Γ 34 ἐπαινέεαι, Δ 9 εὐφρανέεαι, 163 ἀποθανέεαι, H 47 διαιρέεαι, 52 φοβέεαι. quamque ceteri in θῶυμα θωυμάζω θωυμάσιος interdum omittunt vocalem υ, hic fere aut retinuit aut reduxit. recte porro idem A 63 ἕκαστος] ἕκαστον, 90 τούτῳ] τοῦτο, 108 ἐπίτοκα] ἐπίτεκα, aliaque item bona haud sane multa. nec desunt properantius mutata, ut A 8. 133 σπουδαιέστερα] σπουδαιότερα, 32 πλουσίου καὶ ἀνόλβου] πλουσίου καὶ ἀνολβίου, B 6 ἡμέες, ibidem ἐόν] ἐών. at laudandus sane est aliqua certe ex parte quod in declinatione verborum in αω auctoritatem *C* correctoris hic illic per librum primum, saepius iam per partem libri secundi, plane autem constanter inde fere a B 66 derelinquens, ω ex αω αο αου conflatam non in εω, sed, quod et ratio poscebat et ceteri addicunt, in εο dissolvit. quam mihi rationem quod significavi non omni ex parte probari, infra defendam. illud ne hic quidem praetereundum, quod verbum, quod est χρᾶσθαι, cuius de flexione Herodotea non potest ulla esse dubitatio quin unum e tot similibus ω circumflexam habeat diductam in εω, in hoc tamen codice ad ceterorum analogiam revocatum praefert εο: quod ab interpolatore esse inde fit certissimum, quod is pariter ac ceteri in libro primo et parte secundi χρέωνται viciens, χρῶνται bis, ἐχρέωντο bis, χρεώμενος duodeciens tenet, idem inde a B 77 mutato repente consilio alteram persequitur flectendi rationem per reliquos libros tam pertinaciter, ut in creberrima huius verbi

frequentia semel ni fallor (Δ 104 χρέωνται) corrigere antiquam omiserit.

d porro codicem quod supra indicavi ab initio usque ad B 133 cum *R* facere, inde autem a B 134 cum *ABC*, sic ea res interpretanda est. is liber, ex quo hic venit, cum parte schedarum, quae continebat priora illa, mutilatus esset, postea ea iactura reparata est ex tali exemplo quale nunc *R* habetur: quod idem in *B* factum supra memoravimus: itemque cum animadversum esset desiderari quaedam in libro primo, quae vidimus dedita opera esse recisa, coepit sive idem qui cetera sive alius post illum in margine supplere, nec tamen in eo negotio propter nimium lacunarum ambitum ultra A 79 perseveravit: suppleta autem postmodo is, qui porro descripsit, e margine in suum quaeque locum reposuit. in ipsa lectione nec hic habet praeter paucissima quicquam boni, menda sua plurima, in correctionibus autem tum duos *CP* tum alterum utrum comitari solet. quamquam sunt etiam permulti loci quibus unus cum *AB* facere videatur, sive ipsa originis vetustate, sive quod Schweighaeuseri culpa de *C* haud ubique exploratum est. ex ipso porro *d* descriptum esse Venetum 𝔡 certis deprehenditur indiciis. ut A 195 εἰρίνεον] ἠρινα^{ε}ῖον *d*, ἠρινεαῖον 𝔡. 196 οὐδὲ] ὁ δὲ d^2𝔡. ibid. χρῆν] χρὴ$^{ν\ d^2}$, χρὴν 𝔡. B 62 κέεται] καίεται d^2𝔡. 93 λίμνῃσι om. *d* (in extrema pagina) et 𝔡. Γ 60 ὑψηλοῦ] ὄρυγμα ὑψηλοῦ d^2 in rasura, item 𝔡 et Aldina (*z*). vel uno hoc quod extremum posui exemplo planum fit, quod multis ubique constat indiciis, Aldo ipsum 𝔡 pro instrumento editionis ad manum fuisse, non illum quidem solum sed cum duobus aliis, qui fuere *qs* aut ipsi aut

genere ac vitiis eorum simillimi, quales et *v* multosque praeterea et unum ex Ambrosianis (v. supra p. XV) cognovimus. et *q*, ex *P* derivatum non multa cum fide ac cura, aliquanto etiam saepius deprehenderemus fontem esse lectionis Aldinae, si diligentius ac plenius haberemus exscriptum. Sancroftianus autem sive Cantabrigiensis, quem *s* vocamus, tot olim doctissimorum hominum laudibus nobilitatus atque a Gaisfordio penitus excussus, praeter eam quae in *R* extat interpolationem, dupliciter correctus est. nam et multa quae in *R* mendosa leguntur ac stupore librarii corrupta, ille emendata exhibet sed infelici fere ac ridiculo conatu, ut ex *R* fluxisse hunc conicerem, nisi essent tamen quae ex simillimo potius quam illo ipso exemplo provenisse suaderent: et vero cum pauca quaedam scite inventa, ut B 170 ἐχόμεναι, Δ 121 πάσας, I 122 σύ, aut etiam expleta, ut illa B 175 τὸ δὲ εὖρος δυώδεκα πηχέων, tum longe plura flagitiose depravata. quo ex genere unum Ἀστυάγεω assidue nec tamen ubique inde ab A 46 pro Ἀστυάγεος invectum commemoro, propterea quod inde a Schaefero idem illud editoribus placuit: ex additamentis autem Z 119 συνάγουσι ἐν ἀγγείοις τό, quod omnes usque ab Aldina insedit editiones. atque eadem manus mutaverat aliqua ad *C* codicis similitudinem, posterior quaedam in ipso *s* recte et laudabiliter correxit numeros in ceteris omnibus falsos Γ 95. Δ 85.

Trium igitur quae dixi exemplorum instructus praesidio cum Aldus Manutius ederet Herodotum omnium primus 'Venetiis in domo Aldi mense Septembri. M.DII', utrum potius pro fundamento habuerit, *b* an *q*, ita ut eius exemplum duorum reliquorum adiumento emendaret, difficile est statuere: nam de *s* non

est dubium quin subsidii loco fuerit. sed illa exempla quia per librum primum et partem secundi eiusdem fere generis speciem referebant, quod in *PR* contineri vidimus, inde a B 134 autem *d* sive 𝔡 ad alterum genus transiit, accidit ut recensio Aldina, sive contaminationem dicere mavis, initio fere non excederet alterius generis terminos, mox duorum confunderet ac misceret speciem. nam quod ille in epistola ad Ioannem Calpurnium Brixianum data, qua praefatus est editioni, praedicat 'musas Herodoti *multis exemplaribus castigatas* ex Academia sua emitti', nimium praedicat: illa vero suo iure, '*nam Clio abundat a caeteris quibuscum contulimus exemplar nostrum, decem prope chartis, quae et in ea desunt, quae a Laurentio Valla tralata habetur*'. supplevit enim e *q*, quae in 𝔡*s* inde ab A 92 omissa Valla, cum decurtato hoc genere exemplarium uteretur, ne cognorat quidem. sed de Vallae versione latina inutili iam ad rem criticam nihil praeterea addam, de Aldina hoc unum, quidquid in ea praeter trium codicum fidem exhibeatur, id omne esse aut correctum ab Aldo eiusve amicis aut erratum ab operis. atque ex errore natum est quod A 97 κάλλιστα legitur pro μάλιστα, e correctione A 96 ἐν γῇ pro ἐν τῇ, B 172 εὐγνωμοσύνῃ pro ἀγνωμοσύνῃ, ἦεν pro ἦν: quae tamen omnia ita ut legebat in Aldina descripsit fraudis nihil suspicans ipse fraudis machinator impudentissimus idemque ineptissimus, is qui fragmentum illud περὶ εὐγενείας confinxit doctisque imposuit tanquam Plutarcheum, donec nuper admodum vindicavit flagitium Iacobus Bernays. sed inter ea quae Aldus novavit, nec pauca nec levia atque adeo plane commenticia (ut Δ 126. H 221), in primis damnosa fuerunt quibus dialectum ad ionismi nimirum

normam praeter codices vel certe praeter codicum constantem memoriam revocare sibi videbatur, quippe quae crederentur ab eis, qui multo post illum de ea norma acrius inquirere coepere, non sine auctoritate librorum vetustorum edita. ultra Aldinam pertexere historiam, quae nunc dici solet, criticam non videtur post Wesselingii Schweighaeuseri Baehrii commentationes operae pretium esse. nec enim praeter Henricum Stephanum, qui bis edidit, primum a. MDLXX, iterum a. MDLXXXXII, codicumque ope Parisinorum aliquot locos vel emendavit vel emendandos monuit, paucissimos ipse correxit, unum etiam (A 47) haud dubie e titulo Delphico a Cyriaco olim descripto non correxit sed pervertit: praeter Stephanum igitur nemo ante Galeum Gronoviumque exemplar Aldinum ad codicum auctoritatem retractare instituit.

Codices quem ad modum a suo quisque genere demutati sint postquam exposuimus, sequitur ut de ipsorum generum indole et vicibus similis instituatur disputatio, hoc est ut quaeratur, codices illi duo, e quibus *ABC* (nam *d* sine fraude iam neglegetur) et *PR* fluxisse consentaneum est, quos X et Ψ signamus, quatenus ab communis parentis sive Archetypi (Ω) similitudine discesserint. quae disputatio ut est ad munus recensendi rite et recte administrandum gravissima, ita nec expedita nec a multiplici dubitatione immunis. illud enim res ipsa ostendit, non posse recensionem iustam intra alterius utrius generis fidem consistere,

sed ita demum absolvi si, quidquid alterum vitii contraxerit, alterius auxilio eluatur, adhibita tamen iudicii cautione, ne, quaecumque videatur alterum prae altero cultiora aut usitatiora offerre, cupidius arripiantur. generatim autem ac breviter ut pronuntiem quod diuturno usu varioque experimento didici: X habet speciem orationis aliquanto rudiorem casuque aut errore interdum turbatam et laceram raroque manu emendatrice refectam, sed eam ipsam ob causam a fide antiquitatis commendatiorem: contra Ψ sicuti purgatiorem a mendis et integriorem a lacunis, ita haud raro plane interpolatam: adeo ut si unum X haberemus fontem lectionis, aliquanto legeremus Herodotum impeditius, sin unum Ψ, praeter veritatem nonnusquam expolitum. et mancus est X prae altero aut totis versibus B 143. Δ 20. 33, proclivi his duobus locis propter homoeoteleuton errore, quo quidem in *C* nihil est crebrius: aut uno pluribusve verbis, ut B 46. 75. 81. 178. Γ 9. 36. 44. 45. 98. 104. 117. 127. 160. Δ 14. 19. 40. 71. 84. E 92ζ. H 6. 103. Θ 129. nam B 40 oratio hiulca ne in Ψ quidem plena sed expleta est idque satis pueriliter: at Z 122 ac forsitan etiam Z 98 in eodem ne expleta quidem sed alienis onerata. contra ea cum hiet in Ψ solo B 67. 70. Γ 144. Δ 191. H 11, in eodem agnoscimus manum scriptoris non restitutam sed a primo servatam cum alibi tum hisce locis, B 79 ἐπάξια (ἅπαξ ἅ), 92 πτίσαντες (ὀπτήσαντες), 178 Κνίδος (Χίος), Γ 20 ἐς τέλος (ἕτερος), Δ 25 αἰγίποδας (ἱπποβάτας), 41 στεινή ἐστι (ἐστὶ ἢ ἐστι), 76 Τύμνεω (τοῦ νεώ), E 77 βοηθούς (Βοιωτούς): tum vero etiam dedita opera expolitam et correctam, qualia nemo non concedet esse B 66 ταῦτα δὲ γινόμενα] τούτων δὲ γιγνομένων et, quod similis peperit ratio, Γ 99 δια-

φθείρεσθαι] διαφθείρειν, Α 35 ἐν ἡμετέρου] ἐν ἡμετέροις, Γ 14 τούς τε — δεδεμένους] τοὺς δὲ — δεδεμένους ἦγον, 117 ἐς τοῦτο φεροῦσας] ἐς τούτους φορεούσας, Δ 33 ἐχούσας] θυούσας, Ε 111 ἵστασθαι] ἀντιτάσσεσθαι, Θ 112 τοῖσι καὶ πρὸς βασιλέα] λόγοισι τοῖσι καὶ πρὸς Ἀνδρίους. atque in his expressa extant vestigia correctionis, quae in aliis haud paucis numero suspicionis plus quam indicii et argumenti habet: illud certe quidem constat, ubique esse cautione opus iudicioque multum et subtiliter in cognitione ac familiaritate huius scriptoris versato. quod si praeterea occurrunt quae ad sensum sermonisque sive elegantiam sive constantiam nil prorsus interesse videatur utram in partem diiudices, in his maxime collocationes verborum, Archetypi memoriam eo genere codicum fidelius repraesentari arbitrabimur, quod longius ab interpolationis suspicione abesse viderimus.

Eo enim summam omnis huius de rationibus codicum quaestionis spectare voluimus, ut Archetypi ipsius quam etiam nunc fieri posset integerrimum reciperaremus exemplum. cuius etiam externam speciem atque omnem descriptionem aliquatenus certe ex apographorum varietate probabiliter nec inutiliter recolligemus. et totius operis inscriptio ne in illo quidem superfuisse videtur, si modo ulla unquam fuit nec potius cum praescriptione singulorum librorum confusa hunc in modum: ΗΡΟΔΟΤΟΥ ΙΣΤΟΡΙΩΝ Α. ΚΛΕΙΩ, et subscriptione: ΗΡΟΔΟΤΟΥ ΙΣΤΟΡΙΩΝ Α. nam de ipso titulo Historiarum non debebat post tot auctorum testimonia, quae collegere Schweighaeuser ac Baehr pleraque, non omnia, quicquam esse dubitationis. quamquam nuper admodum fuit, qui, spreta et auctorum et codicum auctoritate nimiaque sui ingenii admiratione

ac confidentia, sic inscriptum ederet: Ἡροδότου ἱστορίης ἀπόδεξις. et hoc quidem nugatorium: sed ne illa quidem Μουσῶν communis appellatio operis, quae inde ab Henrico Stephano vulgabatur, ullum habet firmum praesidium, nisi forte firmitatis quicquam concedas codicis novicii eiusque consimilium inscriptioni quam supra posui p. XI, aut Suidae in Ἡρόδοτος notationi ἐπιγράφονται δὲ οἱ λόγοι αὐτοῦ Μοῦσαι, unde sumpsisse videtur Stephanus quod primus adstruxit ἡ ἱστοριῶν λόγοι Θ, ἐπιγραφόμενοι Μοῦσαι. nam illa Luciani ᾄδων τὰς ἱστορίας καὶ κηλῶν τοὺς παρόντας ἄχρι τοῦ καὶ Μούσας κληθῆναι τὰς βίβλους αὐτοῦ, ἐννέα καὶ αὐτὰς οὔσας (II p. 833 Reiz.) et ὁρῶν μάλιστα θαυμαζόμενον τὸν Ἡρόδοτον ἄχρι τοῦ καὶ Μούσας κληθῆναι αὐτοῦ τὰ βιβλία (II p. 55), manifestum est non ad communem potius aut rectius omnium quam ad singulorum librorum cognominationem referri. singula autem Musarum nomina quo primum tempore addita sint non quaero: illud quaeri potest, satisne recte ea cum Bekkero abiecerim. subscriptionibus additi fuere in Archetypo singulorum librorum numeri versuum. ex eis in *AB* nunc reliqui sunt numeri librorum Δ. Ε. Θ. Ι. ac fortasse ne in illo quidem plures relicti erant, qua raritate effectum videtur ut in ceteris exemplaribus et ipsae reliquiae omitterentur. qui si hodie superessent omnes, haberemus unde de integritate operis rationem institueremus haud infructuosam. lacunas enim breves hic ut mittamus, in Angelicano ad Θ 121 haec in margine scripta sunt ab ipso librario, derivata autem haud dubie ex Ω: λείπουσι στίχοι χ̃. quod quomodo latere potuerit homines doctos omnes non mirabile, cum illo ipso demum loco resumatur filum narrationis paulisper intermissum nec requiri

videatur, quod nunc intercidisse comperimus, singulare de facto aliquo singulari capitulum. porro de librorum et initio et exitu quo in perpetuitate orationis melius constaret, provisum fuit ratione quadam sollerter excogitata, quam in aliis animadvertit primus ni fallor Otto Iahn in Philologi tom. XII p. 506, ut quibus quisque liber verbis clauderetur, eadem in principio proximi sequentis iterarentur: quod nunc quidem in omnibus codicibus observatum videmus in Θ. I, praeter *P* ut tamen in eo ipso vestigium appareat, in B autem et Γ. Δ. Z ab uno *R* sed ita immutatum ut, quae in principio cuiusque legantur, ea exeunti proximo superiori addita sint. in marginibus vero fuerunt et *summaria rerum* perpetua et *scholia* haud frequentia. illa tenuit *A* si minus integra et cuncta, — rarescunt enim aut intermittunt nonnusquam nimio intervallo, velut B 94. Δ 11. 36. H 168, incertum an in ipso Ω —, certe longe plenissima: e quo nunc primum edidi rarissime emendationis indigentia, paucis etiam e *BR* adsumptis vel adauctis. scholia autem vetusta multo prae summariorum ambitu parciora fere unus *B* servavit, distincta olim ab illis vel addito σχο sive σχ siglo, quod conjectare licet ex *A*, vel dispari genere litterarum.

Et haec quidem de externa Archetypi forma certis poterant indiciis explorari. ipsa vero in eo verba non vacua fuisse varia labe et corruptela nec mirabitur quisquam nec dubitabunt nisi parum in his literis versati. nec de emendationis eventu desperandum, modo ne correctorum ille aliqua constanti interpolatione genuinam exuerit speciem. quod non factum arbitror, certe cur suspicarer non inveni. nam additiciorum numero non infrequentium ea est diversitas et aetatis et causarum

ut accrevisse paulatim complurium opera certum sit. ct A 1 ἄλλῃ χώρῃ, 84 ἣν ἐπίμαχον τὸ χωρίον, B 12 πρὸς δὲ τῇ χώρῃ, 117 καὶ τόδε τὸ χωρίον (ac forte Z 102 ἐπιτηδεότατον χωρίον), A 4 τὰ ἐνοικέοντα ἔθνεα βάρβαρα facile imputamus eiusdem hominis inscitiae. at A 196 ἵνα μὴ ἀδικοῖεν αὐτὰς μηδ' εἰς ἑτέραν πόλιν ἄγωνται ne ionica quidem, B 92 καὶ πωλέουσι fuerunt a primo in margine exemplaris vetustioris adscripta explicandi non explendi causa, illa ad ἀλλ' ἐγγυήτας χρῆν καταστήσαντα . . ., haec ad ἐς ἄλλο τι τράπουσι. similemque habent originem H 26 ἐν τῇ πόλι, 162 τὸ ἐθέλει λέγειν. sed plura secludenda erant, quae idem fortasse homo male sedulus immisit ut mancae nimirum orationi subveniret, A 142. 181. B 11. 35. Γ 30. 56. 126. 149. Δ 5. 7. 36. 65. 99. E 55. Θ 38. 83. 102. I 11. 65. 93. nec minus aut importuna aut otiosa, sed ampliora ambitu doctiorisque venae A 12. 28. 29. B 116. Γ 97. Δ 127. E 16. alia quamvis abundantia aut minus recta A 148. Γ 59. Δ 71. Z 98. H 63 si quis tamen ab Herodoto ipso profecta contendat, habebit quo defendat cum specie aliqua veritatis. leguntur enim praeter illa in his historiis, quales et nos habemus et habuerunt veteres, aliqua vel continuitatem vel concinnitatem orationis turbantia aut certe a tenore narrationis absona, ut non statim cum ceteris nata sed postea demum adglutinata videantur, eadem tamen nec per se ipsa nec ullam aliam ob causam ingenio Herodoti et consuetudine indigna. A 125 ἔστι δὲ Περσέων συχνὰ γένεα — Σαγάρτιοι, B 127 ταῦτα γὰρ ὦν — Χέοπα, 156 ἐκ τούτου δὲ τοῦ λόγου — Δήμητρος, Γ 89 ἐπὶ γὰρ Κύρου ἄρχοντος — ἐμηχανήσατο, 131 ἐγένετο γὰρ ὦν τοῦτο — Ἑλλήνων πρῶτοι, Δ 2 τοὺς δὲ δούλους οἱ Σκύθαι — ἀλλὰ

νομάδες, 64 δέρμα δὲ ἀνθρώπου — λευκότητι, 86 παρέχεται δὲ καὶ λίμνην — Πόντου, E 83 ἦσαν δὲ καὶ τοῖσι Ἐπιδαυρίοισι αὗται αἱ ἱρουργίαι, Z 59 συμφέρονται δὲ ἄλλο τόδε — 60 τὰ πάτρια ἐπιτελέουσι, 79 ἄποινα δὲ — ἐκτίνειν, H 20 στόλων γὰρ τῶν ἡμεῖς ἴδμεν — 21 σῖτά τε καὶ νέας, 190 ὥστε Ἀμεινοκλέι — παιδοφόνος. I 82 λέγεται δὲ καὶ τάδε γενέσθαι — πρὸς τοὺς στρατηγοὺς τῶν Ἑλλήνων, 83 ἐφάνη δὲ καὶ τόδε ὕστερον — 85 τρόπῳ τοιούτῳ ἐτάφη. haec igitur et similia quaedam alia, tametsi haud pari esse omnia ad demonstrandum pondere intellego, eo certe valent coniuncta, ut non temere videamur credere ipsum Herodotum quaedam post absolutas singulas historias sive λόγους iteratis curis inseruisse, alia etiam postea quam edidisset totum opus animadversa aut comperta in margines interim coniecisse, indeque post eius mortem incohata necdum ad ceterorum perfectionem exculta alium quendam in contextum orationis suo quaeque, ut fieri posset, loco immisisse. atque de illo genere supplementorum ipse ait Δ 30 προσθήκας γὰ δή μοι ὁ λόγος ἐξ ἀρχῆς ἐδίζητο, tanquam excusans amplificandi praeter ordinem ac tenorem rerum licentiam. alteri quamvis in coniectura posito hoc saltem tribuendum erit, ne calidius dicam an inertius, quidquid impedire sentiamus flumen narrationis, continuo exturbare conemur quasi foris invectum.

Confidentius aliquanto quam de additamentorum suspicione iudicatur de hiatibus lacunarum. quae aut per se patent ipsarum sententiarum argumentorumve defectibus, ut A 92. 167. B 40. 86. 102. 175. Γ 14. 39. 49. Δ 37. 47. 149. E 27. 69. H 76. 154. Θ 77. 124: aut ratiocinandi subtilitate patefiunt, ut in numerorum notatione B 8 (quem quidem locum ne Aristides

quidem altero post Christum saeculo legit incolumem) Γ 89. E 52: aut testium fide aperiuntur simulque integrantur, ut B 158. I 93, vel certe credibiles fiunt, ut A 96. B 65. Δ 162. transpositorum autem versuum videor mihi praeter Δ 106, quod vidit Wesseling, duo alia deprehendisse exempla E 52. Θ 137. nam quod putabam olim A 196 traiectione unius versus interituque alterius turbatum, nunc perspexi interpretamenti expulsione facilius expediri.

E reliquis autem mendorum generibus nullum est aut latius diffusum aut difficilius ad persanandum quam quo ionica sermonis forma a nativa specie ac norma degeneravit. sed is locus cum gravissimam huius quod suscepimus negotii contineat partem, separatim et aliquanto explicatius tractandus est.

Dialecti enim, quam nominare consuevimus Herodoteam, etsi post Dindorfii maximeque Bredovii commentationes laboris fructusque plenissimas nec opus nec operae fere videtur totam materiam denuo expromere et percensere omnemque rationem enucleate disceptare, breviter tamen ac summatim exponendum esse intellego et defendendum, quae in constituenda emendandaque vel communiter cum illis vel separatim nunc secutus sim. quae disputatio cum explicanda Archetypi indole coniunctissima est. nam cum ante hos fere quindecim annos primum agitare coepissem edendi Herodoti consilium, nolui eorum imitari inertem patientiam, qui tralaticiam istam inde ab Aldo varietatem sermonis non auderent ulla in parte attemptare

'nisi codices addicerent', sed, qui tunc erat horum studiorum status, non potui non alacriter eam ingredi viam, quam post temeraria irritaque magna ex parte Schaeferi conamina primus saluberrimo exemplo monstraverat C. L. Struve, mox H. Lhardy strenue sequi perrexerat, Guilielmus autem Dindorf primus ad calcem usque percurrerat, cum eodem fere quo uterque illorum tempore F. I. C. Bredovius diligentia ac labore plane admirabili in omnes partes muniret eaque sterneret fundamenta, quibus idem opus qui postea adgrederetur, quamvis ampliori meliorique instrumento adiutus, superstruere deberet. itaque ad huius potissimum praecepta refingere conabar orationem ad eam convenientiam, quam requirere videbatur tanti scriptoris dignitas. nec vero eram tum nescius aut celabam fore ut aliquando de vetusta codicum memoria melius edocti de multis aliter, quam tum fieri poterat, statueremus. quod iam reapse evenisse profiteor. etenim, ut paucis comprehendam quae nunc sentio, quod illi multiplicem formarum varietatem ad codicum testimonia exquiri, quaeque et saepius exhiberentur et rationi sermonis convenientius, eas pro veris ratisque haberi voluerunt, et fecerunt prudenter nec sine prospero certoque eventu. eidem quod multa varie figurata ad unitatem, nonnulla etiam praeter codices ad rationis convenientiam redegerunt, non sunt temeritatis accusandi. sed in illo decepit eos saepe falsa aut manca de codicibus narratio aut quam ignorarent interpolatio correctorum, in hoc studii quodam fervore membranarumque contemptu longius progressi sunt. itaque meae nunc operae maior pars in tuenda quam in mutanda lectione Archetypi fuit, utque haud pauca etiam nunc cum illis

emendare non dubitavi, ita ipsum impetum corrigendi, quo olim fervebamus, retardavi, pedemque rettuli ubi non posse recte ac tuto consisti intellegerem. omninoque mihi non opinione aliqua subitaria sed argumentis solidis experimentoque diuturno persuasi, emendandi rationem, quae adhuc placuit, aut etiam longius porrigendam multaque demetenda esse, quae nondum tetigisset criticorum saeva manus, aut vero coercendam eam intra certos ratosque fines, ultra quos vagari sineretur quidquid aut suapte natura vagum ac liberum esset aut non posset sine vi aliqua astringi. atque hoc alterum probari posse peritis modesteque iudicantibus ut non diffido, ita fore umquam de omni hoc genere stabilem doctorum concordiam non spero. nec enim deerunt qui ingenita quadam iudicii atrocitate dicam an illiberalitate, tamquam Manlii illi et Papirii, impatientes quidquid imperium regulamque detrectare visum fuerit, forti manu retrahi atque in ordinem cogi velint, varietatemque, quamvis manifestam ac testatam, casu tempore temeritate denique vel oscitantia, ut aiunt, scribarum, non voluntate ac manu scriptoris factam clamitent: talique orationi haud dubie plaudent multi natura aut disciplina similes facti. sic enim est: fortia placent vulgo ac pertinaciter sibi constantia, quodque recte laudatur in re gerenda atque in omni officiorum genere, idem in exquirenda veritate admirabile esse consuevit, hisque praesertim in literis non probatur temere vel prudentiorum iudicio, nisi quod per se ipsum magnifica quadam specie veritatis commendetur, veritas saepe ipsa ut Cinerariola illa fabulatorum spreta delitescit propter incultum quendam habitum nec satis decorum aut usitatum. itaque fuerunt omni aetate et vidimus

nuper quibus pro suspecto esset quidquid in scriptore nobili ac laudato minus niteret, nec placeret nisi quod legitimum conveniens concinnum videretur. quibus ego, si hanc quam nunc tuemur dialecti speciem improbent ut a perfecta aequabilitate remotiorem, non opponam aut iactata illa Hermogenis 'Εκαταῖος - τῇ διαλέκτῳ ἀκράτῳ ἰάδι καὶ οὐ μεμιγμένῃ χρησάμενος οὐδὲ κατὰ τὸν 'Ηρόδοτον ποικίλῃ, quae ad delectum verborum, non ad conformationem affectionemque spectant, — aut illud Apollonii Dyscoli, quod in simili causa adhibuit Lobeck pathol. II 342, οὐκ ἐξωμάλισται τὰ τῶν διαλέκτων καὶ μάλιστα τὰ τῶν 'Αττικῶν, quod dictum est de ipso sermone non satis aequabiliter per omnes partes absoluto, non de inconstantia loquentium scribentiumque. plus apud quospiam ponderis habeat quod velut Cicero de se ipse suaque consuetudine fatetur Orat. 156: '*alias ita loquor ut concessum est, ut hoc vel proh deum dico vel proh deorum, alias ut necesse est, cum trium virum non virorum, cum sestertium nummum, non nummorum, quod in his consuetudo varia non est.*' aut quod verissime monuit vocabulorum acerrimus exactor Carolus Lachmann ad Lucret. I 125 '*summam constantiam in dicendo scribendove quaerere animi illiberalis esse*'. sed haec fuerit frigida quaedam ratio disputandi. nam suum cuique scribentium ingenium est, sua disciplina et voluntas. at quid in Herodoti oratione, qualem in Archetypo fuisse aut certum aut verisimile est, tolerabile iudicetur quid intolerabile, non in universum statuendum est aut praeiudicio, verum discendum assuescendumque singula quaeque sollerter observando colligendo ac generibus distinguendo. ita fiet ut multa, quae nunc dissipata et poscere et pati videntur cor-

rectionem, cum similibus in ordinem congregata, facilius impetum sustineant τῶν ἐξομαλιζόντων, sententium scilicet aliquando quot simul loci attemptandi sint, alia auxilio carentia facilius recipiant medelam, non nulla denique ut incerta atque ambigua rectius interim pacata sinantur.

Quodsi iam in hac quam instituo disputatione anomaliae magis quam analogiae videbor causam tueri pluraque retinere quam emendare, res ipsa ita tulit, ut nec omnia hic explicari deberent, de quibus nihil ab aliorum iudicio ne nunc quidem meum separavi, et vero partibus defensionis vel desertis adhuc vel inertius susceptis non posset brevi strictimque satis fieri. exordiar autem a genere minus dubio. eminent solitaria quaedam per has historias passim dispersa epici fontis ac coloris. 'αἴ pro εἰ optantis semel dixit Herodotus 1, 27: αἲ γὰρ τοῦτο θεοὶ ποιήσειαν ἐπὶ νόον νησιώτῃσι, locos imitatus Homericos, qualis est Od. Υ, 236: αἲ γὰρ τοῦτο, ξεῖνε, ἔπος τελέσειε Κρονίων. eadem particulae κε ratio est, qua ipsa quoque uno tantum in loco usus est Herodotus 7, 159: ἦ κε μέγ' οἰμώξειε ὁ Πελοπίδης Ἀγαμέμνων, Homeri ante oculos habens versum Il. Η 125: ἦ κε μέγ' οἰμώξειε γέρων ἱππηλάτα Πηλεύς· quocum locum Herodoti iam Eustathius comparavit p. 670, 57.' verba sunt Dindorfii. sed genus ipsum latius patet. οὕ οἱ hiat more epicorum Α 109. 132. Β 110. Δ 43. Βασιληίδεω Θ 132 non a βασιλέος sed ab epico βασιλῆος deductum est, similiter ac quod communis usus recepit Νηρηίδων Β 50, nec tamen more epico, qui postulabat Βασιληιάδεω. ἥν pronomen possessivum semel legitur Α 205, item semel ὅ γε pronominis instar Β 173, ἦμος Δ 28. ἀμβολάδην Δ 181,

ἀμβώσας Α 8. Η 18, ἀμβώσαντες Γ 38, ἀμπαυστήριοι et ἀμπαύονται Α 181, nec dubie ἀμπαύεσθαι Α 182 ab Aldo correctum: non indubium ἐπαντεῖλαι Β 142 propter vicina ἀνατεῖλαι et ἀνατέλλειν. nomen proprium Παραιβάτης Ε 46 suapte natura defenditur, immeritoque infestata a Bredovio ὑπειρόχους Ε 92ⁿ propter Ὑπερόχην Δ 33, κλεηδόνι Ε 72 ab ipso et Dindorfio propter Ι 91 κληδόνος, 101 κληδών (sic enim utrobique et scriptum et scribendum, sine iota), κενεούς Θ 28, quamquam eidem intacta siverunt non magis singularia ἐνέοι Η 6, εἰδόμενον Ζ 69, μεμονέναι Ζ 84, μέμνεο Ε 105, ἀέξειν Γ 80, τέθηπα Β 156, ὀνομανέω Δ 47, χέαντες pro χώσαντες Ε 8, συγχέουσι Η 115 pro συγχοῦσι. quocirca non aspernarer ἐπιδευέες Δ 130 si satis esset testatum, nec audeo flexionem epicam δαιτυμόνεσι Ζ 57 damnare in vocabulo epico, sed ambigo illud potius sit an *AB* codicum (nam de *C* siletur) δαιτυμόνεσσι. at μήνεσι Δ 43. Θ 51, πλεόνεσιν Η 224 licenter lusit corrector *R*, idemque quod olim vulgabatur πατέρι Γ 34 aliaque consimilia non pauca. sed egregie idem ὑπέκ pro ὑπέρ Γ 116. ἠγορόωντο Ζ 11 ut sumptum ab Homero defendit Dindorf: ergo ne κομόωσι quidem Δ 191 indefensum. at νηήσας pro νήσας Α 50 non retineo, licet in ipso Archetypo fuerit. nec enim negari potest esse quaedam eaque satis rara in illo ipso ad morem epicum interpolata, ut Ἄρῃ sive Ἄρηϊ Δ 59. 62, ἴδηαι Δ 9, ἐλαύνῃσι Α 188, ἑστάμεναι Α 17, infinitivi quidam aoristi in έειν pro εῖν exeuntes. haec atque talia si quis quaereret unde aut qua primum aetate influxisse videantur, legat vel Luciani de Dea Syria et de Astrologia libellos, vel Eusebii fragmenta apud Stobaeum eiusdemque opinor nuper a Carolo Weschero in Poliorceticis editum, vel Perictiones Pythagoreae

quae apud Stobaeum extant. quorum de perversa confusaque ionismi imitatione monuit paucis sed scite Bredovius p. 51. neque tamen credat temere nisi qui ipse usurparit oculis, quam illi eorumque similes pueriliter dicam imperiteque an licenter non modo diversissima quaeque et genere et aetate commiscuerint, sed nova et inaudita pro sua quisque doctrina ac libidine effinxerint. quid quod scriptor quidam rerum, quem ridet Lucianus *quomodo histor. conscr.* 18, Herodoti illa ἣν Κανδαύλης τὸν οἱ Ἕλληνες Μυρσίλον ὀνομάζουσι hunce in modum dum imitatur corrupit: ἣν Ὀσρόης τις τὸν οἱ Ἕλληνες Ὀξυρόην ἀνυμέουσι. ipse Lucianus ita loquentem facit 'pro suo more' Herodotum *de domo* 20 ἀληθέα τάδε ὁ λόγος ὑμῖν, ἄνδρες δικασταί, μυθέεται καί οἱ πείσεσθε ὅσα ἂν λέγῃ τουτέων πέρι ὄψιν ἀκοῆς προτιμέων, in quibus τουτέων falsum pro τούτων, προτιμέων vehementer dubium. horum igitur exemplo et auctoritate invecta arbitror illis ipsis saeculis βασιλητίῃ 'reginae' Δ 33, τήντινα Α 90, ἐπιτράψονται Γ 155, Βάττεω Β 181, Κροίσεω Θ 122, Μεμβλιάρεω Δ 147. 148, Σουσέων Ε 35, αὐτέῳ Α 133, τουτέων in genere masculino et neutro Α 50. 125. Β 3. Δ 9. (Η 124), item αὐτέων Α 9. 125. 126. 133. 141. 146. 165. Ε 5. 27. 52. Ζ 27, rara sane in tanta frequentia horum pronominum. hinc porro nata videntur et quae hic illic obviae sunt adiectivorum in υς formae femininae non in έα sed in έη aut είη cadentes (Bredov. p. 157), et imperfecta aoristique barytonorum pro οντο declinata in εατο, perperam scilicet similitudine ab perfectis eorumque quae sunt in μι praesentibus imperfectisque, velut κεκλέαται τιθέαται ἐτιθέατο, tralata: ἐβουλέατο Α 4. Γ 143, ἐναπενιζέατο Β 173, ἀπεγραφέατο Ε 29, ἐγενέατο Β 166, περι-

εγενέατο Α 214, semel etiam Η 147 aoristus primus ἐσινέατο pro ἐσίναντο. nam ἀπιχέατο, quod terdeciens legitur pro ἀπίχοντο aut pro ἀπίχατο, undeciens importavit corrector C (Α 15. 152. 169. Δ 203. Ε 98 bis. 99 bis. Ζ 16. Ι 17. 55), bis Aldus (Η 118. 131), uti περιεβαλέατο Ε 24, ἐπυθέατο Η 172 tantum in *PR* sunt. quae vidit Dindorf omnia esse interpolata. eodem porro ex genere est ἐστελάδατο Η 90, cuius loco in *R* paulo cultius ἐσταλάδατο. sed praesentia κηδέαται Α 209, ἀγέαται Β 47, ἀπαγέαται Β 67 itemque falsum ἐκδιδόαται Β 47 sunt a correctore *C*.

Minus etiam quam epica suspitionis habent *dorica*, quae quantumvis a sermonis proprietate abhorrentia leguntur tamen aliqua, quae postmodo immiscendi nec causa fuit nec libido. sed nullum ex hoc genere magis offensioni fuit quam ἀνέωνται Β 165, varie et frustra temptatum et pridem et hac aetate. nam quod diu obtinuit in editionibus ἀλλ' ἀνέονται nunc apparet non vetustum esse nec sic ab initio correctum fuisse, verum ἀλλὰ νέονται (ἐς τὸ μάχιμον), quod quidem si minus rationem at certe sensum habet, quem illud non habet. quod si ἀνέωνται hoc quoque nomine displicet, quod Β 65 pro consueto usu legitur ἀνεῖται, 167 ἀνειμένους, Η 103 ἀνειμένοι, non maior ea discrepantia est quam inter μετείσθω Δ 98 ac μεμετιμένος Ε 108. Ζ 1. Η 229. quamque non plane a talibus refugerit Herodotus, manifestius etiam est in nominibus propriis. Ἀρίσβαν Α 151 ipse, si credimus Lentzio I p. 308, notavit Herodianus ut in scriptore ionico. insula dorica constanter vocatur Θήρη, at eiusdem conditor item constanter Θήρας Θήρα Θήραν Δ 147. 148. 150. χρυσὸς Γυγάδας delphica appellatio est Α 14. Πολύας nomen hominis Phocensis Θ 21,

barbara autem (Ἀριάντας) Ἀριάνταν Δ 81, Ἀμίλκας Ἀμίλκα Ἀμίλκαν Η 165—167, (Σίκας) Σίκα Η 98, et fluminum Αὔρας Δ 49, Δύρας Η 198, ac fortasse Ἄτλας Δ 49. nec fugit aliquem eorum qui de differentiis dialectorum exiliter illa ac parum distincte praecepere. sic enim grammaticus ut vocant Meermannianus περὶ διαλέκτων p. 649 Schaefer. (οἱ Ἴωνες) τὰ εἰς ᾱς λήγοντα ὀνόματα, ἐὰν μὴ ὦσι Δωρικά, εἰς η̄ς τρέπουσιν. quae adhibuit Bredovius p. 127, et confirmari quodam modo videntur eo quod Ἀριστέης Δ 13 est nomen hominis Proconnesii hoc est ionicae stirpis, Ἀριστέας Η 137 Corinthii. sed hoc ipso praecepto opportune monemur, ne quidquid grammatici quamvis vere animadvertunt ad stabiliendam continuo regendamque scriptorum tamquam edicto consuetudinem abutamur: si quidem Herodotus ipsa Doriensium in ᾱς nomina pleraque constanter effert per ης εω ῃ ην, ut Ἀρχίης Ἡγίης Παυσανίης Σπερθίης Κελέης Πυθέης Παντίτης Παραιβάτης multaque in δης. idem in aliis nominibus, tum eisdem tum genere affinibus et doricis et communibus non devitat disparilitatem, neque quam vocabuli simplicis formam usurpare consuevit eandem in compositis semper retinet, cuius rei cum alia infra dabuntur exempla, tum haec sunt insignia. vocula γῆ in compositis abit in γεω: Η 28 γεωπέδων, Β 6. Θ 111 γεωπεῖναι, Δ 200 γεωρυχέοντας, at in γα Η 155 τοὺς γαμόρους καλεομένους τῶν Συρηκοσίων. λεώς eum ubique scripsisse nec aut λαός aut ληός, quod quidem Dindorfio magis placuit, facile concedo Bredovio. λεών enim fuit in Archetypo Α 22. Θ 136, λεώ pro λεών leviter corruptum Β 129, paullo gravius corruptum Β 124 ἄλλῳ pro λεῷ, semel ληός Ε 42, semel λαόν Δ 148. haec igitur duo non dubitavi corrigere: sed idem quod in λαοφόρων Α 187 obtemperavi

correctori *R* propter λεωσφέτερον I 33, fortasse nimius fui. nam constat eandem vocem in nominibus propriis haud infrequentem variari specie. Μενέλεως aliquot locis legitur, nec tamen Μενελάου H 169 magis debet mutari quam Μενέλαος λιμὴν Δ 169, aut Ἀρχέλαοι tribus Sicyonia E 68. Νικόλεω Spartiatae nomen est H 134, quem eundem paulo post 137 videmus Νικόλαν dici. Lycurgi Atheniensis filius est Ἀριστολαΐδεω A 59. reges Spartiatarum sunt Λεωβώτης Λεωνίδης, at in eodem numero Λευτυχίδης. sed Λέαρχος Δ 160 valde dubium. Λαοδάμας nomen est et Phocaeensis Δ 138 et Aeginetae Δ 152. Λακρίνης Lacedaemonius A 152, Λαφάνης Arcas Z 127, Λαδίκη mulier Cyrenaea B 181, Λαοδίκη Hyperborea Δ 33. 35. iam opinor mollius ferentur non minus variantia (Ἆγις) Ἆγιος Z 65, Ἤγιος H 204. Ἀέροπος Θ 137, Ἠερόπου I 26. Ἀπιδανοῦ H 129, Ἠπιδανός H 196. similiter parique inconstantia Γ 97 Νόσην, B 146 Νόσαν. H 221 Ἀκαρνῆνα, sic ut Z 127 Ἀζῆν, H 132. 185. 198 Ἐνιῆνες: at A 62 Ἀκαρνάν, cui quidem ob aliam causam Valckenaer praeferebat Ἀχαρνεύς, B 10. H 128 Ἀκαρνανίης, ut Δ 176 Γινδᾶνες: nam Ἀγριᾶνες E 16 suspectae est originis. in Γάδειρα syllaba γα ancipiti est tempore, sed Γηδείροισι Δ 8 non Herodotus scripsit sed corrector *R*. θέητρον, θεητής sibi convevenienter format, nec tamen mutavit nomen Spartiatae Θεασίδης Z 85. tribuum doricarum nomina iaculariter a Clisthene efficta Ὑᾶται Ὀνεᾶται Χοιρεᾶται E 68 intacta reliquit, ut ibidem Δυμανᾶται et quod modo memoravi Ἀρχέλαοι. alternat Παρωρεάτας Δ 148 et Παρωρεῆται Θ 73. Καβηλέες lydica quaedam gens vocatur H 77, nec vero idcirco in emendando Καβαλίων Γ 90 ad Καβηλέων progrediendum. nec movenda ipsa frequentia

se tutantia τιάραν A 132, τιάρας Γ 12. H 61 propter mendosum τιῆρει Θ 120, quod *R* correxit τιῆρῃ hoc est τιήρῃ, *C* τριῆρει hoc est τριήρεϊ: uter verius valde ambiguum. templum Delphicum Προνηίης Ἀθηναίης, quam postera aetas nomine ad laudem sapientiae deflexo appellavit Πρόνοιαν, commemoratur A 92, idem Θ 37. 39 Προναίας quinquiens. Τεγέη ionice et saepe et constanter terminatur, at Τιθορέα Θ 32 quamvis in eadem positum causa. igitur ne Χαράδραν quidem Θ 33 per se improbabile, nisi Χαράδρην et ipsum proditum esset. nec magis certum Ὑδρέαν Γ 59, quod eximie effecit *R* e corrupto Θυρέαν, an Ὑδρέην praestabilius sit, quo ducere videtur lectio Θυρέην. Καδμήια γράμματα E 59, at Καδμείη νίκη A 166 in proverbio, ipsi Καδμεῖοι sexiens sine ea excusatione. ταριχηίων scripsi B 13 pro ταριχίων, ut saepius integrandum fuit στρατηίη pro στρατίη vel στρατιῇ: nec vero Ταριχείας B 113 ideo suspitiosum. in dei Scythici nomine Θαγιμασάδας Δ 59 de ipsa terminatione plane constat, quam Aldus in δης mutavit propter Ὀκταμασάδης Δ 80. Ἀλκμέων Ἀμυθέων Ποσειδέων non iam dubia sunt, nec tamen in dubium vocandum Φιλάονα Θ 11. minus repugnabo appellativum ὀπάων E 111 exaequantibus cum I 50 ὀπέωνες, I 51 ὀπέωνας. ξυνός, quod quis ubique exspectet, bis legitur Δ 12. H 53: adeo κοινός praevalet.

Demonstrasse videmur non nimis se Herodotum astrinxisse lege ac necessitate in nominibus maxime propriis pro consuetudine dialecti conformandis. sunt praeterea non ita pauca, quae ille cum duplicem reciperent flexionem aut duplicem statim haberent positionem, utraque nullo discrimine uti non dubitavit. cuius generis praeter cetera est insigne exemplum A 82

συνεπεπτώκεε ἔρις ἐοῦσα πρὸς Ἀργείους περὶ χώρου καλεομένου Θυρέης· τὰς γὰρ Θυρέας ταύτας ἐούσας τῆς Ἀργολίδος κτλ. atque ibidem Θυρέας et Θυρέῃσι, at Z 76 rursus Θυρέην est. Μαλέων A 82 (sic enim volui, non quod expresserunt Μαλεέων), Μαλέην Δ 179. H 168. Πλάταιαν semel dixit Θ 50, quam totiens more vulgari casu dandi accusandique vel Πλαταιῇσι et Πλαταιάς, ut scripsit *C* atque interdum *R* ex Herodiani praecepto I p. 273, vel, ut in Archetypo fuit et *AB* perseverant, Πλαταίῃσι et Πλαταίας. et haec quidem ancipiti numero. heteroclita autem haec habeto. Οἰδιπόδεω Δ 149, Οἰδίπουν E 60, sicut ἀρτίπουν Γ 130: contra Μελάμπους Μελάμποδος Μελάμποδα B 49. H 221. I 34. Μίνως Μίνω A 171. 173, Μίνωος Γ 122: sed accusativi formas, ad quas varietas codicum redit, inauditas H 170 Μίνεων, H 171 Μίνεω eo minus ausim vindicare, quod paullo ante H 169 in nominativo Μίνως non discessum est a communi capite. eadem illa ambiguitas in eodem vocabulo ἥρωα B 143. Z 69, ἥρων A 167, in affinibus πάτρων Δ 76. I 78, μήτρωα Δ 80. εἵλωτα εἵλωτες εἵλωτας leguntur Z 81. H 229. Θ 25. I 80. 85, hisque congruenter εἱλώτων ter I 10. 28. 80, contra εἱλωτέων tanquam ab εἱλώτης item ter Z 58. 75. 80. ὄρνις et ὄρνιν facit B 73 et ὄρνιθα Δ 131, cum per reliquos casus omnes assumat consonam. rursus χάρις saepius χάριν, praesertim in formulis χάριν εἰδέναι A 71. Γ 21. 125. Δ 136. I 79, χάριν ἔχειν H 120, et ubi praepositionis vice fungitur E 99 τὴν Ἀθηναίων χάριν: item H 178 χάριν κατέθεντο, I 60 χάριν θέσθε, at Z 41 χάριτα καταθήσεσθαι, I 107 χάριτα τιθέμενος. eaque inconstantia transfluxit ad adiectivum ἄχαρις: συμφορῇ ἀχάρι A 41, ἀχάριτα μαθήματα A 207, ἀχαριτώτατον H 156. nomina Aegyptia in ῶς patet iam cuncta et declinationem se-

qui atticam et ubique circumflecti, Νεκῶς B 158. 159, Νεκῶ B 158. Δ 42, Νεκῶν B 152, Μανερῶς B 79, Ναθῶ B 165, Σαβακῶς B 139, Σαβακῶν B 137. 152, Σεθῶν B 141, Φερῶν B 111. sed quod dixi omnia circumflecti, unum Ἰνάρως H 7, Ἰνάρω Γ 12. 15 excipiendum est, quod non audeo nunc praeter paradosim in ordinem cogere: quodque sequi declinationem atticam, Τυφῶ semel quidem legitur Γ 5, idem vero in usitatiorem Graecis formam deflexit B 156 Τυφῶν casu recto, 144 Τυφῶνα. a τέρας et τέρεος τέρεα venerunt Θ 37 ionico more et vero τέρατα B 82 vulgari. υἱέας Δ 84 unicum est nec magis movendum quam κρίνεα B 92 tamquam a κρίνος declinatum, cum sit A 195 consuetum κρίνον. magis mirabilis triceps per casus deductio eius quod est in communi usu δένδρον, qua de non praecipit magis quam observat narratque lexicographorum sollertissimus Aelius Dionysius. Eustath. Il. p. 396 ἰστέον δὲ ὅτι ἐν τῷ Αἰλίου Διονυσίου λεξικῷ φέρεται ὅτι λέγεται οὐ μόνον δένδρον ἀλλὰ καὶ δένδρεον καὶ δένδρος. φησὶ γοῦν ὅτι δένδρον μᾶλλον ἢ δένδρος καὶ δένδρα μᾶλλον ἢ δένδρη, καὶ αἱ πτώσεις δένδρου καὶ δένδρῳ μᾶλλον ἢ δένδρει ἢ δένδρους (apud Atticos videlicet). Ξενοφῶν δὲ φησὶν ἐκείνως μᾶλλον ὀνομάζει, δένδρος καὶ δένδρει καὶ δένδρεσι καὶ δένδρη καὶ δένδρεα κτλ. in Herodoto longe praevalent formae trisyllabae: δένδρεον δενδρέου δενδρέῳ Δ 22. 23, δένδρεα δενδρέων multis locis. quamquam ambiguum est pluralia haec a δένδρεον descenderint an ab δένδρος, quod semel legitur Z 79, semelque δένδρεσι B 138. tertiae denique speciei quae est δένδρον duo exempla A 193. Γ 107 non nego facile potuisse e δένδρεον vel δένδρος corrumpi, sed corrupta esse reapse id vero incertum est. nec assentior iam Bredovio vul-

gares atticasque formas φύλακα (A 41. 44. Θ 41) et φύλακας (H 95), rariores sane numero quam quae secundam declinationem sequuntur (φύλακος φυλάκου φύλακον φυλάκους, nam φυλάκων B 121[3] anceps est), eo ipso nomine damnandas esse, non magis quam, quod et ipse relinquebat, χρυσοφύλακας Δ 13. 27. paullo ab his diversa est ratio nominum quorundam Persicorum, quae similiter inter se cadentes non tamen similiter declinantur. nam quae exeunt in ασπης, partim primae declinationi adhaerent, Κρανάσπης Φαρνάσπης Χοάσπης: partim tertiae, Πρηξάσπης (quod enim Γ 74. 75. 78 legebatur Πρηξάσπεω nunc patet plane novicium esse) Σατάσπης Ὑστάσπης, a quibus prope distat Τεΐσπης Τεΐσπεος H 11. item discrepant Μιτραδάτην A 121, Φαρανδάτεος I 76. eorum ex numero qui syllabis τανης terminantur Ὀτάνης haud dubium est tot exemplis (v. Bredov. p. 229) quin declinatum sit Ὀτάνεω Ὀτάνῃ Ὀτάνεα (sive Ὀτάνην Γ 76) Ὀτάνη, qui autem in Archetypo fuere genitivi Ὀτάνεος numero sex (Γ 70. 71. 84. 88. 144. H 82), primus a *C*, reliqui a *P* probe correcti sunt. nec magis, ut hoc inseram, ferendum erat Σιτάλκεος Δ 80 iuxta Σιτάλκῃ in eodem prope versu et Σιτάλκεω H 137. cum Ὀτάνης copulanda Ἀρτάνης Ἀρτάνεω H 224, seiungendum autem Ὑστάνης Ὑστάνεος H 77. in αρης terminata Ἀρτεμβάρης Μαζάρης Οἰβάρης Παντάρης tertiam, at Βουβάρης Κυαξάρης primam sequuntur declinationem: quod enim A 73. 74 diu obtinuit Κυαξάρει vel Κυαξάρεϊ, dudum a *B*[2] refectum est. Μασκάμην bis est H 105. 106, Ἀρσάμεος A 209. H 11, unde facile statuitur utra sit lectio potior H 224. nominum in ώ accusativus tum proprie in οῦν terminatur (Βουτοῦν B 59. 63. 67. 75. 152, Ἰοῦν A 1. 2, Λητοῦν

B 156, Τιμοῦν Z 134. 135), tum in ώ sive ῶ (αἰδῶ A 8, ἠῶ passim, πειθώ Θ 111, Πυθώ A 54, Σαρδώ A 170. E 106. 124. Z 2). quo adiungendum εἰκών dupliciter declinatum: εἰκόνα A 51. B 106. 143, εἰκώ H 69.

Haec et talia cum primum coepi colligere, tam larga mox succrevit materia tamque multiplex, ut, postquam expromere et digerere institui, haereat animus quaenam potissimum genera distribuere, quo quaeque loco disponere debeam. at enim, ut supra praemonui, nolo nunc rationem dialecti in omnes partes explicare, verum fines coartare modumque constituere emendationis. itaque satis habebo rem filo deducere crassiori, ut similia similibus adgregentur, ipsum ordinem minus curans. in nominum igitur varia declinatione cum substiterit quaestio, exequamur iam eius reliquias, quae sunt fere ex eo genere quod attigit Lobeck ad Phryn. p. 762. ὁ Καύκασος A 203. 204, τὸν Καύκασον Δ 12, τὸ Καυκάσιον ὄρος A 104: at μέχρι Καυκάσιος ὄρεος Γ 97, quo spectat Stephani notatio p. 369 λέγεται καὶ διὰ τοῦ ι Καύκασις. sedes Scytharum vocantur tum γῆ Σκυθική tum ἡ Σκυθική, Σκυθίη vero nomen per omnem graecitatem satis rarum duobus locis indubium est per codices Δ 8. 17, tertio Δ 99 ἀπὸ Ἴστρου αὕτη ἤδη ἡ ἀρχαίη Σκυθίη ἐστί et necessarium est et parte codicum sustentatur, videturque ab ipso Herodoto sumptum apud Stephanum p. 578, 14. Βακτριανοί semel vocantur Γ 92 qui ceteris locis sat multis Βάκτριοι. tantum de propriis: in appellativis haec observantur. ζορκάδες A 192, δορκάδες H 69: quod non admirabile in voce usu parum trita locisque longe distantibus. at vero ὗς cum ita legatur septiens deciens, non tuli A 36 συὸς χρῆμα paucorum versuum intervallo diiunctum ab ὑὸς χρῆμα nec

σῦν A 43: nec magis μικρός hic illic pro σμικρός decurtatum idque maxime post voces σ litera terminatas. sed Μίκυθος H 170 quamvis ab eadem stirpe productum non iam infesto. συμβουλή A 157. Γ 1, crebrius συμβουλίη, quamquam hoc magis placuit correctori *C* (vid. Γ 1), illud *PR* praeferunt (vid. H 15. 115. Θ 101. 103). nullo ad sensum discrimine leguntur ἀδυναμίη Θ 111 et ἀδυνασίη Γ 79. H 172: μαζούς B 85. Δ 202. I 112 et μαστοῦ Γ 133, μαστῶν E 18. ῥιφί Δ 71, ῥίπεϊ B 96, verum illud a *R* correctum pro tralaticio ῥίψεϊ, quod haud peius emendes ῥίπεσι. idem ille nescio an recte Δ 76 expulerit ἔθεσι nimis sane desertum in tanta vocis ἦθος frequentia. στεφάνους Z 69, Θ 26 στέφανον, at Θ 118 χρυσέῃ στεφάνῃ. Δ 183 σαύρους plus habet fidei quam σαύρας, at Δ 192 τῇσι σαύρῃσι omnium constat fide. φόνος H 170, φόνον I 17, at τῇσι φονῇσι I 76. praeter ἡ τάφρος usu frequens τάφρης Δ 28 commentus est *R*, sed τάφρην Δ 201 et *AB* testantur et, quod etiam plus valet, lexicon rhetoricum quod exscripsit Suidas in τάφρος in ceteris mendose vel mendosum: καὶ τάφρη παρ' Ἡροδότῳ θηλυκόν· ὀρύξαντες τάφρην εὐρέην ἐπέτειναν. igitur ne ψάμμης quidem Δ 181 propter solitudinem condemnandum. πάθη ac πάθος, πάθαι ac πάθεα pariter frequentantur. ὄνειρος A 34 masculino genere, A 39 neutro, crebrior eadem variatio et quasi vices alternans H 14—18. στάδιοι et στάδια, quae docet in Photii excerptis Aelius Dionysius iuxta fuisse in usu, Thucydidem autem praeter unum locum ubique σταδίους scripsisse, Herodotus pari habuit loco. venio ad eam generis diversitatem quae articulo et syntaxi indicatur. A 92 τῶν χιόνων αἱ πολλαί, Δ 184 τὸν χίονα τοῦ οὐρανοῦ. nec obtemperassem corrigenti *R* μεδίμνου Ἀττικοῦ A 192

(ut H 187 τριηκοσίους ἄλλους μεδίμνους) pro Ἀττικῆς, nisi et corruptelae ibi esset proclivis suspitio nec ullum usquam extaret alterius generis exemplum. quod contra est in Μαραθών, quem locum scriptores haud ita raro feminine enuntiarunt, non Iones solum aut praecipue, quae est grammaticorum cantilena: sed adeo sibi constat Herodotus in eo nomine, ut aegre credamus eum Z 102 semel dixisse ἡ Μαραθών, quem statim post Z 103 multisque deinde locis dixerit τὸν Μαραθῶνα. itaque paruimus correctori *P*: nam *R* callidius articulum ipsum delevit. dispar rursus causa multumque disceptata nominis Βραγχίδαι, cuius praeter alia haec sunt de genere exempla: A 92 τὰ δ' ἐν Βραγχίδῃσι τῇσι Μιλησίων ἀναθήματα, B 159 ἀνέθηκε τῷ Ἀπόλλωνι πέμψας ἐς Βραγχίδας τὰς Μιλησίων, A 158 πέμψαντες ὧν οἱ Κυμαῖοι ἐς τοὺς Βραγχίδας θεοπρόπους. de hoc igitur est narratio Porphyrii quaest. Homer. c. 8, non eam unam ob causam nobis memorabilis: ἐν τοῖς Φιλήμονος Συμμίκτοις περὶ Ἡροδοτείου διορθώματος ὁ γραμματικὸς διαλεγόμενος πειρᾶται καὶ Ὁμηρικά τινα σαφηνίζειν· οὐδὲν δὲ χεῖρον καὶ τὸν Ἡρόδοτον φιλοῦντί σοι τὴν πᾶσαν τοῦ ἀνδρὸς ἀναγράψαι ζήτησιν. φησὶ γὰρ ὅτι ἐν τῇ πρώτῃ Ἡρόδοτος τῶν ἱστοριῶν περὶ Κροίσου τοῦ Λυδοῦ πολλά τε ἄλλα διείλεκται καὶ μὴν ὅτι θεοσεβέστατος γένοιτο καὶ διαπρεπῶς τιμῆσαι τὰ Ἑλληνικὰ μαντεῖα τὰ ἐν Δελφοῖς, τὰ ἐν Θήβαις, τὸ τοῦ Ἄμμωνος, τὸ τοῦ Ἀμφιαράου· τούτων μὲν δὴ ἄλλοις ἄλλα πέμψαι δῶρα· ἀνέθηκε δέ τινα καὶ ἐν Βραγχίσι (leg. Βραγχίδῃσι) τῇσι Μιλησίων· καὶ γέγραπται ἤδη κατὰ πάντα ἁπλῶς τὰ ἀντίγραφα τὸ τῆς ἄρθρον σὺν τῷ ἰῶτα ἰσοδυναμοῦν τῷ ταῖς. οὐδένα γε μὴν Ἑλλήνων ὑπομεῖναι θηλυκῶς τὰς Βραγχίδας ἂν εἰπεῖν, Ἡρόδοτον δὲ μᾶλλον ἂν ἑτέρων φυλάξασθαι ἀκριβῆ τε ὄντα περὶ τὰ ὀνόματα καὶ πάνυ

ἐπιεικῶς φροντιστικόν. τοῦτο δὲ θεραπεύων τις (sc. Alexander Cotyaënsis, cuius paullo post positum nomen) οὐχ Ἡροδότου φησὶν ἁμάρτημα γεγονέναι, μᾶλλον δὲ τὸν συγγραφέα φησὶ διαμαρτεῖν παρεμβαλόντα τὸ σ ι (leg. ι). πολλὰ δὲ φέρεσθαι μέχρι νῦν ἁμαρτήματα κατὰ τὴν Ἡροδότου συγγραφὴν καὶ ἔτι τὴν Θουκυδίδου καὶ Φιλίστου καὶ τῶν ἄλλων ἀξιολόγων συγγραφέων . . . ἐπανάγωμεν δὲ ἐπὶ τὸν Ἡρόδοτον καὶ τὸν διορθωτὴν τὸν Κοτυαέα Ἀλέξανδρον. ἠξίου γὰρ ὁ ἀνὴρ γράφειν τῇσι Μιλησίων χωρὶς τοῦ ἰῶτα τῆς Μιλησίων, ὑποχειμένης ἔξωθεν χώρης ἢ γῆς. καὶ ἐγὼ δέ, φησίν, ἐπειθόμην οὕτως ἔχειν τὰ τῆς γραφῆς, τὸν δὲ ἄνδρα τῆς ἀκριβοῦς συνέσεως ἐτεθαυμάκειν, (εἶτ' add. Cobet) ἐντυχὼν τοῖς Ἡροδοτείοις αὐτοῖς ἔπεσι καὶ γενόμενος ἐπὶ τέλει τῆς Αἰγυπτιακῆς βίβλου, ἥτις ἐστὶ δευτέρα τῇ τάξει, εὑρίσκω πάλιν κατὰ τὴν αἰτιατικὴν πτῶσιν εἰπόντα τὸν Ἡρόδοτον ἀνέθηκεν εἰς Βραγχίδας τὰς Μιλησίων. οὐκέτι οὖν ᾤμην ἁμάρτημα εἶναι γραφικόν, Ἰωνικὸν δὲ μᾶλλον ἰδίωμα. πολλὰ γὰρ οὗτοι τῶν ὀνομάτων χαίρουσι θηλυκῶς ἐκφέροντες, οἷον τήν τε λίθον καὶ τὴν κίονα καὶ ἔτι τὴν Μαραθῶνα. Κρατῖνος εὐιπποτάτη Μαραθών, Νίκανδρος ἐυκτιμένην Μαραθῶνα. quale fuerit Philemonis διόρθωμα Ἡροδότειον qualemque expertus sit Herodotus διορθωτήν Alexandrum Cotyaënsem ut in summa obscuritate non quaerimus. nec magni facienda sive querella sive testimonium de codicum depravatione: sic enim declamitare solent critici cum quid parturiunt: sed de ipsa re quod olim Reiskio τοῖσι Μιλησίων A 92, τοὺς Μιλησίων B 159 ipsi et pridem *s* corrigentibus oboedivi, nunc plane poenitet, rectiusque cum Philemone abstineri intellexi, non propter ionismi nescio quam proprietatem, verum quia variatur genus pro sensus diversitate ita ut gens illa vatum masculino, locus ac

civitas feminino efferatur (conf. Stephanus Byz. in Πασαργάδαι). atque illa semel memoratur A 158, ubi quivis sentit non posse addi τοὺς Μιλησίων: locus ut indicetur ad quorum fines pertineat, vel Milesiorum nomen A 92. B 159 vel τῆς Μιλησίης adiunctum est, ut A 157 ἐς θεὸν ἀνοῖσαι τὸν ἐν Βραγχίδῃσι — ὁ δὲ χῶρος οὗτος ἐστὶ τῆς Μιλησίης, 46 τῆς Μιλησίης ἐς Βραγχίδας.

Adiectiva proparoxytona in ειος exeuntia, praeter Ἄρειος ἀνθρώπειος βασίλειος (Ποσίδειον) in ήιος ampliata, cetera extenuantur pleraque in εος, non cuncta: Ἀριμάσπεος Ἡράκλεος Ὑπερβόρεος ἐπιτήδεος ἀνεπιτήδεος τέλεος αἴγεος βόεος ὠμοβόεος οἴεος χήνεος. quibus adgregandum foret ὀπωρέη (γῆ), nisi eius fines et ὀπώρεα substantivi aegre disterminarentur, adeo ut τὴν ὀπωρέην τοῦ ὄρεος B 158. H 199 non reliquerim nisi admodum dubitanter. Μεμνόνειον E 54 non tango ut proprium, Μεμνόνια vero E 53 et ἐν Σούσοισι τοῖσι Μεμνονίοισι H 151 invicem se tuentur. nec rursus dubium in consensu testium quin ἐπέτειος immune manserit illa affectione (B 25. 92. Γ 89. 95. Δ 26. 62. E 29. Z 105. Θ 108). ideoque ne ἡμιόνειαι quidem A 188 aut μηλείων A 119 movenda. terminationis porro, non sensus discrimen est in ἀνθρωπήιος et ἀνθρώπινος, quorum alterum abiciebat Bredovius p. 178, ἀντιπόλεμος (H 236. Θ 68) et ἀντιπολέμιος (Δ 134. 140), in quo *R* corrigens ἀντιπόλεμος recentibus perplacuit, sicut ἀνόλβιος et ἀνόλβου una periodo comprehensa non tulit is qui *P* codicem expolivit. nec ob talem causam in sordibus habendum aut ξεινίους E 63 aut φίλα Γ 49. οὐδαμοί ubique regnat praeter Γ 26. I 58, ubi est οὐδένες. sed non illustrius est exemplum quam in hoc genere non fuerit Herodotus ineptus quam adiectivorum ab Ἑλλάς deductorum. γλῶσσα Ἑλλάς duodeciens vocatur,

'Ελληνική semel Δ 108 (γλώσσῃ τὰ μὲν Σκυθικῇ τὰ δὲ 'Ελληνικῇ χρέωνται). quod si concinnitatis studio excusabis, vide haec. Δ 78 ἀποθέμενος τὴν Σκυθικὴν λάβεσκε ἂν 'Ελληνίδα ἐσθῆτα ac rursus paullo post διαίτῃ 'Ελληνικῇ. Ε 54 θαλάσσης τῆς 'Ελληνικῆς, Η 28 θάλασσαν τὴν 'Ελληνίδα. Δ 108 'Ελληνικῶν θεῶν, Ε 49 θεῶν τῶν 'Ελληνίων, 92η θεοὺς τοὺς 'Ελληνίους. Η 179. 196 ἵπποι et νέες 'Ελληνίδες, Β 41 μάχαιρα 'Ελληνική. Δ 12 πόλις 'Ελλάς, 203 'Ελληνίδα πόλιν. Β 42. 166 νομὸς Θηβαῖος, 4. 91 Θηβαϊκός. hisque comparia Λιβυκός, quod usu potius est, et Λιβυστικός, quod vindicavi Δ 192. venio ad generis significationem eorum quae in communibus solent haberi. ἔρημος (sic enim fuit in Archetypo et hoc et ἕτοιμος ὅμοιος aeque constanter atque induxit *C* corrector circumflexionem) feminine multis usu venit locis, ἐρήμη tribus Β 2. Δ 8. 11. ἕτοιμος Α 83. Γ 44. Ε 33, ἑτοίμη Γ 123. Η 119. πόλι λογίμῳ Ζ 106, λογίμη πόλις Β 98. ἡμέρης ἐλαίης Ε 82, ῥίζα ἐδωδίμη Β 92 singularia sunt. ex ingenti numero compositorum, quae ut solet accuratissime collegit Bredovius p. 274 sqq., tria in hunc censum veniunt. πόλιας τὰς παραθαλασσίους Ζ 48, πόλιας τὰς παραθαλασσίας Η 109, τὰς παραθαλασσίας κώμας Θ 23. κεφαλαὶ πρόκροσσοι Δ 152, (νέες) πρόκροσσαι Η 188 (ut Il. ξ 35 qui ibi locus respicitur). συνδούλῃ Α 110, σύνδουλος Β 134. in comparatione autem haec offensionem habere possunt. σπουδαιέστερα Α 8, σπουδαιέστατα Α 133, σπουδαιοτάτην et σπουδαιότατα Β 86. ὑγιηρέστατοι Β 77: quo si spectat Bekkeri Anecd. p. 115 ὑγιηρότατος 'Ηρόδοτος δευτέρῳ, corrupta lectio est, sed magis existimo δ̄ fuisse pro β̄, nam ὑγιηρότατοι ter iteratur Δ 187. ταχύτερον Δ 127. Ι 101, θᾶσσον Α 159. in his igitur nil novandum censeo.

idem tamen partim perseveranti paene ubique codicum vel *AB* vel *ABR* vel plurium etiam testimonio oboediens, partim ipsius corruptelae insistens vestigiis, in comparatione quattuor adiectivorum a vulgari scriptura haud cunctanter discessi. nam quae de anomalia, quam habere videntur κενότερος et στενότερος (quibus sunt qui ξενότερος ξενότατος addant) Choeroboscus dict. in Theod. p. 550 narrat a quibusdam defensa: ταῦτα γὰρ βραχείᾳ παραληγόμενα (οὐ) τρέπουσι τὸ ō εἰς ω̄. καὶ ἀπολογοῦνταί τινες περὶ αὐτῶν, λέγοντες ὅτι μακροπαράληκτα ἦσαν τὰ πρωτότυπα αὐτῶν· στεινὸς γὰρ καὶ κεινὸς διὰ τῆς ει̅ διφθόγγου, . . καὶ ἀποβολῇ τοῦ ι̅ γέγονε κενὸς καὶ στενὸς διὰ τοῦ ε̅ βραχυπαράληκτα, καὶ ἔμειναν τὰ συγκριτικὰ ὡς ἀπὸ μακροπαραλήκτων πρωτοτύπων διὰ τοῦ ō γραφόμενα (cf. Etym. M. p. 275, 50. Cramer. Anecd. Ox. I p. 279): ea ipsa non minus recte adhibentur ad has quae iam emersere formas. ἐπιτηδεότερος et ἐπιτηδεότατος Α 110. 115. 126. Β 133. 172. Γ 70. Δ 72. Ζ 102. Η 25. Θ 49. Ι 2. 25. 27, οἰκηιότατος Γ 65. Ε 5. haec igitur exempla firmius haeserunt, cum proclivi abiret in communem speciem ἀνδρηιότερος ubique Α 79. Δ 93. Ι 37. sed eadem ratio valet in contrarium ut, cum ἱερός faciat ἱερώτερος ἱερώτατος ἱερωσύνη (v. Etym. M. p. 275, 46), longa vocalis recte retineri videatur in ἱρωτάτας, quod in altero genere codicum mansit Ε 82, et ἱρωσύνη, quod integrum est Δ 161. Ζ 56, in ἱερωσύνη degeneravit Γ 142.

In numeralibus vices alternant δύο (*duorum duobus*) ac δυῶν δυοῖσι, δυώδεκα ac δύο καὶ δέκα quaeque alia recenset Bredovius p. 279 sq. quamquam in numero duodenario observasse mihi videor sensus differentiam, quam enucleabo ubi, quod nunc nec licet nec libet, excutiam aliquando horum studiorum reliquias.

Pronominis ἐκεῖνος formam bisyllabam κεῖνος Ionum constare usu testis est Apollonius de pron. p. 333. cuius auctoritate si animum induceres abuti ad emendandam Herodoti orationem, et illi faceres iniuriam non habenti hunc usquam in auctoribus ionismi (cf. de pron. p. 378), et brevi absisteres infinita expungendi necessitate deterritus. immo vero ingens trisyllabae formae frequentia Dindorfium Bredoviumque in contrarium detulit errorem, ut cuncta in eius redigerent dicionem bisyllabamque plane exterminarent. similique ratione falsi θέλειν ubique voluere solum vertere, sperantes scilicet, quod ratio iuberet fide librorum postea ratum fore. sed eorum admodum exigua in his dissensio est, ut, si quid turbatum est, prisca aetate turbatum esse necesse sit. errorem autem quod dixi, alias demonstrare conabor, quod non potest intra breve spatium absolvi, non modo utrasque formas a vi esse prohibendas, sed eminere non obscuram si minus ubique at non paucis locis usus sensusque diversitatem. an quisquam, ut hoc proferam, casu factum existimabit, quod bisyllaba paene constantem habet sedem in huius modi membris orationis: A 78 μαθοῦσι — τὸ θέλει σημαίνειν τὸ τέρας, Γ 65 ἐντέλλεσθαι τὰ θέλω μοι γενέσθαι, Z 37 πλανωμένων — τὸ θέλει τὸ ἔπος εἶναι, H 8 ἐν πᾶσι εἴπῃ τὰ θέλει, 37 εἴρετο — τὸ θέλει προφαίνειν τὸ φάσμα, 101 ἐπείρεσθαι τὰ θέλω. aut dubitabit, optione per codices facta, eandem tueri Δ 131 γνῶναι τὸ θέλει τὰ δῶρα λέγειν, E 80 συνιέναι τὸ θέλει λέγειν. nam quod unum praeterea obniti videtur exemplum H 162 οὗτος δὲ ὁ νόος τοῦ ῥήματος τὸ ἐθέλει λέγειν, manifesto tria ultima verba spuria sunt. atque his duobus vocabulis statim subnectam tertium non genere affine, sed quia similem

expertum est saevitiam criticorum. εἵνεκα enim an εἵνεκεν, usu admodum crebrum utrumque sed illud paullo crebrius, magis conveniat indoli sermonis, nemo temere quamvis sagax responderit. atqui apud Eustathium Il. p. 1158 haec leguntur manifesto aut turbata aut mutilata: ἰστέον δὲ καὶ ὅτι ἐν τοῖς Αἰλίου Διονυσίου καὶ ὡς Ἀττικὰ μὲν τὸ εἶτα καὶ ἔπειτα· τὸ δὲ εἶτεν, φησί, καὶ ἔπειτεν ἰακά· διό, φησί, καὶ παρ' Ἡροδότῳ κεῖνται. nec enim ullum nunc utriusque voculae extat apud Herodotum exemplum, nisi quod ἔπειτεν A 146 a Reizio probabiliter correctum est pro ἐπείτε. sed Dionysii testimonium ita interpretati sunt, ut illum non uno alterove loco legisse sed ubique ἔπειτεν colligerent ac protinus ἔπειτα undique exturbari iuberent, illiusque porro tamquam certi iam et explorati similitudine abutentes εἵνεκεν ut unice Herodoteum non relinquerent modo verum ubique pro εἵνεκα immitterent.

Sed redeamus ad institutum ordinem, quo iam ad varietates deducimur verborum, e quibus praecipuas quasdam nunc delibabo aut dubitationi obnoxias. ζώειν ac ζῆν, e quibus hoc brevius tamquam vulgare ac librariorum socordia illapsum pridem *C* correctori stomachum movit Bekkerusque paene undique expulit, nunc non dubium esse potest quin pari loco sint habenda, adeo ut illud undeviciens, hoc quater et viciens legatur, nusquam autem ζῶ ζῇς ζῇ ἔζων, semel ζῆν E 6, contra ζώειν A 31. Γ 22. H 46. at vero πλέειν quamvis prae πλώειν ut exquisitiori contemptum ipsa frequentia impetum propulsavit multoque nunc etiam saepius quam alterum legitur, postquam patefacta est *R* correctoris Aldique vel utriusque coniuncta in eo extirpando industria per extremos maxime libros grassata. itaque ex ingenti multitudine

exemplorum pauca sumo ac sibi vicina. Δ 42 ἐκπλέειν — ἔπλεον — πλέοντες — ἔπλεον — περιπλώοντες. 43 περιέπλωσε — ἀνάγκην ἔσεσθαι περιπλώειν ἐς ὃ ἂν ἀπίκηται περιπλέων — ἔπλεε — διεκπλώσας — ἔπλεε — ἀπέπλεε — παραπλέειν — περιπλῶσαι. 89 πλέειν — διεκπλώσας ἔπλεε — ἀναπλώσας. simplex ac primitivum ἄνειν poetarumque proprium passive positum est A 189. Θ 71 ἤνετο, H 20 ἀνομένῳ, paragogum ἀνύειν active I 66 ἤνυε, A 91 ἤνυσε, Θ 98 κατανύσαι, Z 140 κατανύσας. similiterque fluctuant αὔξειν et αὐξάνειν, πλήθειν et πληθύειν. singularia sunt δοκήσει Δ 74 et δεδόκηται H 167, frequentia δέδοκται et ἐδέδοκτο. ac de his nihil ortum controversiae. at impugnantur non alio quam disparilitatis crimine heteroclita quaedam in εω, haud quidem omnia inter se eodem iure et auctoritate. nam μαχεόμενος quod quater legebatur, bis antestatur alterum genus codicum (H 104. I 67), semel unum *R* (H 225), semel, ni quid oculos fefellit, unum Aldum (I 75), qui idem ὑπερβαλλέειν συμβαλλεόμενος eiusque modi alia multa importavit (v. Bredov. p. 364 sq.). μαχέσεσθαι vero, ut hoc obiter memorem, quam videbatur adhuc habere fidem, ea aut prorsus evanuit aut Aldi fuit, cum contra μαχέσασθαι omnium fere ubique constet. nec relictum est verbi puri σινέεσθαι ullum exemplum, postquam quae fuerant Δ 123. I 13. 49. 73. 87. 120 cuncta a *R* pervicacia quadam loco barytoni immissa esse apparuit, unum autem quod Bekkerus non sustulit E 81 ἐσινέοντο et ipsum correctum est certatim a *C* et *R* pro ἐσικνέοντο, quod servarunt *AB*. quod si totum illum perpenderis locum, ἐπιπλώσαντες μακρῇσι νηυσὶ ἐς τὴν Ἀττικὴν (Αἰγινῆται) κατὰ μὲν ἔσυραν Φάληρον κατὰ δὲ τῆς ἄλλης παραλίης πολλοὺς δήμους, ποιεῦντες δὲ ταῦτα μεγάλως Ἀθηναίους ἐσι-

νέοντο, senties quam istud ἐσινέοντο post infestissimam eamque plane inopinatam devastationem pacatissimae civitatis debile veniat atque ineptum, quam contra proprium dolorisque acerbi plenum ἐσιχνέοντο (*pungebant*, *fodiebant*), praesertim in ea iniuria quae odium illud inexorabile peperit. et subirascor mihi quod non reduxi vetustam ἐσιχνέεται Γ 108 eximie aptam, nec iam dubium quin sana sit scriptura Medicea Aeschyl. Suppl. 556 ἱχνεῖται δ' (Ἰώ), εἰσιχνουμένου βέλει βουκόλου πτερόεντος, Δῖον πάμβοτον ἄλσος, ubi vetus interpres recte τοῦ οἴστρου τῷ κέντρῳ αὐτὴν διατρυπῶντος. interpolata porro sunt ἐπειρεόμενος Γ 64 in altera stirpe librorum, ἐνείχεε Α 118 in omnibus, ὤφλεε Θ 26 Aldus sumserat ex *R*, ἀγεόμενον autem Γ 14 ex *q*. nec carent suspitione ἐπιμαρτυρεόμενοι Ε 93 paullum praesertim distans ab ἐπιμαρτυρόμεθα Ε 92η, et περισπερχεόντων Η 207, cui scite substituit Valckenaer περισπερχθέντων. haec igitur aut plane mitto aut non retineam obstinatius, minus idem in aliis mollis. πιεζεύμενος ter constat fuisse in Archetypo (Γ 146. Ζ 108. Θ 142), πιεζόμενος deciens, cui accedit πιέζεται Β 25, ἐπίεζε Ε 35: quae si ita variavit Herodotus, non magis variavit quam multa alia. nec Herodiani περὶ μον. λέξ. p. 44 de barytonis in αζω canonissantis notatio σημειῶδες ἄρα παρ' Ἀττικοῖς καὶ τοῖς Ἴωσι λεγόμενον διὰ τοῦ ε πιέζω, plus quicquam valebit ad circumscribendum Herodoteum usum quam quae patris attuli illius supra de κεῖνος. et vide Lobeckii disputationem ad Aiac. 239 omne hoc genus heteroclisiae undique comprehendentem: ex quo huc pertinent praeter illud haec quattuor. χυρέω varia progenuit tempora multis exemplis, χύρω aoristi duo ἐνέχυρσαν Γ 77, ἐνέχυρσε Δ 125 (Bredov. p. 371). ῥίπτειν

Γ 41. Δ 61. 94. 168. E 92ϛ, ῥιπτέειν Δ 188. H 50. Θ 53. solitarium est inter multa barytoni exempla ἐνδυνέουσι Γ 98. διαβυνέονται Δ 71 contrarium sibi habet διαβύνεται B 96 (vid. Meineke ad Theocrit. II 3). nec deseruissem ἥψεε A 48 (vid. Lobeck ad Aiac. p. 181[2]), nisi praecidérent defensionem quae Bredovius p. 369 adhibet ex Herodianeis quae olim credebantur apud Hermannum de emend. rat. p. 313 οὐδεὶς δὲ τῶν ἀρχαίων εἶπεν ἥψουν ἀλλ' ἧψον. nec postremo δεψεῖ Δ 64 praeter circumflexionem nimis absonum, modo testes consentirent.

Ipsa iam verborum per tempora ac modos declinatio cum complures habeat vel causas vel locos variandi, omnem autem eam materiam non capiat haec praefandi occasio, breviter narrabo magis quam demonstrabo, quid in singulis partibus tum ferri iubeat Archetypi fides et auctoritas, tum exaequari sinat prudens artis moderatio. initium igitur facimus ab augmentorum praeter communem morem omissione. quam partem propter ipsam tenuitatem obscuriorem multiplicique et describentium et interpolantium errori subiectam Lhardyis imprimis diligentia prorsus perfecta singillatim explicavit, nec tamen, quo utebatur confuso inhabilique instrumento critico, satis expedire potuit. omittitur autem utrumque tam constanter in iterativis imperfecti aoristique formis tamque eorum rationi convenienter, ut duabus, quibus in codicibus accrevit syllabicum, haud dubie demendum fuerit (Δ 78 κατελίπεσκε, 130 ἐλάβεσκον). nec reliquimus ἀπαίρεσκον A 186, ἤχεσκε Δ 200, ποιέσκετο H 119 ε littera mutilata quamvis non prorsus indefensa (vid. Etym. M. p. 624, 35), quoniam quid Herodotus consueverit apparet in ποιέεσκον A 36, ποιέεσκε Δ 78, πωλέεσκε A 196. syllabici plusquam-

perfectis additi exempla collegit Lhardy centum sexaginta et duo, omissi triginta unum. atqui ex hac ipsa paucitate iam defluxere viginti duo, nec supersunt nisi haec septem: ἀναβεβήκει Α 84, ἀναβεβήκεσαν Η 6, τετελευτήκει Α 165, καταλελοίπει Γ 61, καταλέλειπτο Η 170, δέδοκτο Ι 74, παρατετάχατο Θ 95. ut non absimile sit veri ne illis quidem a principio defuisse. nam duo praeterea in eo recensu posita κατέατο Ι 90, περικατέατο Θ 111 melius aberant quippe ex alio genere recteque literula carentia, si quidem coniecturam licet facere e consimilibus κατῆστο Α 46. Γ 83, adeo ut ἐκατέατο Γ 144. Θ 73, περιεκατέατο hanc quoque ob causam non dubitarim cum Bredovio p. 317 breviare. idem tamen, quantumvis illo contra suadente, vix mihi temperavi quin reducerem ex *AC* ἐμετίετο Α 12 ab eodem capite deductum, quod est μετίω, unde fluxit quod supra posui μεμετιμένος. sed hunc locum latius patentem alias repetemus. χρῆν crebrius est quam ἐχρῆν, non verius. βούλεσθαι et μέλλειν ε̄ praefixum habent, non η̄, nec ullum e grandi numero exemplorum plane librarii corruperunt: quo magis eis credendum quod cum ἐδυνέατο exhibent saepius tum ter ἠδυνέατο Δ 110. 185. Ι 70.

Augmentum temporale multifariam esse omissum ab ipso scriptore non minus est certum quam difficile statuere, quibus potissimum in verbis quantaque in singulis eorum constantia. illa vero ipsa, de quibus a fide librorum nihil oritur dubitationis, frustra conaberis ad legis alicuius severitatem redigere aut etiam intra certae consuetudinis compellere terminos: eo usque haec res et vaga est suapte natura et casu incuriaque perturbata. temeritas autem correctorum, *C* maxime

Aldique, non alibi apertius utiliusque deprehenditur, cupide augmenta vocalium depascens ut minus ionica scilicet, nec tamen id ipsum satis constanter. horum igitur operam aspernati, ipsi non mutavimus scripturam codicum nisi in paucis admodum, ubi et res et observatio quaedam vehementer suaderent. sic, ut excerpam aliqua, ἄγω augetur, praeter ἄχθη quod tribus comparet locis Γ 145. Ε 13. Ζ 30 invicem se tutantibus: at ἄγε Α 103. Ε 42, ἄγον Α 70. 116. 166. 169. Β 125, ἄγοντο Γ 14. 137 *C* imminuit, ἐξάγαγε Α 186 Aldus: correxi autem ἀνάγοντο Ζ 96 ut prorsus absonum ab auctarum formarum multitudine. idemque feci non augendo sed minuendo in ἠμείψατο Δ 97, παρῄνει Ι 122, ἐξηρέθησαν Η 106, παρῃτήσατο Δ 43, non ideo magis quod verba ab $\overline{αι}$ diphthongo incipientia non soleant aut debeant augeri, quam quia contraria multo praeponderant. quod si deficit similium comparatio, rectius abstinetur, ut in ᾔσθετο Η 220. nam quod Bredovius generatim verba, quae a diphthongis $\overline{αι}$ $\overline{αυ}$ $\overline{ει}$ $\overline{ευ}$ $\overline{οι}$ inducuntur, numquam augmentum accepisse suo sibi iure contendere videtur, video codicum testimoniis de eo iure non nihil derogari. et de $\overline{αυ}$ noluit Lhardy quicquam certi statuere: nam exemplorum parum frequentium fere par est in utramque partem momentum. ἐξαυάνθη Δ 151, ἐξηύηνε Δ 173. ηὗδα Β 57 (αὗδα *Cd*). ηὐδάξατο Ε 51. ἔναυε Η 231. ηὖξον Θ 30. Ι 31, ηὔξετο Γ 39. Ζ 63, αὔξετο Ζ 132 (nisi ibi αὔξητο corrigendum), ηὐξάνετο Ε 92[c], αὔξηται Α 58, ηὔξηντο Ε 78. αὐτομόλεον Α 127, ηὐτομόλησε Γ 160. sed ne in reliquis quidem omnibus exceptio illa satis valet. ηὗδε Γ 69, ηὗδον Α 211 quod praeferre debebam. ᾤχετο Α 157. Γ 131 iam remotum et ἀνῷξα Α 68, ᾤετο Ι 89 *R* emendavit: sed penitus haeret

ἀνέῳγες A 187. ἔχω, ut iam in viam redeam, numquam non augetur, quodque olim vulgabatur ἶχε quater, ἶχον duodeciens, semel κατῖχον et παρίχοντο, ea omnia Aldi sunt. et ἠνέσχετο et ἀνέσχετο ter utrumque extat. rursus ἕλκετο ἕποντο ἀπελόμεθα ἐξεγέρθη ἐθέλησε ἐθελήσαμεν ἔλασε ἔλασαν tum *C* tum Aldus novarunt. ab ἔργειν et ἐξεῖργον εἶρξε κατεῖρξαν fiunt (contra ab ἔρδω ἔρξαν), et ἔργετο ἀπεργμένος, non ἔρξε κάτερξαν, quae *C* fecit idemque saepius ἔνεγκε ἐνείκατο ἐνείχθη. pro ἦν in prima persona semel Herodotus ἔα dixit B 19, semel ἔας A 187, bis ἔατε Δ 119. E 92[α]. praeterea nec ipse nec fere (vid. A 181. H 143. I 31) librarii quicquam a communi sermone discesserunt, sed Aldi temeritas invexit epica ἔην non ita saepe, ἔσαν vero initio parce, mox confidentius, per extremos iam libros prope ubique, nec tamen idem in compositis ausus est.

Reliquas iam declinationis verbalis partes ne summatim quidem nunc licet exsequi. itaque, ut de ratione saltem critica verbo moneam, in verbis puris in $\overline{εω}$ futurisque in ῶ vulgo desinentibus non admisi formas in ει contractas, praeterquam in δεῖ ἔδει δεῖν, nec in his ipsis ubique propter certa codicum testimonia, et in ἐθηεῖτο. de εο autem et εου in ευ cogendis aut non cogendis quem nuper Carolus Abicht effinxit canonem, ut quae ante ε haberent vocalem, ne tres pluresve concurrerent vocales, contrahere vellet in ευ, contra quae consonantem ea contrahere vetaret, satis habeo commemorasse. nec opinor quisquam rationem reddet ευ diphthongi dorico more pro ου et αο (εο) in secunda tertiaque syzygia adscitae interdum, haud constanter, ut in ἐδικαιεῦντο εἰρώτευν. secundae autem coniugationis in $\overline{αω}$ verba longe plurima in scriptura principali,

qualem cum *AB* servavit fere *R*, aut omnino non dissolvunt terminationes aut raro: solvunt autem, quae modo solvunt, non in εω (quae fuit *C* correctoris opinio) verum in εο, praeter unum χρέωμαι. nec nos dissolvimus nisi quorum expressa extarent vestigia dissolutionis, ad quae reliqua verbi cuiusque formatio probabiliter institui posset. ergo aut retinuimus dissoluta aut dissolvimus ipsi εἰρωτᾶν κομᾶν μηχανᾶσθαι ὁρᾶν (nec vero imperfectum ὥρων in summa frequentia ac constantia scripturae), σταθμᾶσθαι τολμᾶν φοιτᾶν, nec haec pauca pari omnia confidentia.

Non exhausimus adhuc multiplicem anomaliae materiam, nec attingemus in praesentia nisi digito verborum in μι ancipitem flexionem, velut ἵστησι — ἱστᾷ, ἵστη — ἵστα, aut nominum primae declinationis in ης, praeter duo appellativa (ἀκινάκης δεσπότης), propriorum accusativos inter εα et ην fluctuantes (Bredov. p. 223 sqq.), quos nequeas nisi vi quadam perpetua exaequare, praesertim cum librarii, quorum culpa iactatur, in tertia declinatione non aberraverint fere a terminatione εα: aut nominum in ις accusativum pluralem tum in ις tum in ιας finitum, aliaque eius generis non permittenda nimio analogiae studio.

Sunt praeter illa etiam in quibus non scriptor a sua consuetudine, sed ipsa dialectus a sua natura ac lege descivisse videatur, ut tamen in ipsa anomalia communis quaedam causa appareat repetenda illa quidem, ni fallit opinio, a vi et ratione accentus, atque per omnem sermonem graecum non obscuris indiciis diffusa (vid. Lobeck rhemat. p. 143. 148. Meineke ad Theocr. II 3, et de latinis Lachmann ad Lucret. p. 36). a νοῦσος nomine mirantur productum νοσέω verbum tamque

firmiter in membranis servatum, ut vel iuxta legantur: Γ 33 νοῦσον μεγάλην νοσέοντος, 149 νούσου ἥ μιν κατέλαβε νοσῆσαι. at quod eodem prorsus modo ab ἥσσων deflectitur ἑσσοῦν adeo editores inde a Schaefero commovit, ut ubique, h. e. amplius quam triciens, ἔσσων inveherent. ὀνομάζειν autem ὀνομαστός ὀνομαστί priscus ille corrector *C* multis locis ad similitudinem eius, unde progenita sunt, quod est οὔνομα, revocavit, qui idem οὖρος plerumque induxit pro ὅρος. contra est in Κόρη Θ 65, κόραι Δ 33 sq. atque κουρίδιος, Διόσκουροι. similia rursus sunt re non causa Συρηκόσιος a Συρήκουσαι, κεκενωμένου Δ 123 a κεινός (nisi mavis a κενεός, ut νενοσσευμένα Α 159 a νεοσσός), ἑλιγμοί Β 148 ab εἱλίσσω.

Ex alio denique genere sunt, quae in compositione ab ionismo desciscunt, ut numerosa illa a πολυ incipientia et adiectiva et propria. πολιήτης ubi fingendis ethnicis inservit, ad communem formam relabitur, Ἡλιοπολῖται Καλλιπολῖται Ὀλβιοπολῖται. ab ἰρός facta sunt ἱρουργίαι ἱροφάντης κατιροῦν, contra ἱερός apparet in ἀρχιερεύς καλλιερέειν Ἱέρων Ἱερώνυμος (cf. Od. ξ 94 ἱρεύουσ' ἱερήιον). simili modo inter se discrepant νηῦς νεός — νεώσοικος — ναύαρχος ναυαρχίη ceteraque ab ναυ ordientia, αἰεί — ἀείναος Ἀείμνηστος, et, quae agmen claudant, ἥν et ἐπεάν pari et constantia et frequentia (Bredov. p. 38), quibus adiungitur tertium, rarius illis quidem, non incertius, ἐπειδάν Α 193. Θ 144.

Quae praeterea de ratione editionis addenda videantur, pauca sunt. quid quaeque sibi post Aldum editionum proprium habent, sedulo in notatione critica

referre non magis placuit quam emendandi conamina omnium pariter omnia expromere: sed ne onus critici instrumenti per se molestum ultra modum cresceret, non memoravi fere nisi aliqua laude digna. in quo si cui forte severius egisse videar, non in mea lenior quam in aliena fui. illud vero diligenter curavi ut primus emendationis cuiusque auctor constaret. capitum divisionem qualem primus instituit Gothofredus Iungermannus posterique retinuerunt, ne ipse quidem mutavi fere, quamvis saepe parum aptam, plus in hoc consuetudini quam rationi tribuens. apparatus critici tamquam appendicem et necessariam et non inutilem collegi testimonia scriptorum et grammaticorum, ut potui et suppetebat librorum facultas, plenissima: exclusi autem eos locos, unde nihil omnino proficeretur ad speciem verborum vel confirmandam vel corrigendam: nec descendi usque ad ultimos pessimosque. in quibus quidem non novi ullum contemptiorem inanioremque quam Gregorium illum Corinthium, qui adeo inter auctores dialecti haberi solet, cuius, ubi ad Λέξεις venero edendas, repetetur mentio haud honorifica. ibidem satius visum est componere ex testimoniis lexicographorum ea, quae ex eodem quo illae fluxere fonte. quod eum, qui adhuc Ioannis Zonarae nomine circumferebatur, non dubitavi dicere Antonium Monachum, ratio reddetur eodem illo loco. et poteram, nisi sero animadvertissem, 'Etymologici' sive 'Lexici Vindobonensis', quod edidit nuper Theodorus Bergk iteravitque opera probabili Augustus Nauck, suum et auctorem et titulum impertire. extat enim idem altero exemplo in Vaticana, de quo olim (1863) ita in usum meum adnotavi: 'Vatic. 22, bombyc., in oct. praeter alia grammatica

continet: Αβτε μολογίαι (sic), περὶ γραμματικῆς κατὰ στοχεῖον συντεθεῖσαι παρὰ τοῦ γραμματικωτάτου κυρίου ἀνδρέου τοῦ λοπαδιώτου. inc. fol. 186 ἀνῆκεν ἀντὶ τοῦ εἴασεν· λιβάνιος· ὡς δὲ ἀνῆκα ποτὲ κτλ. expl. f. 249 ὡσεὶ ἀντὶ τοῦ καθὰ. λαμβάνεται δὲ ἐν τῇ φράσει καὶ ἀργὸν. κύπριος. σίτου καὶ κριθῆς ἡμᾶς ὡσεὶ χιλίοις τοῖς πᾶσι δωρεῖται βασιλεύς. ἐγράφη ἐν τῷ ͵ς$^{-ῶ}$ ω$^{-ῶ}$ ν^{ῶ} α$^{ω'}$ ἔτει ἰνδικτιῶνος ια$^{-ης'}$ (= a. Chr. 1343).

Tomus alter continebit, praeter reliquos Historiarum libros quinque, Λέξεις, Σχόλια, nominum propriorum indicem: tertius, si et tempus et vires sufficient, dictionem Herodoteam per singula vocabula accurate et plene explicatam.

Index codicum.

A	Florentinus (p. v. xxii)	*q*	Parisinus (p. xiii. xxxii)
B	Angelicanus (p. vii. xxii)	*s*	Cantabrigiensis (p. xiii. xxvii. xxxv)
C	Florentinus (p. viii. xxiii)	*v*	Vindobonensis (ibidem)
P	Parisinus (p. x. xxiv. xxxii)	b	Venetus (p. xii. xxxiv)
R	Vaticanus (p. xi. xxvii)	r	Urbinas (p. xiii. xxvii)
b	Angelicanus (p. viii. xxvii)		
c	Florentinus (p. viii)		
d	Florentinus (p. xi. xxxiv)	*z*	editio Aldina (p. xxxiv).

ΗΡΟΔΟΤΟΥ

ΙΣΤΟΡΙΑΙ

continet: Αβτε μολογίαι (sic), περὶ γραμματικῆς κατὰ στοχεῖον συντεθεῖσαι παρὰ τοῦ γραμματικωτάτου κυρίου ἀνδρέου τοῦ λοπαδιώτου. inc. fol. 186 ἀνῆκεν ἀντὶ τοῦ εἴασεν· λιβάνιος· ὡς δὲ ἀνῆκα ποτὲ κτλ. expl. f. 249 ὡσεὶ ἀντὶ τοῦ καθά. λαμβάνεται δὲ ἐν τῇ φράσει καὶ ἀργόν. κύπριος, σίτου καὶ κριθῆς ἡμᾶς ὡσεὶ χιλίοις τοῖς πᾶσι δωρεῖται βασιλεύς. ἐγράφη ἐν τῷ ͵ςῶ ωῶ νῶ αω´ ἔτει ἰνδικτιῶνος ιαης´ (= a. Chr. 1343).

Tomus alter continebit, praeter reliquos Historiarum libros quinque, Λέξεις, Σχόλια, nominum propriorum indicem: tertius, si et tempus et vires sufficient, dictionem Herodoteam per singula vocabula accurate et plene explicatam.

Index codicum.

A Florentinus (p. v. xxii)
B Angelicanus (p. vii. xxii)
C Florentinus (p. viii. xxiii)
P Parisinus (p. x. xxiv. xxxii)
R Vaticanus (p. xi. xxvii)
b Angelicanus (p. viii. xxvii)
c Florentinus (p. viii)
d Florentinus (p. xi. xxxiv)
q Parisinus (p. xiii. xxxii)
s Cantabrigiensis (p. xiii. xxvii. xxxv)
v Vindobonensis (ibidem)
𝔟 Venetus (p. xii. xxxiv)
𝔯 Urbinas (p. xiii. xxvii)

z editio Aldina (p. xxxiv).

ΗΡΟΔΟΤΟΥ

ΙΣΤΟΡΙΑΙ

Α

1 Ἡροδότου Ἁλικαρνησσέος ἱστορίης ἀπόδεξις ἥδε, ὡς μήτε τὰ γενόμενα ἐξ ἀνθρώπων τῷ χρόνῳ ἐξίτηλα γένηται, μήτε ἔργα μεγάλα τε καὶ θωυμαστά, τὰ μὲν Ἕλλησι τὰ δὲ βαρβάροισι ἀποδεχθέντα, ἀκλεᾶ γένηται, τά τε ἄλλα καὶ δι' ἣν αἰτίην ἐπολέμησαν ἀλλήλοισι.

Περσέων μέν νυν οἱ λόγιοι Φοίνικας αἰτίους φασὶ γενέσθαι τῆς διαφορῆς. τούτους γὰρ ἀπὸ τῆς Ἐρυθρῆς καλεομένης θαλάσσης ἀπικομένους ἐπὶ τήνδε τὴν θάλασσαν, καὶ οἰκήσαντας τοῦτον τὸν χῶρον τὸν καὶ νῦν οἰκέουσι, αὐτίκα ναυτιλίῃσι μακρῇσι ἐπιθέσθαι, ἀπαγινέοντας δὲ φορτία Αἰγύπτιά τε καὶ Ἀσσύρια τῇ τε ἄλλῃ ἐσαπικνέεσθαι καὶ δὴ καὶ ἐς Ἄργος· τὸ δὲ Ἄργος τοῦτον τὸν χρόνον προεῖχε ἅπασι τῶν ἐν τῇ νῦν Ἑλλάδι καλεομένῃ χώρῃ· ἀπικομένους δὲ

Ὅτι Φοίνικες πρῶτοι αἴτιοι γεγόνασι τῆς διαφορᾶς

Ἡροδότου - 4 γένηται Aristides vol. II p. 513 Dind. — 1. Aristoteles rhet. III 9. Demetrius περὶ ἑρμην. 17. 44. Plutarchus mor. p. 605 Xyl. — Choeroboscus orthogr. p. 175. 195 Cram. — ὡς - 3 ἔργα Dionysius Hal. ad Pomp. p. 767 Reisk. — 6 sq. Ptolemaeus in Photii bibl. p. 148 b Bekk. — Pollux II 122. — 9. (Hippolytus) αἱρέσ. ἐλεγχ. IV 48 p. 120 Gotting.

ΚΛΕΙΩ. Α̅ *A*, ΚΛΕΙΩ' *C*, ἡροδότου ἱστοριῶν πρώτη :· Κλειώ :· *P*, ἡροδότου ἱστορίας, α̅': κλειώ *R*, ἡρόδοτος ῥήτωρ ἱστορικός *Rm*, ἡρόδοτος ῥήτωρ ἱστορικός... ὁ [illegible] κλειώ *b*, κλειὼ *d*, ΙΣΤΟΡΙΩΝ·ΠΡΩΤΗ·ΚΛΕΙΩ· *z*

1. ἀλικαρνησσέος *A*[1]: ἀλικαρνησσέως *C*, ἀλικαρνησσῆος *A*[2], ἀλικαρνασσῆος *Pz*, ἀλικαρνασῆος *Rbd*, Ἁλικαρνασσέος Aristid., Ἁλικαρνασσέως Demetr. Plut., Θουρίου Aristot. Plut. ‖ ἀπόδειξις *Rbd*. Aristot. Demetr. Plut. Arist. ‖ ἥδ' ante ἱστορίης Aristot. ‖ 3. ἔργα] τὰ ἔργα Dionys. ‖ τε om. Aristid. ‖ θωϋμαστὰ *Rbdz* ‖ 4. ἀκλεᾶ τῷ χρόνῳ *d* ‖ 5. αἰτίαν *d* ‖ ἐπολέμουν *P* ‖ 6. μέν νυν om. Ptol. ‖ αἰτίους post διαφορῆς *Rbdz* ‖ γενέσθαι φασὶ Ptol. ‖ 8. θαλλάσσης *A* ‖ 10. μακροῖσι *d* ‖ 11. ἄλλῃ cod. Paris. 1405. Schaefer: ἄλλῃ χώρῃ

τοὺς Φοίνικας ἐς δὴ τὸ Ἄργος τοῦτο διατίθεσθαι τὸν φόρτον. πέμπτῃ δὲ ἢ ἕκτῃ ἡμέρῃ ἀπ᾽ ἧς ἀπίκοντο, ἐξεμπολημένων σφι σχεδὸν πάντων, ἐλθεῖν ἐπὶ τὴν θάλασσαν γυναῖκας ἄλλας τε πολλὰς καὶ δὴ καὶ τοῦ βασιλέος θυγατέρα· τὸ δέ οἱ οὔνομα εἶναι, κατὰ τὠυτὸ τὸ καὶ Ἕλληνες λέγουσι, Ἰοῦν τὴν Ἰνάχου. ταύτας στάσας κατὰ πρύμνην τῆς νεὸς ὠνέεσθαι τῶν φορτίων τῶν σφι ἦν θυμὸς μάλιστα· καὶ τοὺς Φοίνικας διακελευσαμένους ὁρμῆσαι ἐπ᾽ αὐτάς. τὰς μὲν δὴ πλεῦνας τῶν γυναικῶν ἀποφυγεῖν, τὴν δὲ Ἰοῦν σὺν ἄλλῃσι ἁρπασθῆναι. ἐσβαλομένους δὲ ἐς τὴν νέα οἴχεσθαι ἀποπλέοντας
2 ἐπ᾽ Αἰγύπτου. οὕτω μὲν Ἰοῦν ἐς Αἴγυπτον ἀπικέσθαι λέγουσι Πέρσαι, οὐκ ὡς Ἕλληνες, καὶ τῶν ἀδικημάτων πρῶτον τοῦτο ἄρξαι. μετὰ δὲ ταῦτα Ἑλλήνων τινάς (οὐ γὰρ ἔχουσι τοὔνομα ἀπηγήσασθαι) φασὶ τῆς Φοινίκης ἐς Τύρον προσσχόντας ἁρπάσαι τοῦ βασιλέος τὴν θυγατέρα Εὐρώπην· εἴησαν δ᾽ ἂν οὗτοι Κρῆτες. ταῦτα μὲν δὴ ἴσα πρὸς ἴσα σφι γενέσθαι, μετὰ δὲ ταῦτα Ἕλληνας αἰτίους τῆς δευτέρης ἀδικίης γενέσθαι· καταπλώσαντας γὰρ μακρῇ νηὶ ἐς Αἶάν τε τὴν Κολχίδα καὶ ἐπὶ Φᾶσιν ποταμόν, ἐνθεῦτεν, διαπρηξαμένους καὶ τἆλλα τῶν εἵνεκεν ἀπίκατο, ἁρπάσαι τοῦ βασιλέος τὴν θυγατέρα Μηδείην. πέμψαντα δὲ τὸν Κόλχων βασιλέα ἐς τὴν

Ἰοῦς τῆς Ἰνάχου ἁρπαγή — Εὐρώπης ἁρπαγή
ὅτι δεύτεροι Ἕλληνες αἴτιοι γεγόνασι — Μηδείας ἁρπαγή

5. Plutarchus mor. p. 856. — Aldi cornu copiae f. 268 b. — 6. ὠνέεσθαι - 7 μάλιστα Lexicon Vindob. p. 196 Nauck. — 9. Schol. Eurip. Hec. 1176. — 14. φασὶ - 15 Εὐρώπην Priscianus XVIII 282

2. ἐξημπολημένων *b* || 3. σφι *Az*: σφὶν *C*, σφιν reliqui || 4. βασιλῆος *Rbdz* || 5. κατωυτὸ C^1 || τὸ *z*: ὃ || 6. νεὸς A^1 *Cq*: νηός || 7. σφιν *L* || 9. ἀποφυγεῖν *Rbd*: ἀποφυγέειν || ἄλλῃσιν *L* || 10. ἐσβαλλομένους *z* || 12. οὐκ ὡ σι ἕλληνες *C*, οὐκ ὡς φοίνικες *dcorr.* bz || τοῦτο πρῶτον ἄρξαι *P*, τοῦτο ἄρξαι πρῶτον *bdz* || 14. προσχόντας *L*. Prisc. || 15. βασιλέως *CPbd*, βασιλῆος *z* || τὴν om. *Rbdz* || 16. μὲν om. *Ppr*. *Rbdz* || ἴσα C^1 || σφι ante πρὸς *Rbdz* || 18. τε om. *Ppr*. || 19. φάσιν A^2 *bdz* || ἐντεῦτεν C^1, ἐντεῦθεν *Rbd* || 20. τἄλλα A^2 *bd*, τὰ ἄλλα *R* || ἀπίκατο A^1 C^1: ἀπίκαντο A^2 C^2, ἀπίκοντο reliqui || βασιλέως *CP*, βασιλῆος *bdz* || τὴν om. *Ppr*. *Rbdz* 21. μηδίην *Rbd*, Μήδειαν Bekker || τὸν] τῶν *Rbd* || βασιλῆα *z*

Ἑλλάδα κήρυκα αἰτέειν τε δίκας τῆς ἁρπαγῆς καὶ ἀπαιτέειν τὴν θυγατέρα. τοὺς δὲ ὑποκρίνασθαι ὡς οὐδὲ ἐκεῖνοι Ἰοῦς τῆς Ἀργείης ἔδοσάν σφι δίκας τῆς ἁρπαγῆς· οὐδὲ ὦν αὐτοὶ δώσειν ἐκείνοισι. δευτέρῃ δὲ λέγουσι γενεῇ μετὰ ταῦτα Ἀλέ- 3
ξανδρον τὸν Πριάμου, ἀκηκοότα ταῦτα, ἐθελῆσαί οἱ ἐκ τῆς Ἑλλάδος δι' ἁρπαγῆς γενέσθαι γυναῖκα, ἐπιστάμενον πάντως ὅτι οὐ δώσει δίκας· οὐδὲ γὰρ ἐκείνους διδόναι. οὕτω δὴ ἁρπάσαντος αὐτοῦ Ἑλένην, τοῖσι Ἕλλησι δόξαι πρῶτον πέμψαντας ἀγγέλους ἀπαιτέειν τε Ἑλένην καὶ δίκας τῆς ἁρπαγῆς αἰτέειν. τοὺς δὲ προϊσχομένων ταῦτα προφέρειν σφι Μηδείης τὴν ἁρπαγήν, ὡς οὐ δόντες αὐτοὶ δίκας οὐδὲ ἐκδόντες ἀπαιτεόντων βουλοίατό σφι παρ' ἄλλων δίκας γίνεσθαι. μέχρι μὲν 4
ὦν τούτου ἁρπαγὰς μούνας εἶναι παρ' ἀλλήλων, τὸ δὲ ἀπὸ τούτου Ἕλληνας δὴ μεγάλως αἰτίους γενέσθαι· προτέρους γὰρ ἄρξαι στρατεύεσθαι ἐς τὴν Ἀσίην ἢ σφέας ἐς τὴν Εὐρώπην. τὸ μέν νυν ἁρπάζειν γυναῖκας ἀνδρῶν ἀδίκων νομίζειν ἔργον εἶναι, τὸ δὲ ἁρπασθεισέων σπουδὴν ποιήσασθαι τιμωρέειν ἀνοήτων, τὸ δὲ μηδεμίαν ὤρην ἔχειν ἁρπασθεισέων σωφρόνων· δῆλα γὰρ δὴ ὅτι, εἰ μὴ αὐταὶ ἐβούλοντο, οὐκ ἂν ἡρπάζοντο. σφέας μὲν δὴ τοὺς ἐκ τῆς Ἀσίης λέγουσι Πέρσαι ἁρπαζομενέων τῶν γυναικῶν λόγον οὐδένα ποιήσασθαι, Ἕλληνας δὲ Λακεδαιμονίης εἵνεκεν γυναικὸς στόλον μέγαν συναγεῖραι καὶ ἔπειτα ἐλθόντας ἐς τὴν Ἀσίην τὴν Πριάμου δύναμιν κατελεῖν. ἀπὸ τούτου αἰεὶ ἡγήσασθαι τὸ Ἑλληνικὸν σφίσι εἶναι πολέμιον· τὴν γὰρ Ἀσίην καὶ τὰ ἐνοικέοντα ἔθνεα

περὶ Ἀλεξάνδρου τοῦ Πριάμου καὶ τῆς Ἑλένης ἁρπαγῆς

---

1. Eustathius Il. p. 415 Rom. — καὶ ἀπαιτετέειν - 3 ἁρπαγῆς Lexicon Vindob. p 183. — 8 - 11. Eustathius Il. p. 405. — 13. τὸ δὲ - 14 γενέσθαι Lexicon Vindob. p. 175. — 19 sq. Plutarchus mor. p. 856.

2. ὑποκρινομένους *C*², ἀποκρίνασθαι *bd* ‖ 3. σφὶν *C*², σφίσι *b* ‖ 7. οὐδὲ Schaefer: οὔτε ‖ 10. προϊσχομένους *A*² *bd*. Eust. ‖ μηδίης *Rbd* ‖ 13. τούτων *Rbdz* ‖ 15. εἰς τὴν εὐρώπην *P* ‖ 17. ἔργον νομίζειν *bdz* ‖ 18. μηδεμίην *Pz*, μὴ δὲ μίην *CRd* ‖ ὥρην *A*: ὤρην ‖ 19. αὗται *A*² *Rbdz* ‖ ἐβούλοντο Plut.: ἐβουλέατο *L* (sed *A*² adscr. εβεβουλε h. e. ἐβεβουλέατο) ‖ 20. ἡρπάζετο *C*¹ ‖ 21. ἁρπαζομένων *Rbd* ‖ 22. εἵνεκα *b* ‖ 24. αἰεὶ] τ' αἰεὶ *z*

[βάρβαρα] οἰκηιεῦνται οἱ Πέρσαι, τὴν δὲ Εὐρώπην καὶ τὸ Ἑλληνικὸν ἥγηνται κεχωρίσθαι.

5 Οὕτω μὲν Πέρσαι λέγουσι γενέσθαι, καὶ διὰ τὴν Ἰλίου ἅλωσιν εὑρίσκουσι σφίσι ἐοῦσαν τὴν ἀρχὴν τῆς ἔχθρης τῆς ἐς τοὺς Ἕλληνας. περὶ δὲ τῆς Ἰοῦς οὐκ ὁμολογέουσι Πέρσῃσι οὕτω Φοίνικες· οὐ γὰρ ἁρπαγῇ σφέας χρησαμένους λέγουσι ἀγαγεῖν αὐτὴν ἐς Αἴγυπτον, ἀλλ' ὡς ἐν τῷ Ἄργεϊ ἐμίσγετο τῷ ναυκλήρῳ τῆς νεός· ἐπεὶ δ' ἔμαθε ἔγκυος ἐοῦσα, αἰδεομένη τοὺς τοκέας οὕτω δὴ ἐθελοντὴν αὐτὴν τοῖσι Φοίνιξι συνεκπλῶσαι, ὡς ἂν μὴ κατάδηλος γένηται.

Ταῦτα μέν νυν Πέρσαι τε καὶ Φοίνικες λέγουσι· ἐγὼ δὲ περὶ μὲν τούτων οὐκ ἔρχομαι ἐρέων ὡς οὕτω ἢ ἄλλως κως ταῦτα ἐγένετο, τὸν δὲ οἶδα αὐτὸς πρῶτον ὑπάρξαντα ἀδίκων ἔργων ἐς τοὺς Ἕλληνας, τοῦτον σημήνας προβήσομαι ἐς τὸ πρόσω τοῦ λόγου, ὁμοίως σμικρὰ καὶ μεγάλα ἄστεα ἀνθρώπων ἐπεξιών. τὰ γὰρ τὸ πάλαι μεγάλα ἦν, τὰ πολλὰ σμικρὰ αὐτῶν γέγονε· τὰ δὲ ἐπ' ἐμεῦ ἦν μεγάλα, πρότερον ἦν σμικρά. τὴν ἀνθρωπηίην ὦν ἐπιστάμενος εὐδαιμονίην οὐδαμὰ ἐν τὠυτῷ μένουσαν, ἐπιμνήσομαι ἀμφοτέρων ὁμοίως.

6 Κροῖσος ἦν Λυδὸς μὲν γένος, παῖς δὲ Ἀλυάττεω, τύραννος δὲ ἐθνέων τῶν ἐντὸς Ἅλυος ποταμοῦ, ὃς ῥέων ἀπὸ με-

Κροίσου γενεαλογία καὶ ἀρχῆς σημασία καὶ τῆς χώρας θέσις

---

8. Eustathius Od. p. 1428. — 20. Κροῖσος - p. 7, 3 Κροῖσος Alexander περὶ σχημ. p. 484 W. — Κροῖσος - p. 7, 2 πόντον Dionysius Hal. de comp. 4 p. 26. Tiberius περὶ σχημ. p. 577. — Κροῖσος - 21 ποταμοῦ Suidas v. Κροῖσος. — Κροῖσος - 21 ἐθνέων Hermogenes περὶ ἰδεῶν p. 206. Maximus Tyrius XII p. 74 St. — Anonymus περὶ σχημ. p. 627. — Priscianus XVIII 171. — Ammonius v. τύραννον. — 21. - p. 9, 2 Schol. Apollon. Rh. β 946. Schol. Hermog. p. 470 W. — 21 ῥέων - p. 7, 2 πόντον Strabo p. 544 C

1. βάρβαρα seclusi ‖ οἰκειοῦνται $A^1 C^1$, οἰκειεῦνται reliqui ‖ 3. πέρσαι μὲν *R* ‖ 5. οὐκ *z*: οὐχ ‖ 7. ἄγειν *Rbdz* ‖ ἄργεϊ *CPz*: ἄργει ‖ 8. νεός A^1*CPpr.*: νηός ‖ δ' *ACP*: δὲ ‖ ἔμαθεν *L* ‖ ἔγγυος (κ) *C* ‖ οὖσα *d* ‖ 9. αἰδεομένην P^m ‖ 10. συνεκπλεῦσαι *d* ‖ 11. τε καὶ *ACPcorr.*: καὶ ‖ 12. οὕτως *L* ‖ 14. ἐς τὸ om. *Rbd* ‖ 15. μικρὰ *L* ‖ 16. σμικρὰ αὐτῶν *ACP*: αὐτῶν σμικρὰ ‖ 18. ἀνθρωπείην *Rbdz* ‖ οὐδαμὰ A^1*PR*: οὐδαμᾶ ‖ 20. μὲν τὸ γένος *z*. Alex. Suid. ‖ ἀλυάττεω A^1 ‖ 21. ἅλωος *b*. Suid. ‖ μεσημβρίης Alex. Tib.

σαμβρίης μεταξὺ Συρίων τε καὶ Παφλαγόνων ἐξίει πρὸς βορέην ἄνεμον ἐς τὸν Εὔξεινον καλεόμενον πόντον. οὗτος ὁ Κροῖσος βαρβάρων πρῶτος τῶν ἡμεῖς ἴδμεν τοὺς μὲν κατεστρέψατο Ἑλλήνων ἐς φόρου ἀπαγωγήν, τοὺς δὲ φίλους προσεποιήσατο. κατεστρέψατο μὲν Ἴωνάς τε καὶ Αἰολέας καὶ Δωριέας τοὺς ἐν τῇ Ἀσίῃ, φίλους δὲ προσεποιήσατο Λακεδαιμονίους. πρὸ δὲ τῆς Κροίσου ἀρχῆς πάντες Ἕλληνες ἦσαν ἐλεύθεροι· τὸ γὰρ Κιμμερίων στράτευμα τὸ ἐπὶ τὴν Ἰωνίην ἀπικόμενον Κροίσου ἐὸν πρεσβύτερον οὐ καταστροφὴ ἐγένετο τῶν πολίων ἀλλ' ἐξ ἐπιδρομῆς ἁρπαγή. ἡ δὲ ἡγεμονίη οὕτω 7
περιῆλθε, ἐοῦσα Ἡρακλειδέων, ἐς τὸ γένος τὸ Κροίσου, καλεομένους δὲ Μερμνάδας. ἦν Κανδαύλης, τὸν οἱ Ἕλληνες Μυρσίλον ὀνομάζουσι, τύραννος Σαρδίων, ἀπόγονος δὲ Ἀλκαίου τοῦ Ἡρακλέος. Ἄγρων μὲν γὰρ ὁ Νίνου τοῦ Βήλου τοῦ Ἀλκαίου πρῶτος Ἡρακλειδέων βασιλεὺς ἐγένετο Σαρδίων, Κανδαύλης δὲ ὁ Μύρσου ὕστατος. οἱ δὲ πρότερον Ἄγρωνος βασιλεύσαντες ταύτης τῆς χώρης ἦσαν ἀπόγονοι Λυδοῦ τοῦ Ἄτυος, ἀπ' ὅτευ ὁ δῆμος Λύδιος ἐκλήθη ὁ πᾶς οὗτος, πρότερον Μηίων καλεόμενος. παρὰ τούτων Ἡρακλεῖδαι ἐπιτραφθέντες ἔσχον τὴν ἀρχὴν ἐκ θεοπροπίου, ἐκ δούλης τε τῆς Ἰαρδάνου γεγονότες καὶ Ἡρακλέος, ἄρξαντες μὲν ἐπὶ δύο τε καὶ εἴκοσι γενεὰς ἀνδρῶν ἔτεα πέντε τε καὶ πεντακόσια, παῖς παρὰ πατρὸς ἐκδεκόμενος τὴν ἀρχήν, μέχρι Κανδαύλεω τοῦ

ὅτι Κροῖσος πρῶτος ἦρξε τῆς εἰς τοὺς Ἕλληνας ἀδικίας
περὶ Κανδαύλους καὶ Γύγου

2. οὗτος - 4 προσεποιήσατο Suidas ib. — Apollonius de pron. p. 333 B. — 7. πρὸ - 10 ἁρπαγή Suidas ib. — Hermogenes περὶ εὑρ. p. 87. — 12. idem περὶ ἰδεῶν p. 206. — 13. Choricius p. 106 Boiss.

1. Συρίων Bredovius: σύρων *L* et scriptores ‖ τε καὶ Dionysius: καὶ ‖ Παφλαγόνων] Καππαδοκῶν Alex. ‖ ἐξήει *d* ‖ βορέην Alex. Tib. Schol. Herm.: βορῆν ‖ 3. ἴσμεν *R* ‖ 7. πρὸς C^1 ‖ ἦσαν aut ante Ἕλληνες aut post ἐλεύθεροι Suidae codices ‖ 11. περιῆλθε A^1R: περιῆλθεν ‖ 13. μυρσῖλον *dz*, Μυρσῖλλον Chor. ‖ καλέουσι *sz* ‖ 14. ἡρακλέους *CRbd* ‖ ἄργων R^1dz ‖ ὁ Νίνου - Ἀλκαίου om. *Rbd* ‖ 15. Ἀλκμαίου *z* ‖ 16. ἄργωνος *bdz* ‖ 17. γώρας *d* ‖ 18. ἀπ' ὅτευ *P*: ἀπό τευ *Rb*, ἀπότευ reliqui ‖ 19. μήιων A^2P, μηῶν C^2, μηιῶν A^1, μηῶν C^1, μήων reliqui ‖ τούτων] τούτων δὲ *Rbdz* ‖ 21. μέν om. *Rbdz* ‖ δύο τε] δύο *Rbdz*

8 Μύρσου. οὗτος δὴ ὢν ὁ Κανδαύλης ἠράσθη τῆς ἑωυτοῦ γυ-
ναικός, ἐρασθεὶς δὲ ἐνόμιζέ οἱ εἶναι γυναῖκα πολλὸν πασέων
καλλίστην. ὥστε δὲ ταῦτα νομίζων, ἦν γάρ οἱ τῶν αἰχμοφό-
ρων Γύγης ὁ Δασκύλου ἀρεσκόμενος μάλιστα, τούτῳ τῷ Γύγῃ
καὶ τὰ σπουδαιέστερα τῶν πρηγμάτων ὑπερετίθετο ὁ Καν-
δαύλης καὶ δὴ καὶ τὸ εἶδος τῆς γυναικὸς ὑπερεπαινέων. χρό-
νου δὲ οὐ πολλοῦ διελθόντος (χρῆν γὰρ Κανδαύλῃ γενέσθαι
κακῶς) ἔλεγε πρὸς τὸν Γύγην τοιάδε. "Γύγη, οὐ γάρ σε δοκέω
πείθεσθαί μοι λέγοντι περὶ τοῦ εἴδεος τῆς γυναικός (ὦτα γὰρ
τυγχάνει ἀνθρώποισι ἐόντα ἀπιστότερα ὀφθαλμῶν), ποίεε
ὅκως ἐκείνην θεήσεαι γυμνήν" ὁ δ' ἀμβώσας εἶπε "δέσποτα,
τίνα λέγεις λόγον οὐκ ὑγιέα, κελεύων με δέσποιναν τὴν ἐμὴν
θεήσασθαι γυμνήν; ἅμα δὲ κιθῶνι ἐκδυομένῳ συνεκδύεται καὶ
τὴν αἰδῶ γυνή. πάλαι δὲ τὰ καλὰ ἀνθρώποισι ἐξεύρηται, ἐκ
τῶν μανθάνειν δεῖ· ἐν τοῖσι ἓν τόδε ἐστί, σκοπέειν τινὰ τὰ
ἑωυτοῦ. ἐγὼ δὲ πείθομαι ἐκείνην εἶναι πασέων γυναικῶν καλ-
9 λίστην, καὶ σέο δέομαι μὴ δέεσθαι ἀνόμων." ὁ μὲν δὴ λέγων
τοιαῦτα ἀπεμάχετο, ἀρρωδέων μή τί οἱ ἐξ αὐτῶν γένηται
κακόν, ὁ δ' ἀμείβετο τοῖσιδε. "θάρσεε, Γύγη, καὶ μὴ φοβεῦ
μήτε ἐμέ, ὡς σέο πειρώμενος λέγω λόγον τόνδε, μήτε γυ-
ναῖκα τὴν ἐμήν, μή τί τοι ἐξ αὐτῆς γένηται βλάβος. ἀρχὴν

5. Eustathius Od. p. 1441. — 8. Γύγη - p. 9, 9 ἕτοιμος Dionysius Hal. de comp. 3 p. 17 sqq. — 9 sq. idem rhet. 11 p. 401. Lucianus de domo 20. Iulianus ep. 22. Theodoretus graec. affect. X 103. Schol. Arat. phaen. p. 165 Petav. — 11. δέσποτα - 14 γυνή Theo progymn. p. 200. — 13 sq. Plutarchus mor. p. 37. 139. Stob. flor. XXXII 8. LXXIV 36. Schol. Clem. Al. paed. p. 126 Kl. — 17 sq. Etymol. Orion. p. 121, 28. Etymol. M. p. 633, 43

1. οὖν *d* ‖ 5. σπουδαιότερα *P* ‖ πραγμάτων *Rdz*. Eust. ‖ 7. χρῆν *R* ‖ 9. περὶ] τὰ περὶ Dion. ‖ 10. ἀνθρώποισιν *L* ‖ ποίεε *z*: ποίει ‖ 11. θηήσεαι *b* ‖ ὁ δ' ἀμβώσας A^1CP: ὁ δὲ μέγα ἀμβώσας *Rbdz*, ὁ δ' ἀμβώσας μέγα A^2, ὁ δὲ ἀναβοήσας Dion. ‖ 12. λόγον ἔχεις Theo ‖ οὐχ A^1Rbd ‖ 15. ἐν τίσιν ἓν *d* ‖ σκοπεύειν τινὰ *b*, τινὰ σκοπεύειν *Rdz* ‖ 16. εἶναι post γυναικῶν Dion ‖ 18. τοιαῦτα] ταῦτα Dion. ‖ ἀπεμάχετο] καὶ ἀπεμάχετο τὴν ψυχὴν utrumque Etym. ‖ ὀρρωδέων A^2C ‖ αὐτῶν *P*: αὐτέων ‖ 19. δ' ἀμείβετο *ACP*: δὲ ἀμείβεται *z*., δὲ ἀμείβετο reliqui ‖ τοῖσδε A^1CP, τοιάδε reliqui ‖ θάρσει *L* ‖ 20. ὡς σέο] ὁσέο C^1 ‖ πειρώμενος A^2CP Dion.: πειρώμενον A^1bdz, πειρόμενον *R* ‖ λέγω λόγον] λόγον *Rbdz*, λόγον λέγω Dion.

γὰρ ἐγὼ μηχανήσομαι οὕτω ὥστε μηδὲ μαθεῖν μιν ὀφθεῖσαν
ὑπὸ σεῦ. ἐγὼ γάρ σε ἐς τὸ οἴκημα ἐν τῷ κοιμώμεθα ὄπισθε
τῆς ἀνοιγομένης θύρης στήσω. μετὰ δ' ἐμὲ ἐσελθόντα παρέ-
σται καὶ ἡ γυνὴ ἡ ἐμὴ ἐς κοῖτον. κέεται δὲ ἀγχοῦ τῆς ἐσόδου
θρόνος· ἐπὶ τοῦτον τῶν ἱματίων κατὰ ἓν ἕκαστον ἐκδύνουσα
θήσει, καὶ κατ' ἡσυχίην πολλὴν παρέξει τοι θεήσασθαι. ἐπεὰν
δὲ ἀπὸ τοῦ θρόνου στείχῃ ἐπὶ τὴν εὐνὴν κατὰ νώτου τε αὐ-
τῆς γένῃ, σοὶ μελέτω τὸ ἐνθεῦτεν ὅκως μή σε ὄψεται ἰόντα
διὰ θυρέων." ὁ μὲν δὴ ὡς οὐκ ἐδύνατο διαφυγεῖν, ἦν ἕτοι- 10
μος· ὁ δὲ Κανδαύλης, ἐπεὶ ἐδόκεε ὥρη τῆς κοίτης εἶναι,
ἤγαγε τὸν Γύγεα ἐς τὸ οἴκημα, καὶ μετὰ ταῦτα αὐτίκα παρῆν
καὶ ἡ γυνή. ἐσελθοῦσαν δὲ καὶ τιθεῖσαν τὰ εἵματα ἐθηεῖτο
ὁ Γύγης. ὡς δὲ κατὰ νώτου ἐγένετο ἰούσης τῆς γυναικὸς ἐς
τὴν κοίτην, ὑπεκδὺς ἐχώρεε ἔξω. καὶ ἡ γυνὴ ἐπορᾷ μιν ἐξι-
όντα. μαθοῦσα δὲ τὸ ποιηθὲν ἐκ τοῦ ἀνδρὸς οὔτε ἀνέβωσε
αἰσχυνθεῖσα οὔτε ἔδοξε μαθεῖν, ἐν νόῳ ἔχουσα τίσεσθαι τὸν
Κανδαύλεα· παρὰ γὰρ τοῖσι Λυδοῖσι, σχεδὸν δὲ καὶ παρὰ
τοῖσι ἄλλοισι βαρβάροισι, καὶ ἄνδρα ὀφθῆναι γυμνὸν ἐς αἰσχύ-
νην μεγάλην φέρει. τότε μὲν δὴ οὕτω οὐδὲν δηλώσασα ἡσυ- 11
χίην εἶχε· ὡς δὲ ἡμέρη τάχιστα ἐγεγόνεε, τῶν οἰκετέων τοὺς
μάλιστα ὥρα πιστοὺς ἐόντας ἑωυτῇ, ἑτοίμους ποιησαμένη
ἐκάλεε τὸν Γύγεα. ὁ δὲ οὐδὲν δοκέων αὐτὴν τῶν πρηχθέντων
ἐπίστασθαι ἦλθε καλεόμενος· ἐώθεε γὰρ καὶ πρόσθε, ὅκως ἡ
βασίλεια καλέοι, φοιτᾶν. ὡς δὲ ὁ Γύγης ἀπίκετο, ἔλεγε ἡ

περὶ τῆς κατὰ Κανδαύλου ἐπιβουλῆς (*Rb*)

6. ἐπεὰν – 8 ἐνθεῦτεν Lexicon Vindob. p. 116

1. μαχήσομαι C^1 ‖ μὴ δὲ *ACPR* ‖ 2. ἐγώ] ἀγαγὼν Dion. ‖ εἰς *C* ‖ ὄπισθεν *C* ‖ 4. κοιτῶνα *Rbdz*, κοίτην Dion. ‖ κεῖται *L* ‖ 6. κατησυχίην *A* ‖ ὅταν Dion., ἐπὰν Lex. Vind. ‖ 7. στίχηι *AC* ‖ 8. το ἐντεῦθεν CP^1, τοὐντεῦθεν Lex. Vind. ‖ μὴ ἐσόψεται ACP^1 ‖ ἀπιόντα Dion. ‖ 9. διὰ τῶν θυρέων *sz* ‖ ἠδύνατο *Rbdz* ‖ διαφυγέειν *L* ‖ ἦν ἑτοῖμος *C*, ἕτοιμος ἦν ποιεῖν ταῦτα Dion. ‖ 12. ἐθηῆτο *Rbdz* ‖ 14. ἐχώρεε A^1: ἐχώρεεν ‖ 15. ἀνέβωσεν *L* ‖ 16. μαθέειν *z* ‖ τίσασθαι *z* ‖ 17. δὲ om. *R* ‖ 18. τίσιν C^1, τοῖσιν C^2 cum ceteris ‖ ἐς om. *Rbdz* ‖ 19. οὕτως *L* ‖ 20. εἶχε A^1P: εἶχεν ‖ γεγόνεε *P* ‖ 21. ὅρα *P*, ἑώρα *Rbdz* ‖ 23. πρόσθε A^1C: πρόσθεν ‖ 24. ἔλεγε A^1: ἔλεγεν

γυνὴ τάδε. "νῦν τοι δυῶν ὁδῶν παρεουσέων Γύγη δίδωμι
αἵρεσιν, ὁκοτέρην βούλεαι τραπέσθαι. ἢ γὰρ Κανδαύλεα ἀπο-
κτείνας ἐμέ τε καὶ τὴν βασιληίην ἔχε τὴν Λυδῶν. ἢ αὐτόν σε
αὐτίκα οὕτω ἀποθνήσκειν δεῖ, ὡς ἂν μὴ πάντα πειθόμενος
Κανδαύλῃ τοῦ λοιποῦ ἴδῃς τὰ μή σε δεῖ. ἀλλ' ἤτοι κεῖνόν γε
τὸν ταῦτα βουλεύσαντα δεῖ ἀπόλλυσθαι, ἢ σὲ τὸν ἐμὲ γυμνὴν
θεησάμενον καὶ ποιήσαντα οὐ νομιζόμενα." ὁ δὲ Γύγης τέως
μὲν ἀπεθώυμαζε τὰ λεγόμενα, μετὰ δὲ ἱκέτευε μή μιν ἀναγ-
καίῃ ἐνδέειν διακρῖναι τοιαύτην αἵρεσιν. οὔκων δὴ ἔπειθε,
ἀλλ' ὥρα ἀναγκαίην ἀληθέως προκειμένην ἢ τὸν δεσπότεα
ἀπολλύναι ἢ αὐτὸν ὑπ' ἄλλων ἀπόλλυσθαι· αἱρέεται αὐτὸς
περιεῖναι. ἐπειρώτα δὴ λέγων τάδε. "ἐπεί με ἀναγκάζεις δε-
σπότεα τὸν ἐμὸν κτείνειν οὐκ ἐθέλοντα, φέρε ἀκούσω τέῳ καὶ
τρόπῳ ἐπιχειρήσομεν αὐτῷ." ἡ δὲ ὑπολαβοῦσα ἔφη "ἐκ τοῦ
αὐτοῦ μὲν χωρίου ἡ ὁρμὴ ἔσται ὅθεν περ καὶ ἐκεῖνος ἐμὲ ἐπε-
12 δέξατο γυμνήν, ὑπνωμένῳ δὲ ἡ ἐπιχείρησις ἔσται." ὡς δὲ
ἤρτυσαν τὴν ἐπιβουλήν, νυκτὸς γενομένης (οὐ γὰρ μετίετο ὁ
Γύγης, οὐδέ οἱ ἦν ἀπαλλαγὴ οὐδεμία, ἀλλ' ἔδεε ἢ αὐτὸν ἀπο-
λωλέναι ἢ Κανδαύλεα) εἵπετο ἐς τὸν θάλαμον τῇ γυναικί. καί
μιν ἐκείνη, ἐγχειρίδιον δοῦσα, κατακρύπτει ὑπὸ τὴν αὐτὴν
θύρην. καὶ μετὰ ταῦτα ἀναπαυομένου Κανδαύλεω ὑπεκδύς
τε καὶ ἀποκτείνας αὐτὸν ἔσχε καὶ τὴν γυναῖκα καὶ τὴν βασι-
ληίην Γύγης [· τοῦ καὶ Ἀρχίλοχος ὁ Πάριος κατὰ τὸν αὐτὸν
13 χρόνον γενόμενος ἐν ἰάμβῳ τριμέτρῳ ἐπεμνήσθη]. ἔσχε δὲ

πῶς ἐξέπεσον οἱ Ἡρακλεῖδαι τῆς Λυδῶν βασιλείας

23 sq. Rufinus de metr. com. 27 p. 2713 Putsch.

1. δυοῖν ὁδοῖν *L* ‖ 2. ὁκωτέρην *d* ‖ 3. αὐτόν σε *Rbdz*: αὐτὸν σὲ ‖ 4. οὕτως *z* ‖ 5. εἴδῃις A^1, εἴδῃς *R* ‖ 6. βουλευσάμενον A^2*Rbdz* ‖ γυμνὴν] γυμνήν τε A^2 ‖ 7. θεησάμενον *AP*: θηησάμενον ‖ 8. ἀπεθωΰμαζε *Rbdz*, ἀπεθώμαζε A^1C^1 ‖ 9. ἐνδεῖν *L* ‖ 10. ὅρα *P*, ἑώρα *Rbdz* ‖ 11. ἀπολλύναι] ἀποκτεῖναι *z* ‖ 12. ἐπηρώτα (ει) *CP*, ἐπηρώτα *dz* ‖ 14. ἐπιχειρίσωμεν *z* ‖ 15. ὑπεδέξατο *dz*, ὑπεδείξατο *b* ‖ 17. γινομένης *Rbdz* ‖ ἐμετίετο A^1C^1 ‖ 18. οὐδεμίη *z* ‖ ἀλλὰ *Rbz* ‖ 19. εἰς *CR* ‖ 21. κανδαύλεως *C* ‖ ὑπεκδύς H. Sauppe: ὑπεισδύς *ACPcorr.bdz*, ὑπειδύς *R* ‖ 23. Γύγεω αὐτοῦ καὶ Ἀρχίλοχος Πάριος Ruf. ‖ τοῦ – 24 ἐπεμνήσθη damnavit Wesseling ‖ 24. γεγονὼς ὑπέμνησεν ἰάμβῳ τριμέτρῳ Ruf.

τὴν βασιληίην καὶ ἐκρατύνθη ἐκ τοῦ ἐν Δελφοῖσι χρηστηρίου. ὡς γὰρ δὴ οἱ Λυδοὶ δεινὸν ἐποιεῦντο τὸ Κανδαύλεω πάθος καὶ ἐν ὅπλοισι ἦσαν. συνέβησαν ἐς τὠυτὸ οἵ τε τοῦ Γύγεω στασιῶται καὶ οἱ λοιποὶ Λυδοί, ἢν μὲν τὸ χρηστήριον ἀνέλῃ μιν βασιλέα εἶναι Λυδῶν, τὸν δὲ βασιλεύειν, ἢν δὲ μή, ἀποδοῦναι ὀπίσω ἐς Ἡρακλείδας τὴν ἀρχήν. ἀνεῖλέ τε δὴ τὸ χρηστήριον καὶ ἐβασίλευσε οὕτω Γύγης. τοσόνδε μέντοι εἶπε ἡ Πυθίη, ὡς Ἡρακλείδῃσι τίσις ἥξει ἐς τὸν πέμπτον ἀπόγονον Γύγεω. τούτου τοῦ ἔπεος Λυδοί τε καὶ οἱ βασιλέες αὐτῶν λόγον οὐδένα ἐποιεῦντο, πρὶν δὴ ἐπετελέσθη.

Τὴν μὲν δὴ τυραννίδα οὕτω ἔσχον οἱ Μερμνάδαι τοὺς 14
Ἡρακλείδας ἀπελόμενοι, Γύγης δὲ τυραννεύσας ἀπέπεμψε ἀναθήματα ἐς Δελφοὺς οὐκ ὀλίγα, ἀλλ' ὅσα μὲν ἀργύρου ἀναθήματα ἔστι οἱ πλεῖστα ἐν Δελφοῖσι, πάρεξ δὲ τοῦ ἀργύρου χρυσὸν ἄπλετον ἀνέθηκε ἄλλον τε καὶ τοῦ μάλιστα μνήμην ἄξιον ἔχειν ἐστί, κρητῆρές οἱ ἀριθμὸν ἓξ χρύσεοι ἀνακέαται. ἑστᾶσι δὲ οὗτοι ἐν τῷ Κορινθίων θησαυρῷ, σταθμὸν ἔχοντες τριήκοντα τάλαντα· ἀληθέι δὲ λόγῳ χρεωμένῳ οὐ Κορινθίων τοῦ δημοσίου ἐστὶ ὁ θησαυρός, ἀλλὰ Κυψέλου τοῦ Ἠετίωνος. οὗτος δὲ ὁ Γύγης πρῶτος βαρβάρων τῶν ἡμεῖς ἴδμεν ἐς Δελφοὺς ἀνέθηκε ἀναθήματα μετὰ Μίδην τὸν Γορδίεω Φρυγίης βασιλέα. ἀνέθηκε γὰρ δὴ καὶ Μίδης τὸν βασιλήιον θρόνον ἐς τὸν προκατίζων ἐδίκαζε, ἐόντα ἀξιοθέητον· κέεται δὲ ὁ θρόνος οὗτος ἔνθα περ οἱ τοῦ Γύγεω κρητῆρες. ὁ δὲ χρυσὸς οὗτος καὶ ὁ ἄργυρος τὸν ὁ Γύγης ἀνέθηκε, ὑπὸ Δελφῶν καλέεται Γυγάδας ἐπὶ τοῦ ἀναθέντος ἐπωνυμίην.

περὶ τῆς Γύγου βασιλείας καὶ τῶν εἰς Δελφοὺς ἀναθημάτων ὅτι Μίδας ὁ Γορδίου Φρυγῶν βασιλεὺς ἀνέθηκεν εἰς Δελφοὺς τὸν θρόνον

---

4. Λέξεις. — 22. θρόνον - 23 ἐδίκαζε Priscianus XVIII 184. 189

3. ἐν ὅπλοισι] ἔνοπλοι *Rbdz* ‖ εἰς *A* ‖ 4. στρατιῶται *Rbdz* ‖ μὲν *A*[1]*C*[1]*Ppr.*: μὲν δὴ ‖ 5. Λυδῶν] τῶν Λυδῶν *z* ‖ τὸν δὲ *AC*: τόνδε ‖ 10. οὐδὲν *z* ‖ 11. οὕτως *bz* ‖ 18. ἀληθεῖ *CPz*: ἀληθεῖ ‖ χρεομένῳ *z* ‖ 19. δημοσίου] δήμου *Rbdz* ‖ 20. οὗτος *C*[1], οὕτω *C*[2]*Rbdz* ‖ δὲ] δὴ *z* ‖ 21. Φρυγίης] τὸν φρυγίης *Rbdz* ‖ 22. βασιλῆα *z* ‖ δὴ om. *Rbdz* ‖ βασίλειον *R* ‖ 23. κεῖται *z* ‖ 24. κρατῆρες *Rbd* ‖ 26. γιγάδας *d* ‖ ἐπωνυμίῃ *z*

15 Ἐσέβαλε μέν νυν στρατιὴν καὶ οὗτος, ἐπείτε ἦρξε, ἔς τε Μίλητον καὶ ἐς Σμύρνην, καὶ Κολοφῶνος τὸ ἄστυ εἷλε· ἀλλ' οὐδὲν γὰρ μέγα ἀπ' αὐτοῦ ἄλλο ἔργον ἐγένετο βασιλεύσαντος δυῶν δέοντα τεσσεράκοντα ἔτεα, τοῦτον μὲν παρήσομεν τοσαῦτα ἐπιμνησθέντες, Ἄρδυος δὲ τοῦ Γύγεω μετὰ Γύγην βασιλεύσαντος μνήμην ποιήσομαι. οὗτος δὲ Πριηνέας τε εἷλε ἐς Μίλητόν τε ἐσέβαλε, ἐπὶ τούτου τε τυραννεύοντος Σαρδίων Κιμμέριοι ἐξ ἠθέων ὑπὸ Σκυθέων τῶν νομάδων ἐξαναστάντες ἀπίκοντο ἐς τὴν Ἀσίην καὶ Σάρδις πλὴν τῆς ἀκροπόλιος εἷλον.

16 Ἄρδυος δὲ βασιλεύσαντος ἑνὸς δέοντα πεντήκοντα ἔτεα ἐξεδέξατο Σαδυάττης ὁ Ἄρδυος, καὶ ἐβασίλευσε ἔτεα δυώδεκα, Σαδυάττεω δὲ Ἀλυάττης. οὗτος δὲ Κυαξάρῃ τε τῷ Δηιόκεω ἀπογόνῳ ἐπολέμησε καὶ Μήδοισι, Κιμμερίους τε ἐκ τῆς Ἀσίης ἐξήλασε, Σμύρνην τε τὴν ἀπὸ Κολοφῶνος κτισθεῖσαν εἷλε, ἐς Κλαζομενάς τε ἐσέβαλε. ἀπὸ μέν νυν τούτων οὐκ ὡς ἤθελε ἀπήλλαξε, ἀλλὰ προσπταίσας μεγάλως· ἄλλα δὲ ἔργα ἀπε-

17 δέξατο ἐὼν ἐν τῇ ἀρχῇ ἀξιαπηγητότατα τάδε. ἐπολέμησε Μιλησίοισι, παραδεξάμενος τὸν πόλεμον παρὰ τοῦ πατρός. ἐπελαύνων γὰρ ἐπολιόρκεε τὴν Μίλητον τρόπῳ τοιῷδε. ὅκως μὲν εἴη ἐν τῇ γῇ καρπὸς ἁδρός, τηνικαῦτα ἐσέβαλλε τὴν στρατιήν· ἐστρατεύετο δὲ ὑπὸ συρίγγων τε καὶ πηκτίδων καὶ αὐλοῦ γυναικηίου τε καὶ ἀνδρηίου. ὡς δὲ ἐς τὴν Μιλησίην ἀπίκοιτο, οἰκήματα μὲν τὰ ἐπὶ τῶν ἀγρῶν οὔτε κατέβαλλε οὔτε

περὶ τῆς Ἄρδυος βασιλείας περὶ τῆς Σαδυάττου καὶ Ἀλυάττου βασιλείας ὅτι ὑπὸ συρίγγων καὶ αὐλῶν Λυδοὶ ἐστρατεύοντο περὶ τοῦ πρὸς Μιλησίους πολέμου καὶ Θρασυβούλου

1. ἐσέβαλε - p. 13, 10 πεδίῳ Suidas v. Γύγης. — 8. Λέξεις. — 15. Suidas v. Κλαζομενάς. — 19. ὅκως - 20 στρατιήν Lexicon Vindob. p. 134. — 21 sq. Gellius I 11. Priscianus XVIII 300. — Λέξεις

1. καὶ οὗτος στρατιὴν *Rbdz* || 2. ἐς om. Suid. || 3. γὰρ om. *b*. Suid. || ἔργον post μέγα *Rbdz* || 4. τεσσαράκοντα *CRbdz* || 5. μετὰ] τοῦ μετὰ? || 6. δὲ δὴ *Ppr.*, om. Suid. || 7. τε post τούτου om. Suid. || 9. ἀπικέατο *CP* || πλὴν] πρὶν *d* || σάρδεις *P* || 11. ἔτη *bdz* || 12. ἀλυάττης *R* || 14. ὑπὸ *z* || 16. δὲ om. *C*[1] || 19. ἐπολιόρκεε *ACR*[2]. Suid.: ἐπολιόρκησε || 20. ἀδρός *b* || ἐσέβαλε *Rdz* || 21. δὲ om. *R*[1] || πικτίδων *C*[1], πυκτίδων *z* || αὐλῶν Prisc. || 22. γυναικείου τε καὶ ἀνδρείου *Rbdz* || 23. οὔτε] οὐ Suid. || κατέβαλεν *Rbz*

ἐνεπίμπρη οὔτε θύρας ἀπέσπα, ἔα δὲ κατὰ χώρην ἑστάναι· ὁ δὲ τά τε δένδρεα καὶ τὸν καρπὸν τὸν ἐν τῇ γῇ ὅκως διαφθείρειε, ἀπαλλάσσετο ὀπίσω. τῆς γὰρ θαλάσσης οἱ Μιλήσιοι ἐπεκράτεον, ὥστε ἐπέδρης μὴ εἶναι ἔργον τῇ στρατιῇ. τὰς δὲ οἰκίας οὐ κατέβαλλε ὁ Λυδὸς τῶνδε εἵνεκα, ὅκως ἔχοιεν ἐνθεῦτεν ὁρμεόμενοι τὴν γῆν σπείρειν τε καὶ ἐργάζεσθαι οἱ Μιλήσιοι, αὐτὸς δὲ ἐκείνων ἐργαζομένων ἔχοι τι καὶ σίνεσθαι ἐσβάλλων. ταῦτα ποιέων ἐπολέμεε ἔτεα ἕνδεκα, ἐν τοῖσι τρώ- 18
ματα μεγάλα διφάσια Μιλησίων ἐγένετο, ἔν τε Λιμενηίῳ χώρης τῆς σφετέρης μαχεσαμένων καὶ ἐν Μαιάνδρου πεδίῳ. τὰ μέν νυν ἓξ ἔτεα τῶν ἕνδεκα Σαδυάττης ὁ Ἄρδυος ἔτι Λυδῶν ἦρχε, ὁ καὶ ἐσβάλλων τηνικαῦτα ἐς τὴν Μιλησίην τὴν στρατιήν· Σαδυάττης οὗτος γὰρ καὶ ὁ τὸν πόλεμον ἦν συνάψας· τὰ δὲ πέντε τῶν ἐτέων τὰ ἑπόμενα τοῖσι ἓξ Ἀλυάττης ὁ Σαδυάττεω ἐπολέμεε, ὃς παραδεξάμενος, ὡς καὶ πρότερόν μοι δεδήλωται, παρὰ τοῦ πατρὸς τὸν πόλεμον προσεῖχε ἐντεταμένως. τοῖσι δὲ Μιλησίοισι οὐδαμοὶ Ἰώνων τὸν πόλεμον τοῦτον συνεπελάφρυνον ὅτι μὴ Χῖοι μοῦνοι. οὗτοι δὲ τὸ ὅμοιον ἀνταποδιδόντες ἐτιμώρεον· καὶ γὰρ δὴ πρότερον οἱ Μιλήσιοι τοῖσι Χίοισι τὸν πρὸς Ἐρυθραίους πόλεμον συνδιήνεικαν. τῷ 19
δὲ δυωδεκάτῳ ἔτεϊ λήιου ἐμπιπραμένου ὑπὸ τῆς στρατιῆς συνηνείχθη τι τοιόνδε γενέσθαι πρῆγμα· ὡς ἅφθη τάχιστα τὸ λήιον, ἀνέμῳ βιώμενον ἅψατο νηοῦ Ἀθηναίης ἐπίκλησιν Ἀσσησίης, ἀφθεὶς δὲ ὁ νηὸς κατεκαύθη. καὶ τὸ παραυτίκα μὲν λόγος οὐδεὶς ἐγένετο, μετὰ δὲ τῆς στρατιῆς ἀπικομένης ἐς

ὅτι Χῖοι μόνοι συνεπολέμουν τοῖς Μιλησίοις

8. ἐν τοῖσι – 10 πεδίῳ Suidas v. διφάσια. τρώματα. — 23. Stephanus Byz. v. Ἀσσησός

1. κατέσπα *Rbdz* || ἑστάναι *A*. Suid.: ἑστάμεναι || 2. καρπὸν τὸν] καρπὸν *Rbz* || τὸν ἐν τῇ γῇ om. *P*[1] || 4. ἐπέδρης *C*, ἐπ' ἕδρης *Rbdz* || ἔργον] τὸ ἔργον Suid. || 5. κατέβαλλε *A*[2]: κατέβαλλεν *P*, κατέβαλε *A*[1], κατέβαλεν reliqui cum Suida || ἔχοιεν post ἐργάζεσθαι Suid. || 6. ἐντεῦτεν *C* || ὁρμεώμενοι *Cz*, ὁρμώμενοι ceteri || 9. ἔν τε] ἔν τε ἐν *AC* pr. Suid. v. Γύγης || 12. ἐσβαλὼν *Rbdz* || 13. σαδυάττης. οὗτος γὰρ *ACP*, σαδυάττης γὰρ οὗτος *dz* || 14. ἀλυάττης *R* ut fere || 18. συναπελάφρυνον *bdz* || ὁμοῖον *CP* || 21. συνηνέχθη *C* || 22. ἄφθη *ACb* || 23. ἀσισίης *A*[2]*bdz*, ἀσίης *C*[1] || 24. ἀφεὶς *C*[1] || νεὼς *C*

Σάρδις ἐνόσησε ὁ Ἀλυάττης. μακροτέρης δέ οἱ γινομένης τῆς
νούσου πέμπει ἐς Δελφοὺς θεοπρόπους, εἴτε δὴ συμβουλεύ-
σαντός τευ, εἴτε καὶ αὐτῷ ἔδοξε πέμψαντα τὸν θεὸν ἐπείρε-
σθαι περὶ τῆς νούσου. τοῖσι δὲ ἡ Πυθίη ἀπικομένοισι ἐς Δελ-
φοὺς οὐκ ἔφη χρήσειν πρὶν ἢ τὸν νηὸν τῆς Ἀθηναίης ἀνορθώ-
20 σωσι, τὸν ἐνέπρησαν χώρης τῆς Μιλησίης ἐν Ἀσσησῷ. Δελ-
φῶν οἶδα ἐγὼ οὕτω ἀκούσας γενέσθαι· Μιλήσιοι δὲ τάδε
προστιθεῖσι τούτοισι, Περίανδρον τὸν Κυψέλου ἐόντα Θρασυ-
βούλῳ τῷ τότε Μιλήτου τυραννεύοντι ξεῖνον ἐς τὰ μάλιστα,
πυθόμενον τὸ χρηστήριον τὸ τῷ Ἀλυάττῃ γενόμενον, πέμ-
ψαντα ἄγγελον κατειπεῖν, ὅκως ἄν τι προειδὼς πρὸς τὸ παρεὸν
21 βουλεύηται. Μιλήσιοι μέν νυν οὕτω λέγουσι γενέσθαι. Ἀλυάτ-
της δέ, ὥς οἱ ταῦτα ἐξαγγέλθη, αὐτίκα ἔπεμπε κήρυκα ἐς Μί-
λητον βουλόμενος σπονδὰς ποιήσασθαι Θρασυβούλῳ τε καὶ
Μιλησίοισι χρόνον ὅσον ἂν τὸν νηὸν οἰκοδομέῃ. ὁ μὲν δὴ
ἀπόστολος ἐς τὴν Μίλητον ἦν, Θρασύβουλος δὲ σαφέως προ-
πεπυσμένος πάντα λόγον, καὶ εἰδὼς τὰ Ἀλυάττης μέλλοι ποιή-
σειν, μηχανᾶται τοιάδε. ὅσος ἦν ἐν τῷ ἄστεϊ σῖτος καὶ ἑωυ-
τοῦ καὶ ἰδιωτικός, τοῦτον πάντα συγκομίσας ἐς τὴν ἀγορὴν
προεῖπε Μιλησίοισι, ἐπεὰν αὐτὸς σημήνῃ, τότε πίνειν τε πάν-
22 τας καὶ κώμῳ χρᾶσθαι ἐς ἀλλήλους. ταῦτα δὲ ἐποίεέ τε καὶ
προηγόρευε Θρασύβουλος τῶνδε εἵνεκεν, ὅκως ἂν δὴ ὁ κῆρυξ
ὁ Σαρδιηνὸς ἰδών τε σωρὸν μέγαν σίτου κεχυμένον καὶ τοὺς

πῶς ὁ πρὸς Μιλησίους καὶ Θρασύβουλον ἐπὶ Ἀλυάττου πόλεμος κατελύθη

3. εἴτε καὶ - ἐπείρεσθαι Priscianus XVIII 183. — 8 sq. Diogenes L. I 95

1. σάρδεις *Pd* ‖ γινομένης *ACP*: γενομένης ‖ 2. νόσου *CR* ‖ δὴ (ἐ) *C* ‖ 3. πέμψαντι *A²Rbdz*, πέμψαν *C*, πέμψαι Prisc. ‖ ἐπερέσθαι Prisc. ‖ 4. νόσου *CRd* ‖ 5. ἀνορθώσουσι *A²Rbdz* ‖ 6. ἀσησῶ *b* ‖ 8. κυψέλλου *bd* ‖ 10. πειθόμενον *d* ‖ 11. ἀπ-ειπεῖν *C* ‖ παρὸν *Rbdz* ‖ 13. ἐξηγγέλθη *Rbdz* ‖ κήρυκας *A²Rbdz* ‖ 15. οἰκοδομῇ *L* ‖ 16. προπεπευσμένος *A²Rdz* ‖ 17. μέλλει *Pbdz*, μέλοι *R* ‖ 18. τοιόνδε *Rbdz* ‖ ὅσον *C¹* ‖ 19. ἅπαντα *A²Rbdz* ‖ συναγαγὼν *A²Rbdz* ‖ 20. σημήνινηι *C* ‖ 21. χρέεσθαι *CP*, χρῆσθαι reliqui ‖ 22. προηγόρευε *bz*, προσηγόρευε *d* ‖ εἵνεκα *Rbdz* ‖ δὴ] δὲ *C* ‖ 23. σαρδήϊος *Rbdz* ‖ εἰδὼν *C¹* ‖ σῶρον *dz*, σορὸν *b*

ἀνθρώπους ἐν εὐπαθείῃσι ἐόντας ἀγγείλῃ Ἀλυάττῃ. τὰ δὴ καὶ ἐγένετο· ὡς γὰρ δὴ ἰδών τε ἐκεῖνα ὁ κῆρυξ καὶ εἴπας πρὸς Θρασύβουλον τοῦ Λυδοῦ τὰς ἐντολὰς ἀπῆλθε ἐς τὰς Σάρδις, ὡς ἐγὼ πυνθάνομαι, δι' οὐδὲν ἄλλο ἐγένετο ἡ διαλλαγή. ἐλπίζων γὰρ ὁ Ἀλυάττης σιτοδείην τε εἶναι ἰσχυρὴν ἐν τῇ Μιλήτῳ καὶ τὸν λεὼν τετρῦσθαι ἐς τὸ ἔσχατον κακοῦ, ἤκουε τοῦ κήρυκος νοστήσαντος ἐκ τῆς Μιλήτου τοὺς ἐναντίους λόγους ἢ ὡς αὐτὸς κατεδόκεε. μετὰ δὲ ἥ τε διαλλαγή σφι ἐγένετο ἐπ' ᾧ τε ξείνους ἀλλήλοισι εἶναι καὶ συμμάχους, καὶ δύο τε ἀντὶ ἑνὸς νηοὺς τῇ Ἀθηναίῃ οἰκοδόμησε ὁ Ἀλυάττης ἐν τῇ Ἀσσησῷ, αὐτός τε ἐκ τῆς νούσου ἀνέστη. κατὰ μὲν τὸν πρὸς Μιλησίους τε καὶ Θρασύβουλον πόλεμον Ἀλυάττῃ ὧδε ἔσχε.

Περίανδρος δὲ ἦν Κυψέλου παῖς, οὗτος ὁ τῷ Θρασυβούλῳ 23
τὸ χρηστήριον μηνύσας. ἐτυράννευε δὲ ὁ Περίανδρος Κορίνθου· τῷ δὴ λέγουσι Κορίνθιοι (ὁμολογέουσι δέ σφι Λέσβιοι) ἐν τῷ βίῳ θῶυμα μέγιστον παραστῆναι, Ἀρίονα τὸν Μηθυμναῖον ἐπὶ δελφῖνος ἐξενειχθέντα ἐπὶ Ταίναρον, ἐόντα κιθαρῳδὸν τῶν τότε ἐόντων οὐδενὸς δεύτερον, καὶ διθύραμβον πρῶτον ἀνθρώπων τῶν ἡμεῖς ἴδμεν ποιήσαντά τε καὶ ὀνομάσαντα καὶ διδάξαντα ἐν Κορίνθῳ. τοῦτον τὸν Ἀρίονα λέγουσι, τὸν 24
πολλὸν τοῦ χρόνου διατρίβοντα παρὰ Περιάνδρῳ, ἐπιθυμῆσαι πλῶσαι ἐς Ἰταλίην τε καὶ Σικελίην, ἐργασάμενον δὲ χρήματα μεγάλα θελῆσαι ὀπίσω ἐς Κόρινθον ἀπικέσθαι. ὁρμᾶσθαι

περὶ Περιάνδρου τοῦ Κορινθίων τυράννου καὶ Ἀρίονος τοῦ Μηθυμναίου

---

4. ἐλπίζων - 6 κακοῦ Priscianus XVIII 203. — 15. τῷ - Λέσβιοι Hermogenes περὶ μεθ. δειν. p. 434 W. — 16. - p. 17, 3 (Fronto p. 223 sqq. Mai.). Gellius XVI 19 latine interpretans uterque. — 18 - 20 (Dio Chrys. XXXVII p. 101 R.). — Λέξεις

1. εὐπαθίησιν *C*, εὐπαθίῃσι *A*[2] ‖ 2. εἰπὼν *R*[2]*bdz* ‖ 3. τὰς ἐντολὰς τοῦ λυδοῦ *z* ‖ ὑπῆλθεν *bd* ‖ σάρδεις *P* ‖ 5. σιτοδηΐην *Rz*, σιτοδίην *d*, CITΩΔIHN Prisc. cod. unus, alii CITΩHN CITΩΛINH CTI4OINN ‖ 6. νεὼν *C*[1], λεῷ *R*. Prisc. cod. unus ‖ τετρύσθαι *ACPb*, τετρῆσθαι *Rdz* ‖ 8. ἐδόκεε *CP* ‖ 9. ξυμμάχους *L* ‖ 10. οἰκοδόμησε *Ppr.*, οἰκοδόμησεν *C*: ᾠκοδόμησε *APcorr.*, ᾠκοδόμησεν *Rbd*, ᾡκοδόμησεν *z* ‖ 11. ἀσσησᾶ *C* ‖ νόσου *CRd* ‖ κατὰ μὲν] καὶ τὰ μὲν κατὰ *bdz* ‖ 13. κυψέλλου *d* ‖ 15. τῷ] οὕτω Hermog. ‖ 16. θῶμα *Ppr.*, τῶμα *C*, θώϋμα *z* ‖ μιθυμναῖον *A* ‖ 17. ἐξενεχθέντα *A* ‖ 20. τὸ πολλὸν *b*

μέν νυν ἐκ Τάραντος, πιστεύοντα δὲ οὐδαμοῖσι μᾶλλον ἢ Κορινθίοισι μισθώσασθαι πλοῖον ἀνδρῶν Κορινθίων. τοὺς δὲ ἐν τῷ πελάγεϊ ἐπιβουλεύειν τὸν Ἀρίονα ἐκβαλόντας ἔχειν τὰ χρήματα. τὸν δὲ συνέντα τοῦτο λίσσεσθαι, χρήματα μέν σφι προϊέντα, ψυχὴν δὲ παραιτεόμενον. οὔκων δὴ πείθειν αὐτὸν τούτοισι, ἀλλὰ κελεύειν τοὺς πορθμέας ἢ αὐτὸν διαχρᾶσθαί μιν, ὡς ἂν ταφῆς ἐν γῇ τύχῃ, ἢ ἐκπηδᾶν ἐς τὴν θάλασσαν τὴν ταχίστην. ἀπειληθέντα δὴ τὸν Ἀρίονα ἐς ἀπορίην παραιτήσασθαι, ἐπειδή σφι οὕτω δοκέοι, περιιδεῖν αὐτὸν ἐν τῇ σκευῇ πάσῃ στάντα ἐν τοῖσι ἑδωλίοισι ἀεῖσαι· ἀείσας δὲ ὑπεδέκετο ἑωυτὸν κατεργάσασθαι. καὶ τοῖσι ἐσελθεῖν γὰρ ἡδονὴν εἰ μέλλοιεν ἀκούσεσθαι τοῦ ἀρίστου ἀνθρώπων ἀοιδοῦ, ἀναχωρῆσαι ἐκ τῆς πρύμνης ἐς μέσην νέα. τὸν δὲ ἐνδύντα τε πᾶσαν τὴν σκευὴν καὶ λαβόντα τὴν κιθάρην, στάντα ἐν τοῖσι ἑδωλίοισι διεξελθεῖν νόμον τὸν ὄρθιον, τελευτῶντος δὲ τοῦ νόμου ῥῖψαί μιν ἐς τὴν θάλασσαν ἑωυτόν, ὡς εἶχε, σὺν τῇ σκευῇ πάσῃ. καὶ τοὺς μὲν ἀποπλέειν ἐς Κόρινθον, τὸν δὲ δελφῖνα λέγουσι ὑπολαβόντα ἐξενεῖκαι ἐπὶ Ταίναρον. ἀποβάντα δὲ αὐτὸν χωρέειν ἐς Κόρινθον σὺν τῇ σκευῇ, καὶ ἀπικόμενον ἀπηγέεσθαι πᾶν τὸ γεγονός. Περίανδρον δὲ ὑπὸ ἀπιστίης Ἀρίονα μὲν ἐν φυλακῇ ἔχειν οὐδαμῇ μετιέντα, ἀνακῶς δὲ ἔχειν τῶν πορθμέων. ὡς δὲ ἄρα παρεῖναι αὐτούς, κληθέντας ἱστορέεσθαι εἴ τι λέγοιεν περὶ Ἀρίονος. φαμένων δὲ ἐκείνων ὡς εἴη τε σῶς περὶ Ἰταλίην καί μιν εὖ πρήσσοντα λίποιεν ἐν Τάραντι, ἐπιφανῆναί σφι τὸν Ἀρίονα ὥσπερ ἔχων ἐξεπήδησε· καὶ τοὺς ἐκπλαγέντας οὐκ ἔχειν ἔτι ἐλεγχομένους

10. Λέξεις. Harpocratio v. ἑδωλιᾶσαι. — 14. Λέξεις. — 15. Λέξεις. — 21. Λέξεις. Eustathius Il. p. 21

5. προϊέντα σφιν *Rbdz* || 6. αὑτὸν *A* || 7. ταφεὶς *R* || 8. δὴ scripsi: δὲ || 9. σφιν *ACRb* || δοκέει *b* || περιιδέειν *z* || 10. εδώλοισι *A*, ἑδώλοισιν *C*[1], ἑδωλίοισι *b* || 11. κατεργάσεσθαι *P* || 15. εδώλοισι *A*, ἑδώλοισι *C*, ἑδωλίοισι *b* || ὤρθριον *Rbd* || 17. ἐς τὴν κόρινθον *Rbdz* || 18. ἐπὶ] ἐς *Rbdz* || 23. περὶ] περὶ τὴν *dz* || 26. ἐλεγχόμενος *C*[1]

ἀρνέεσθαι. ταῦτα μέν νυν Κορίνθιοί τε καὶ Λέσβιοι λέγουσι, καὶ Ἀρίονος ἐστὶ ἀνάθημα χάλκεον οὐ μέγα ἐπὶ Ταινάρῳ, ἐπὶ δελφῖνος ἐπεὼν ἄνθρωπος.

Ἀλυάττης δὲ ὁ Λυδὸς τὸν πρὸς Μιλησίους πόλεμον διε- 25
νείκας μετέπειτα τελευτᾷ, βασιλεύσας ἔτεα ἑπτὰ καὶ πεντήκοντα. ἀνέθηκε δὲ ἐκφυγὼν τὴν νοῦσον δεύτερος οὗτος τῆς οἰκίης ταύτης ἐς Δελφοὺς κρητῆρά τε ἀργύρεον μέγαν καὶ ὑποκρητηρίδιον σιδήρεον κολλητόν, θέης ἄξιον διὰ πάντων τῶν ἐν Δελφοῖσι ἀναθημάτων, Γλαύκου τοῦ Χίου ποίημα, ὃς μοῦνος δὴ πάντων ἀνθρώπων σιδήρου κόλλησιν ἐξεῦρε.

Τελευτήσαντος δὲ Ἀλυάττεω ἐξεδέξατο τὴν βασιληίην 26
Κροῖσος ὁ Ἀλυάττεω, ἐτέων ἐὼν ἡλικίην πέντε καὶ τριήκοντα, ὃς δὴ Ἑλλήνων πρώτοισι ἐπεθήκατο Ἐφεσίοισι. ἔνθα δὴ οἱ Ἐφέσιοι πολιορκεόμενοι ὑπ᾽ αὐτοῦ ἀνέθεσαν τὴν πόλιν τῇ Ἀρτέμιδι, ἐξάψαντες ἐκ τοῦ νηοῦ σχοινίον ἐς τὸ τεῖχος· ἔστι δὲ μεταξὺ τῆς τε παλαιῆς πόλιος, ἣ τότε ἐπολιορκέετο, καὶ τοῦ νηοῦ ἑπτὰ στάδιοι. πρώτοισι μὲν δὴ τούτοισι ἐπεχείρησε ὁ Κροῖσος, μετὰ δὲ ἐν μέρεϊ ἑκάστοισι Ἰώνων τε καὶ Αἰολέων, ἄλλοισι ἄλλας αἰτίας ἐπιφέρων, τῶν μὲν ἐδύνατο μέζονας παρευρίσκειν, μέζονα ἐπαιτιώμενος, τοῖσι δὲ αὐτῶν καὶ φαῦλα
ἐπιφέρων. ὡς δὲ ἄρα οἱ ἐν τῇ Ἀσίῃ Ἕλληνες κατεστράφατο 27
ἐς φόρου ἀπαγωγήν, τὸ ἐνθεῦτεν ἐπενόεε νέας ποιησάμενος ἐπιχειρέειν τοῖσι νησιώτῃσι. ἐόντων δέ οἱ πάντων ἑτοίμων ἐς τὴν ναυπηγίην, οἱ μὲν Βίαντα λέγουσι τὸν Πριηνέα ἀπικόμενον ἐς Σάρδις, οἱ δὲ Πιττακὸν τὸν Μυτιληναῖον, εἰρομέ-

περὶ τῆς Ἀλυάττου τελευτῆς καὶ τῶν εἰς Δελφοὺς αὐτοῦ ἀναθημάτων ὅτι Γλαῦκος ὁ Χῖος πρῶτος σιδήρου κόλλησιν εὗρεν περὶ τῆς Κροίσου βασιλείας καὶ τίσι τῶν Ἑλλήνων ἐπέθετο

3. Pausanias III 25. — 8. Plutarchus mor. p. 436. — 10. Schol. Platon. p. 382 Bekk. — 11. τελευτήσαντος - βασιληίην Ammonius v. τύραννον

2. οὐ μέγα *Abdz*. Dio: μέγα ‖ 11. ἐξεδέξατο - 12 Ἀλυάττεω om. *R* | διεδέξατο Ammon. ‖ 12. ὢν *Rbdz* ‖ τριάκοντα *R* ‖ 14. πολιορκούμενοι *A*[1], πολιερκεύμενοι *C*, πολιόρκεύμενοι (ε superscr.) *P* ‖ 16. τε om. *z* ‖ παλαιᾶς *Rd* ‖ ἐπολιόρκέετο (ε superscr.) *P* ‖ 20. αὐτέων *z* ‖ φλαῦρα Schaefer ‖ 25. σάρδις] σάρδεις *P*, πέρσας *bd*[1], Κροῖσον *z* ‖ μυτιληναῖον *A*: μιτυληναῖον ‖ εἰρομένου] εἰρομένου δὲ *z*

μέν νυν ἐκ Τάραντος, πιστεύοντα δὲ οὐδαμοῖσι μᾶλλον ἢ Κορινθίοισι μισθώσασθαι πλοῖον ἀνδρῶν Κορινθίων. τοὺς δὲ ἐν τῷ πελάγεϊ ἐπιβουλεύειν τὸν Ἀρίονα ἐκβαλόντας ἔχειν τὰ χρήματα. τὸν δὲ συνέντα τοῦτο λίσσεσθαι, χρήματα μέν σφι προϊέντα, ψυχὴν δὲ παραιτεόμενον. οὔκων δὴ πείθειν αὐτὸν τούτοισι, ἀλλὰ κελεύειν τοὺς πορθμέας ἢ αὐτὸν διαχρᾶσθαί μιν, ὡς ἂν ταφῆς ἐν γῇ τύχῃ, ἢ ἐκπηδᾶν ἐς τὴν θάλασσαν τὴν ταχίστην. ἀπειληθέντα δὴ τὸν Ἀρίονα ἐς ἀπορίην παραιτήσασθαι, ἐπειδή σφι οὕτω δοκέοι, περιιδεῖν αὐτὸν ἐν τῇ σκευῇ πάσῃ στάντα ἐν τοῖσι ἑδωλίοισι ἀεῖσαι· ἀείσας δὲ ὑπεδέκετο ἑωυτὸν κατεργάσασθαι. καὶ τοῖσι ἐσελθεῖν γὰρ ἡδονὴν εἰ μέλλοιεν ἀκούσεσθαι τοῦ ἀρίστου ἀνθρώπων ἀοιδοῦ, ἀναχωρῆσαι ἐκ τῆς πρύμνης ἐς μέσην νέα. τὸν δὲ ἐνδύντα τε πᾶσαν τὴν σκευὴν καὶ λαβόντα τὴν κιθάρην, στάντα ἐν τοῖσι ἑδωλίοισι διεξελθεῖν νόμον τὸν ὄρθιον, τελευτῶντος δὲ τοῦ νόμου ῥῖψαί μιν ἐς τὴν θάλασσαν ἑωυτόν, ὡς εἶχε, σὺν τῇ σκευῇ πάσῃ. καὶ τοὺς μὲν ἀποπλέειν ἐς Κόρινθον, τὸν δὲ δελφῖνα λέγουσι ὑπολαβόντα ἐξενεῖκαι ἐπὶ Ταίναρον. ἀποβάντα δὲ αὐτὸν χωρέειν ἐς Κόρινθον σὺν τῇ σκευῇ, καὶ ἀπικόμενον ἀπηγέεσθαι πᾶν τὸ γεγονός. Περίανδρον δὲ ὑπὸ ἀπιστίης Ἀρίονα μὲν ἐν φυλακῇ ἔχειν οὐδαμῇ μετιέντα, ἀνακῶς δὲ ἔχειν τῶν πορθμέων. ὡς δὲ ἄρα παρεῖναι αὐτούς, κληθέντας ἱστορέεσθαι εἴ τι λέγοιεν περὶ Ἀρίονος. φαμένων δὲ ἐκείνων ὡς εἴη τε σῶς περὶ Ἰταλίην καί μιν εὖ πρήσσοντα λίποιεν ἐν Τάραντι, ἐπιφανῆναί σφι τὸν Ἀρίονα ὥσπερ ἔχων ἐξεπήδησε· καὶ τοὺς ἐκπλαγέντας οὐκ ἔχειν ἔτι ἐλεγχομένους

---

10. Λέξεις. Harpocratio v. ἑδωλιᾶσαι. — 14. Λέξεις. — 15. Λέξεις. — 21. Λέξεις. Eustathius Il. p. 21

5. προϊέντα σφιν *Rbdz* ‖ 6. αὐτὸν *A* ‖ 7. ταφεὶς *R* ‖ 8. δὴ scripsi: δὲ ‖ 9. σφιν *ACRb* ‖ δοκέει *b* ‖ περιιδέειν *z* ‖ 10. εδώλοισι *A*, ἑδώλοισιν *C*[1], ἑδωλίοισι *b* ‖ 11. κατεργάσεσθαι *P* ‖ 15. εδώλοισι *A*, ἑδώλοισι *C*, ἑδωλίοισι *b* ‖ ὄρθριον *Rbd* ‖ 17. ἐς τὴν κόρινθον *Rbdz* ‖ 18. ἐπὶ] ἐς *Rbdz* ‖ 23. περὶ] περὶ τὴν *dz* ‖ 26. ἐλεγχόμενος *C*[1]

ἀρνέεσθαι. ταῦτα μέν νυν Κορίνθιοί τε καὶ Λέσβιοι λέγουσι, καὶ Ἀρίονος ἐστὶ ἀνάθημα χάλκεον οὐ μέγα ἐπὶ Ταινάρῳ, ἐπὶ δελφῖνος ἐπεὼν ἄνθρωπος.

25 Ἀλυάττης δὲ ὁ Λυδὸς τὸν πρὸς Μιλησίους πόλεμον διενείκας μετέπειτα τελευτᾷ, βασιλεύσας ἔτεα ἑπτὰ καὶ πεντήκοντα. ἀνέθηκε δὲ ἐκφυγὼν τὴν νοῦσον δεύτερος οὗτος τῆς οἰκίης ταύτης ἐς Δελφοὺς κρητῆρά τε ἀργύρεον μέγαν καὶ ὑποκρητηρίδιον σιδήρεον κολλητόν, θέης ἄξιον διὰ πάντων τῶν ἐν Δελφοῖσι ἀναθημάτων, Γλαύκου τοῦ Χίου ποίημα, ὃς μοῦνος δὴ πάντων ἀνθρώπων σιδήρου κόλλησιν ἐξεῦρε.

26 Τελευτήσαντος δὲ Ἀλυάττεω ἐξεδέξατο τὴν βασιληίην Κροῖσος ὁ Ἀλυάττεω, ἐτέων ἐὼν ἡλικίην πέντε καὶ τριήκοντα, ὃς δὴ Ἑλλήνων πρώτοισι ἐπεθήκατο Ἐφεσίοισι. ἔνθα δὴ οἱ Ἐφέσιοι πολιορκεόμενοι ὑπ' αὐτοῦ ἀνέθεσαν τὴν πόλιν τῇ Ἀρτέμιδι, ἐξάψαντες ἐκ τοῦ νηοῦ σχοινίον ἐς τὸ τεῖχος· ἔστι δὲ μεταξὺ τῆς τε παλαιῆς πόλιος, ἣ τότε ἐπολιορκέετο, καὶ τοῦ νηοῦ ἑπτὰ στάδιοι. πρώτοισι μὲν δὴ τούτοισι ἐπεχείρησε ὁ Κροῖσος, μετὰ δὲ ἐν μέρεϊ ἑκάστοισι Ἰώνων τε καὶ Αἰολέων, ἄλλοισι ἄλλας αἰτίας ἐπιφέρων, τῶν μὲν ἐδύνατο μέζονας παρευρίσκειν, μέζονα ἐπαιτιώμενος, τοῖσι δὲ αὐτῶν καὶ φαῦλα ἐπιφέρων. ὡς δὲ ἄρα οἱ ἐν τῇ Ἀσίῃ Ἕλληνες κατεστράφατο 27 ἐς φόρου ἀπαγωγήν, τὸ ἐνθεῦτεν ἐπενόεε νέας ποιησάμενος ἐπιχειρέειν τοῖσι νησιώτῃσι. ἐόντων δέ οἱ πάντων ἑτοίμων ἐς τὴν ναυπηγίην, οἱ μὲν Βίαντα λέγουσι τὸν Πριηνέα ἀπικόμενον ἐς Σάρδις, οἱ δὲ Πιττακὸν τὸν Μυτιληναῖον, εἰρομέ-

περὶ τῆς Ἀλυάττου τελευτῆς καὶ τῶν εἰς Δελφοὺς αὐτοῦ ἀναθημάτων
ὅτι Γλαῦκος ὁ Χῖος πρῶτος σιδήρου κόλλησιν εὗρεν   περὶ τῆς Κροίσου
βασιλείας καὶ τίσι τῶν Ἑλλήνων ἐπέθετο

3. Pausanias III 25. — 8. Plutarchus mor. p. 436. — 10. Schol. Platon. p. 382 Bekk. — 11. τελευτήσαντος - βασιληίην Ammonius v. τύραννον

2. οὐ μέγα *Abdz*. Dio: μέγα ‖ 11. ἐξεδέξατο - 12 Ἀλυάττεω om. *R* | διεδέξατο Ammon. ‖ 12. ὢν *Rbdz* ‖ τριάκοντα *R* ‖ 14. πολιορκούμενοι *A*[1], πολιερκεύμενοι *C*, πολιορκεύμενοι (ε supra ο) *P* ‖ 16. τε om. *z* ‖ παλαιᾶς *Rd* ‖ ἐπολιορκέετο (ε supra ο) *P* ‖ 20. αὐτέων *z* ‖ φλαῦρα Schaefer ‖ 25. σάρδις] σάρδεις *P*, πέρσας *bd*[1], Κροῖσον *z* ‖ μυτιληναῖον *A*: μιτυληναῖον ‖ εἰρομένου] εἰρομένου δὲ *z*

νου Κροίσου εἴ τι εἴη νεώτερον περὶ τὴν Ἑλλάδα, εἰπόντα τάδε καταπαῦσαι τὴν ναυπηγίην. "ὦ βασιλεῦ, νησιῶται ἵππον συνωνέονται μυρίην, ἐς Σάρδις τε καὶ ἐπὶ σὲ ἐν νόῳ ἔχοντες στρατεύεσθαι." Κροῖσον δὲ ἐλπίσαντα λέγειν ἐκεῖνον ἀληθέα εἰπεῖν "αἲ γὰρ τοῦτο θεοὶ ποιήσειαν ἐπὶ νόον νησιώτῃσι, ἐλθεῖν ἐπὶ Λυδῶν παῖδας σὺν ἵπποισι." τὸν δὲ ὑπολαβόντα φάναι "ὦ βασιλεῦ, προθύμως μοι φαίνεαι εὔξασθαι νησιώτας ἱππευομένους λαβεῖν ἐν ἠπείρῳ, οἰκότα ἐλπίζων. νησιώτας δὲ τί δοκέεις εὔχεσθαι ἄλλο ἤ, ἐπείτε τάχιστα ἐπύθοντό σε μέλλοντα ἐπὶ σφίσι ναυπηγέεσθαι νέας, λαβεῖν ἀρώμενοι Λυδοὺς ἐν θαλάσσῃ, ἵνα ὑπὲρ τῶν ἐν τῇ ἠπείρῳ οἰκημένων Ἑλλήνων τίσωνταί σε, τοὺς σὺ δουλώσας ἔχεις;" κάρτα τε ἡσθῆναι Κροῖσον τῷ ἐπιλόγῳ καί οἱ, προσφυέως γὰρ δόξαι λέγειν, πειθόμενον παύσασθαι τῆς ναυπηγίης. καὶ οὕτω τοῖσι τὰς νήσους οἰκημένοισι Ἴωσι ξεινίην συνεθήκατο.

28 Χρόνου δὲ ἐπιγινομένου καὶ κατεστραμμένων σχεδὸν πάντων τῶν ἐντὸς Ἅλυος ποταμοῦ οἰκημένων (πλὴν γὰρ Κιλίκων καὶ Λυκίων τοὺς ἄλλους πάντας ὑπ' ἑωυτῷ εἶχε καταστρεψάμενος ὁ Κροῖσος). [εἰσὶ δὲ οἵδε, Λυδοί, Φρύγες, Μυσοί, Μαριανδυνοί, Χάλυβες, Παφλαγόνες, Θρήικες οἱ Θυνοί τε καὶ
29 Βιθυνοί, Κᾶρες, Ἴωνες, Δωριέες, Αἰολέες, Πάμφυλοι,] κατεστραμμένων δὲ τούτων [καὶ προσεπικτωμένου Κροίσου Λυδοῖσι], ἀπικνέονται ἐς Σάρδις ἀκμαζούσας πλούτῳ ἄλλοι τε οἱ πάντες ἐκ τῆς Ἑλλάδος σοφισταί, οἳ τοῦτον τὸν χρόνον ἐτύγχανον

ὅσους ὑπέταξε Κροῖσος (*Rb*)

15. Λέξεις. — 20 sq. Eustathius Dion. 322. — 24. Plutarchus mor. p. 857

1. εἴπαντα *A*² ‖ 3. ἐνῶ ἔχοντες *R*, ἔχοντες ἐν νῷ *z*, ἐν νῷ ἔχοντες reliqui ‖ 4. ἐκεῖνον λέγειν *b* ‖ 6. παῖδα *C*¹ ‖ 8. βαλεῖν *A*²*R* ‖ εοικότα *A*¹, εἰκότα *sz* ‖ 9. ἐπύθοντο σὲ *A* ‖ 10. ἀρᾶσθαι *C*²*P*¹, γρ. ἀρώμενοι *P*ᵐ ‖ 12. τίσονταί *R* ‖ ἡισθῆναι *C* ‖ 15. ξεινίην gloss. ‖ 16. ἐπιγιγνομένου *bd*, ἐπιγενομένου *CR* ‖ 17. ἅλυος *b* ‖ 18. ὑπὸ *bz* ‖ 19. εἰσὶ - 21 Πάμφυλοι seclusi ‖ 19. οἶδε *A*, οἰδε *C* ‖ μαριανδηνοὶ *C*, μαριανδηνοὶ *bz*, μαρυανδυνοὶ *R*, μαριανδανοὶ *d* ‖ 20. θρῆκες *Rbd*, Θρῆκες *z* ‖ οἱ Θυνοί] ἰθυνοί *CP*, Οἰθυνοί *sz* ‖ 22. καὶ - Λυδοῖσι seclusi ‖ 23. σάρδεις *P*

ἐόντες, ὡς ἕκαστος αὐτῶν ἀπικνέοιτο, καὶ δὴ καὶ Σόλων ἀνὴρ Ἀθηναῖος, ὃς Ἀθηναίοισι νόμους κελεύσασι ποιήσας ἀπεδήμησε ἔτεα δέκα, κατὰ θεωρίης πρόφασιν ἐκπλώσας, ἵνα δὴ μή τινα τῶν νόμων ἀναγκασθῇ λῦσαι τῶν ἔθετο. αὐτοὶ γὰρ οὐκ οἷοί τε ἦσαν αὐτὸ ποιῆσαι Ἀθηναῖοι· ὁρκίοισι γὰρ μεγάλοισι κατείχοντο δέκα ἔτεα χρήσεσθαι νόμοισι τοὺς ἄν σφι Σόλων θῆται. αὐτῶν δὴ ὧν τούτων καὶ τῆς θεωρίης ἐκδημήσας ὁ Σόλων 30
εἵνεκεν ἐς Αἴγυπτον ἀπίκετο παρὰ Ἄμασιν καὶ δὴ καὶ ἐς Σάρδις παρὰ Κροῖσον. ἀπικόμενος δὲ ἐξεινίζετο ἐν τοῖσι βασιληίοισι ὑπὸ τοῦ Κροίσου· μετὰ δὲ ἡμέρῃ τρίτῃ ἢ τετάρτῃ κελεύσαντος Κροίσου τὸν Σόλωνα θεράποντες περιῆγον κατὰ τοὺς θησαυρούς, καὶ ἐπεδείκνυσαν πάντα ἐόντα μεγάλα τε καὶ ὄλβια. θεησάμενον δέ μιν τὰ πάντα καὶ σκεψάμενον ὥς οἱ κατὰ καιρὸν ἦν, εἴρετο ὁ Κροῖσος τάδε. "ξεῖνε Ἀθηναῖε, παρ' ἡμέας γὰρ περὶ σέο λόγος ἀπῖκται πολλὸς καὶ σοφίης [εἵνεκεν] τῆς σῆς καὶ πλάνης, ὡς φιλοσοφέων γῆν πολλὴν θεωρίης εἵνεκεν ἐπελήλυθας· νῦν ὦν ἐπείρεσθαί με ἵμερος ἐπῆλθέ σε εἴ τινα ἤδη πάντων εἶδες ὀλβιώτατον." ὁ μὲν ἐλπίζων εἶναι ἀνθρώπων ὀλβιώτατος ταῦτα ἐπειρώτα· Σόλων δὲ οὐδὲν ὑποθωπεύσας ἀλλὰ τῷ ἐόντι χρησάμενος λέγει "ὦ βασιλεῦ, Τέλλον Ἀθηναῖον." ἀποθωυμάσας δὲ Κροῖσος τὸ λεχθὲν εἴρετο ἐπιστρεφέως "κοίῃ δὴ κρίνεις Τέλλον εἶναι ὀλβιώτατον;" ὁ δὲ εἶπε "Τέλλῳ τοῦτο μὲν τῆς πόλιος εὖ ἡκούσης παῖδες

περὶ Σόλωνος τοῦ Ἀθηναίου καὶ τῆς πρὸς Κροῖσον αὐτοῦ διαλέξεως
περὶ Τέλλου τοῦ Ἀθηναίου

---

20. Herodianus περὶ μον. λέξ. p. 11. — 22. Λέξεις. — 23. Λέξεις

1. αὐτέων z ‖ σῶλον C^1 ‖ 3. μὴ δὴ *Rbdz* ‖ 4. οὐ δῖοί *R* ‖ 6. σφίσι sz ‖ 7. αὐτοῦ δὴ ὦν τούτου z ‖ 8. εἵνεκα z ‖ ἄμασιν *C*, ἄμασϊ *Rz*, Αμασι z | σάρδεις *P* ‖ 10. τοῦ om. *R* ‖ 12. ἐπεδείκνυον z ‖ 13. θηησάμενον *b* ‖ τὰ πάντα] τὰ πάντα ἐόντα μεγάλα τε z ‖ 15. περὶ σέο] περὶ σεῦ *bdz*, σε *R* ‖ ἀφῖκται *b* ‖ εἵνεκεν seclusi ‖ 16. γῆν πολλὴν *CP*: τὴν πολλὴν *A*, τῆς πολλῆς *Rbdz*, ἢ τὴν πόλιν ὅπερ κρεῖττον A^2 adscr. ‖ 17. με] μοι *Rbd* ‖ ἵμερος post ὦν *Rbdz* ‖ σε om. *Rbdz* ‖ 19. ἐπηρώτα *Pz*, ἐπηρῶτα C^1 ‖ 21. ἀποθωυμάσας δὲ ὁ κροῖσος *bd*, κροῖσος δὲ ἀποθωυμάσας *P*, κροῖσος δὲ ἀποθωμάσας *C*
τούτω
22. ἐπιστροφέως *C* ‖ κοίη *CRbdz* ‖ 23. τοῦτο *R*, τούτω *bd*, τούτῳ z

ἦσαν καλοί τε κἀγαθοί, καί σφι εἶδε ἅπασι τέκνα ἐκγενόμενα καὶ πάντα παραμείναντα· τοῦτο δὲ τοῦ βίου εὖ ἥκοντι, ὡς τὰ παρ' ἡμῖν, τελευτὴ τοῦ βίου λαμπροτάτη ἐπεγένετο· γενομένης γὰρ Ἀθηναίοισι μάχης πρὸς τοὺς ἀστυγείτονας ἐν Ἐλευσῖνι βοηθήσας καὶ τροπὴν ποιήσας τῶν πολεμίων ἀπέθανε κάλλιστα, καί μιν Ἀθηναῖοι δημοσίῃ τε ἔθαψαν αὐτοῦ τῇ περ
31 ἔπεσε καὶ ἐτίμησαν μεγάλως." ὡς δὲ τὰ κατὰ τὸν Τέλλον προετρέψατο ὁ Σόλων τὸν Κροῖσον εἴπας πολλά τε καὶ ὄλβια, ἐπειρώτα τίνα δεύτερον μετ' ἐκεῖνον ἴδοι, δοκέων πάγχυ δευτερεῖα γῶν οἴσεσθαι. ὁ δ' εἶπε "Κλέοβίν τε καὶ Βίτωνα. τούτοισι γὰρ ἐοῦσι γένος Ἀργείοισι βίος τε ἀρκέων ὑπῆν, καὶ πρὸς τούτῳ ῥώμη σώματος τοιήδε· ἀεθλοφόροι τε ἀμφότεροι ὁμοίως ἦσαν, καὶ δὴ καὶ λέγεται ὅδε ὁ λόγος. ἐούσης ὀρτῆς τῇ Ἥρῃ τοῖσι Ἀργείοισι ἔδεε πάντως τὴν μητέρα αὐτῶν ζεύγεϊ κομισθῆναι ἐς τὸ ἰρόν, οἱ δέ σφι βόες ἐκ τοῦ ἀγροῦ οὐ παρεγίνοντο ἐν ὥρῃ· ἐκκληιόμενοι δὲ τῇ ὥρῃ οἱ νεηνίαι ὑποδύντες αὐτοὶ ὑπὸ τὴν ζεύγλην εἷλκον τὴν ἅμαξαν, ἐπὶ τῆς ἁμάξης δέ σφι ὠχέετο ἡ μήτηρ, σταδίους δὲ πέντε καὶ τεσσεράκοντα διακομίσαντες ἀπίκοντο ἐς τὸ ἰρόν. ταῦτα δέ σφι ποιήσασι καὶ ὀφθεῖσι ὑπὸ τῆς πανηγύριος τελευτὴ τοῦ βίου ἀρίστη ἐπεγένετο, διέδεξέ τε ἐν τούτοισι ὁ θεὸς ὡς ἄμεινον εἴη ἀνθρώπῳ τεθνάναι μᾶλλον ἢ ζώειν. Ἀργεῖοι μὲν γὰρ περιστάντες ἐμακάριζον τῶν νεηνιέων τὴν ῥώμην, αἱ δὲ Ἀργεῖαι τὴν μητέρα αὐτῶν, οἵων τέκνων ἐκύρησε· ἡ δὲ μήτηρ

ὅτι ὁ θάνατος ἄριστον (*Rb*)

---

10 sqq. Cicero Tuscul. I 47

1. σφι *Pz*: σφιν ‖ ἴδε *R*, ἴδεν *d* ‖ ἅπασι] ἅπασί τε? ‖ 2. τοῦτο] ἐς τοῦτο *bdz* ‖ 3. ὑμῖν *P* ‖ 9. ἐπηρώτα *CPz* ‖ εἴδοι *Rd* ‖ 10. γ' ὢν *A*, γῶν *C* ‖ ὁ δ' *A*: ὃ δ' *C*, ὅδ' *P*, ὁ δὲ reliqui ‖ κλέωβίν *dz* ‖ βίτονα *b* ‖ 12. τοῦτο *Rd* ‖ τοιῆδε *A* ‖ 13. ἔσαν *z* ‖ ὅδε λόγος *R*, ὧδε λόγος *bdz* ‖ ὀρτῆς *CPz*: ἑορτῆς ‖ 15. ζεύγει *A* ‖ εἰς *d* ‖ ἱερὸν *C* ‖ 16. παρεγένοντο *CP* ‖ ἐκκληόμενοι *C*, ἐκκληϊζόμενοι *bdz* ‖ νεανίαι *P* ‖ 18. ὠχέετο *AP*: ὄχετο *R*, ὀχέετο reliqui ‖ τεσσεράκοντα *AP*: τεσσαράκοντα ‖ 19. εἰς τὸ *d*, ἐπὶ τὸ *z* ‖ ἱερόν *CR* ‖ 20. πανηγύρεος *A*, πανηγύρεως *P* ‖ 21. διέδειξέ *A* ‖ 23. νεηνίων *C*, τεκνίων *Rbdz* ‖ ῥώμην *AC*[1]: γνώμην

περιχαρὴς ἐοῦσα τῷ τε ἔργῳ καὶ τῇ φήμῃ, στᾶσα ἀντίον τοῦ ἀγάλματος εὔχετο Κλεόβι τε καὶ Βίτωνι τοῖσι ἑωυτῆς τέκνοισι, οἵ μιν ἐτίμησαν μεγάλως, τὴν θεὸν δοῦναι τὸ ἀνθρώπῳ τυχεῖν ἄριστόν ἐστι. μετὰ ταύτην δὲ τὴν εὐχὴν ὡς ἔθυσάν τε καὶ εὐωχήθησαν, κατακοιμηθέντες ἐν αὐτῷ τῷ ἱρῷ οἱ νεηνίαι οὐκέτι ἀνέστησαν ἀλλ' ἐν τέλεϊ τούτῳ ἔσχοντο. Ἀργεῖοι δέ σφεων εἰκόνας ποιησάμενοι ἀνέθεσαν ἐς Δελφοὺς ὡς ἀνδρῶν ἀρίστων γενομένων." Σόλων μὲν δὴ εὐδαιμονίης δευτερεῖα ἔνεμε τού- 32
τοισι, Κροῖσος δὲ σπερχθεὶς εἶπε "ὦ ξεῖνε Ἀθηναῖε, ἡ δ' ἡμετέρη εὐδαιμονίη οὕτω τοι ἀπέρριπται ἐς τὸ μηδὲν ὥστε οὐδὲ ἰδιωτέων ἀνδρῶν ἀξίους ἡμέας ἐποίησας;" ὁ δὲ εἶπε "ὦ Κροῖσε, ἐπιστάμενόν με τὸ θεῖον πᾶν ἐὸν φθονερόν τε καὶ ταραχῶδες ἐπειρωτᾷς ἀνθρωπηίων πρηγμάτων πέρι. ἐν γὰρ τῷ μακρῷ χρόνῳ πολλὰ μέν ἐστι ἰδεῖν τὰ μή τις ἐθέλει, πολλὰ δὲ καὶ παθεῖν. ἐς γὰρ ἑβδομήκοντα ἔτεα οὖρον τῆς ζόης ἀνθρώπῳ προτίθημι. οὗτοι ἐόντες ἐνιαυτοὶ ἑβδομήκοντα παρέχονται ἡμέρας διηκοσίας καὶ πεντακισχιλίας καὶ δισμυρίας, ἐμβολίμου μηνὸς μὴ γινομένου· εἰ δὲ δὴ ἐθελήσει τοὔτερον τῶν ἐτέων μηνὶ μακρότερον γίνεσθαι, ἵνα δὴ αἱ ὧραι συμβαίνωσι παραγινόμεναι ἐς τὸ δέον, μῆνες μὲν παρὰ τὰ ἑβδομήκοντα ἔτεα οἱ ἐμβόλιμοι γίνονται τριήκοντα πέντε,

περὶ ἐμβολίμου μηνός (*Rb*)

9. Κροῖσος - 16 προτίθημι Stobaeus floril. CV 63. — Λέξεις. — 12. ἐπιστάμενον - 13 πέρι Plutarchus mor. p. 857. — Schol. Aristot. p. 529b. Eustathius Il. p. 690. — 16. Bekkeri Anecd. p. 94

2. κλέωβι *bdz*, κλέβι (ω suprascr.) *R* ‖ ἑωυτοῖς *Rdz* ‖ 3. δοῦναι τὴν θεὸν *Rbdz* ‖ 5. κατακοιμηθέντες *A* ‖ ἱερῶι *C* ‖ 9. ἧδε *R*, ἡ δὲ *bdz*. Stob. ‖ 11. οὐδὲ] οὔτε Stob. ‖ ἡμᾶς δ. Stob. ‖ ὁ δὲ Σόλων εἶπεν Stob. ‖ 12. θεῖον - 13 ταραχῶδες in *d* cum evanuissent alia postea manus sic compensavit: ἀνθρώπινον πᾶν οὐδαμᾶ ἐν τωυτῷ μένον (v. I 5), atque eadem mox τῶν σεωυτοῦ pro ἀνθρωπηίων ‖ 13. ταραχώιδες *C* ‖ ἐπηρώτας Stob. ‖ πραγμάτων πέρι *Rbd*[1], περὶ πραγμάτων Plut. ‖ 14. ἐστιν *L* ‖ ἰδέειν *z* ‖ ἐθέλη *R* ‖ 15. παθέειν *z* ‖ 16. ζόης *AC*[1]*Pcorr.*· ζωῆς ‖ ἑυδομήκοντα *d* ‖ 18. γενομένου *Rbdz* ‖ ἐθελήσῃ *R* ‖ 19. τὸ ὕτερον *R* ‖ 20. τὰ om. *R* ‖ 21. ἑυδομήκοντα *d* ‖ τριάκοντα *dz*

ἦσαν καλοί τε κἀγαθοί, καί σφι εἶδε ἅπασι τέκνα ἐκγενόμενα καὶ πάντα παραμείναντα· τοῦτο δὲ τοῦ βίου εὖ ἥκοντι, ὡς τὰ παρ' ἡμῖν, τελευτὴ τοῦ βίου λαμπροτάτη ἐπεγένετο· γενομένης γὰρ Ἀθηναίοισι μάχης πρὸς τοὺς ἀστυγείτονας ἐν Ἐλευσῖνι βοηθήσας καὶ τροπὴν ποιήσας τῶν πολεμίων ἀπέθανε κάλλιστα, καί μιν Ἀθηναῖοι δημοσίῃ τε ἔθαψαν αὐτοῦ τῇ περ
31 ἔπεσε καὶ ἐτίμησαν μεγάλως." ὡς δὲ τὰ κατὰ τὸν Τέλλον προετρέψατο ὁ Σόλων τὸν Κροῖσον εἴπας πολλά τε καὶ ὄλβια, ἐπειρώτα τίνα δεύτερον μετ' ἐκεῖνον ἴδοι, δοκέων πάγχυ δευτερεῖα γῶν οἴσεσθαι. ὁ δ' εἶπε "Κλέοβίν τε καὶ Βίτωνα. τούτοισι γὰρ ἐοῦσι γένος Ἀργείοισι βίος τε ἀρκέων ὑπῆν, καὶ πρὸς τούτῳ ῥώμη σώματος τοιήδε· ἀεθλοφόροι τε ἀμφότεροι ὁμοίως ἦσαν, καὶ δὴ καὶ λέγεται ὅδε ὁ λόγος. ἐούσης ὁρτῆς τῇ Ἥρῃ τοῖσι Ἀργείοισι ἔδεε πάντως τὴν μητέρα αὐτῶν ζεύγεϊ κομισθῆναι ἐς τὸ ἱρόν, οἱ δέ σφι βόες ἐκ τοῦ ἀγροῦ οὐ παρεγίνοντο ἐν ὥρῃ· ἐκκληιόμενοι δὲ τῇ ὥρῃ οἱ νεηνίαι ὑποδύντες αὐτοὶ ὑπὸ τὴν ζεύγλην εἷλκον τὴν ἅμαξαν, ἐπὶ τῆς ἁμάξης δέ σφι ὠχέετο ἡ μήτηρ, σταδίους δὲ πέντε καὶ τεσσεράκοντα διακομίσαντες ἀπίκοντο ἐς τὸ ἱρόν. ταῦτα δέ σφι ποιήσασι καὶ ὀφθεῖσι ὑπὸ τῆς πανηγύριος τελευτὴ τοῦ βίου ἀρίστη ἐπεγένετο, διέδεξέ τε ἐν τούτοισι ὁ θεὸς ὡς ἄμεινον εἴη ἀνθρώπῳ τεθνάναι μᾶλλον ἢ ζώειν. Ἀργεῖοι μὲν γὰρ περιστάντες ἐμακάριζον τῶν νεηνιέων τὴν ῥώμην, αἱ δὲ Ἀργεῖαι τὴν μητέρα αὐτῶν, οἵων τέκνων ἐκύρησε· ἡ δὲ μήτηρ

ὅτι ὁ θάνατος ἄριστον (*Rb*)

---

10 sqq. Cicero Tuscul. I 47

1. σφι *Pz*: σφιν ‖ ἴδε *R*, ἴδεν *d* ‖ ἅπασι] ἅπασί τε? ‖ 2. τοῦτο] ἐς τοῦτο *bdz* ‖ 3. ὑμῖν *P* ‖ 9. ἐπηρώτα *CPz* ‖ εἴδοι *Rd* ‖ 10. γ' ὧν *A*, γῶν *C* ‖ ὁ δ' *A*: ὃ δ' *C*, ὅδ' *P*, ὁ δὲ reliqui ‖ κλέωβίν *dz* ‖ βίτονα *b* ‖ 12. τοῦτο *Rd* ‖ τοιῆδε *A* ‖ 13. ἔσαν *z* ‖ ὅδε λόγος *R*, ὧδε λόγος *bdz* ‖ ὁρτῆς *CPz*: ἑορτῆς ‖ 15. ζεύγει *A* ‖ εἰς *d* ‖ ἱερὸν *C* ‖ 16. παρεγένοντο *CP* ‖ ἐκκληιόμενοι *C*, ἐκκληϊζόμενοι *bdz* ‖ νεανίαι *P* ‖ 18. ὠχέετο *AP*: ὄχετο *R*, ὀχέετο reliqui ‖ τεσσεράκοντα *AP*: τεσσαράκοντα ‖ 19. εἰς τὸ *d*, ἐπὶ τὸ *z* ‖ ἱερόν *CR* ‖ 20. πανηγύρεος *A*, πανηγύρεως *P* ‖ 21. διέδειξέ *A* ‖ 23. νεη//νιων *C*, τεκνίων *Rbdz* ‖ ῥώμην *AC*[1]: γνώμην

περιχαρὴς ἐοῦσα τῷ τε ἔργῳ καὶ τῇ φήμῃ, στᾶσα ἀντίον τοῦ
ἀγάλματος εὔχετο Κλεόβι τε καὶ Βίτωνι τοῖσι ἑωυτῆς τέκνοισι,
οἵ μιν ἐτίμησαν μεγάλως, τὴν θεὸν δοῦναι τὸ ἀνθρώπῳ τυχεῖν
ἄριστόν ἐστι. μετὰ ταύτην δὲ τὴν εὐχὴν ὡς ἔθυσάν τε καὶ εὐ-
ωχήθησαν, κατακοιμηθέντες ἐν αὐτῷ τῷ ἱρῷ οἱ νεηνίαι οὐκέτι
ἀνέστησαν ἀλλ' ἐν τέλεϊ τούτῳ ἔσχοντο. Ἀργεῖοι δέ σφεων
εἰκόνας ποιησάμενοι ἀνέθεσαν ἐς Δελφοὺς ὡς ἀνδρῶν ἀρίστων
γενομένων." Σόλων μὲν δὴ εὐδαιμονίης δευτερεῖα ἔνεμε τού- 32
τοισι, Κροῖσος δὲ σπερχθεὶς εἶπε "ὦ ξεῖνε Ἀθηναῖε, ἡ δ'
ἡμετέρη εὐδαιμονίη οὕτω τοι ἀπέρριπται ἐς τὸ μηδὲν ὥστε
οὐδὲ ἰδιωτέων ἀνδρῶν ἀξίους ἡμέας ἐποίησας;" ὁ δὲ εἶπε "ὦ
Κροῖσε, ἐπιστάμενόν με τὸ θεῖον πᾶν ἐὸν φθονερόν τε καὶ
ταραχῶδες ἐπειρωτᾷς ἀνθρωπηίων πρηγμάτων πέρι. ἐν γὰρ
τῷ μακρῷ χρόνῳ πολλὰ μέν ἐστι ἰδεῖν τὰ μή τις ἐθέλει,
πολλὰ δὲ καὶ παθεῖν. ἐς γὰρ ἑβδομήκοντα ἔτεα οὖρον τῆς
ζόης ἀνθρώπῳ προτίθημι. οὗτοι ἐόντες ἐνιαυτοὶ ἑβδομήκοντα
παρέχονται ἡμέρας διηκοσίας καὶ πενταχισχιλίας καὶ δισ-
μυρίας, ἐμβολίμου μηνὸς μὴ γινομένου· εἰ δὲ δὴ ἐθελήσει
τοὔτερον τῶν ἐτέων μηνὶ μακρότερον γίνεσθαι, ἵνα δὴ αἱ ὧραι
συμβαίνωσι παραγινόμεναι ἐς τὸ δέον, μῆνες μὲν παρὰ τὰ
ἑβδομήκοντα ἔτεα οἱ ἐμβόλιμοι γίνονται τριήκοντα πέντε,

περὶ ἐμβολίμου μηνός (*Rb*)

---

9. Κροῖσος - 16 προτίθημι Stobaeus floril. CV 63. — Λέξεις. — 12. ἐπιστάμενον - 13 πέρι Plutarchus mor. p. 857. — Schol. Aristot. p. 529b. Eustathius Il. p. 690. — 16. Bekkeri Anecd. p. 94

2. κλέοβι *bdz*, κλέβι (ω sup.) *R* ‖ ἑωυτοῖς *Rdz* ‖ 3. δοῦναι τὴν θεὸν *Rbdz* ‖ 5. κατακοιμηθέντες *A* ‖ ἱερῶι *C* ‖ 9. ἥδε *R*, ἡ δὲ *bdz*. Stob. ‖ 11. οὐδὲ] οὔτε Stob. ‖ ἡμᾶς *b*. Stob. ‖ ὁ δὲ Σόλων εἶπεν Stob. ‖ 12. θεῖον - 13 ταραχῶδες in *d* cum evanuissent alia postea manus sic compensavit: ἀνθρώπινον πᾶν οὐδαμᾶ ἐν τωυτῷ μένον (v. I 5), atque eadem mox τῶν σεωυτοῦ pro ἀνθρωπηίων ‖ 13. ταραχώιδες *C* ‖ ἐπηρώτας Stob. ‖ πραγμάτων πέρι *Rbd*[1], περὶ πραγμάτων Plut. ‖ 14. ἔστιν *L* ‖ ἰδέειν *z* ‖ ἐθέλῃ *R* ‖ 15. παθέειν *z* ‖ 16. ζόης *AC*[1]*Pcorr.*: ζωῆς ‖ ἑυδομήκοντα *d* ‖ 18. γενομένου *Rbdz* ‖ ἐθελήσῃ *R* ‖ 19. τὸ ὕτερον *R* ‖ 20. τὰ om. *R* ‖ 21. ἑυδομήκοντα *d* ‖ τριάκοντα *dz*

ἡμέραι δὲ ἐκ τῶν μηνῶν τούτων χίλιαι πεντήκοντα. τουτέων τῶν ἀπασέων ἡμερέων τῶν ἐς τὰ ἑβδομήκοντα ἔτεα, ἐουσέων πεντήκοντα καὶ διηκοσιέων καὶ ἑξακισχιλιέων καὶ δισμυριέων, ἡ ἑτέρη αὐτέων τῇ ἑτέρῃ ἡμέρῃ τὸ παράπαν οὐδὲν ὅμοιον προσάγει πρῆγμα. οὕτω ὦν Κροῖσε πᾶν ἐστι ἄνθρωπος συμφορή. ἐμοὶ δὲ σὺ καὶ πλουτέειν μέγα φαίνεαι καὶ βασιλεὺς πολλῶν εἶναι ἀνθρώπων· ἐκεῖνο δὲ τὸ εἴρεό με, οὔκω σε ἐγὼ λέγω, πρὶν τελευτήσαντα καλῶς τὸν αἰῶνα πύθωμαι. οὐ γάρ τι ὁ μέγα πλούσιος μᾶλλον τοῦ ἐπ' ἡμέρην ἔχοντος ὀλβιώτερός ἐστι, εἰ μή οἱ τύχη ἐπίσποιτο πάντα καλὰ ἔχοντα εὖ τελευτῆσαι τὸν βίον. πολλοὶ μὲν γὰρ ζάπλουτοι ἀνθρώπων ἀνόλβιοί εἰσι, πολλοὶ δὲ μετρίως ἔχοντες βίου εὐτυχέες. ὁ μὲν δὴ μέγα πλούσιος ἀνόλβιος δὲ δυοῖσι προέχει τοῦ εὐτυχέος μοῦνον, οὗτος δὲ τοῦ πλουσίου καὶ ἀνόλβου πολλοῖσι. ὁ μὲν ἐπιθυμίην ἐκτελέσαι καὶ ἄτην μεγάλην προσπεσοῦσαν ἐνεῖκαι δυνατώτερος, ὁ δὲ τοῖσιδε προέχει ἐκείνου· ἄτην μὲν καὶ ἐπιθυμίην οὐκ ὁμοίως δυνατὸς ἐκείνῳ ἐνεῖκαι, ταῦτα δὲ ἡ εὐτυχίη οἱ ἀπερύκει, ἄπειρος δέ ἐστι, ἄνουσος, ἀπαθὴς κακῶν, εὔπαις, εὐειδής. εἰ δὲ πρὸς τούτοισι ἔτι τελευτήσει τὸν βίον εὖ, οὗτος ἐκεῖνος τὸν σὺ ζητέεις, ὁ ὄλβιος κεκλῆσθαι ἄξιός ἐστι· πρὶν δ' ἂν τελευτήσῃ, ἐπισχεῖν, μηδὲ καλέειν κω ὄλβιον ἀλλ' εὐτυχέα. τὰ πάντα μέν νυν ταῦτα συλλαβεῖν ἄνθρωπον ἐόντα ἀδύνατόν

1. τουτέων - 2 ἐουσέων et 4. ἡ ἑτέρη - p. 23, 9 ἀνέτρεψε Stobaeus ib. — τουτέων - 2 ἡμερέων et 4. ἡ ἑτέρη - 5 συμφορή Theo progymn p. 199. — 5. Clemens Alex. strom. p. 517 P. — 8. Eustathius Il. p. 501

1. τούτων *Rbdz*. Theo ‖ 2. εἰς *C*. Stob. ‖ οὐσέων *C* ‖ 3. διηκοσίων *L* ‖ ἑξακισχιλιέων *A*: ἑξακισχιλίων ‖ δισμυριέων *A*: δισμυρίων ‖ 4. ὁμοῖον *CP* ‖ εἰσάγει Theo. Stob. ‖ 5. οὕτως Theo ‖ ὦν] οὖν *R*, om. Theo. Stob. ‖ Κροῖσε *ACP*: ὦ Κροῖσε ‖ πᾶς *A*². Theo. Clem. ‖ ἔστι *A* ‖ ξυμφορή *CP*, συμφορῇ *Rd*², συμφορῇ *z* ‖ σὺ καὶ] καὶ σοι Stob. ‖ 6. πλουτέων *z* ‖ μὲν μέγα Stob. ‖ εἶναι πολλῶν *Rbdz* ‖ 7. ἐγὼ om. Stob. ‖ 8. πρὶν] πρὶν ἂν *A*²*Rbdz* ‖ πύθομαι *C*¹ ‖ τι] τοι *z* ‖ 9. ἐπημέρην *AC* ‖ 10. ἔχοντα ante πάντα Stob., ἔχοντι *C*¹*bdz* ‖ εὖ] ἐς et post τελευτῆσαι Stob., om. *z* ‖ 11. ἄνολβίοι εἰσι *C*, ἄνολβοί εἰσι *A*² ‖ 13. ἄνολβος *bd*. Stob. ‖ εὐτυχέως *b* ‖ μούνοισιν Stob. ‖ 14. ἀνολβίου *Pz* ‖ 16. τοῖσδε *A*¹*C*¹. Stob., τοῖσιδε *A*²*C*², τοῖσι δὲ *d*, τοῖσι *z* ‖ μὲν] δὲ Stob. ‖ 18. ἄπηρος *d*². Reiske. an εὔπορος? ‖ κακῶν om. Stob. ‖ 20. ζητεῖς *L* et Stob. ‖ ὁ ὄλβιος correxi: ὄλβιος ‖ 21. τελευτήσει *Rbd* ‖ ἐπισχέειν *z* ‖ 22. μὲν νῦν *P*. Stob.

ἐστι, ὥσπερ χώρη οὐδεμία καταρκέει πάντα ἑωυτῇ παρέχουσα, ἀλλὰ ἄλλο μὲν ἔχει ἑτέρου δὲ ἐπιδέεται· ἣ δὲ ἂν τὰ πλεῖστα ἔχῃ, αὕτη ἀρίστη. ὣς δὲ καὶ ἀνθρώπου σῶμα ἓν οὐδὲν αὔταρκές ἐστι· τὸ μὲν γὰρ ἔχει, ἄλλου δὲ ἐνδεές ἐστι· ὃς δ' ἂν αὐτῶν πλεῖστα ἔχων διατελέῃ καὶ ἔπειτα τελευτήσῃ εὐχαρίστως τὸν βίον, οὗτος παρ' ἐμοὶ τὸ οὔνομα τοῦτο ὦ βασιλεῦ δίκαιός ἐστι φέρεσθαι. σκοπέειν δὲ χρὴ παντὸς χρήματος τὴν τελευτήν, κῇ ἀποβήσεται· πολλοῖσι γὰρ δὴ ὑποδέξας ὄλβον ὁ θεὸς προρρίζους ἀνέτρεψε." ταῦτα λέγων τῷ Κροίσῳ 33
οὔ κως οὔτε ἐχαρίζετο, οὔτε λόγου μιν ποιησάμενος οὐδενὸς ἀποπέμπεται, κάρτα δόξας ἀμαθέα εἶναι, ὃς τὰ παρεόντα ἀγαθὰ μετεὶς τὴν τελευτὴν παντὸς χρήματος ὁρᾶν ἐκέλευε.

Μετὰ δὲ Σόλωνα οἰχόμενον ἔλαβε ἐκ θεοῦ νέμεσις μεγάλη 34
Κροῖσον, ὡς εἰκάσαι, ὅτι ἐνόμισε ἑωυτὸν εἶναι ἀνθρώπων ἁπάντων ὀλβιώτατον. αὐτίκα δέ οἱ εὕδοντι ἐπέστη ὄνειρος, ὅς οἱ τὴν ἀληθείην ἔφαινε τῶν μελλόντων γενέσθαι κακῶν κατὰ τὸν παῖδα. ἦσαν δὲ τῷ Κροίσῳ δύο παῖδες, τῶν οὕτερος μὲν διέφθαρτο, ἦν γὰρ δὴ κωφός, ὁ δὲ ἕτερος τῶν ἡλίκων μακρῷ τὰ πάντα πρῶτος· οὔνομα δέ οἱ ἦν Ἄτυς. τοῦτον δὴ ὦν τὸν Ἄτυν σημαίνει τῷ Κροίσῳ ὁ ὄνειρος, ὡς ἀπολέει μιν αἰχμῇ σιδηρέῃ βληθέντα. ὁ δ' ἐπείτε ἐξηγέρθη καὶ ἑωυτῷ λόγον ἔδωκε, καταρρωδήσας τὸν ὄνειρον ἄγεται μὲν τῷ παιδὶ γυναῖκα, ἐωθότα δὲ στρατηγέειν μιν τῶν Λυδῶν οὐδαμῇ ἔτι ἐπὶ τοιοῦτο πρῆγμα ἐξέπεμπε· ἀκόντια δὲ καὶ δοράτια καὶ τὰ

περὶ τῆς μεταβολῆς τῆς Κροίσου εὐδαιμονίας καὶ τῶν αὐτοῦ παίδων
ὄνειρος Κροίσου καὶ γάμος τοῦ παιδός

---

7. Λέξεις

1. οὐδεμίη *dz*, οὐδεμιῇ *b*, μιῇ *R* ‖ καταρκέειν *Rb* ‖ 2. ἀλλ' ἄλλο *q*. Stob. ‖ 3. ἔχοι *qz* ‖ αὕτη ἀρίστη *AC* Stob. : ἀρίστη αὕτη ‖ ὥς *ARz* : ὡς ‖ ἓν] ἐν *z* ‖ 4. ὅσδ' ἂν *A* ‖ 5. αὐτέων *z* ‖ διατελέει *C*[1] ‖ τελευτήσει *d* ‖ 6. τὸ ὄνομα *P*, τοὔνομα *dq*. Stob. ‖ ὦ βασιλεῦ Stob. : ὡς βασιλεὺς ‖ 9. ὄλβιον *Apr*. ‖ λέγοντι *q* ‖ 10. οὔτε ἐχαρίζετο om. *C*[1] ‖ 11. ἀμαθής *A*[2]*s* ‖ 13. θεῶν *A*[2]*Rbdz* ‖ 14. εἰκάσθαι *C'* ‖ 16. ἀληθίην *PRd*, ἀληθηΐην *z* ‖ 20. ὁ om. *C* ‖ 21. ὧδ' *PRz* ‖ ἐπείτ' sive ἐπεί τ' *PRbdz* ‖ ἐξεγέρθη *CP* ‖ 22. κατορρωδήσας *A*[2]*Rbdz* ‖ 24. τοιοῦτο *AP* : τοιοῦτον

τοιαῦτα πάντα τοῖσι χρέωνται ἐς πόλεμον ἄνθρωποι, ἐκ τῶν
ἀνδρεώνων ἐκκομίσας ἐς τοὺς θαλάμους συνένησε, μή τί οἱ
35 κρεμάμενον τῷ παιδὶ ἐμπέσῃ. ἔχοντος δέ οἱ ἐν χερσὶ τοῦ
παιδὸς τὸν γάμον, ἀπικνέεται ἐς τὰς Σάρδις ἀνὴρ συμφορῇ
ἐχόμενος καὶ οὐ καθαρὸς χεῖρας, ἐὼν Φρὺξ μὲν γενεῇ, γένεος
δὲ τοῦ βασιληίου. παρελθὼν δὲ οὗτος ἐς τὰ Κροίσου οἰκία
κατὰ νόμους τοὺς ἐπιχωρίους καθαρσίου ἐδέετο ἐπικυρῆσαι,
Κροῖσος δέ μιν ἐκάθηρε· ἔστι δὲ παραπλησίη ἡ κάθαρσις
τοῖσι Λυδοῖσι καὶ τοῖσι Ἕλλησι. ἐπείτε δὲ τὰ νομιζόμενα
ἐποίησε ὁ Κροῖσος, ἐπυνθάνετο ὁκόθεν τε καὶ τίς εἴη, λέγων
τάδε. "ὤνθρωπε, τίς τε ἐὼν καὶ κόθεν τῆς Φρυγίης ἥκων
ἐπίστιος ἐμοὶ ἐγένεο; τίνα τε ἀνδρῶν ἢ γυναικῶν ἐφόνευσας;"
ὁ δὲ ἀμείβετο "ὦ βασιλεῦ, Γορδίεω μὲν τοῦ Μίδεώ εἰμι
παῖς, ὀνομάζομαι δὲ Ἄδρηστος, φονεύσας δὲ ἀδελφεὸν
ἐμεωυτοῦ ἀέκων πάρειμι ἐξεληλαμένος τε ὑπὸ τοῦ πατρὸς
καὶ ἐστερημένος πάντων." Κροῖσος δέ μιν ἀμείβετο τοῖσιδε.
"ἀνδρῶν τε φίλων τυγχάνεις ἔκγονος ἐὼν καὶ ἐλήλυθας ἐς φί-
λους, ἔνθα ἀμηχανήσεις χρήματος οὐδενὸς μένων ἐν ἡμετέρου.
συμφορήν τε ταύτην ὡς κουφότατα φέρων κερδανέεις πλεῖ-
36 στον." ὁ μὲν δὴ δίαιταν εἶχε ἐν Κροίσου. ἐν δὲ τῷ αὐτῷ χρόνῳ
τούτῳ ἐν τῷ Μυσίῳ Ὀλύμπῳ ὑὸς χρῆμα γίνεται μέγα·
ὁρμεόμενος δὲ οὗτος ἐκ τοῦ ὄρεος τούτου τὰ τῶν Μυσῶν ἔργα
διαφθείρεσκε. πολλάκις δὲ οἱ Μυσοὶ ἐπ' αὐτὸν ἐξελθόντες

περὶ Ἀδράστου τοῦ Φρυγός Κροίσου παιδὸς ἀναιρέσεως

περὶ τοῦ συὸς καὶ τῆς Ἄτυος τοῦ

2. Λέξεις. — 12. Λέξεις. — 18. ἔνθα - οὐδενὸς Thomas M. p. 47 R. — 21. Eustathius Il. p. 773

1. χρέονται *bz* ‖ 4. ἀπικνέεται ἐς τὰς Σάρδις om. *P*[t] ‖ τὰς om. *R* ‖ 5 χεῖρας ἐὼν. φρὺξ *PRdz* ‖ γένδς *A*, γένος *C* ‖ 6. οἰκεῖα *bd* ‖ 7. ἐπικυρῦσαι *d*, κυρῆσαι *AC* ‖ 9. τοῖσι] τίσιν *R* ‖ 10. τε om. *R* ‖ 11. ὤνθρωπε *AC*: ἄνθρωπε ‖ ὢν *PRbd* ‖ 12. ἐπίστιός μοι *AC*, ἐπέστιος ἐμοὶ *R* ‖ ἐγένετο *R* ‖ 14. οὐνομάζομαι *C* ‖ 15. ἐμεωτοῦ *C*[1] ‖ τε om. *B* ‖ 16. τοῖς δὲ *R*, τοῖσδε ceteri ‖ 18. ἡμετέροις *C*[2]*PRdz* ‖ 19. συμφορίην *C* ‖ τε *ABC*: δὲ ‖ 20. ἐν] ἐκ *qz* ‖ 21. Οὐλύμπῳ *z* ‖ συὸς *L* cum Eust. ‖ 22. ὁρμεώμενος *Cz*, ὁρμώμενος ceteri ‖ ὄρεος *ABP*: οὔρεος ‖ 23. πολλάκι *ABdz* ‖ ἐλθόντες *PRdz*

ποιέεσκον μὲν κακὸν οὐδέν, ἔπασχον δὲ πρὸς αὐτοῦ. τέλος
δὲ ἀπικόμενοι παρὰ τὸν Κροῖσον τῶν Μυσῶν ἄγγελοι ἔλεγον
τάδε. "ὦ βασιλεῦ, ὑὸς χρῆμα μέγιστον ἀνεφάνη ἡμῖν ἐν τῇ
χώρῃ, ὃς τὰ ἔργα διαφθείρει. τοῦτον προθυμεόμενοι ἑλεῖν
οὐ δυνάμεθα. νῦν ὦν προσδεόμεθα σεῦ τὸν παῖδα καὶ λογά-
δας νεηνίας καὶ κύνας συμπέμψαι ἡμῖν, ὡς ἄν μιν ἐξέλωμεν
ἐκ τῆς χώρης." οἱ μὲν δὴ τούτων ἐδέοντο, Κροῖσος δὲ μνη-
μονεύων τοῦ ὀνείρου τὰ ἔπεα ἔλεγέ σφι τάδε. "παιδὸς μὲν
πέρι τοῦ ἐμοῦ μὴ μνησθῆτε ἔτι· οὐ γὰρ ἂν ὑμῖν συμπέμ-
ψαιμι· νεόγαμός τε γάρ ἐστι καὶ ταῦτά οἱ νῦν μέλει. Λυδῶν
μέντοι λογάδας καὶ τὸ κυνηγέσιον πᾶν συμπέμψω, καὶ διακε-
λεύσομαι τοῖσι ἰοῦσι εἶναι ὡς προθυμοτάτοισι συνεξελεῖν ὑμῖν
τὸ θηρίον ἐκ τῆς χώρης." ταῦτα ἀμείψατο· ἀποχρεωμένων 37
δὲ τούτοισι τῶν Μυσῶν ἐπεσέρχεται ὁ τοῦ Κροίσου παῖς
ἀκηκοὼς τῶν ἐδέοντο οἱ Μυσοί. οὐ φαμένου δὲ τοῦ Κροίσου
τόν γε παῖδά σφι συμπέμψειν, λέγει πρὸς αὐτὸν ὁ νεηνίης
τάδε. "ὦ πάτερ, τὰ κάλλιστα πρότερόν κοτε καὶ γενναιότατα
ἡμῖν ἦν ἔς τε πολέμους καὶ ἐς ἄγρας φοιτέοντας εὐδοκιμέειν·
νῦν δὲ ἀμφοτέρων με τούτων ἀποκληίσας ἔχεις, οὔτε τινὰ
δειλίην μοι παριδὼν οὔτε ἀθυμίην. νῦν τε τέοισί με χρὴ
ὄμμασι ἔς τε ἀγορὴν καὶ ἐξ ἀγορῆς φοιτέοντα φαίνεσθαι;
κοῖος μέν τις τοῖσι πολιήτῃσι δόξω εἶναι, κοῖος δέ τις τῇ
νεογάμῳ γυναικί; κοίῳ δὲ ἐκείνη δόξει ἀνδρὶ συνοικέειν; ἐμὲ
ὦν σὺ ἢ μέτες ἰέναι ἐπὶ τὴν θήρην, ἢ λόγῳ ἀνάπεισον ὅκως
μοι ἀμείνω ἐστὶ ταῦτα οὕτω ποιεόμενα." ἀμείβεται Κροῖσος
τοῖσιδε. "ὦ παῖ, οὔτε δειλίην οὔτε ἄλλο οὐδὲν ἄχαρι παρι- 38
δών τοι ποιέω ταῦτα. ἀλλά μοι ὄψις ὀνείρου ἐν τῷ ὕπνῳ ἐπι-

---

8. Priscianus XVIII 265.. — 26. οὔτε δειλίην - 27 ταῦτα Thomas M. p. 319

1. οὐδὲν κακὸν *dz* ‖ 3. υἱὸς *C*[1] ‖ 4. ἐλέειν *L* ‖ 5. οὖν *Rd* ‖ προσδεόμεθά σευ *ABC* ‖ 9. μνησθῆτε ἔτι] μνησθήσεσθαι Prisc. ‖ 10. τε om. *Rdz* ‖ 12. συνεξελέειν *C* ‖ 14. ἐπεισέργεται *L* ‖ 16. νεηνίας (η) *C* ‖ 18. ἦν om. *d* ‖ 19. δ' *ABC* ‖ με] μὲν *Cpr.* ‖ ἀποκλήισας *AB*, ἀποκληισας *C* ‖ 20. δειλίαν *P* ‖ τεοῖσί *Rdz* ‖ 24. μέθες *L* ‖ 26. τάδε *R*, τοῖσδε ceteri ‖ 27. ὄψις om. *P*[t]

στᾶσα ἔφη σε ὀλιγοχρόνιον ἔσεσθαι· ὑπὸ γὰρ αἰχμῆς σιδηρέης
ἀπολέεσθαι. πρὸς ὦν τὴν ὄψιν ταύτην τόν τε γάμον τοι τοῦ-
τον ἔσπευσα καὶ ἐπὶ τὰ παραλαμβανόμενα οὐκ ἀποπέμπω,
φυλακὴν ἔχων εἴ κως δυναίμην ἐπὶ τῆς ἐμῆς σε ζόης δια-
κλέψαι. εἷς γάρ μοι μοῦνος τυγχάνεις ἐὼν παῖς· τὸν γὰρ δὴ
ἕτερον διεφθαρμένον τὴν ἀκοὴν οὐκ εἶναί μοι λογίζομαι."
39 ἀμείβεται ὁ νεηνίης τοῖσιδε. "συγγνώμη μὲν ὦ πάτερ τοι,
ἰδόντι γε ὄψιν τοιαύτην, περὶ ἐμὲ φυλακὴν ἔχειν· τὸ δὲ οὐ
μανθάνεις ἀλλὰ λέληθέ σε τὸ ὄνειρον, ἐμέ τοι δίκαιόν ἐστι
φράζειν. φῄς τοι τὸ ὄνειρον ὑπὸ αἰχμῆς σιδηρέης φάναι ἐμὲ
τελευτήσειν· ὑὸς δὲ κοῖαι μέν εἰσι χεῖρες, κοίη δὲ αἰχμὴ
σιδηρέη τὴν σὺ φοβέεαι; εἰ μὲν γὰρ ὑπὸ ὀδόντος τοι εἶπε
τελευτήσειν με, ἢ ἄλλου τευ ὅ τι τούτῳ οἶκε, χρῆν δή σε
ποιέειν τὰ ποιέεις· νῦν δὲ ὑπὸ αἰχμῆς. ἐπείτε ὦν οὐ πρὸς
40 ἄνδρας ἡμῖν γίνεται ἡ μάχη, μέτες με." ἀμείβεται Κροῖσος
"ὦ παῖ, ἔστι τῇ με νικᾷς γνώμην ἀποφαίνων περὶ τοῦ ἐνυ-
πνίου. ὡς ὦν νενικημένος ὑπὸ σέο μεταγινώσκω, μετίημί τέ
41 σε ἰέναι ἐπὶ τὴν ἄγρην." εἴπας δὲ ταῦτα ὁ Κροῖσος μεταπέμ-
πεται τὸν Φρύγα Ἄδρηστον, ἀπικομένῳ δέ οἱ λέγει τάδε.
"Ἄδρηστε, ἐγώ σε συμφορῇ πεπληγμένον ἀχάρι, τήν τοι οὐκ
ὀνειδίζω, ἐκάθηρα καὶ οἰκίοισι ὑποδεξάμενος ἔχω, παρέχων
πᾶσαν δαπάνην. νῦν ὦν (ὀφείλεις γὰρ ἐμεῦ προποιήσαντος
χρηστὰ ἐς σὲ χρηστοῖσί με ἀμείβεσθαι) φύλακα παιδός σε
τοῦ ἐμοῦ χρηίζω γενέσθαι ἐς ἄγρην ὁρμεομένου, μή τινες
κατ' ὁδὸν κλῶπες κακοῦργοι ἐπὶ δηλήσι φανέωσι ὑμῖν. πρὸς

---

9. **Bekkeri Anecd. p. 111**

1. ἔφη σε z: ἔφησε *AB*, ἔφησεν reliqui ‖ 2. ἀπολέσθαι *CR* ‖ τοι om. *C* ‖ 3. παραβαλλόμενα C^2 ‖ 4. ζωῆς *Rdz* ‖ 5. εἷς *P* ‖ 7. τοῖσδε *L* ‖ 9. τὸ ὄνειρον – 10 φῄς τοι om. C^1 ‖ φῆις *AB* ‖ 11. υἱὸς C^1 ‖ κοίη] κοῖα *C* ‖ 12. τὴν] ἣν *L* ‖ φοβέεαι *P*, φοβέαι AC^2: φοβέαι ‖ 13. τεῦ *CRd* ‖ ἔοικε *L* ‖ δή] δέ *C* ‖ 15. μέθες *L* ‖ Κροῖσος] Κροῖσος τοῖσδε z ‖ 17. μετήιμί τε *R* ‖ 18. εἴπας *C* (ut fere) *d* ‖ 20. ἄχαρι *Rdz* ‖ τήν] τί z ‖ 21. ὀνειδίζων *dz* ‖ 23. φύλακον Bredovius ‖ 24. τοῦ μοῦ *P*, τοῦ 'μοῦ *R*, τοὐμοῦ *dz* ‖ χρηίζω *B*: χρήιζω *AP*, χρήζω reliqui ‖ ὁρμεωμένου z ‖ 25. δηλήσει *L*

δὲ τούτῳ καὶ σέ τοι χρεόν ἐστι ἰέναι ἔνθα ἀπολαμπρυνέεαι
τοῖσι ἔργοισι· πατρώιόν τε γάρ τοι ἐστὶ καὶ προσέτι ῥώμη
ὑπάρχει." ἀμείβεται ὁ Ἄδρηστος "ὦ βασιλεῦ, ἄλλως μὲν 42
ἔγωγε ἂν οὐκ ἤια ἐς ἄεθλον τοιόνδε· οὔτε γὰρ συμφορῇ
τοιῇδε κεχρημένον οἰκός ἐστι ἐς ὁμήλικας εὖ πρήσσοντας
ἰέναι, οὔτε τὸ βούλεσθαι πάρα, πολλαχῇ τε ἂν ἴσχον ἐμεωυτόν.
νῦν δέ, ἐπείτε σὺ σπεύδεις καὶ δεῖ τοι χαρίζεσθαι
(ὀφείλω γάρ σε ἀμείβεσθαι χρηστοῖσι), ποιέειν εἰμὶ ἕτοιμος
ταῦτα, παῖδά τε σόν, τὸν διακελεύεαι φυλάσσειν, ἀπήμονα
τοῦ φυλάσσοντος εἵνεκεν προσδόκα τοι ἀπονοστήσειν." τοιού- 43
τοισι ἐπείτε οὗτος ἀμείψατο Κροῖσον, ἤισαν μετὰ ταῦτα
ἐξηρτυμένοι λογάσι τε νεηνίῃσι καὶ κυσί. ἀπικόμενοι δὲ ἐς
τὸν Ὄλυμπον τὸ ὄρος ἐζήτεον τὸ θηρίον, εὑρόντες δὲ καὶ
περιστάντες αὐτὸ κύκλῳ ἐσηκόντιζον. ἔνθα δὴ ὁ ξεῖνος,
οὗτος δὴ ὁ καθαρθεὶς τὸν φόνον, καλεόμενος δὲ Ἄδρηστος,
ἀκοντίζων τὸν ὗν τοῦ μὲν ἁμαρτάνει, τυγχάνει δὲ τοῦ Κροίσου
παιδός. ὁ μὲν δὴ βληθεὶς τῇ αἰχμῇ ἐξέπλησε τοῦ ὀνείρου
τὴν φήμην, ἔθεε δέ τις ἀγγελέων τῷ Κροίσῳ τὸ γεγονός,
ἀπικόμενος δὲ ἐς τὰς Σάρδις τήν τε μάχην καὶ τὸν τοῦ παι-
δὸς μόρον ἐσήμηνέ οἱ. ὁ δὲ Κροῖσος τῷ θανάτῳ τοῦ παιδὸς 44
συντεταραγμένος μᾶλλόν τι ἐδεινολογέετο ὅτι μιν ἀπέκτεινε
τὸν αὐτὸς φόνου ἐκάθηρε. περιημεκτέων δὲ τῇ συμφορῇ
δεινῶς ἐκάλεε μὲν Δία καθάρσιον, μαρτυρόμενος τὰ ὑπὸ τοῦ
ξείνου πεπονθὼς εἴη, ἐκάλεε δὲ ἐπίστιόν τε καὶ ἑταιρήιον, τὸν
αὐτὸν τοῦτον ὀνομάζων θεόν, τὸν μὲν ἐπίστιον καλέων, διότι
δὴ οἰκίοισι ὑποδεξάμενος τὸν ξεῖνον φονέα τοῦ παιδὸς ἐλάν-

---

6. Lexicon Vindob. p. 25. — 12. Λέξεις. — 22. Λέξεις. — Eustathius Od. p. 1562. — 24. ib. p. 1930. — Λέξεις

1. τοῦτο *dz* ‖ χρεόν *Ac*: χρεών ‖ ἀπολαμπρύνεται *Rd*[1]*z*, ἀπολαμπρύνεαι reliqui ‖ 4. ἤια *B* ‖ 5. εἰκός *z* ‖ 6. ἀνίσχον *A*, ἂν ἴσχον ceteri ‖ 7. ἐπείτε συσπεύδεις *z* ‖ 8. ἑτοῖμος *C* ‖ 12. νεηνίῃσι] νεηνίησί τε *Rbdz* ‖ 13. Οὔλυμπον *z* ‖ 15. οὗτος] αὐτὸς *A*[3]*Rbdz* ‖ 16. σῦν *L* ‖ 18. τῷ om. *Ac* ‖ 19. σάρδεις *P* ‖ 20. ἐσήμεινέ *C*, ἐσήμαινέ *Rbdz* ‖ 21. ξυντεταραγμένος *b* ‖ 25. διότι] ὅτι *z* ‖ 26. οἰκίησι *b* ‖ ἀποδεξάμενος *Rbdz*

θανε βόσκων, τὸν δὲ ἑταιρήιον, ὡς φύλακα συμπέμψας αὐτὸν
45 εὑρήκοι πολεμιώτατον. παρῆσαν δὲ μετὰ τοῦτο οἱ Λυδοὶ φέροντες τὸν νεκρόν, ὄπισθε δὲ εἵπετό οἱ ὁ φονεύς. στὰς δὲ οὗτος πρὸ τοῦ νεκροῦ παρεδίδου ἑωυτὸν Κροίσῳ προτείνων τὰς χεῖρας, ἐπικατασφάξαι μιν κελεύων τῷ νεκρῷ, λέγων τήν τε προτέρην ἑωυτοῦ συμφορήν, καὶ ὡς ἐπ' ἐκείνῃ τὸν καθήραντα ἀπολωλεκὼς εἴη· οὐδέ οἱ εἴη βιώσιμον. Κροῖσος δὲ τούτων ἀκούσας τόν τε Ἄδρηστον κατοικτείρει, καίπερ ἐὼν ἐν κακῷ οἰκηίῳ τοσούτῳ, καὶ λέγει πρὸς αὐτόν "ἔχω ὦ ξεῖνε παρὰ σεῦ πᾶσαν τὴν δίκην, ἐπειδὴ σεωυτοῦ καταδικάζεις θάνατον. εἷς δὲ οὐ σύ μοι τοῦδε τοῦ κακοῦ αἴτιος. εἰ μὴ ὅσον ἀέκων ἐξεργάσαο, ἀλλὰ θεῶν κού τις, ὅς μοι καὶ πάλαι προεσήμαινε τὰ μέλλοντα ἔσεσθαι." Κροῖσος μέν νυν ἔθαψε, ὡς οἰκὸς ἦν, τὸν ἑωυτοῦ παῖδα· Ἄδρηστος δὲ ὁ Γορδίεω τοῦ Μίδεω, οὗτος δὴ ὁ φονεὺς μὲν τοῦ ἑωυτοῦ ἀδελφεοῦ γενόμενος φονεὺς δὲ τοῦ καθήραντος, ἐπείτε ἡσυχίη τῶν ἀνθρώπων ἐγένετο περὶ τὸ σῆμα, συγγινωσκόμενος ἀνθρώπων εἶναι τῶν αὐτὸς ᾔδεε βαρυσυμφορώτατος, ἐπικατασφάζει τῷ τύμβῳ ἑωυτόν.

46 Κροῖσος δὲ ἐπὶ δύο ἔτεα ἐν πένθεϊ μεγάλῳ κατῆστο τοῦ παιδὸς ἐστερημένος. μετὰ δὲ ἡ Ἀστυάγεος τοῦ Κυαξάρεω

βουλὴ Κροίσου περὶ τῆς κατὰ Περσῶν στρατείας καὶ περὶ τοῦ ἐν Δελφοῖς χρηστηρίου.

---

9. ἔχω - 10 δίκην Lexicon Vindob. p. 75. — 11 sq. εἷς - αἴτιος et ἀλλὰ - προεσήμαινε Hermogenes περὶ μεθ. δειν. p. 438. — 15. φονεὺς μὲν - 16 καθήραντος ib. p. 413. — 18. (Hesychius v. βαρυσυμφορώτατος. Bekkeri Anecd. p. 225)

1. αὐτῷ P^t*Rbdz* ‖ 2. εὑρίσκοι *qz* ‖ 3. τὸν om. *PR* ‖ ὄπισθεν *z* ‖ 6. ἐκείνηην *Rd* ‖ καθάραντα *Rbdz* ‖ 8. ἀκούων A^1c ‖ 9. οἰκείῳ *c* ‖ 11. εἷς δέ μοι οὐ σὺ τούτων αἴτιος Hermog. ‖ 12. κου *AcR*, κοῦ *bz* ‖ ὅς μοι προεσήμαινεν ἐν τῷ ὀνείρῳ Hermog. ‖ 14. ἐοικὸς *Ac*, εἰκὸς *bz* ‖ τὸν om. *R* ‖ ὁ Γορδίεω - 18 βαρυσυμφορώτατος om. *R* ‖ 15. μήδεω *dz* ‖ ἀδελφοῦ *c*. Hermog. ‖ γενόμενος om. Hermog. ‖ 17. περὶ] παρὰ *dz* ‖ 18. ᾔδεε H. Stephanus: ἤειδε *AcPs*, εἶδε *bdz* ‖ 19. ἑωυτὸν ante ἐπικατασφάζει *Rbdz* ‖ 20. ἐν πένθει *Ac*, ἐπένθει *R* ‖ μεγάλῳ - 21 ἐστερημένος om. *R* ‖ καθῆστο *L*

ἡγεμονίη καταιρεθεῖσα ὑπὸ Κύρου τοῦ Καμβύσεω καὶ τὰ τῶν Περσέων πρήγματα αὐξανόμενα πένθεος μὲν Κροῖσον ἀπέπαυσε, ἐνέβησε δὲ ἐς φροντίδα, εἴ κως δύναιτο, πρὶν μεγάλους γενέσθαι τοὺς Πέρσας, καταλαβεῖν αὐτῶν αὐξανομένην τὴν δύναμιν. μετὰ ὦν τὴν διάνοιαν ταύτην αὐτίκα ἀπεπειρᾶτο τῶν μαντηίων τῶν τε ἐν Ἕλλησι καὶ τοῦ ἐν Λιβύῃ, διαπέμψας ἄλλους ἄλλῃ, τοὺς μὲν ἐς Δελφοὺς ἰέναι, τοὺς δὲ ἐς Ἄβας τὰς Φωκέων, τοὺς δὲ ἐς Δωδώνην· οἱ δέ τινες ἐπέμποντο παρά τε Ἀμφιάρεων καὶ παρὰ Τροφώνιον, οἱ δὲ τῆς Μιλησίης ἐς Βραγχίδας. ταῦτα μέν νυν τὰ Ἑλληνικὰ μαντήια ἐς τὰ ἀπέπεμψε μαντευσόμενος Κροῖσος· Λιβύης δὲ παρὰ Ἄμμωνα ἀπέστειλε ἄλλους χρησομένους. διέπεμπε δὲ πειρώμενος τῶν μαντηίων ὅ τι φρονέοιεν, ὡς, εἰ φρονέοντα τὴν ἀληθείην εὑρεθείη, ἐπείρηταί σφεα δεύτερα πέμπων εἰ ἐπιχειρέοι ἐπὶ Πέρσας στρατεύεσθαι. ἐντειλάμενος δὲ τοῖσι 47
Λυδοῖσι τάδε ἀπέπεμπε ἐς τὴν διάπειραν τῶν χρηστηρίων, ἀπ' ἧς ἂν ἡμέρης ὁρμηθέωσι ἐκ Σαρδίων, ἀπὸ ταύτης ἡμερολογέοντας τὸν λοιπὸν χρόνον ἑκατοστῇ ἡμέρῃ χρᾶσθαι τοῖσι χρηστηρίοισι, ἐπειρωτέοντας ὅ τι ποιέων τυγχάνοι ὁ Λυδῶν βασιλεὺς Κροῖσος ὁ Ἀλυάττεω· ἅσσα δ' ἂν ἕκαστα τῶν χρηστηρίων θεσπίσῃ, συγγραψαμένους ἀναφέρειν παρ' ἑωυτόν. ὅ τι μέν νυν τὰ λοιπὰ τῶν χρηστηρίων ἐθέσπισε, οὐ λέγεται πρὸς οὐδαμῶν· ἐν δὲ Δελφοῖσι ὡς ἐσῆλθον τάχιστα ἐς τὸ μέγαρον οἱ Λυδοὶ χρησόμενοι τῷ θεῷ καὶ ἐπειρώτεον τὸ ἐντεταλμένον, ἡ Πυθίη ἐν ἑξαμέτρῳ τόνῳ λέγει τάδε.

---

1. καταιρεθεῖσα *Acz*: καθαιρεθεῖσα ‖ 2. περσέων *Acz*: περσῶν ‖ 3. εἴκος δύναιτο *R* ‖ 4. καταβαλεῖν *z* ‖ 6. τοῦ] τῶν *c*² ‖ Λιβύῃ] δελφοῖσι *R* ‖ 7. διαπέμψας - p. 32, 24 Ἀπόλλωνος om. *R* ‖ 8. Σάβας *z* ‖ τὰς] τῶν *bodz* ‖ 9. ἀμφιάρηον *Ac*, Ἀμφιάρεον *z* ‖ 10. Βραχίδας *z* ‖ 12. ἀπέστελλε *Ac* ‖ 13. πειρεώμενος *Pdz*, πειρεόμενος *b* ‖ 14. ἀληθηΐην *z* ‖ 16. ἀπέπεμψε *c* ‖ 17. ἀπῆς *Ac* ‖ ἡμέρας *d* ‖ 18. ἑκατοστῇ in margine codic. Vatic. 122. idemque coniectura Bergler: ἕκατον τῇ *P*, ἕκαστος τῇ ceteri ‖ χρῆσθαι *L* ‖ 19. ἐπειρωτῶντας *Ac*¹, ἐπηρωτέοντας *z* ‖ 20. ὁ om. *bd* ‖ 22. θεσπίσει *b*, θεσπίσῃ *d*, θεσπίσοι *z* ‖ 24. εἰς *d* ‖ ἐπειρώτων *Ac*, ἐπηρώτεον *bz*

οἶδα δ' ἐγὼ ψάμμου τ' ἀριθμὸν καὶ μέτρα θαλάσσης,
καὶ κωφοῦ συνίημι, καὶ οὐ φωνεῦντος ἀκούω.
ὀδμή μ' ἐς φρένας ἦλθε κραταιρίνοιο χελώνης
ἑψομένης ἐν χαλκῷ ἅμ' ἀρνείοισι κρέεσσιν,
ᾗ χαλκὸς μὲν ὑπέστρωται, χαλκὸν δ' ἐπιέσται.

48 ταῦτα οἱ Λυδοὶ θεσπισάσης τῆς Πυθίης συγγραψάμενοι οἴχοντο ἀπιόντες ἐς τὰς Σάρδις. ὡς δὲ καὶ ὦλλοι οἱ περιπεμφθέντες παρῆσαν φέροντες τοὺς χρησμούς, ἐνθαῦτα ὁ Κροῖσος ἕκαστα ἀναπτύσσων ἐπώρα τῶν συγγραμμάτων. τῶν μὲν δὴ οὐδὲν προσίετό μιν· ὁ δὲ ὡς τὸ ἐκ Δελφῶν ἤκουσε, αὐτίκα προσεύχετό τε καὶ προσεδέξατο, νομίσας μοῦνον εἶναι μαντήιον τὸ ἐν Δελφοῖσι, ὅτι οἱ ἐξευρήκεε τὰ αὐτὸς ἐποίησε. ἐπείτε γὰρ δὴ διέπεμψε παρὰ τὰ χρηστήρια τοὺς θεοπρόπους, φυλάξας τὴν κυρίην τῶν ἡμερέων ἐμηχανήσατο τοιάδε· ἐπινοήσας τὰ ἦν ἀμήχανον ἐξευρεῖν τε καὶ ἐπιφράσασθαι, χελώνην καὶ ἄρνα κατακόψας ὁμοῦ ἧψε αὐτὸς ἐν λέβητι χαλκέῳ, χάλκεον ἐπίθημα ἐπιθείς.

49 τὰ μὲν δὴ ἐκ Δελφῶν οὕτω τῷ Κροίσῳ ἐχρήσθη· κατὰ δὲ τὴν Ἀμφιάρεω τοῦ μαντηίου ὑπόκρισιν, οὐκ ἔχω εἰπεῖν ὅ τι τοῖσι Λυδοῖσι ἔχρησε ποιήσασι περὶ τὸ ἱρὸν τὰ νομιζόμενα (οὐ γὰρ ὦν·οὐδὲ τοῦτο λέγεται), ἄλλο γε ἢ ὅτι καὶ τοῦτον ἐνόμισε μαντήιον ἀψευδὲς ἐκτῆσθαι.

50 Μετὰ δὲ ταῦτα θυσίῃσι μεγάλῃσι τὸν ἐν Δελφοῖσι θεὸν

1. οἶδα - 5 ἐπιέσται (titulus delphicus Corp. Inscr. Gr. I p. 847 n. 1724. Suidas v. Κροῖσος). — 1 sq. (Aristides vol. II p. 507 D. Oenomaus ap. Euseb. praep. ev. V 34. Origenes c. Cels. II 9. Porphyrius vit. Plot. 22). — 2. Apollonius in Etym. M. v. κωφός. (Lucianus de salt. 62. Erannius Philo p. 170 Valck. Eustathius Od. p. 1539)

2. ξυνίημι *b*. Orig. Porphyr. Apollon. Eran. Eust. ‖ φωνεῦντος *L* et titulus delphicus: λαλέοντος scriptores ‖ 3. ἦλθε om. *c*[1] ‖ κραταιρρίνοιο *b*, κραταιρήνοιο *dz*, ΚΡΑΤΕΙΡΗΟΙΑ tit. delph., κρατειρῆ οἷα H. Stephanus ‖ 4. κρέεσσι *Ac*, κρέεσιν *d*, ΚΡΕΕCΙΝ tit. delph., κρέασιν Suid. ‖ 5. ὑπέστρωται] ὑπέρκειται Suid. ‖ χαλκὸς Suid. ‖ ἐπιέσται *A*, ἔπι ἔσται *c*, ἐπίεσται *A*[2]*c*[m], ἐπίκειται Suid. ‖ 7. σάρδεις *d* ‖ ὤιλλοι *A*, ὦλλοι *z*, ἄλλοι *bd* ‖ 11. προσηύχετο *d* ‖ 14. ἐμηχανᾶτο *Ac* ‖ 16. ἧψε G. Dindorf: ἥψεε *Ac*, ἕψεε *Pz*, ἕψεεν *bd* ‖ 19. ἀπόκρισιν *L* ‖ 20. ἱερὸν *d* ‖ 21. τοῦτο *z* ‖ 22. ἐκτῆσθαι *dz*: κεκτῆσθαι ‖ 23. δελφοῖς *bd*, δελφῖσι *c*

ἱλάσκετο· κτήνεά τε γὰρ τὰ θύσιμα πάντα τρισχίλια ἔθυσε,
κλίνας τε ἐπιχρύσους καὶ ἐπαργύρους καὶ φιάλας χρυσέας καὶ
εἵματα πορφύρεα καὶ κιθῶνας, νήσας πυρὴν μεγάλην, κατέ-
καιε, ἐλπίζων τὸν θεὸν μᾶλλόν τι τούτοισι ἀνακτήσεσθαι·
Λυδοῖσί τε πᾶσι προεῖπε θύειν πάντα τινὰ αὐτῶν τούτῳ ὅ τι
ἔχοι ἕκαστος. ὡς δὲ ἐκ τῆς θυσίης ἐγένετο, καταχεάμενος
χρυσὸν ἄπλετον ἡμιπλίνθια ἐξ αὐτοῦ ἐξήλαυνε, ἐπὶ μὲν τὰ
μακρότερα ποιέων ἑξαπάλαιστα, ἐπὶ δὲ τὰ βραχύτερα τριπά-
λαιστα, ὕψος δὲ παλαιστιαῖα, ἀριθμὸν δὲ ἑπτακαίδεκα καὶ
ἑκατόν, καὶ τούτων ἀπέφθου χρυσοῦ τέσσαρα, τρίτον ἡμιτά-
λαντον ἕκαστον ἕλκοντα, τὰ δὲ ἄλλα ἡμιπλίνθια λευκοῦ
χρυσοῦ, σταθμὸν διτάλαντα. ἐποιέετο δὲ καὶ λέοντος εἰκόνα
χρυσοῦ ἀπέφθου, ἕλκουσαν σταθμὸν τάλαντα δέκα. οὗτος ὁ
λέων, ἐπείτε κατεκαίετο ὁ ἐν Δελφοῖσι νηός, κατέπεσε ἀπὸ
τῶν ἡμιπλινθίων (ἐπὶ γὰρ τούτοισι ἵδρυτο), καὶ νῦν κέεται ἐν
τῷ Κορινθίων θησαυρῷ, ἕλκων σταθμὸν ἕβδομον ἡμιτάλαν-
τον· ἀπετάκη γὰρ αὐτοῦ τέταρτον ἡμιτάλαντον. ἐπιτελέσας 51
δὲ ὁ Κροῖσος ταῦτα ἀπέπεμπε ἐς Δελφούς, καὶ τάδε ἄλλα
ἅμα τοῖσι, κρητῆρας δύο μεγάθεϊ μεγάλους, χρύσεον καὶ
ἀργύρεον, τῶν ὁ μὲν χρύσεος ἔκειτο ἐπὶ δεξιὰ ἐσιόντι ἐς τὸν
νηόν, ὁ δὲ ἀργύρεος ἐπ' ἀριστερά. μετεκινήθησαν δὲ καὶ
οὗτοι ὑπὸ τὸν νηὸν κατακαέντα, καὶ ὁ μὲν χρύσεος κέεται ἐν
τῷ Κλαζομενίων θησαυρῷ, ἕλκων σταθμὸν εἴνατον ἡμιτά-

περὶ τῶν ἐν Δελφοῖς Κροίσου ἀναθημάτων

---

10. Etymol. M. v. πανέφθου. — (Pollux IX 54.) — 12. ἐποιέετο - 16 ἡμιτάλαντον Priscianus de fig. num. 9. — 13. Bekkeri Anecd. p. 94. — 16. ib. p. 306. — Didymus ap. Priscian. de fig. num. 17. (Pollux IX 54. Hesychius v. ἕβδομον ἡμιτάλαντον.) — 22. Priscianus XVIII 301

3. κιθῶνας *z*: χιτῶνας ‖ νήσας *bdz*: νηήσας ‖ 4. ἀνακτήσασθαι *bc*[1]*dz* ‖ 5. τοῦτο *A*[1]*c* ‖ 6. ἔχει *P* ‖ 8. ἑξαπάλαστα *A*[1] ‖ τριπάλαστα *A*[1]*c*[1] ‖ 9. παλαστιαῖα *A*[1]*c*[1] ‖ 10. τούτων *b*: τοῦτον *d*, τουτέων reliqui ‖ τρίτον ἡμιτάλαντον Pollux, '*duorum et dimidii talenti*' Valla, idem coniectura Fr. Chr. Matthiae: τρία ἡμιτάλαντα ‖ 15. κεῖται *L* ‖ 19. τοῖσι] αὐτοῖσι *AcPcorr*. ‖ μεγέθει *Ac*, μεγέθεϊ *P* ‖ 20. ἔκειτο *Ac*: ἐκέετο ‖ ἐπιδεξιὰ *A* ‖ 21. ἐπαριστερὰ *A* ‖ 22. κεῖται *L* ‖ 23. ἔνατον *A*[1]*Pbc*, ἔννατον *A*[2]*dz*

λαντον καὶ ἔτι δυώδεκα μνέας, ὁ δὲ ἀργύρεος ἐπὶ τοῦ προνηίου τῆς γωνίης, χωρέων ἀμφορέας ἑξακοσίους· ἐπικίρναται γὰρ ὑπὸ Δελφῶν θεοφανίοισι. φασὶ δέ μιν Δελφοὶ Θεοδώρου τοῦ Σαμίου ἔργον εἶναι, καὶ ἐγὼ δοκέω· οὐ γὰρ τὸ συντυχὸν φαίνεταί μοι ἔργον εἶναι. καὶ πίθους τε ἀργυρέους τέσσερας ἀπέπεμψε, οἳ ἐν τῷ Κορινθίων θησαυρῷ ἑστᾶσι, καὶ περιρραντήρια δύο ἀνέθηκε, χρύσεόν τε καὶ ἀργύρεον, τῶν τῷ χρυσέῳ ἐπιγέγραπται Λακεδαιμονίων φαμένων εἶναι ἀνάθημα, οὐκ ὀρθῶς λέγοντες· ἔστι γὰρ καὶ τοῦτο Κροίσου, ἐπέγραψε δὲ τῶν τις Δελφῶν Λακεδαιμονίοισι βουλόμενος χαρίζεσθαι, τοῦ ἐπιστάμενος τὸ οὔνομα οὐκ ἐπιμνήσομαι. ἀλλ' ὁ μὲν παῖς, δι' οὗ τῆς χειρὸς ῥέει τὸ ὕδωρ, Λακεδαιμονίων ἐστί, οὐ μέντοι τῶν γε περιρραντηρίων οὐδέτερον. ἄλλα τε ἀναθήματα οὐκ ἐπίσημα πολλὰ ἀπέπεμψε ἅμα τούτοισι ὁ Κροῖσος, καὶ χεύματα ἀργύρεα κυκλοτερέα, καὶ δὴ καὶ γυναικὸς εἴδωλον χρύσεον τρίπηχυ, τὸ Δελφοὶ τῆς ἀρτοκόπου τῆς Κροίσου εἰκόνα λέγουσι εἶναι. πρὸς δὲ καὶ τῆς ἑωυτοῦ γυναικὸς τὰ
52 ἀπὸ τῆς δειρῆς ἀνέθηκε ὁ Κροῖσος καὶ τὰς ζώνας. ταῦτα μὲν ἐς Δελφοὺς ἀπέπεμψε, τῷ δὲ Ἀμφιάρεῳ, πυθόμενος αὐτοῦ τήν τε ἀρετὴν καὶ τὴν πάθην, ἀνέθηκε σάκος τε χρύσεον πᾶν ὁμοίως καὶ αἰχμὴν στερεὴν πᾶσαν χρυσέην, τὸ ξυστὸν τῇσι λόγχῃσι ἐὸν ὁμοίως χρύσεον· τὰ ἔτι καὶ ἀμφότερα ἐς ἐμὲ ἦν κείμενα ἐν Θήβῃσι καὶ Θηβέων ἐν τῷ νηῷ τοῦ Ἰσμηνίου Ἀπόλλωνος.

53 Τοῖσι δὲ ἄγειν μέλλουσι τῶν Λυδῶν ταῦτα τὰ δῶρα ἐς τὰ ἱρὰ ἐνετέλλετο ὁ Κροῖσος ἐπειρωτᾶν τὰ χρηστήρια εἰ

περὶ Θεοδώρου τοῦ Σαμίου

---

21. Ammonius v. ξυστός

3. θεοφανίῃσι z ‖ 4. σαμίων *bd* ‖ 5. τέσσαρας *L* ‖ 6. περιραντήρια *Ac*, περιρράντια *d* ‖ 10. χαρίσασθαι z ‖ 11. τοὔνομα *b*, τὸ ὄνομα *d* ‖ 13. περιραντηρίων *Ac* ‖ 20. πᾶν. Ὁμοίως *P* ‖ 21. τὸ] καὶ τὸ z ‖ 22. τῇσι λόγχῃσι *d*, τοῖσι λόγχοισι *b* ‖ 22. καὶ om. *bdz* ‖ 23. Θηβέων Reiske: θηβαίων ‖ 25. τοῖσι δὲ - 26 ἐπειρωτᾶν om. *R*, quorum idem loco haec: τοῖσι δὲ πεμπομένοισι κήρυξι μετὰ δώρων τοιαῦτα ἐνετέλλετο ἐπειρωτᾶν ὁ Κροῖσος ‖ 26. ἱερὰ *bd*

στρατεύηται ἐπὶ Πέρσας Κροῖσος καὶ εἴ τινα στρατὸν ἀνδρῶν προσθέοιτο φίλον. ὡς δὲ ἀπικόμενοι ἐς τὰ ἀπεπέμφθησαν οἱ Λυδοὶ ἀνέθεσαν τὰ ἀναθήματα, ἐχρέωντο τοῖσι χρηστηρίοισι λέγοντες "Κροῖσος ὁ Λυδῶν τε καὶ ἄλλων ἐθνέων βασιλεύς, νομίσας τάδε μαντήια εἶναι μοῦνα ἐν ἀνθρώποισι, ὑμῖν τε ἄξια δῶρα ἔδωκε τῶν ἐξευρημάτων, καὶ νῦν ὑμέας ἐπειρωτᾷ εἰ στρατεύηται ἐπὶ Πέρσας καὶ εἴ τινα στρατὸν ἀνδρῶν προσθέοιτο σύμμαχον." οἱ μὲν ταῦτα ἐπειρώτεον, τῶν δὲ μαντηίων ἀμφοτέρων ἐς τὠυτὸ αἱ γνῶμαι συνέδραμον, προλέγουσαι Κροίσῳ, ἢν στρατεύηται ἐπὶ Πέρσας, μεγάλην ἀρχήν μιν καταλύσειν· τοὺς δὲ Ἑλλήνων δυνατωτάτους συνεβούλευόν
οἱ ἐξευρόντα φίλους προσθέσθαι. ἐπείτε δὲ ἀνενειχθέντα τὰ 54
θεοπρόπια ἐπύθετο ὁ Κροῖσος, ὑπερήσθη τε τοῖσι χρηστηρίοισι, πάγχυ τε ἐλπίσας καταλύσειν τὴν Κύρου βασιληίην, πέμψας αὖτις ἐς Πυθὼ Δελφοὺς δωρέεται, πυθόμενος αὐτῶν τὸ πλῆθος, κατ' ἄνδρα δύο στατῆρσι ἕκαστον χρυσοῦ. Δελφοὶ δὲ ἀντὶ τούτων ἔδοσαν Κροίσῳ καὶ Λυδοῖσι προμαντηίην καὶ ἀτελείην καὶ προεδρίην, καὶ ἐξεῖναι τῷ βουλομένῳ αὐτῶν γί-
νεσθαι Δελφὸν ἐς τὸν αἰεὶ χρόνον. δωρησάμενος δὲ τοὺς 55
Δελφοὺς ὁ Κροῖσος ἐχρηστηριάζετο τὸ τρίτον· ἐπείτε γὰρ δὴ παρέλαβε τοῦ μαντηίου ἀληθείην, ἐνεφορέετο αὐτοῦ. ἐπειρώτα δὲ τάδε χρηστηριαζόμενος, εἴ οἱ πολυχρόνιος ἔσται ἡ μουναρχίη. ἡ δὲ Πυθίη οἱ χρᾷ τάδε.

ἀλλ' ὅταν ἡμίονος βασιλεὺς Μήδοισι γένηται,

χρησμὸς ὁ δοθεὶς τῷ Κροίσῳ (*R*)

---

24. - p. 34, 2 (Diodori exc. Vatic. 25. Dio Chrys. XIII p. 421 R. Tzetzes ad Hesiod. ἔργ. 45)

1. στρατεύοιτο *bd* || 2. ἀπίκοντο *A*²*R* || ἐπέμφθησαν *R* || 3. Λυδοὶ] κήρυκες *R* || ἐχρέωντο] καὶ ἔχρεον *R*, καὶ ἐχρέοντο *A*² || 4. ὁ λυδῶν βασιλεὺς καὶ ἄλλων ἐθνέων *R* || 6. ὑμᾶς *R* || ἐπερωτᾷ *sz* || 7. στρατεύοιτο *b* || 8. ἐπειρώτων *AcR*, ἐπηρώτεον *z* || 11. καταλύσειν *bdz*: καταλῦσαι || 12. ἀνενεχθέντα *Ac* || 14. πάγχυ] ταχὺ *R* || καταλῦσαι *A*²*R* || βασιλείην *c* || 15. πέμψας - 22 τάδε om. *R* || αὖτις *bs*: αὖθις || 18. ἀγελείην b, ἀγγελίην *z* || αὐτέων *Acz* || γενέσθαι *bz* || 19. αἰεὶ *Ac*: ἀεὶ || 21. ἀληθηίην *z* || 22. χρηστηριαζόμενος] καὶ δὴ καὶ ἐς δελφοὺς χρηστηριαζόμενος ἐπειρώτα *R* || πουλυχρόνιος *z*

καὶ τότε, Λυδὲ ποδαβρέ, πολυψήφιδα παρ' Ἕρμον
φεύγειν μηδὲ μένειν μηδ' αἰδεῖσθαι κακὸς εἶναι.

56 Τούτοισι ἐλθοῦσι τοῖσι ἔπεσι ὁ Κροῖσος πολλόν τι μάλιστα
πάντων ἥσθη, ἐλπίζων ἡμίονον οὐδαμὰ ἀντ' ἀνδρὸς βασιλεύ-
σειν Μήδων, οὐδ' ὦν αὐτὸς οὐδὲ οἱ ἐξ αὐτοῦ παύσεσθαί κοτε
τῆς ἀρχῆς. μετὰ δὲ ταῦτα ἐφρόντιζε ἱστορέων τοὺς ἂν Ἑλ-
λήνων δυνατωτάτους ἐόντας προσκτήσαιτο φίλους, ἱστορέων
δὲ εὕρισκε Λακεδαιμονίους καὶ Ἀθηναίους προέχοντας τοὺς
μὲν τοῦ Δωρικοῦ γένεος τοὺς δὲ τοῦ Ἰωνικοῦ. ταῦτα γὰρ ἦν
τὰ προκεκριμένα, ἐόντα τὸ ἀρχαῖον τὸ μὲν Πελασγικὸν τὸ δὲ
Ἑλληνικὸν ἔθνος. καὶ τὸ μὲν οὐδαμῇ κω ἐξεχώρησε, τὸ δὲ
πολυπλάνητον κάρτα. ἐπὶ μὲν γὰρ Δευκαλίωνος βασιλέος
οἴκεε γῆν τὴν Φθιῶτιν, ἐπὶ δὲ Δώρου τοῦ Ἕλληνος τὴν ὑπὸ
τὴν Ὄσσαν τε καὶ τὸν Ὄλυμπον χώρην, καλεομένην δὲ
Ἱστιαιῶτιν· ἐκ δὲ τῆς Ἱστιαιώτιδος ὡς ἐξανέστη ὑπὸ Κα-
δμείων, οἴκεε ἐν Πίνδῳ Μακεδνὸν καλεόμενον· ἐνθεῦτεν δὲ
αὖτις ἐς τὴν Δρυοπίδα μετέβη, καὶ ἐκ τῆς Δρυοπίδος οὕτω ἐς
57 Πελοπόννησον ἐλθὸν Δωρικὸν ἐκλήθη. ἥντινα δὲ γλῶσσαν
ἵεσαν οἱ Πελασγοί, οὐκ ἔχω ἀτρεκέως εἰπεῖν. εἰ δὲ χρεόν ἐστι
τεκμαιρόμενον λέγειν τοῖσι νῦν ἔτι ἐοῦσι Πελασγῶν τῶν ὑπὲρ
Τυρσηνῶν Κρηστῶνα πόλιν οἰκεόντων, οἳ ὅμουροί κοτε ἦσαν
τοῖσι νῦν Δωριεῦσι καλεομένοισι (οἴκεον δὲ τηνικαῦτα γῆν τὴν

περὶ τοῦ Πελασγικοῦ ἔθνους καὶ τῆς αὐτῶν διαλέκτου

---

1. πολυψήφιδα - 2 εἶναι (Plato reip. VIII p. 566). — 11. τὸ δὲ - 18 ἐκλήθη Stephanus Byz. p. 253 M. — 16. idem v. Μακεδνόν. — 21. idem v. Κρήστων

1. πολυψηφίδα *dz* || 3. μάλαστα *P* || 4. οὐδαμᾶ *Rbdz* || βασιλεύειν *bdz* || 5. οὐδ' οἱ *Ac* || παύσασθαι *Rbdz* || 6. ἱστορέων ἐφρόντιζεν *bd* || 9. γένους *P* || ταῦτα - c. 69, 1 ὁ Κροῖσος om. *R* || 12. πουλυπλάνητον *z* || βασιλέως *c*. Steph., βασιλῆος *z* || 13. ᾤκεε τὴν Φθιῶτιν Steph. || 14. Οὔλυμπον *z* || 15. ἱστιαιῶτιν. ἐκ δὲ τῆς ἱστιαιώτιδος *bd*, Ιστιῶτιν ἐκ δὲ Ιστιώτιδος Steph. || 16. ᾤκεεν Steph. || πίνδνῳ *d* || ἐντεῦθεν *bd*. Steph. || 17. αὖθις *c* || εἰς Steph. || δρυωπίδα *bd* || δρυωπίδος *d* || οὕτως *L* et Steph. || 19. ιεσαν *A*, ἴεσαν *bdz* || ἀτρεκῶς *P* || εἰ δὲ om. *bdz* || χρεόν *Ac* : χρεών || 21. κρηστῶνα *b* || 22. καλεουμένοισιν *b*

νῦν Θεσσαλιῶτιν καλεομένην), καὶ τῶν Πλακίην τε καὶ Σκυλάκην Πελασγῶν οἰκησάντων ἐν Ἑλλησπόντῳ, οἳ σύνοικοι ἐγένοντο Ἀθηναίοισι, καὶ ὅσα ἄλλα Πελασγικὰ ἐόντα πολίσματα τὸ οὔνομα μετέβαλε, εἰ τούτοισι τεκμαιρόμενον δεῖ λέγειν, ἦσαν οἱ Πελασγοὶ βάρβαρον γλῶσσαν ἱέντες. εἰ τοίνυν ἦν καὶ πᾶν τοιοῦτο τὸ Πελασγικόν, τὸ Ἀττικὸν ἔθνος ἐὸν Πελασγικὸν ἅμα τῇ μεταβολῇ τῇ ἐς Ἕλληνας καὶ τὴν γλῶσσαν μετέμαθε. καὶ γὰρ δὴ οὔτε οἱ Κρηστωνιῆται οὐδαμοῖσι τῶν νῦν σφεας περιοικεόντων εἰσὶ ὁμόγλωσσοι οὔτε οἱ Πλακιηνοί, σφίσι δὲ ὁμόγλωσσοι· δηλοῦσί τε ὅτι τὸν ἠνείκαντο γλώσσης χαρακτῆρα μεταβαίνοντες ἐς ταῦτα τὰ χωρία, τοῦτον ἔχουσι ἐν φυλακῇ. τὸ δὲ Ἑλληνικὸν γλώσσῃ μέν, ἐπείτε 58 ἐγένετο, αἰεί κοτε τῇ αὐτῇ διαχρᾶται, ὡς ἐμοὶ καταφαίνεται εἶναι· ἀποσχισθὲν μέντοι ἀπὸ τοῦ Πελασγικοῦ ἐὸν ἀσθενές, ἀπὸ σμικροῦ τεο τὴν ἀρχὴν ὁρμεόμενον αὔξηται ἐς πλῆθος τῶν ἐθνέων, Πελασγῶν μάλιστα προσκεχωρηκότων αὐτῷ καὶ ἄλλων ἐθνέων βαρβάρων συχνῶν.§ πρόσθε δὲ ὦν ἔμοιγε δοκέει οὐδὲ τὸ Πελασγικὸν ἔθνος, ἐὸν βάρβαρον, οὐδαμὰ μεγάλως αὐξηθῆναι.

Τούτων δὴ ὦν τῶν ἐθνέων τὸ μὲν Ἀττικὸν κατεχόμενόν 59 τε καὶ διεσπασμένον ἐπυνθάνετο ὁ Κροῖσος ὑπὸ Πεισιστράτου τοῦ Ἱπποκράτεος τοῦτον τὸν χρόνον τυραννεύοντος Ἀθη-

περὶ Ἱπποκράτους τοῦ Πεισιστράτου πατρὸς καὶ τῆς αὐτῶν Ἀθήνῃσι τυραννίδος

---

8. καὶ γὰρ - 12 φυλακῇ Dionysius Hal. archaeol. I 29

1. τῶν Dobree: τὴν *L*. τῶν τὴν Schaefer ‖ 2. οἰκισάντων Wesseling ‖ 4. εἰ] ἐν *bdz* ‖ 5. ἰέντες *P*: ἱέντες ‖ 6. τοιοῦτον *bdz* ‖ τὸ πελασγικὸν ἔθνος τὸ ἀττικὸν *z* ‖ 7. πελασγικὸν] γρ. πέλας c^2 ‖ 8. καὶ] ἢ Dion. ‖ οἱ κρηστωνηῖται *b*, Κροτωνιᾶται Dion. ‖ οὐδαμοῖσι] οὐδ' ἄλλοις Dion. ‖ 9. σφεας *d*: σφέας ‖ οἱ om. Dion. ‖ πλακικνοὶ *bd* ‖ 10. φησὶ δ' Dion. ‖ δηλοῦσι δὲ Dion. ‖ εἰνείκαντο *bdz* ‖ 11. γλώσσῃ Dion. ‖ 13. ἀεὶ *Ac* ‖ χρᾶται *q*, χρέεται *z* ‖ ἐμοὶ om. *c* ‖ 14. ἀσφενὲς *z* ‖ 15. τεο *A*: τέο ‖ ὁρμώμενον *Ac*, ὁρμεώμενον reliqui ‖ ηὔξηται A^2 ‖ 16. ἐθνέων, Πελασγῶν correxi cum H. Sauppe: ἐθνέων. πολλῶν *Pc*, ἐθνέων πολλῶ *d*, ἐθνέων πολλῶν reliqui ‖ 17. πρόσθε δὲ correxi: πρὸς δὴ *APbcd*, πρὸς δὲ cod. Vatic. 122, ὡς δὴ *z* ‖ ἔμοιγε Reiske: ἐμοί τε ‖ 18. οὐδαμᾶ *bdz*

ναίων. Ἱπποκράτεϊ γὰρ ἐόντι ἰδιώτῃ καὶ θεωρέοντι τὰ Ὀλύμπια τέρας ἐγένετο μέγα· θύσαντος γὰρ αὐτοῦ τὰ ἱρὰ οἱ λέβητες ἐπεστεῶτες καὶ κρεῶν τε ἐόντες ἔμπλεοι καὶ ὕδατος ἄνευ πυρὸς ἔζεσαν καὶ ὑπερέβαλον. Χίλων δὲ ὁ Λακεδαιμόνιος παρατυχὼν καὶ θεησάμενος τὸ τέρας συνεβούλευε Ἱπποκράτεϊ πρῶτα μὲν γυναῖκα μὴ ἄγεσθαι τεκνοποιὸν ἐς τὰ οἰκία, εἰ δὲ τυγχάνει ἔχων, δεύτερα τὴν γυναῖκα ἐκπέμπειν, καὶ εἴ τίς οἱ τυγχάνει ἐὼν παῖς, τοῦτον ἀπείπασθαι. οὔκων ταῦτα παραινέσαντος Χίλωνος πείθεσθαι θέλειν τὸν Ἱπποκράτεα· γενέσθαι οἱ μετὰ ταῦτα τὸν Πεισίστρατον τοῦτον, ὃς στασιαζόντων τῶν παράλων καὶ τῶν ἐκ τοῦ πεδίου Ἀθηναίων, καὶ τῶν μὲν προεστεῶτος Μεγακλέος τοῦ Ἀλκμέωνος τῶν δὲ ἐκ τοῦ πεδίου Λυκούργου Ἀριστολαΐδεω, καταφρονήσας τὴν τυραννίδα ἤγειρε τρίτην στάσιν, συλλέξας δὲ στασιώτας καὶ τῷ λόγῳ τῶν ὑπερακρίων προστὰς μηχανᾶται τοιάδε. τρωματίσας ἑωυτόν τε καὶ ἡμιόνους ἤλασε ἐς τὴν ἀγορὴν τὸ ζεῦγος ὡς ἐκπεφευγὼς τοὺς ἐχθρούς, οἵ μιν ἐλαύνοντα ἐς ἀγρὸν ἠθέλησαν ἀπολέσαι δῆθεν, ἐδέετό τε τοῦ δήμου φυλακῆς τινος πρὸς αὐτοῦ κυρῆσαι, πρότερον εὐδοκιμήσας ἐν τῇ πρὸς Μεγαρέας γενομένῃ στρατηγίῃ, Νίσαιάν τε ἑλὼν καὶ ἄλλα ἀποδεξάμενος μεγάλα ἔργα. ὁ δὲ δῆμος ὁ τῶν Ἀθηναίων ἐξαπατηθεὶς ἔδωκέ οἱ τῶν ἀστῶν καταλέξας ἄνδρας τούτους οἳ δορυφόροι μὲν οὐκ ἐγένοντο Πεισιστράτου. κορυνηφόροι δέ· ξύλων γὰρ κορύνας ἔχοντες εἵποντό οἱ ὄπισθε. συνεπαναστάντες δὲ οὗτοι ἅμα Πεισιστράτῳ ἔσχον τὴν ἀκρόπολιν. ἔνθα δὴ ὁ Πεισίστρατος ἦρχε Ἀθηναίων, οὔτε τιμὰς τὰς ἐούσας συνταράξας οὔτε θέσμια μεταλλάξας, ἐπί τε τοῖσι κατεστεῶσι

1 sqq. Diogenes L. I 68. — Lexic. rhetor. p. 670 Dobr. — 8. Bekkeri Anecd. p. 80. — 13. καταφρονήσας - 14 στάσιν Priscianus XVIII 228

1. ἱπποκράτει *Ac* || 2. ἱερὰ *bd* || 6. τεκνοποιὸν μὴ ἄγεσθαι *z* || 7. τυγχάνοι *b* || 12. προεστῶτος *bdz* || μεγακλέους *bd* || ἀλκμαίωνος *bdz* || 13. Λυκούργου] Λυκούργου τοῦ Schaefer || 14. στρατιώτας *c* || 22. τούτους] τριηκοσίους Naber propter Polyaen. I 21, 3 || 24. ὄπισθε *c*: ὄπισθεν || 27. ἐπεί τε *bdz*

ἔνεμε τὴν πόλιν κοσμέων καλῶς τε καὶ εὖ. μετὰ δὲ οὐ πολλὸν χρόνον τὠυτὸ φρονήσαντες οἵ τε τοῦ Μεγακλέος στασιῶται καὶ οἱ τοῦ Λυκούργου ἐξελαύνουσί μιν. οὕτω μὲν Πεισίστρατος ἔσχε τὸ πρῶτον Ἀθήνας, καὶ τὴν τυραννίδα οὔκω κάρτα ἐρριζωμένην ἔχων ἀπέβαλε. οἱ δὲ ἐξελάσαντες Πεισίστρατον αὖτις ἐκ νέης ἐπ' ἀλλήλοισι ἐστασίασαν. περιελαυνόμενος δὲ τῇ στάσι ὁ Μεγακλέης ἐπεκηρυκεύετο Πεισιστράτῳ, εἰ βούλοιτό οἱ τὴν θυγατέρα ἔχειν γυναῖκα ἐπὶ τῇ τυραννίδι. ἐνδεξαμένου δὲ τὸν λόγον καὶ ὁμολογήσαντος ἐπὶ τούτοισι Πεισιστράτου, μηχανέονται δὴ ἐπὶ τῇ κατόδῳ πρῆγμα εὐηθέστατον, ὡς ἐγὼ εὑρίσκω, μακρῷ, ἐπεί γε ἀπεκρίθη ἐκ παλαιτέρου τοῦ βαρβάρου ἔθνεος τὸ Ἑλληνικὸν ἐὸν καὶ δεξιώτερον καὶ εὐηθείης ἠλιθίου ἀπηλλαγμένον μᾶλλον, εἰ καὶ τότε γε οὗτοι ἐν Ἀθηναίοισι τοῖσι πρώτοισι λεγομένοισι εἶναι Ἑλλήνων σοφίην μηχανέονται τοιάδε. ἐν τῷ δήμῳ τῷ Παιανιέι ἦν γυνὴ τῇ οὔνομα ἦν Φύη, μέγαθος ἀπὸ τεσσέρων πηχέων ἀπολείπουσα τρεῖς δακτύλους καὶ ἄλλως εὐειδής. ταύτην τὴν γυναῖκα σκευάσαντες πανοπλίῃ, ἐς ἅρμα ἐσβιβάσαντες καὶ προδέξαντες σχῆμα οἷόν τι ἔμελλε εὐπρεπέστατον φανέεσθαι ἔχουσα, ἤλαυνον ἐς τὸ ἄστυ, προδρόμους κήρυκας προπέμψαντες, οἳ τὰ ἐντεταλμένα ἠγόρευον ἀπικόμενοι ἐς τὸ ἄστυ, λέγοντες τοιάδε. "ὦ Ἀθηναῖοι, δέκεσθε ἀγαθῷ νόῳ Πεισίστρατον, τὸν αὐτὴ ἡ Ἀθηναίη τιμήσασα ἀνθρώπων μάλιστα κατάγει ἐς τὴν ἑωυτῆς ἀκρόπολιν." οἱ μὲν δὴ ταῦτα διαφοιτέοντες ἔλεγον· αὐτίκα δὲ ἔς τε τοὺς 60

περὶ τῶν Πεισιστράτου ἐκβολῶν καὶ καθόδων

17. ἀπολείπουσα - 18 εὐειδής Lexicon Vindob. p. 26. — 18. Bekkeri Anecd. p. 92. — 19. Hesychius v. προδέξαντες

1. ἔμενε *P*[m] *bdz* ‖ 2. μεγακλέος *c*: μεγακλέους ‖ στρατιῶται *cz* ‖ 7. στάσει codices, στάσεϊ *z* ‖ 10. μηχανῶνται *L* ‖ 12. τοῦ βαρβάρου ἔθνεος τὸ ἑλληνικὸν *bdz*: τὸ βάρβαρον ἔθνος τοῦ ἑλληνικοῦ ‖ 13. εὐηθείης *A*[2]: εὐηθίης ‖ 14. τοῖσι] ιτοῖσι *A*, αὐτοῖσι *c*[2]*P*[2] ‖ 15. μηχανῶνταί *L* ‖ 16. παιανιεῖ *Ac*, πανιεῖ *d* | μέγαθος *bd*: μέγεθος ‖ τεσσάρων πηχέων *Pbd*, πηχέων τεσσάρων *z* ‖ 19. ἐμβιβάσαντες *bd* ‖ 20. φαίνεσθαι *bd*, φανεῖσθαι *z* ‖ 22. ἐς τὸ ἄστυ ἀπικόμενοι *gz* ‖ 24. εἰς *b*

δήμους φάτις ἀπίκετο ὡς Ἀθηναίη Πεισίστρατον κατάγει, καὶ οἱ ἐν τῷ ἄστεϊ πειθόμενοι τὴν γυναῖκα εἶναι αὐτὴν τὴν θεὸν πρόσεύχοντό τε τὴν ἄνθρωπον καὶ ἐδέκοντο Πεισίστρατον.
61 ἀπολαβὼν δὲ τὴν τυραννίδα τρόπῳ τῷ εἰρημένῳ ὁ Πεισίστρατος κατὰ τὴν ὁμολογίην τὴν πρὸς Μεγακλέα γενομένην γαμέει τοῦ Μεγακλέος τὴν θυγατέρα. οἷα δὲ παίδων τέ οἱ ὑπαρχόντων νεηνιέων καὶ λεγομένων ἐναγέων εἶναι τῶν Ἀλκμεωνιδέων, οὐ βουλόμενός οἱ γενέσθαι ἐκ τῆς νεογάμου γυναικὸς τέκνα ἐμίσγετό οἱ οὐ κατὰ νόμον. τὰ μέν νυν πρῶτα ἔκρυπτε ταῦτα ἡ γυνή, μετὰ δὲ εἴτε ἱστορεύσῃ εἴτε καὶ οὒ φράζει τῇ ἑωυτῆς μητρί, ἡ δὲ τῷ ἀνδρί. τὸν δὲ δεινόν τι ἔσχε ἀτιμάζεσθαι πρὸς Πεισιστράτου. ὀργῇ δὲ ὡς εἶχε καταλλάσσετο τὴν ἔχθρην τοῖσι στασιώτῃσι. μαθὼν δὲ ὁ Πεισίστρατος τὰ ποιεύμενα ἐπ᾽ ἑωυτῷ ἀπαλλάσσετο ἐκ τῆς χώρης τὸ παράπαν, ἀπικόμενος δὲ ἐς Ἐρέτριαν ἐβουλεύετο ἅμα τοῖσι παισί. Ἱππίεω δὲ γνώμῃ νικήσαντος ἀνακτᾶσθαι ὀπίσω τὴν τυραννίδα, ἐνθαῦτα ἤγειρον δωτίνας ἐκ τῶν πολίων αἵτινές σφι προαιδέατό κού τι. πολλῶν δὲ μεγάλα παρασχόντων χρήματα, Θηβαῖοι ὑπερεβάλοντο τῇ δόσι τῶν χρημάτων. μετὰ δέ, οὐ πολλῷ λόγῳ εἰπεῖν, χρόνος διέφυ καὶ πάντα σφι ἐξήρτυτο ἐς τὴν κάτοδον· καὶ γὰρ Ἀργεῖοι μισθωτοὶ ἀπίκοντο ἐκ Πελοποννήσου, καὶ Νάξιός σφι ἀνὴρ ἀπιγμένος ἐθελοντής, τῷ οὔνομα ἦν Λύγδαμις, προθυμίην πλείστην παρείχετο,
62 κομίσας καὶ χρήματα καὶ ἄνδρας. ἐξ Ἐρετρίης δὲ ὁρμηθέντες διὰ ἑνδεκάτου ἔτεος ἀπίκοντο ὀπίσω, καὶ πρῶτον τῆς Ἀττικῆς ἴσχουσι Μαραθῶνα. ἐν δὲ τούτῳ τῷ χώρῳ σφι

3. Priscianus XVIII 278

1. ἀφίκετο *d* || 2. καὶ οἱ *c*[2]: καὶ || ἄστει *Ac* || πειθόμενοι *c*[2]*dz*: πυθόμενοι || 3. ἐδέχοντο *Ac* || τὸν Πεισίστρατον *z* || 6. τοῦ μεγακλέους τὴν θυγατέρα *Pbd*, τὴν θυγατέρα αὐτοῦ *z* || 7. νεηνίων *d* || 8. ἀλκμαιονιδέων *d*, Ἀλκμαιωνιδέων *z* || 9. κατὰ τὸν νόμον *z* || 13. στρατιώτῃσι *bc*[1]*dz* || 15. ἐρέτρειαν *Ac* || 16. ἱππίσω *b*, ἱππίου *d*[2]*z* || γνώμηι *Ac*: γνώμη *P*, γνώμην *bdz* || 18. προηιδέατό *P*, προηδέατο *Abcd*, προειδέατό *z* || κοῦ τι *Abc* || 19. ὑπερεβάλλοντο *bd* || δόσει codices, δόσεϊ *z* || 21. ἀφίκοντο *bd* || 22. πελοπονήσου καὶ ἀνάξιος *b* || 24. ἐρετρείης *Ac* || 25. ἐνδεκαιδεκάτου *bd* || 26. χώρῳ] χρόνῳ *bdz*

στρατοπεδευομένοισι οἵ τε ἐκ τοῦ ἄστεος στασιῶται ἀπίκοντο ἄλλοι τε ἐκ τῶν δήμων προσέρρεον, τοῖσι ἡ τυραννὶς πρὸ ἐλευθερίης ἦν ἀσπαστότερον. οὗτοι μὲν δὴ συνηλίζοντο, Ἀθηναίων δὲ οἱ ἐκ τοῦ ἄστεος, ἕως μὲν Πεισίστρατος τὰ χρήματα ἤγειρε, καὶ μεταῦτις ὡς ἔσχε Μαραθῶνα, λόγον οὐδένα εἶχον· ἐπείτε δὲ ἐπύθοντο ἐκ τοῦ Μαραθῶνος αὐτὸν πορεύεσθαι ἐπὶ τὸ ἄστυ, οὕτω δὴ βοηθέουσι ἐπ' αὐτόν. καὶ οὗτοί τε πανστρατιῇ ἤισαν ἐπὶ τοὺς κατιόντας, καὶ οἱ ἀμφὶ Πεισίστρατον, ὡς ὁρμηθέντες ἐκ Μαραθῶνος ἤισαν ἐπὶ τὸ ἄστυ, ἐς τὠυτὸ συνιόντες ἀπικνέονται ἐπὶ Παλληνίδος Ἀθηναίης ἱρόν, καὶ ἀντία ἔθεντο τὰ ὅπλα. ἐνθαῦτα θείῃ πομπῇ χρεώμενος παρίσταται Πεισιστράτῳ Ἀμφίλυτος ὁ Ἀκαρνὰν χρησμολόγος ἀνήρ, ὅς οἱ προσιὼν χρᾷ ἐν ἑξαμέτρῳ τόνῳ τάδε λέγων.

ἔρριπται δ' ὁ βόλος, τὸ δὲ δίκτυον ἐκπεπέτασται,
θύννοι δ' οἰμήσουσι σεληναίης διὰ νυκτός.

ὁ μὲν δή οἱ ἐνθεάζων χρᾷ τάδε, Πεισίστρατος δὲ συλλαβὼν 63
τὸ χρηστήριον καὶ φὰς δέκεσθαι τὸ χρησθὲν ἐπῆγε τὴν στρατιήν. Ἀθηναῖοι δὲ οἱ ἐκ τοῦ ἄστεος πρὸς ἄριστον τετραμμένοι ἦσαν δὴ τηνικαῦτα, καὶ μετὰ τὸ ἄριστον μετεξέτεροι αὐτῶν οἱ μὲν πρὸς κύβους οἱ δὲ πρὸς ὕπνον. οἱ δὲ ἀμφὶ Πεισίστρατον ἐσπεσόντες τοὺς Ἀθηναίους τράπουσι. φευγόντων δὲ τούτων βουλὴν ἐνθαῦτα σοφωτάτην Πεισίστρατος ἐπιτεχνᾶται, ὅκως μήτε ἁλισθεῖεν ἔτι οἱ Ἀθηναῖοι διεσκεδασμένοι τε εἶεν· ἀναβιβάσας τοὺς παῖδας ἐπὶ ἵππους προέπεμπε, οἱ δὲ καταλαμβάνοντες τοὺς φεύγοντας ἔλεγον τὰ ἐντεταλμένα ὑπὸ Πεισιστράτου, θαρσέειν τε κελεύοντες καὶ

3. Λέξεις. — 17 sq. Suidas v. συλλαβών. — 20 sq. Suidas v. μετεξέτεροι. Λέξεις. — 24. Suidas v. ἁλισθεῖεν

1. στρατιῶται c^1 || ἀπίκαντο *bd* || 2. οἶσι *APc*, οἶσιν *bdz* || 3. οὕτω *dz* || συνηυλίζοντο *b* || 5. μετ' αὖτις *Ac* || ἔσκε *dz* || 7. πορεύεσθαι] στρατεύεσθαι *z* || 8. οὗτοι γε *b* || ἤισαν Schaefer: ἦσαν *A*, ἦσαν ceteri || 9. ηἶσαν *A*, ἦσαν ceteri || 10. ἀπικνέεται *z* || 11. ἱερὸν *bd* || ἔθετο *z* || 12. ἀκαρνᾶν *d*. Ἀχαρνεὺς Valckenaer || 15. βῶλος *b* || 16. θύνοι c^1d, Θῦνοι *z* || οἰμήσουσι *Ac* || 17. ὁ δὲ Πεισίστρατος Suid. || 22. τρέπουσι *L*

64 ἀπιέναι ἕκαστον ἐπὶ τὰ ἑωυτοῦ. πειθομένων δὲ τῶν Ἀθηναίων, οὕτω δὴ Πεισίστρατος τὸ τρίτον σχὼν Ἀθήνας ἐρρίζωσε τὴν τυραννίδα ἐπικούροισί τε πολλοῖσι καὶ χρημάτων συνόδοισι, τῶν μὲν αὐτόθεν τῶν δὲ ἀπὸ Στρυμόνος ποταμοῦ συνιόντων, ὁμήρους τε τῶν παραμεινάντων Ἀθηναίων καὶ μὴ αὐτίκα φυγόντων παῖδας λαβὼν καὶ καταστήσας ἐς Νάξον (καὶ γὰρ ταύτην ὁ Πεισίστρατος κατεστρέψατο πολέμῳ καὶ ἐπέτρεψε Λυγδάμι), πρός τε ἔτι τούτοισι τὴν νῆσον Δῆλον καθήρας ἐκ τῶν λογίων, καθήρας δὲ ὧδε· ἐπ' ὅσον ἔποψις τοῦ ἱροῦ εἶχε, ἐκ τούτου τοῦ χώρου παντὸς ἐξορύξας τοὺς νεκροὺς μετεφόρεε ἐς ἄλλον χῶρον τῆς Δήλου. καὶ Πεισίστρατος μὲν ἐτυράννευε Ἀθηναίων, Ἀθηναίων δὲ οἱ μὲν ἐν τῇ μάχῃ ἐπεπτώκεσαν, οἱ δὲ αὐτῶν μετ' Ἀλκμεωνιδέων ἔφευγον ἐκ τῆς οἰκηίης.

65 Τοὺς μέν νυν Ἀθηναίους τοιαῦτα τὸν χρόνον τοῦτον ἐπυνθάνετο ὁ Κροῖσος κατέχοντα, τοὺς δὲ Λακεδαιμονίους ἐκ κακῶν τε μεγάλων πεφευγότας καὶ ἐόντας ἤδη τῷ πολέμῳ κατυπερτέρους Τεγεητέων. ἐπὶ γὰρ Λέοντος βασιλεύοντος καὶ Ἡγησικλέος ἐν Σπάρτῃ τοὺς ἄλλους πολέμους εὐτυχέοντες οἱ Λακεδαιμόνιοι πρὸς Τεγεήτας μούνους προσέπταιον. τὸ δὲ ἔτι πρότερον τούτων καὶ κακονομώτατοι ἦσαν σχεδὸν πάντων Ἑλλήνων κατά τε σφέας αὐτοὺς καὶ ξείνοισι ἀπρόσμικτοι. μετέβαλον δὲ ὧδε ἐς εὐνομίην. Λυκούργου τῶν Σπαρτιητέων δοκίμου ἀνδρὸς ἐλθόντος ἐς Δελφοὺς ἐπὶ τὸ χρηστήριον, ὡς ἐσήιε ἐς τὸ μέγαρον, εὐθὺς ἡ Πυθίη λέγει τάδε.

περὶ Λακεδαιμονίων καὶ τοῦ πρὸς Τεγεήτας πολέμου καὶ περὶ Λυκούργου καὶ τῆς αὐτοῦ νομοθεσίας

---

1. ἕκαστον *P*1: ἕκαστος. an ἑκάστους? || 8. λύγδαμι *c*, λυγδάμη *bd*, Λυγδάμει *z* || πρός τε Schaefer: πρός γε *L* || 9. ἐπόσον *Abd* || 10. ἱεροῦ *Pbd* || 13. '*cum Alcmeonidis*' Valla: μετ' ἀλκμεωνίδεω *AcP*, μετ' ἀλκμαιωνίδεω *bdz* || 14. οἰκίης *bdz* || 19. ἡγησικλέους *P* || 20. μούνους *Ab*: μόνους || 23. ὧδ' ἐς *dz*

ἥκεις ὦ Λυκόοργε ἐμὸν ποτὶ πίονα νηόν
Ζηνὶ φίλος καὶ πᾶσιν Ὀλύμπια δώματ᾽ ἔχουσι.
δίζω ἤ σε θεὸν μαντεύσομαι ἢ ἄνθρωπον.
ἀλλ᾽ ἔτι καὶ μᾶλλον θεὸν ἔλπομαι, ὦ Λυκόοργε.

οἱ μὲν δή τινες πρὸς τούτοισι λέγουσι καὶ φράσαι αὐτῷ τὴν
Πυθίην τὸν νῦν κατεστεῶτα κόσμον Σπαρτιήτῃσι· ὡς δ᾽
αὐτοὶ Λακεδαιμόνιοι λέγουσι, Λυκοῦργον ἐπιτροπεύσαντα
Λεωβώτεω, ἀδελφιδέου μὲν ἑωυτοῦ βασιλεύοντος δὲ Σπαρ-
τιητέων, ἐκ Κρήτης ἀγαγέσθαι ταῦτα. ὡς γὰρ ἐπετρόπευσε
τάχιστα, μετέστησε τὰ νόμιμα πάντα, καὶ ἐφύλαξε ταῦτα μὴ
παραβαίνειν. μετὰ δὲ τὰ ἐς πόλεμον ἔχοντα, ἐνωμοτίας καὶ
τριηκάδας καὶ συσσίτια, πρός τε τούτοισι τοὺς ἐφόρους καὶ
γέροντας ἔστησε Λυκοῦργος. οὕτω μὲν μεταβαλόντες εὐνο- 66
μήθησαν, τῷ δὲ Λυκούργῳ τελευτήσαντι ἱρὸν εἱσάμενοι σέ-
βονται μεγάλως. οἷα δὲ ἔν τε χώρῃ ἀγαθῇ καὶ πλήθεϊ οὐκ
ὀλίγων ἀνδρῶν, ἀνά τε ἔδραμον αὐτίκα καὶ εὐθηνήθησαν. καὶ
δή σφι οὐκέτι ἀπέχρα ἡσυχίην ἄγειν, ἀλλὰ καταφρονήσαντες
Ἀρκάδων κρέσσονες εἶναι ἐχρηστηριάζοντο ἐν Δελφοῖσι ἐπὶ
πάσῃ τῇ Ἀρκάδων χώρῃ. ἡ δὲ Πυθίη σφι χρᾷ τάδε.

Ἀρκαδίην μ᾽ αἰτεῖς· μέγα μ᾽ αἰτεῖς· οὔ τοι δώσω.

---

1. - 4 (Themistius XIX p. 225. Theodoretus graec. affect. X 33.) — 1. - 3 Schol. Aristid. p. 326 Dind. — 1. 3. 4. (David proleg. philos. p. 13a Brand.) — 1. 3. (Porphyrius proleg. philos. p. 7a Brand.) — 3. (Plutarchus mor. p. 1098. Themistius VII p. 97. XV p. 193). — 4. (Diodori exc. Vatic. p. 1). — 11. Λέξεις. — 12. Λέξεις. — 16. (Bekkeri Anecd. p. 395). Suidas v. ἀνέδραμεν. — 17. (Hesychius v. ἀπέχρα). Bekkeri Anecd. p. 81. 439. Suidas v. ἀποχρᾶν. — 20. - p. 42, 4 (Diodori Exc. Vatic. p. 27. Schol. Aristid. p. 561 D.) — 20. - p. 42, 3 (Lepidus ap. Steph. Byz. v. Τεγέα). — (Eustath. Il. 301). — 20. (Dio Chrys. XVII p. 469. Polyaenus I 8. Alexander περὶ σχημ. p. 446)

1. ἥκει A^1c^1, ἦλθες Porph., ἤλυθες Dav. ‖ ὧδε Porph. ‖ λυκόεργε bd^2z. Theod., λυκοῦργε d^1. Porph. Them. ‖ ποτὶ νηὸν ἀνιών Schol. Arist. ‖ 2. ἔχουσιν *b* ‖ 3. διζῶ *AcP* ‖ εἴ σε Porph. Schol. Arist., ἠὲ Them. p. 225 ‖ ἠὲ καὶ ἄνδρα d^2z. Porph. Dav., ἠὲ βροτόν γε Schol. Arist. ‖ 4. ἀλλ᾽ ἔμπης σε θεὸν Dav. ‖ ἔλπομαι] ἔτ᾽ ὀίομαι Diod., μαντεύσομαι Dav. ‖ Λυκόεργε Them. Theod., Λυκοῦργε Diod. Dav. ‖ 6. καθεστεῶτα *bd* ‖ 8. λεωβάτεω *Pcorr*. c^2 ‖ 10. νόμια *P* ‖ μὴ παραβαίνειν ταῦτα *bd* ‖ 14. εἰσάμενοι *bdz* ‖ 15. πλήθει *Ac* ‖ 16. εὐθηνήθησαν *bd*: εὐθενήθησαν *AcP*, εὐθυνήθησαν *z* ‖ 17. ἀπέχρη *bdz* ‖ 20. Ἀρκαδίαν Diod.

πολλοὶ ἐν Ἀρκαδίῃ βαλανηφάγοι ἄνδρες ἔασιν,
οἵ σ' ἀποκωλύσουσιν. ἐγὼ δέ τοι οὔτι μεγαίρω.
δώσω τοι Τεγέην ποσσίκροτον ὀρχήσασθαι
καὶ καλὸν πεδίον σχοίνῳ διαμετρήσασθαι.

ταῦτα ὡς ἀπενειχθέντα ἤκουσαν οἱ Λακεδαιμόνιοι, Ἀρκάδων μὲν τῶν ἄλλων ἀπείχοντο, οἱ δὲ πέδας φερόμενοι ἐπὶ Τεγεήτας ἐστρατεύοντο, χρησμῷ κιβδήλῳ πίσυνοι, ὡς δὴ ἐξανδραποδιούμενοι τοὺς Τεγεήτας. ἑσσωθέντες δὲ τῇ συμβολῇ, ὅσοι αὐτῶν ἐζωγρήθησαν, πέδας τε ἔχοντες τὰς ἐφέροντο αὐτοὶ καὶ σχοίνῳ διαμετρησάμενοι τὸ πεδίον τὸ Τεγεητέων ἐργάζοντο. αἱ δὲ πέδαι αὗται, ἐν τῇσι ἐδεδέατο, ἔτι καὶ ἐς ἐμὲ ἦσαν σόαι ἐν Τεγέῃ, περὶ τὸν νηὸν τῆς Ἀλέης Ἀθηναίης κρεμάμεναι.

67 Κατὰ μὲν δὴ τὸν πρότερον πόλεμον συνεχέως αἰεὶ κακῶς ἀέθλεον πρὸς τοὺς Τεγεήτας, κατὰ δὲ τὸν κατὰ Κροῖσον χρόνον καὶ τὴν Ἀναξανδρίδεώ τε καὶ Ἀρίστωνος βασιληίην ἐν Λακεδαίμονι ἤδη οἱ Σπαρτιῆται κατυπέρτεροι τῷ πολέμῳ ἐγεγόνεσαν, τρόπῳ τοιῷδε γενόμενοι. ἐπειδὴ αἰεὶ τῷ πολέμῳ ἑσσοῦντο ὑπὸ Τεγεητέων, πέμψαντες θεοπρόπους ἐς Δελφοὺς ἐπειρώτεον τίνα ἂν θεῶν ἱλασάμενοι κατύπερθε τῷ πολέμῳ Τεγεητέων γενοίατο. ἡ δὲ Πυθίη σφι ἔχρησε τὰ Ὀρέστεω τοῦ Ἀγαμέμνονος ὀστέα ἐπαγαγομένους. ὡς δὲ ἀνευρεῖν οὐκ οἷοί τε ἐγίνοντο τὴν θήκην τοῦ Ὀρέστεω, ἔπεμπον αὖτις τὴν ἐς θεὸν ἐπειρησομένους τὸν χῶρον ἐν τῷ κέοιτο Ὀρέστης. εἰρωτῶσι δὲ ταῦτα τοῖσι θεοπρόποισι λέγει ἡ Πυθίη τάδε.

περὶ τῆς ἀνευρέσεως τῶν Ὀρέστου ὀστέων

---

1 sq. (Pausanias VIII 6.) — 3. Alexander ib. — 15. (Hesychius v. ἀέθλεον. Bekkeri Anecd. p. 347)

1. Ἀρκαδίᾳ Diod. || 2. οἵ γε Schol. Arist. || ἀποκωλύσσουσιν *P* || 3. Τεγέαν Diod. || ποσσὶ κρότον *d* || 7. ἐστρατοπεδεύοντο *bd* || 8. ἐσωθέντες *c*[1], ἐσσωθέντες *b*, ἐσδοθέντες *dz* || 9. αὐτέων *z* || ἔφερον *bd* || 12. ἐμὲ] ἐμεῦ *z* || σῶαι *L* || 13. κρεμάμενοι *Ac* || 15. ἀέθλευον Anecd. || 18. ἐγεγόνεισαν *bd* || 19. ἐσσοῦντο *b*, ἐσοῦντο *d*, ἑσσῶντο *z* || 20. ἐπειρώτων *Acd*, ἐπειρῶντο *b*, ἐπηρώτων *P*, ἐπηρώτεον *z* || 21. τεητέων *A*[1] || 22. ἐπαγομένους *bdz* || 23. ἐγινέατο *bdz* || αὖθις *bd* || τὴν ἐς] ἐς τὸν *z* || 24. ἐπερησομένους *z* || ὁ ὀρέστης *qz*

ἔστι τις Ἀρκαδίης Τεγέη λευρῷ ἐνὶ χώρῳ,
ἔνθ' ἄνεμοι πνείουσι δύω κρατερῆς ὑπ' ἀνάγκης,
καὶ τύπος ἀντίτυπος, καὶ πῆμ' ἐπὶ πήματι κεῖται.
ἔνθ' Ἀγαμεμνονίδην κατέχει φυσίζοος αἶα,
τὸν σὺ κομισσάμενος Τεγέης ἐπιτάρροθος ἔσσῃ.

ὡς δὲ καὶ ταῦτα ἤκουσαν οἱ Λακεδαιμόνιοι, ἀπεῖχον τῆς ἐξευρέσιος οὐδὲν ἔλασσον, πάντα διζήμενοι, ἐς ὃ δὴ Λίχης τῶν ἀγαθοεργῶν καλεομένων Σπαρτιητέων ἀνεῦρε. οἱ δὲ ἀγαθοεργοὶ εἰσὶ τῶν ἀστῶν, ἐξιόντες ἐκ τῶν ἱππέων αἰεὶ οἱ πρεσβύτατοι, πέντε ἔτεος ἑκάστου· τοὺς δεῖ τοῦτον τὸν ἐνιαυτόν, τὸν ἂν ἐξίωσι ἐκ τῶν ἱππέων, Σπαρτιητέων τῷ κοινῷ διαπεμπομένους μὴ ἐλινύειν ἄλλους ἄλλῃ. τούτων ὧν τῶν 68
ἀνδρῶν Λίχης ἀνεῦρε ἐν Τεγέῃ καὶ συντυχίῃ χρησάμενος καὶ σοφίῃ. ἐούσης γὰρ τοῦτον τὸν χρόνον ἐπιμιξίης πρὸς τοὺς Τεγεήτας, ἐλθὼν ἐς χαλκήιον ἐθηεῖτο σίδηρον ἐξελαυνόμενον, καὶ ἐν θώυματι ἦν ὁρέων τὸ ποιεόμενον. μαθὼν δέ μιν ὁ χαλκεὺς ἀποθωυμάζοντα εἶπε παυσάμενος τοῦ ἔργου "ἦ κου ἄν, ὦ ξεῖνε Λάκων, εἴ περ εἶδες τό περ ἐγώ, κάρτα ἂν ἐθώυμαζες, ὅκου νῦν οὕτω τυγχάνεις θῶυμα ποιεύμενος τὴν ἐργασίην τοῦ σιδήρου. ἐγὼ γὰρ ἐν τῇδε θέλων τῇ αὐλῇ φρέαρ ποιήσασθαι, ὀρύσσων ἐπέτυχον σορῷ ἑπταπήχεϊ· ὑπὸ δὲ ἀπιστίης μὴ μὲν γενέσθαι μηδαμὰ μέζονας ἀνθρώπους τῶν νῦν ἄνοιξα αὐτὴν καὶ εἶδον τὸν νεκρὸν μήκεϊ ἴσον ἐόντα τῇ σορῷ· μετρήσας δὲ συνέχωσα ὀπίσω." ὁ μὲν δή οἱ ἔλεγε τά περ ὀπώπεε, ὁ δὲ ἐννώσας τὰ λεγόμενα συνεβάλλετο τὸν

1–5. (Diodori exc. Vatic. p. 28. Lepidus ib. Schol. Aristid. p. 561 D.) — 3. (Bekkeri Anecd. p. 408). — 9 sq. Hesychius v. ἀγαθοεργοί. Bekkeri Anecd. p. 209. — 12. Λέξεις. — 17. Etymol. M. v. ἦ που. — 21. Gellius III 10, 11. — 25. Λέξεις.

1. ἀρκαδίη τεγέης *bd*, Ἀρκαδίας Τεγέης Diod., Ἀρκαδίης γαίης Schol. Arist. ‖ 2. δύο *bdz*: Lepid. Schol. Arist. ‖ 3. ἐνὶ Schol. Arist. ‖ πήμασι *z* ‖ 4. φυσίζωος *bd*. Schol. Arist. ‖ 5. κομισάμενος *bc¹dz* ‖ ἔσῃ *bd* ‖ 6. οἱ Λακεδαιμόνιοι om. *bd* ‖ 7. ἐξευρέσεος *z* ‖ ἐσὸ *b*: ἐσοῦ *A*, ἐς οὗ reliqui ‖ λιχίδης *d*ᵗ ‖ 10. δεῖ] δὴ *bd* ‖ 12. ἐλιννύειν *Pbd* ‖ τουτέων *z* ‖ 16. θωύματι *Pz*, θώματι *bd* ‖ ὁρῶν *AcP* ‖ 17. ἀποθωμάζοντα *bd* ‖ 18. ἐθωύμαζες *Pz*, ἐθώμαζες *bd* ‖ 19. θωῦμα *Pz*, θῶμα *bd* ‖ ποιεόμενος *qz* ‖ 20. τῇ *z*: ἐν τῇ ‖ 22. μηδαμᾶ *Bdz* ‖ 23. ἀνῷξα *L* ‖ 24. οἱ om. *qz* ‖ 25. συνεβάλετο *P*

Ὀρέστεα κατὰ τὸ θεοπρόπιον τοῦτον εἶναι, τῇδε συμβαλλόμενος· τοῦ χαλκέος δύο ὁρέων φύσας τοὺς ἀνέμους εὕρισκε ἐόντας, τὸν δὲ ἄκμονα καὶ τὴν σφῦραν τόν τε τύπον καὶ τὸν ἀντίτυπον, τὸν δὲ ἐξελαυνόμενον σίδηρον τὸ πῆμα ἐπὶ πήματι κείμενον, κατὰ τοιόνδε τι εἰκάζων, ὡς ἐπὶ κακῷ ἀνθρώπου σίδηρος ἀνεύρηται. συμβαλλόμενος δὲ ταῦτα καὶ ἀπελθὼν ἐς Σπάρτην ἔφραζε Λακεδαιμονίοισι πᾶν τὸ πρῆγμα. οἱ δὲ ἐκ λόγου πλαστοῦ ἐπενείκαντές οἱ αἰτίην ἐδίωξαν. ὁ δὲ ἀπικόμενος ἐς Τεγέην καὶ φράζων τὴν ἑωυτοῦ συμφορὴν πρὸς τὸν χαλκέα ἐμισθοῦτο παρ' οὐκ ἐκδιδόντος τὴν αὐλήν. χρόνῳ δὲ ὡς ἀνέγνωσε, ἐνοικίσθη, ἀνορύξας δὲ τὸν τάφον καὶ τὰ ὀστέα συλλέξας οἴχετο φέρων ἐς Σπάρτην. καὶ ἀπὸ τούτου τοῦ χρόνου, ὅκως πειρῴατο ἀλλήλων, πολλῷ κατυπέρτεροι τῷ πολέμῳ ἐγίνοντο οἱ Λακεδαιμόνιοι· ἤδη δέ σφι καὶ ἡ πολλὴ τῆς Πελοποννήσου ἦν κατεστραμμένη.

69 Ταῦτα δὴ ὦν πάντα πυνθανόμενος ὁ Κροῖσος ἔπεμπε ἐς Σπάρτην ἀγγέλους δῶρά τε φέροντας καὶ δεησομένους συμμαχίης, ἐντειλάμενός τε τὰ λέγειν χρῆν. οἱ δὲ ἐλθόντες ἔλεγον "ἔπεμψε ἡμέας Κροῖσος ὁ Λυδῶν τε καὶ ἄλλων ἐθνέων βασιλεύς, λέγων τάδε. ὦ Λακεδαιμόνιοι, χρήσαντος τοῦ θεοῦ τὸν Ἕλληνα φίλον προσθέσθαι, ὑμέας γὰρ πυνθάνομαι προεστάναι τῆς Ἑλλάδος, ὑμέας ὦν κατὰ τὸ χρηστήριον προσκαλέομαι φίλος τε θέλων γενέσθαι καὶ σύμμαχος ἄνευ τε δόλου καὶ ἀπάτης." Κροῖσος μὲν δὴ ταῦτα δι' ἀγγέλων ἐπεκηρυκεύετο. Λακεδαιμόνιοι δὲ ἀκηκοότες καὶ αὐτοὶ τὸ θεοπρόπιον τὸ Κροίσῳ γενόμενον ἥσθησάν τε τῇ ἀπίξι τῶν

περὶ τῆς πρὸς Λακεδαιμονίους Κροίσου συμμαχίας καὶ πρεσβείας

---

10. ἐμισθοῦτο - αὐλήν Pollux I 75

1. συμβαλλεόμενος *z* ‖ 3. σφύραν *cdz* ‖ 4. πήμασι *z* ‖ 6. συμβαλόμενος *Ac*, συμβαλλεόμενος *z* ‖ 7. δὲ om. *d* ‖ 10. ἐκδιδοῦντος *d* ‖ 13. πειρῴατο Schweighaeuser: ἐπειρῶατο ‖ 16. ἔπεμπε] καὶ δὴ καὶ ἐξέπεμψεν *R* hinc iam recurrens ‖ 18. χρῆν λέγειν *Apr.c*, χρὴ λέγειν *d* ‖ 19. ἡμᾶς *d* ‖ 21. τὸν] τῶν *z* ‖ 24. διαγγέλων *R* ‖ 26. τῇ τε *d* ‖ ἀφίξει codices, ἀφίξεϊ *z*

Λυδῶν καὶ ἐποιήσαντο ὅρκια ξεινίης πέρι καὶ συμμαχίης· καὶ
γάρ τινες αὐτοὺς εὐεργεσίαι εἶχον ἐκ Κροίσου πρότερον ἔτι
γεγονυῖαι. πέμψαντες γὰρ οἱ Λακεδαιμόνιοι ἐς Σάρδις χρυ-
σὸν ὠνέοντο, ἐς ἄγαλμα βουλόμενοι χρήσασθαι τοῦτο τὸ νῦν
τῆς Λακωνικῆς ἐν Θόρνακι ἵδρυται Ἀπόλλωνος· Κροῖσος δέ
σφι ὠνεομένοισι ἔδωκε δωτίνην. τούτων τε ὦν εἵνεκεν οἱ 70
Λακεδαιμόνιοι τὴν συμμαχίην ἐδέξαντο, καὶ ὅτι ἐκ πάντων
σφέας προκρίνας Ἑλλήνων αἱρέετο φίλους. καὶ τοῦτο μὲν
αὐτοὶ ἦσαν ἕτοιμοι ἐπαγγείλαντι, τοῦτο δὲ ποιησάμενοι κρη-
τῆρα χάλκεον ζῳδίων τε ἔξωθεν πλήσαντες περὶ τὸ χεῖλος
καὶ μεγάθεϊ τριηκοσίους ἀμφορέας χωρέοντα ἦγον, δῶρον
βουλόμενοι ἀντιδοῦναι Κροίσῳ. οὗτος ὁ κρητὴρ οὐκ ἀπίκετο
ἐς Σάρδις δι᾽ αἰτίας διφασίας λεγομένας τάσδε. οἱ μὲν Λα-
κεδαιμόνιοι λέγουσι ὡς ἐπείτε ἀγόμενος ἐς τὰς Σάρδις ὁ
κρητὴρ ἐγίνετο κατὰ τὴν Σαμίην, πυθόμενοι Σάμιοι ἀπε-
λοίατο αὐτὸν νηυσὶ μακρῇσι ἐπιπλώσαντες· αὐτοὶ δὲ Σάμιοι
λέγουσι ὡς ἐπείτε ὑστέρησαν οἱ ἄγοντες τῶν Λακεδαιμονίων
τὸν κρητῆρα, ἐπυνθάνοντο δὲ Σάρδις τε καὶ Κροῖσον ἡλω-
κέναι, ἀπέδοντο τὸν κρητῆρα ἐν Σάμῳ, ἰδιώτας δὲ ἄνδρας
πριαμένους ἀναθεῖναί μιν ἐς τὸ Ἥραιον· τάχα δὲ ἂν καὶ οἱ
ἀποδόμενοι λέγοιεν ἀπικόμενοι ἐς Σπάρτην ὡς ἀπαιρεθείησαν
ὑπὸ Σαμίων.

Κατὰ μέν νυν τὸν κρητῆρα οὕτω ἔσχε. Κροῖσος δὲ 71
ἁμαρτὼν τοῦ χρησμοῦ ἐποιέετο στρατηίην ἐς Καππαδοκίην,
ἐλπίσας καταιρήσειν Κῦρόν τε καὶ τὴν Περσέων δύναμιν.
παρασκευαζομένου δὲ Κροίσου στρατεύεσθαι ἐπὶ Πέρσας, τῶν

περὶ τῆς εἰς Λακεδαιμονίους Κροίσου εὐεργεσίας καὶ τοῦ ἀντιδοθέντος αὐτῷ κρατῆρος

---

1. ξυμμαχίης *Pd* ‖ 4. τούτω *Rdz* ‖ 6. τούτων] τοῦτε ὦν *R*, τουτέων *z* ‖ εἵνεκα *z* ‖ 9. ἔσαν *z* ‖ ἑτοῖμοι *c* ‖ χρητῆρα ποιησάμενοι *R* ‖ 10. ζωδίων *Rodz* ‖ 11. μεγάθεϊ *Pz*: μεγάθει *d*, μεγέθει reliqui ‖ τριακοσίους *d* ‖ ἀμφορέας χωρέοντα] ἀμφορέοντα *R* ‖ ἦγον] ἧττον *R*, ἆγον *d*, ἄγον *z* ‖ 13. λεγομένας διφασίας *d* ‖ 14. σάρδεις *d* ‖ 15. ἀπελύατο *d*, ἀπεληΐσαντο *Rz* ‖ 20. ἡραῖον *dz*, ἱρὸν *B* ‖ 21. ὡς om. *R* ‖ 23. οὕτω *z*: οὕτως ‖ 24. στρατίην *R* ‖ 25. κύρον τε *R*, τε κύρον *d*

τις Λυδῶν νομιζόμενος καὶ πρόσθε εἶναι σοφός, ἀπὸ δὲ ταύτης τῆς γνώμης καὶ τὸ κάρτα οὔνομα ἐν Λυδοῖσι ἔχων, συνεβούλευσε Κροίσῳ τάδε· οὔνομά οἱ ἦν Σάνδανις. "ὦ βασιλεῦ, ἐπ' ἄνδρας τοιούτους στρατεύεσθαι παρασκευάζεαι, οἳ σκυτίνας μὲν ἀναξυρίδας σκυτίνην δὲ τὴν ἄλλην ἐσθῆτα φορέουσι, σιτέονται δὲ οὐκ ὅσα ἐθέλουσι ἀλλ' ὅσα ἔχουσι, χώρην ἔχοντες τρηχέαν. πρὸς δὲ οὐκ οἴνῳ διαχρέωνται ἀλλὰ ὑδροποτέουσι, οὐ σῦκα δὲ ἔχουσι τρώγειν, οὐκ ἄλλο ἀγαθὸν οὐδέν. τοῦτο μὲν δή, εἰ νικήσεις, τί σφεας ἀπαιρήσεαι, τοῖσί γε μή ἐστι μηδέν; τοῦτο δέ, ἢν νικηθῇς, μάθε ὅσα ἀγαθὰ ἀποβαλέεις· γευσάμενοι γὰρ τῶν ἡμετέρων ἀγαθῶν περιέξονται οὐδὲ ἀπωστοὶ ἔσονται. ἐγὼ μέν νυν θεοῖσι ἔχω χάριν, οἳ οὐκ ἐπὶ νόον ποιέουσι Πέρσῃσι στρατεύεσθαι ἐπὶ Λυδούς." ταῦτα λέγων οὐκ ἔπειθε τὸν Κροῖσον. Πέρσῃσι γάρ, πρὶν Λυδοὺς καταστρέψασθαι, ἦν οὔτε ἁβρὸν οὔτε ἀγαθὸν οὐδέν.

72 Οἱ δὲ Καππαδόκαι ὑπὸ Ἑλλήνων Σύριοι ὀνομάζονται· ἦσαν δὲ οἱ Σύριοι οὗτοι τὸ μὲν πρότερον ἢ Πέρσας ἄρξαι Μήδων κατήκοοι, τότε δὲ Κύρου. ὁ γὰρ οὖρος ἦν τῆς τε Μηδικῆς ἀρχῆς καὶ τῆς Λυδικῆς ὁ Ἅλυς ποταμός, ὃς ῥέει ἐξ Ἀρμενίου ὄρεος διὰ Κιλίκων, μετὰ δὲ Ματιηνοὺς μὲν ἐν δεξιῇ ἔχει ῥέων, ἐκ δὲ τοῦ ἑτέρου Φρύγας· παραμειβόμενος δὲ τούτους καὶ ῥέων ἄνω πρὸς βορέην ἄνεμον ἔνθεν μὲν Συρίους Καππαδόκας ἀπέργει, ἐξ εὐωνύμου δὲ Παφλαγόνας.

Σάνδανις συμβουλεύων Κροίσῳ μὴ στρατεύειν ἐπὶ Πέρσας περὶ τῆς εἰς Καππαδόκας ἐπιστρατείας περὶ τοῦ Ἅλυος

---

3. βασιλεῦ - 8 οὐδέν Athenaeus p. 78. — 5. Λέξεις. — 8. Iulianus epist. 24. Eustathius Od. p. 1964. — 15. Λέξεις. — 16. Stephanus Byz. v. Καππαδοκία. — 18. - 23 Eustathius Dion. 784

1. λυδὸς ὀνομαζόμενος *R* ‖ πρόσθεν *L* ‖ 2. οὔνομα - 3 τάδε om. *R* ‖ συνεβούλευε *d* ‖ 4. ἐπ'] σὺ δ' ἐπ' Athen. ‖ παρασκευάζεαι στρατεύεσθαι Athen. ‖ σκύτωνας *R* ‖ 6. σιτέονταί τ' οὐχ Athen. ‖ 7. τρηχείην *L*, τραχείην Athen. ‖ οἴνῳ νὴ Δία χρέονται Athen. ‖ ὑδροποτέουσι *A*[1]*Bcorr*. ‖ 8. δὲ om. Athen. ‖ οὐθὲν ἀγαθόν Athen., οὐδὲν ἀγαθόν Eust. ‖ 9. σφε *R* ‖ ἀπαιρήσει *AC*[1], ἀπειρήσι *B*[1], ἀπειρήσεις *R* ‖ γε μὴ om. *z* ‖ 10. εἰ νικηθεὶς *R* ‖ 12. ἀποστοὶ *R* ‖ 15. ἅβρον *d* ‖ 17. ἔσαν *z* ‖ 18. οὖρος *dz*: ὅρος ‖ 20. οὔρεος *Rz* ‖ μαντιηνοὺς *R* ‖ 23. συρίους καὶ καππαδόκας *R* ‖ ἀπέργει *Pdz*: ἀπείργει ‖ εὐονύμου *R*

οὕτω ὁ Ἅλυς ποταμὸς ἀποτάμνει σχεδὸν πάντα τῆς Ἀσίης τὰ κάτω ἐκ θαλάσσης τῆς ἀντίον Κύπρου ἐς τὸν Εὔξεινον πόντον. ἔστι δὲ αὐχὴν οὗτος τῆς χώρης ταύτης ἁπάσης· μῆκος ὁδοῦ εὐζώνῳ ἀνδρὶ πέντε ἡμέραι ἀναισιμοῦνται. ἐστρα- 73
τεύετο δὲ ὁ Κροῖσος ἐπὶ τὴν Καππαδοκίην τῶνδε εἵνεκα. καὶ γῆς ἱμέρῳ προσκτήσασθαι πρὸς τὴν ἑωυτοῦ μοῖραν βουλόμενος, καὶ μάλιστα τῷ χρηστηρίῳ πίσυνος ἐὼν καὶ τίσασθαι θέλων ὑπὲρ Ἀστυάγεος Κῦρον. Ἀστυάγεα γὰρ τὸν Κυαξάρεω, ἐόντα Κροίσου μὲν γαμβρὸν Μήδων δὲ βασιλέα, Κῦρος ὁ Καμβύσεω καταστρεψάμενος εἶχε, γενόμενον γαμβρὸν Κροίσῳ ὧδε. Σκυθέων τῶν νομάδων εἵλη ἀνδρῶν στασιάσασα ὑπεξῆλθε ἐς γῆν τὴν Μηδικήν· ἐτυράννευε δὲ τὸν χρόνον τοῦτον Μήδων Κυαξάρης ὁ Φραόρτεω τοῦ Δηιόκεω, ὃς τοὺς Σκύθας τούτους τὸ μὲν πρῶτον περιεῖπε εὖ ὡς ἐόντας ἱκέτας· ὥστε δὲ περὶ πολλοῦ ποιεόμενος αὐτούς, παῖδάς σφι παρέδωκε τὴν γλῶσσάν τε ἐκμαθεῖν καὶ τὴν τέχνην τῶν τόξων. χρόνου δὲ γενομένου, καὶ αἰεὶ φοιτεόντων τῶν Σκυθέων ἐπ' ἄγρην καὶ αἰεί τι φερόντων, καί κοτε συνήνεικε ἑλεῖν σφεας μηδέν· νοστήσαντας δὲ αὐτοὺς κεινῇσι χερσὶ ὁ Κυαξάρης (ἦν γάρ, ὡς διέδεξε, ὀργὴν ἄκρος) τρηχέως κάρτα περιέσπε ἀεικείῃ. οἱ δὲ ταῦτα πρὸς Κυαξάρεω παθόντες, ὥστε ἀνάξια σφέων αὐτῶν πεπονθότες, ἐβούλευσαν τῶν παρὰ σφίσι διδασκομένων παίδων ἕνα κατακόψαι, σκευάσαντες δὲ αὐτὸν ὥσπερ ἐώθεσαν καὶ τὰ θηρία σκευάζειν, Κυαξάρῃ δοῦναι φέροντες

ὅτι Ἀστυάγης γαμβρὸς ἦν Κροίσου | αἰτία τῆς Ἀστυάγους πρὸς Ἀλυάττην ἐπιγαμίας

---

4. Λέξεις. — 11. Λέξεις

1. οὕτως *Rd* || ἄλυς *d* || ἀποτέμνει *dz* || 3. ἁπάσης ταύτης *d* || 5. ἕνεκα *C*, εἵνεκε z || 6. γῆν ἐπιθυμῶν ἱμέρω *R* || μοίρην z || 7. τῷ om. *R* | 8. ἐθέλων z || χύρον *R* || 9. βασιλῆα z || χύρος *Rd* || 11. ὧδε - p. 49, 7 μοῖραν om. *R* || εἵλη AB^1C: ἴλη || 12. ἐτυράννεε *d* || 15. παῖδα B^1z || 16. ἐκμαθέειν z || 18. συνῆκε z || σφέας *L* || 19. κενῇσι z || 20. ἔδεξεν *d* || ἄκρος *d*: οὐκ ἄκρος || 21. ἀνάξιά σφεων ἑωυτέων πεπονθότες, ἐβουλεύσαντο z || 22. τῶν] τὸν *d* || 24. εἰώθεσαν *Cd* || κυαξάρῃ B^2, κυαξάρει AB^1, κυαξάρεϊ ceteri || φέροντες *P*: φέροντας

ὡς ἄγρην δῆθεν, δόντες δὲ τὴν ταχίστην κομίζεσθαι παρὰ Ἀλυάττεα τὸν Σαδυάττεω ἐς Σάρδις. ταῦτα καὶ ἐγένετο· καὶ γὰρ Κυαξάρης καὶ οἱ παρεόντες δαιτυμόνες τῶν κρεῶν τούτων ἐπάσαντο, καὶ οἱ Σκύθαι ταῦτα ποιήσαντες Ἀλυάττεω ἱκέται ἐγένοντο.

74 μετὰ δὲ ταῦτα, οὐ γὰρ δὴ ὁ Ἀλυάττης ἐξεδίδου τοὺς Σκύθας ἐξαιτέοντι Κυαξάρῃ, πόλεμος τοῖσι Λυδοῖσι καὶ τοῖσι Μήδοισι ἐγεγόνεε ἐπ᾽ ἔτεα πέντε, ἐν τοῖσι πολλάκις μὲν οἱ Μῆδοι τοὺς Λυδοὺς ἐνίκησαν, πολλάκις δὲ οἱ Λυδοὶ τοὺς Μήδους. ἐν δὲ καὶ νυκτομαχίην τινὰ ἐποιήσαντο· διαφέρουσι δέ σφι ἐπὶ ἴσης τὸν πόλεμον τῷ ἕκτῳ ἔτεϊ συμβολῆς γενομένης συνήνεικε ὥστε τῆς μάχης συνεστεώσης τὴν ἡμέρην ἐξαπίνης νύκτα γενέσθαι. τὴν δὲ μεταλλαγὴν ταύτην τῆς ἡμέρης Θαλῆς ὁ Μιλήσιος τοῖσι Ἴωσι προηγόρευσε ἔσεσθαι, οὖρον προθέμενος ἐνιαυτὸν τοῦτον ἐν τῷ δὴ καὶ ἐγένετο ἡ μεταβολή. οἱ δὲ Λυδοί τε καὶ οἱ Μῆδοι ἐπείτε εἶδον νύκτα ἀντὶ ἡμέρης γενομένην, τῆς μάχης τε ἐπαύσαντο καὶ μᾶλλόν τι ἔσπευσαν καὶ ἀμφότεροι εἰρήνην ἑωυτοῖσι γενέσθαι. οἱ δὲ συμβιβάσαντες αὐτοὺς ἦσαν οἵδε. Συέννεσίς τε ὁ Κίλιξ καὶ Λαβύνητος ὁ Βαβυλώνιος. οὗτοί σφι καὶ τὸ ὅρκιον οἱ σπεύσαντες γενέσθαι ἦσαν, καὶ γάμων ἐπαλλαγὴν ἐποίησαν· Ἀλυάττεα γὰρ ἔγνωσαν δοῦναι τὴν θυγατέρα Ἀρύηνιν Ἀστυάγεϊ τῷ Κυαξάρεω παιδί· ἄνευ γὰρ ἀναγκαίης ἰσχυρῆς συμβάσιες ἰσχυραὶ οὐκ ἐθέλουσι συμμένειν. ὅρκια δὲ ποιέεται ταῦτα τὰ ἔθνεα τά πέρ τε Ἕλληνες, καὶ πρὸς τούτοισι, ἐπεὰν τοὺς βραχίονας ἐπιτάμωνται ἐς τὴν ὁμοχροίην, τὸ αἷμα ἀναλείχουσι ἀλλήλων.

περὶ ἡλίου ἐκλείψεως καὶ ὅτι Θαλῆς περὶ αὐτῆς προηγόρευσεν

---

22. ἄνευ – 23 συμμένειν Stobaeus flor. XXVIII 17

2. σαδιάττεω *P* ‖ σάρδεις *d* ‖ καὶ] καὶ δὴ *z* ‖ 4. τούτων (ἑ) *B*, τουτέων *z* ‖ 5. δὴ om. P^t ‖ 6. κυαξάρη B^2, κυαξάρει AB^1, κυαξάρεϊ reliqui ‖ 10. ἔτει *AB* ‖ 11. συνεστώσης *dz* ‖ τὴν] καὶ τὴν *d* ‖ 12. ταύτης *z* ‖ 14. ἐν ᾧ *L* ‖ 16. γινομένην *z* ‖ 18. ἔσαν *z* ‖ 19. λαβύνιτος B^2 ‖ 20. ἔσαν *z* ‖ ἀπαλλαγὴν *z* ‖ 21. ἀρυήνην *C*, ἀρυήνιν *dz* ‖ 23. συμβάσιες] πίστιες Stob. ‖ 25. ὁμοχροιῆην *C*, ὁμοχροιῆην ceteri

Τοῦτον δὴ ὦν τὸν Ἀστυάγεα Κῦρος ἐόντα ἑωυτοῦ μητροπάτορα καταστρεψάμενος ἔσχε δι' αἰτίην τὴν ἐγὼ ἐν τοῖσι ὀπίσω λόγοισι σημανέω· τὰ Κροῖσος ἐπιμεμφόμενος τῷ Κύρῳ ἔς τε τὰ χρηστήρια ἔπεμπε εἰ στρατεύηται ἐπὶ Πέρσας, καὶ δὴ καὶ ἀπικομένου χρησμοῦ κιβδήλου, ἐλπίσας πρὸς ἑωυτοῦ τὸν χρησμὸν εἶναι, ἐστρατεύετο ἐς τὴν Περσέων μοῖραν. ὡς δὲ ἀπίκετο ἐπὶ τὸν Ἅλυν ποταμὸν ὁ Κροῖσος, τὸ ἐνθεῦτεν, ὡς μὲν ἐγὼ λέγω, κατὰ τὰς ἐούσας γεφύρας διεβίβασε τὸν στρατόν, ὡς δὲ ὁ πολλὸς λόγος Ἑλλήνων, Θαλῆς οἱ ὁ Μιλήσιος διεβίβασε. ἀπορέοντες γὰρ Κροίσου ὅκως οἱ διαβήσεται τὸν ποταμὸν ὁ στρατός (οὐ γὰρ δὴ εἶναί κω τοῦτον τὸν χρόνον τὰς γεφύρας ταύτας) λέγεται παρεόντα τὸν Θαλῆν ἐν τῷ στρατοπέδῳ ποιῆσαι αὐτῷ τὸν ποταμὸν ἐξ ἀριστερῆς χειρὸς ῥέοντα τοῦ στρατοῦ καὶ ἐκ δεξιῆς ῥέειν, ποιῆσαι δὲ ὧδε· ἄνωθεν τοῦ στρατοπέδου ἀρξάμενον διώρυχα βαθέαν ὀρύσσειν, ἄγοντα μηνοειδέα, ὅκως ἂν τὸ στρατόπεδον ἱδρυμένον κατὰ νώτου λάβοι, ταύτῃ κατὰ τὴν διώρυχα ἐκτραπόμενος ἐκ τῶν ἀρχαίων ῥεέθρων, καὶ αὖτις παραμειβόμενος τὸ στρατόπεδον ἐς τὰ ἀρχαῖα ἐσβάλλοι· ὥστε ἐπείτε καὶ ἐσχίσθη τάχιστα ὁ ποταμός, ἀμφοτέρῃ διαβατὸς ἐγένετο. οἱ δὲ καὶ τὸ παράπαν λέγουσι καὶ τὸ ἀρχαῖον ῥέεθρον ἀποξηρανθῆναι. ἀλλὰ τοῦτο μὲν οὐ προσίεμαι· κῶς γὰρ ὀπίσω πορευόμενοι διέβησαν αὐτόν; Κροῖσος δὲ ἐπείτε διαβὰς σὺν τῷ 76
στρατῷ ἀπίκετο τῆς Καππαδοκίης ἐς τὴν Πτερίην καλεομένην (ἡ δὲ Πτερίη ἐστὶ τῆς χώρης ταύτης τὸ ἰσχυρότατον, κατὰ Σινώπην πόλιν τὴν ἐν Εὐξείνῳ πόντῳ μάλιστά κῃ κειμένη), ἐνθαῦτα ἐστρατοπεδεύετο φθείρων τῶν Συρίων τοὺς

ὅτι Θαλοῦ γνώμῃ διέβη τὸν Ἅλυν ὁ Κροίσου στρατός

15. Eustathius Dion. 784

1. κύρος *d* ut fere ‖ 4. Πέρσας] Πέρσας εἰρωτέων *z* ‖ 7. μοίρην *z* ‖ ἄλυν *B²Cd* ‖ 9. θαλλῆς *P* ‖ 10. οἱ post διεβίβασε *Pz* ‖ 13. θαλλῆν *P* ‖ 15. ὤιδε *C*, ᾦδε *z* ‖ 16. βαθείην *R*, βαθέην ceteri ‖ 17. κατανότου *R* ‖ 18. ἀρχέων *B* ‖ 19. ἐσβάλοι *dz* ‖ 21. ῥεῖθρον *AP* ‖ 22. οὐδὲ προσιέναι *R* ‖ 26. κῃ om. *R* ‖ κειμένη Wesseling: κειμένην

κλήρους· καὶ εἷλε μὲν τῶν Πτερίων τὴν πόλιν καὶ ἠνδραποδίσατο, εἷλε δὲ τὰς περιοικίδας αὐτῆς πάσας, Συρίους τε οὐδὲν ἐόντας αἰτίους ἀναστάτους ἐποίησε. Κῦρος δὲ ἀγείρας τὸν ἑωυτοῦ στρατὸν καὶ παραλαβὼν τοὺς μεταξὺ οἰκέοντας πάντας ἠντιοῦτο Κροίσῳ. πρὶν δὲ ἐξελαύνειν ὁρμῆσαι τὸν στρατόν, πέμψας κήρυκας ἐς τοὺς Ἴωνας ἐπειρᾶτό σφεας ἀπὸ Κροίσου ἀπιστάναι. Ἴωνες μέν νυν οὐκ ἐπείθοντο· Κῦρος δὲ ὡς ἀπίκετο καὶ ἀντεστρατοπεδεύσατο Κροίσῳ, ἐνθαῦτα ἐν τῇ Πτερίῃ χώρῃ ἐπειρῶντο κατὰ τὸ ἰσχυρὸν ἀλλήλων. μάχης δὲ καρτερῆς γενομένης καὶ πεσόντων ἀμφοτέρων πολλῶν, τέλος οὐδέτεροι νικήσαντες διέστησαν νυκτὸς ἐπελθούσης.
77 καὶ τὰ μὲν στρατόπεδα ἀμφότερα οὕτω ἠγωνίσατο· Κροῖσος δὲ μεμφθεὶς κατὰ τὸ πλῆθος τὸ ἑωυτοῦ στράτευμα (ἦν γάρ οἱ ὁ συμβαλὼν στρατὸς πολλὸν ἐλάσσων ἢ ὁ Κύρου), τοῦτο μεμφθείς, ὡς τῇ ὑστεραίῃ οὐκ ἐπειρᾶτο ἐπιὼν ὁ Κῦρος, ἀπήλαυνε ἐς τὰς Σάρδις, ἐν νόῳ ἔχων παρακαλέσας μὲν Αἰγυπτίους κατὰ τὸ ὅρκιον (ἐποιήσατο γὰρ καὶ πρὸς Ἄμασιν βασιλεύοντα Αἰγύπτου συμμαχίην πρότερον ἤπερ πρὸς Λακεδαιμονίους), μεταπεμψάμενος δὲ καὶ Βαβυλωνίους (καὶ γὰρ πρὸς τούτους αὐτῷ ἐπεποίητο συμμαχίη, ἐτυράννευε δὲ τὸν χρόνον τοῦτον τῶν Βαβυλωνίων Λαβύνητος), ἐπαγγείλας δὲ καὶ Λακεδαιμονίοισι παρεῖναι ἐς χρόνον ῥητόν, ἁλίσας τε δὴ τούτους καὶ τὴν ἑωυτοῦ συλλέξας στρατιὴν ἐνένωτο, τὸν χειμῶνα παρείς, ἅμα τῷ ἔαρι στρατεύειν ἐπὶ τοὺς Πέρσας. καὶ ὁ μὲν ταῦτα φρονέων, ὡς ἀπίκετο ἐς τὰς Σάρδις, ἔπεμπε

περὶ τῆς πρώτης Κροίσου καὶ Κύρου συμβολῆς   ὅτι πρὸς Ἄμασιν τὸν Αἰγύπτιον καὶ Βαβυλωνίους συμμαχία ἦν Κροίσῳ

---

3. κύρος *Rd* uti fere ‖ ἐγείρας *R* ‖ 6. κήρυκα *ABC* ‖ 7. ἀπιστάμεναι *Cdz* ‖ 9. περίη *R* ‖ ἐπειρώατο *C*, ἐπειρώατο *d*, ἐπειράατο *z* ‖ 10. ἀμφοτέρων om. *R* ‖ 12. οὕτως *L* ‖ ἠγωνίσαντο *B*² ‖ 14. ἢ ὁ] ἢ *R* ‖ 15. ὑστεραίαι *P* ‖ ἐπιὼν ὁ Κῦρος] ἔτι μένειν· κύρος δὲ *R* ‖ 16. σάρδεις *d* ‖ ἐν νόῳ – p. 51, 23 ἐλαύνειν om. *R* ‖ παρακαλέσαι *z* ‖ 18. πρότεον *A*¹*B*¹ ‖ ἤπερ sine πρὸς *C* ‖ 21. τῶν βαβυλωνίων τὸν χρόνον τοῦτον *qz* ‖ λαβύνιτος *B*² 22. Λακεδαιμονίοισι Schaefer: λακεδαιμονίους ‖ τε] δὲ *z* ‖ 23. ἐνενῶτο *B*² ‖ 24. ἦρι *C*, ἦρι ceteri ‖ 25. ὡς om. *dz* ‖ ἔπεμπέ τε *z*

κήρυκας κατὰ τὰς συμμαχίας προερέοντας ἐς πέμπτον μῆνα συλλέγεσθαι ἐς Σάρδις· τὸν δὲ παρεόντα καὶ μαχεσάμενον στρατὸν Πέρσῃσι, ὃς ἦν αὐτοῦ ξεινικός, πάντα ἀπεὶς διεσκέδασε, οὐδαμὰ ἐλπίσας μή κοτε ἄρα ἀγωνισάμενος οὕτω παραπλησίως Κῦρος ἐλάσῃ ἐπὶ Σάρδις.

Ταῦτα ἐπιλεγομένῳ Κροίσῳ τὸ προάστειον πᾶν ὀφίων 78
ἐνεπλήσθη· φανέντων δὲ αὐτῶν, οἱ ἵπποι μετιέντες τὰς νομὰς νέμεσθαι φοιτέοντες κατήσθιον. ἰδόντι δὲ τοῦτο Κροίσῳ, ὥσπερ καὶ ἦν, ἔδοξε τέρας εἶναι· αὐτίκα δὲ ἔπεμπε θεοπρόπους ἐς τῶν ἐξηγητέων Τελμησσέων. ἀπικομένοισι δὲ τοῖσι θεοπρόποισι καὶ μαθοῦσι πρὸς Τελμησσέων τὸ θέλει σημαίνειν τὸ τέρας, οὐκ ἐξεγένετο Κροίσῳ ἀπαγγεῖλαι· πρὶν γὰρ ἢ ὀπίσω σφέας ἀναπλῶσαι ἐς τὰς Σάρδις ἥλω ὁ Κροῖσος. Τελμησσέες μέντοι τάδε ἔγνωσαν, στρατὸν ἀλλόθροον προσδόκιμον εἶναι Κροίσῳ ἐπὶ τὴν χώρην, ἀπικόμενον δὲ τοῦτον καταστρέψεσθαι τοὺς ἐπιχωρίους, λέγοντες ὄφιν εἶναι γῆς παῖδα, ἵππον δὲ πολέμιόν τε καὶ ἐπήλυδα. Τελμησσέες μέν νυν ταῦτα ὑπεκρίναντο Κροίσῳ ἤδη ἡλωκότι, οὐδέν κω εἰδότες τῶν ἦν περὶ Σάρδις τε καὶ αὐτὸν Κροῖσον. Κῦρος δὲ 79
αὐτίκα ἀπελαύνοντος Κροίσου μετὰ τὴν μάχην τὴν γενομένην ἐν τῇ Πτερίῃ, μαθὼν ὡς ἀπελάσας μέλλοι Κροῖσος διασκεδᾶν τὸν στρατόν, βουλευόμενος εὕρισκε πρῆγμά οἱ εἶναι ἐλαύνειν ὡς δύναιτο τάχιστα ἐπὶ τὰς Σάρδις, πρὶν ἢ τὸ δεύ-

περὶ τοῦ φανέντος τέρατος ὑποστρέφοντι Κροίσῳ   περὶ τῆς Κύρου κατὰ Λυδῶν στρατείας καὶ πῶς κατ' ἀλλήλων παρετάξαντο

---

10. Bekkeri Anecd. p. 96. — 17. Τελμησσέες - 18 Κροίσῳ Thomas p. 375 R.

2. σάρδεις *d* ‖ 3. ἀπεὶς *P*: ἀπ/φεὶς *A*, ἀφεὶς reliqui ‖ 4. οὐδαμᾶ *dz* ‖ ἄρα *AB* ‖ 5. ἐλάσει *dz* ‖ σάρδεις *dz* ‖ 7. αὐτέων *z* ‖ 8. φοιτέοντες *Pd*: φοιτέοντας *z*, φοιτῶντες *AB*, φοιτέωντες *C* ‖ τούτωι κροίσωι *C*, τῷ κροίσῳ τοῦτο *dz* ‖ 10. ἐς τοὺς ἐξηγητέας *z*. an ἐς Τελμησσέων τῶν ἐξηγητέων? ‖ τελμισσέων *dz* ‖ 11. τελμησέων *C*, τελμισσέων *dz* ‖ 13. σάρδεις *d* ‖ ὁ om. *dz* ‖ 14. τελμισσέες *dz* ‖ 16. καταστρέφεσθαι *z* ‖ εἶναι om. *dz* ‖ 17. τε] εἶναι *dz* ‖ τελμισσέες *dz* ‖ 19. σάρδεις *d* ‖ 21. μέλλει *z* ‖ 23. δύναιτο] δύναται *C*, om. *R* ‖ ἐπὶ τὰς Σάρδις om. *R* ‖ σάρδεις *d* ‖ πρὶν ἢ] ὅκως πρὶν ἢ *Rdz*

τερον ἁλισθῆναι τῶν Λυδῶν τὴν δύναμιν. ὡς δέ οἱ ταῦτα ἔδοξε, καὶ ἐποίεε κατὰ τάχος· ἐλάσας γὰρ τὸν στρατὸν ἐς τὴν Λυδίην αὐτὸς ἄγγελος Κροίσῳ ἐληλύθεε. ἐνθαῦτα Κροῖσος ἐς ἀπορίην πολλὴν ἀπιγμένος, ὥς οἱ παρὰ δόξαν ἔσχε τὰ πρήγματα ἢ ὡς αὐτὸς κατεδόκεε, ὅμως τοὺς Λυδοὺς ἐξῆγε ἐς μάχην. ἦν δὲ τοῦτον τὸν χρόνον ἔθνος οὐδὲν ἐν τῇ Ἀσίῃ οὔτε ἀνδρηιότερον οὔτε ἀλκιμώτερον τοῦ Λυδίου. ἡ δὲ μάχη σφέων ἦν ἀπ' ἵππων, δόρατά τε ἐφόρεον μεγάλα, καὶ αὐτοὶ

80 ἦσαν ἱππεύεσθαι ἀγαθοί. ἐς τὸ πεδίον δὲ συνελθόντων, τοῦτο τὸ πρὸ τοῦ ἄστεός ἐστι τοῦ Σαρδιηνοῦ, ἐὸν μέγα τε καὶ ψιλόν (διὰ δὲ αὐτοῦ ποταμοὶ ῥέοντες καὶ ἄλλοι καὶ Ὕλλος συρρηγνῦσι ἐς τὸν μέγιστον, καλεόμενον δὲ Ἕρμον, ὃς ἐξ ὄρεος ἱροῦ μητρὸς Δινδυμήνης ῥέων ἐκδιδοῖ ἐς θάλασσαν κατὰ Φωκαίην πόλιν), ἐνθαῦτα ὁ Κῦρος ὡς εἶδε τοὺς Λυδοὺς ἐς μάχην τασσομένους, καταρρωδήσας τὴν ἵππον ἐποίησε Ἁρπάγου ὑποθεμένου ἀνδρὸς Μήδου τοιόνδε. ὅσαι τῷ στρατῷ τῷ ἑωυτοῦ εἵποντο σιτοφόροι τε καὶ σκευοφόροι κάμηλοι, ταύτας πάσας ἁλίσας καὶ ἀπελὼν τὰ ἄχθεα ἄνδρας ἐπ' αὐτὰς ἀνέβησε ἱππάδα στολὴν ἐνεσταλμένους, σκευάσας δὲ αὐτοὺς προσέταξε τῆς ἄλλης στρατιῆς προϊέναι πρὸς τὴν Κροίσου ἵππον, τῇ δὲ καμήλῳ ἕπεσθαι τὸν πεζὸν στρατὸν ἐκέλευε, ὄπισθε δὲ τοῦ πεζοῦ ἐπέταξε τὴν πᾶσαν ἵππον. ὡς δέ οἱ πάντες διετετάχατο, παραίνεσε τῶν μὲν ἄλλων Λυδῶν μὴ φειδομένους κτείνειν πάντα τὸν ἐμποδὼν γινόμενον, Κροῖσον

περὶ τοῦ ἐν Σάρδεσι πεδίου καὶ τῶν ἐν αὐτῷ ποταμῶν

9. Bekkeri Anecd. p. 100. — 13 sq. Strabo p. 626. — Bekkeri Anecd. p. 395. Suidas v. ἀνέβησε. — 23. Λυδῶν - p. 53, 1 κτείνειν Suidas v. ἐμποδών. — 24. Thomas M. p. 110

1. τὴν τῶν λυδῶν δύναμιν αὐτὸς ἐπικαταλάβοι *Rdz* || 2. γὰρ *ABP*: δὲ *C*, om. *Rdz* || 3. ἐλήλυθε *C* || 4. ἀπηγμένος *B* || 5. ὡς] ὡς ἂν *B*² || 6. εἰς *R* || 7. ἀνδρειώτερον *d*, ἀνδρειότερον ceteri || 8. ἀφίππων *AB*, ἀφ' ἵππων *d*, ἀμφ' ἵππων *R* || δούρατά *L* || 9. ἔσαν *z* || 10. ἄστεος om. *R* spatio vacuo || ψιλὸν] ὑψηλὸν *Rdz* || 11. Ἄλλος *R*, Ἕλλος *d*, Ελλος *z* || συρρηγνῦσι *CP*: συρρήγνυσι || 12. ὄρεος *AB*¹: οὔρεος || 14. φωκέην *C*, φωκίην *Rdz* || ἴδε *R* || 15. ταρασσομένους *C* || 17. ἔποντο *C* || 18. ἀπελὼν *z*: ἀφελὼν || 19. ἔβησεν *Rd*, ἔβησε *z* || ἐσταλμένους Schaefer || 24. ἐμποδῶν *ABC* || γενόμενον *Rdz*

δὲ αὐτὸν μὴ κτείνειν, μηδὲ ἢν συλλαμβανόμενος ἀμύνηται. ταῦτα μὲν παραίνεσε, τὰς δὲ καμήλους ἔταξε ἀντία τῆς ἵππου τῶνδε εἵνεκεν· κάμηλον ἵππος φοβέεται, καὶ οὐκ ἀνέχεται οὔτε τὴν ἰδέην αὐτοῦ ὁρέων οὔτε τὴν ὀδμὴν ὀσφραινόμενος. αὐτοῦ δὴ ὦν τούτου εἵνεκεν ἐσεσόφιστο, ἵνα τῷ Κροίσῳ ἄχρηστον ᾖ τὸ ἱππικόν, τῷ δή τι καὶ ἐπεῖχε ἐλλάμψεσθαι ὁ Λυδός. ὡς δὲ καὶ συνήισαν ἐς τὴν μάχην, ἐνθαῦτα ὡς ὤσφραντο τάχιστα τῶν καμήλων οἱ ἵπποι καὶ εἶδον αὐτάς, ὀπίσω ἀνέστρεφον, διέφθαρτό τε τῷ Κροίσῳ ἡ ἐλπίς. οὐ μέντοι οἵ γε Λυδοὶ τὸ ἐνθεῦτεν δειλοὶ ἦσαν, ἀλλ' ὡς ἔμαθον τὸ γινόμενον, ἀποθορόντες ἀπὸ τῶν ἵππων πεζοὶ τοῖσι Πέρσῃσι συνέβαλλον. χρόνῳ δὲ πεσόντων ἀμφοτέρων πολλῶν ἐτράποντο οἱ Λυδοί, κατειληθέντες δὲ ἐς τὸ τεῖχος ἐπολιορκέοντο ὑπὸ τῶν Περσέων.

Τοῖσι μὲν δὴ κατεστήκεε πολιορκίη. Κροῖσος δὲ δοκέων 81
οἱ χρόνον ἐπὶ μακρὸν ἔσεσθαι τὴν πολιορκίην ἔπεμπε ἐκ τοῦ τείχεος ἄλλους ἀγγέλους ἐς τὰς συμμαχίας· οἱ μὲν γὰρ πρότερον διεπέμποντο ἐς πέμπτον μῆνα προερέοντες συλλέγεσθαι ἐς Σάρδις, τούτους δὲ ἐξέπεμπε τὴν ταχίστην δέεσθαι βοηθέειν ὡς πολιορκεομένου Κροίσου. ἔς τε δὴ ὦν τὰς ἄλλας 82
ἔπεμπε συμμαχίας καὶ δὴ καὶ ἐς Λακεδαίμονα. τοῖσι δὲ καὶ αὐτοῖσι τοῖσι Σπαρτιήτῃσι κατ' αὐτὸν τοῦτον τὸν χρόνον συνεπεπτώκεε ἔρις ἐοῦσα πρὸς Ἀργείους περὶ χώρου καλεο-

ἧττα Λυδῶν καὶ πολιορκία

περὶ τοῦ ἐν Θυρέᾳ Ἀργείων καὶ Λακεδαιμονίων πολέμου

---

6. Hermogenes περὶ ἰδεῶν p. 244

1. μὴ δ' *Rd*, μήδ' *z* ‖ ἢν] εἶν *R* ‖ ἀμύνηται *A*[1] ‖ 3. εἵνεκα *z* ‖ 4. ἰδέαν *Rd* ‖ αὐτῆς *Rdz* ‖ ὀσμὴν *Rd* ‖ εὐφραινόμενος *R* ‖ 5. ἕνεκεν *R*, ἕνεκεν *d*, εἵνεκε *z* ‖ σεσόφιστο *B*²*C* ‖ 6. τι] τοι *dz* ‖ ἐλλάμψασθαι Hermog. ‖ ὁ Λυδός] ὁ αὐτός *Rdz*, ὠὐτὸς *C*²; γρ. ὠὐτός *Pm* ‖ 7. συνήιεσαν *P*, συνήινεσαν *C*, συνῄεσαν *z*, συνήεσαν reliqui ‖ ὡς om. *Rdz* ‖ 8. ὤσφραντο *C* ‖ εἶδον] ἰδόντες *Rdz* ‖ 11. ἀποθορέντες *R* ‖ 14. περσῶν *Rd* ‖ 15. πόλιορκίη — 16 τὴν om. *R* ‖ 16. οἳ *C* ‖ μακρότερον *Rdz* ‖ 18. ἐς πέμπτον om. *C*¹ ‖ τὸ συλλέγεσθαι *Rd* ‖ 19. σάρδεις *d* ‖ τὴν ταχίστην — 21 ἔπεμπε om. *R* ‖ 20. πολιορκουμένους *d* ‖ 21. τοῖσι om. *Rdz* ‖ 22. κατ' om. *C*¹ ‖ 23. συνεπέπτωκεν *d*

μένου Θυρέης· τὰς γὰρ Θυρέας ταύτας ἐούσας τῆς Ἀργολίδος μοίρης ἀποταμόμενοι ἔσχον οἱ Λακεδαιμόνιοι. ἦν δὲ καὶ ἡ μέχρι Μαλεέων ἡ πρὸς ἑσπέρην Ἀργείων, ἥ τε ἐν τῇ ἠπείρῳ χώρη καὶ ἡ Κυθηρίη νῆσος καὶ αἱ λοιπαὶ τῶν νήσων. βοηθησάντων δὲ Ἀργείων τῇ σφετέρῃ ἀποταμνομένῃ, ἐνθαῦτα συνέβησαν ἐς λόγους συνελθόντες ὥστε τριηκοσίους ἑκατέρων μαχέσασθαι, ὁκότεροι δ᾽ ἂν περιγένωνται, τούτων εἶναι τὸν χῶρον· τὸ δὲ πλῆθος τοῦ στρατοῦ ἀπαλλάσσεσθαι ἑκάτερον ἐς τὴν ἑωυτοῦ μηδὲ παραμένειν ἀγωνιζομένων, τῶνδε εἵνεκεν ἵνα μὴ παρεόντων τῶν στρατοπέδων ὁρέοντες οἱ ἕτεροι ἑσσουμένους τοὺς σφετέρους ἐπαμύνοιεν. συνθέμενοι ταῦτα ἀπαλλάσσοντο, λογάδες δὲ ἑκατέρων ὑπολειφθέντες συνέβαλον. μαχομένων δέ σφεων καὶ γινομένων ἰσοπαλέων ὑπελείποντο ἐξ ἀνδρῶν ἑξακοσίων τρεῖς, Ἀργείων μὲν Ἀλκήνωρ τε καὶ Χρομίος, Λακεδαιμονίων δὲ Ὀθρυάδης· ὑπελείφθησαν δὲ οὗτοι νυκτὸς ἐπελθούσης. οἱ μὲν δὴ δύο τῶν Ἀργείων ὡς νενικηκότες ἔθεον ἐς τὸ Ἄργος, ὁ δὲ τῶν Λακεδαιμονίων Ὀθρυάδης σκυλεύσας τοὺς Ἀργείων νεκροὺς καὶ προσφορήσας τὰ ὅπλα πρὸς τὸ ἑωυτοῦ στρατόπεδον ἐν τῇ τάξι εἶχε ἑωυτόν. ἡμέρῃ δὲ δευτέρῃ παρῆσαν πυνθανόμενοι ἀμφότεροι. τέως μὲν δὴ αὐτοὶ ἑκάτεροι ἔφασαν νικᾶν, λέγοντες οἱ μὲν ὡς ἑωυτῶν πλεῦνες περιγεγόνασι, οἱ δὲ τοὺς μὲν ἀποφαίνοντες πεφευγότας, τὸν δὲ σφέτερον παραμείναντα καὶ σκυλεύσαντα τοὺς ἐκείνων νεκρούς· τέλος δὲ ἐκ τῆς ἔριδος συμπεσόντες ἐμάχοντο, πεσόντων δὲ καὶ ἀμφοτέρων πολλῶν ἐνίκων Λακεδαιμόνιοι. Ἀργεῖοι μέν νυν ἀπὸ τούτου τοῦ χρόνου καταχειράμενοι τὰς κεφαλάς, πρότερον ἐπάναγκες κομέοντες,

---

21. λέγοντες - 22 περιγεγόνασι Thomas M. p. 315. — 27 sqq. Eustathius Il. p. 165

1. Θυρέας] θύρας *d* ‖ 2. μόρης *C* ‖ ἀποτεμόμενοι *dz* ‖ 3. μαλεῶν *L* ‖ 4. κυθαρίη *Rd*, Κύθηρα *z* ‖ 6. εἰς *P* ‖ 7. τουτέων *Rdz* ‖ 9. εἰς *R* ‖ περιμένειν *z* ‖ εἵνεκε *z* ‖ 10. ὁρέωντες *C*, ὁρῶντες ceteri ‖ 11. ἑσσουμένους *d*, ἑσσωμένους *z* ‖ ταῦτα] ὧν ταῦτα *sz* ‖ 12. συνέβαλλον *dz* ‖ 13. δὲ σφέων *Pz* ‖ ὑπελείποντο *CP*: ὑπελίποντο ‖ 14. Ἀλκίνωρ *z* ‖ 15. χρωμίος *C*, χρόμιος *dz* ‖ θρυάδης *B*[1], ὀθρυάδης *C* ‖ 16. δὴ om. *d* ‖ 18. ὁ θρυάδης *C* ‖ 19. τάξει *L* ‖ 27. κομῶντες *L*

ἐποιήσαντο νόμον τε καὶ κατάρην μὴ πρότερον θρέψειν κόμην Ἀργείων μηδένα, μηδὲ τὰς γυναῖκάς σφι χρυσοφορήσειν, πρὶν Θυρέας ἀνασώσωνται. Λακεδαιμόνιοι δὲ τὰ ἐναντία τούτων ἔθεντο νόμον· οὐ γὰρ κομέοντες πρὸ τούτου ἀπὸ τούτου κομᾶν. τὸν δὲ ἕνα λέγουσι τὸν περιλειφθέντα τῶν τριηκοσίων Ὀθρυάδην, αἰσχυνόμενον ἀπονοστέειν ἐς Σπάρτην τῶν οἱ συλλοχιτέων διεφθαρμένων, αὐτοῦ μιν ἐν τῇσι Θυρέῃσι καταχρήσασθαι ἑωυτόν.

Τοιούτων δὲ τοῖσι Σπαρτιήτῃσι ἐνεστεώτων πρηγμάτων 83 ἧκε ὁ Σαρδιηνὸς κῆρυξ δεόμενος Κροίσῳ βοηθέειν πολιορκεομένῳ. οἱ δὲ ὅμως, ἐπείτε ἐπύθοντο τοῦ κήρυκος, ὁρμέατο βοηθέειν. καί σφι ἤδη παρεσκευασμένοισι, καὶ νεῶν ἐουσέων ἑτοίμων, ἦλθε ἄλλη ἀγγελίη, ὡς ἡλώκοι τὸ τεῖχος τῶν Λυδῶν καὶ ἔχοιτο Κροῖσος ζωγρηθείς. οὕτω δὴ οὗτοι μὲν συμφορὴν ποιησάμενοι μεγάλην ἐπέπαυντο, Σάρδιες δὲ ἥλωσαν ὧδε. ἐπειδὴ τεσσερεσκαιδεκάτη ἐγένετο ἡμέρη πολιορ- 84 κεομένῳ Κροίσῳ, Κῦρος τῇ στρατιῇ τῇ ἑωυτοῦ διαπέμψας ἱππέας προεῖπε τῷ πρώτῳ ἐπιβάντι τοῦ τείχεος δῶρα δώσειν. μετὰ δὲ τοῦτο πειρησαμένης τῆς στρατιῆς ὡς οὐ προεχώρεε, ἐνθαῦτα τῶν ἄλλων πεπαυμένων ἀνὴρ Μάρδος ἐπειρᾶτο προσβαίνων, τῷ οὔνομα ἦν Ὑροιάδης, κατὰ τοῦτο τῆς ἀκροπόλιος τῇ οὐδεὶς ἐτέτακτο φύλακος· οὐ γὰρ ἦν δεινὸν κατὰ τοῦτο μὴ ἁλῷ κοτε. ἀπότομός τε γάρ ἐστι ταύτῃ ἡ ἀκρόπολις καὶ ἄμαχος· τῇ οὐδὲ Μήλης ὁ πρότερον βασιλεὺς Σαρδίων μούνῃ οὐ περιήνεικε τὸν λέοντα τόν οἱ ἡ παλλακὴ ἔτεκε,

περὶ τῆς Σάρδεων ἁλώσεως — ὅτι Μήλης πρότερον ἐν Σάρδεσιν ἐβασίλευσε καὶ περὶ τοῦ τεχθέντος λέοντος ἐκ τῆς αὐτοῦ γυναικός

5. τὸν δὲ - 8 ἑωυτόν Plutarchus mor. p. 858. — 7. αὐτοῦ - 8 ἑωυτόν Thomas M. p. 82. — 21. κατὰ - 22 φύλακος Suidas v. φύλακος

2. μηδένα om. *Rd* ‖ σφι om. *Rd* ‖ 3. πρὶν] πρὶν ἂν *A*²*Rdz* ‖ ἀνασώσονται *d* ‖ τἀναντία *z* ‖ 4. κομῶντες *L* ‖ 7. οἱ om. Plut. ‖ τῇσι θυρέοισι *d*, ταῖσι Θυρεαῖσι Plut. ‖ 8. καταχώσασθαι Plut. ‖ 9. τοιοῦτον *R* ‖ ἐνισταμένων τῶν πρηγμάτων *Rdz* ‖ 11. ὡρμέατο *P* ‖ 13. ἡλώκοι *AB* ‖ 15. ἡλώκεσαν *Rdz* ‖ 16. τεσσαρεσκαιδεκάτη *L* ‖ 19. πειρασαμένης *R*, πειρησάμενος *dz* ‖ προσεχώρεεν *Rd*, προσεχώρεε *z* ‖ 21. ὑριάδης *R* ‖ 24. πρότερον *ABC*: πρότερος ‖ 25. παλακὴ *C*¹*R*

Τελμησσέων δικασάντων ὡς περιενειχθέντος τοῦ λέοντος τὸ τεῖχος ἔσονται Σάρδιες ἀνάλωτοι. ὁ δὲ Μήλης κατὰ τὸ ἄλλο τεῖχος περιενείκας, τῇ ἦν ἐπίμαχον [τὸ χωρίον] τῆς ἀκροπόλιος, κατηλόγησε τοῦτο ὡς ἐὸν ἄμαχόν τε καὶ ἀπότομον· ἔστι δὲ πρὸς τοῦ Τμώλου τετραμμένον τῆς πόλιος. ὁ ὦν δὴ Ὑροιάδης οὗτος ὁ Μάρδος ἰδὼν τῇ προτεραίῃ τῶν τινα Λυδῶν κατὰ τοῦτο τῆς ἀκροπόλιος καταβάντα ἐπὶ κυνέην ἄνωθεν κατακυλισθεῖσαν καὶ ἀνελόμενον ἐφράσθη καὶ ἐς θυμὸν ἐβάλετο. τότε δὲ δὴ αὐτός τε ἀναβεβήκεε καὶ κατ' αὐτὸν ἄλλοι Περσέων ἀνέβαινον· προσβάντων δὲ συχνῶν, οὕτω δὴ Σάρδιές τε ἡλώκεσαν καὶ πᾶν τὸ ἄστυ ἐπορθέετο.

85 Κατ' αὐτὸν δὲ Κροῖσον τάδε ἐγίνετο. ἦν οἱ παῖς, τοῦ καὶ πρότερον ἐπεμνήσθην, τὰ μὲν ἄλλα ἐπιεικής ἄφωνος δέ. ἐν τῇ ὦν παρελθούσῃ εὐεστοῖ ὁ Κροῖσος τὸ πᾶν ἐς αὐτὸν ἐπεποιήκεε, ἄλλα τε ἐπιφραζόμενος, καὶ δὴ καὶ ἐς Δελφοὺς περὶ αὐτοῦ ἐπεπόμφεε χρησομένους. ἡ δὲ Πυθίη οἱ εἶπε τάδε.

Λυδὲ γένος, πολλῶν βασιλεῦ, μέγα νήπιε Κροῖσε,
μὴ βούλου πολύευκτον ἰὴν ἀνὰ δώματ' ἀκούειν
παιδὸς φθεγγομένου. τὸ δέ σοι πολὺ λώιον ἀμφίς
ἔμμεναι· αὐδήσει γὰρ ἐν ἤματι πρῶτον ἀνόλβῳ.

ἁλισκομένου δὴ τοῦ τείχεος, ἤιε γὰρ τῶν τις Περσέων ἀλλογνώσας Κροῖσον ὡς ἀποκτενέων, Κροῖσος μέν νυν ὁρέων ἐπιόντα ὑπὸ τῆς παρεούσης συμφορῆς παρημελήκεε, οὐδέ τί οἱ διέφερε πληγέντι ἀποθανεῖν· ὁ δὲ παῖς οὗτος ὁ ἄφωνος

τίνι τρόπῳ ζωγρηθεὶς Κροῖσος καὶ μέλλων κατακαίεσθαι ἐσώθη· καὶ περὶ τοῦ λαλῆσαι τὸν ἄλαλον αὐτοῦ παῖδα

---

14. Λέξεις. — 17. - 20 (Diodori exc. Vatic. p. 26.) — 22. Λέξεις

1. τελμισέων *Rd*, Τελμινσσέων *z* || δικασόντων *dz* || 3. τὸ χωρίον seclusit Krueger || 4. τοῦτο Reiske: τούτου || ἄμμαχον *C* || 6. οὗτος Reiske: αὐτὸς || τόν τινα *AB*[1] || 9. ἐβάλλετο *Bdz* || ὁ αὐτὸς *R*[1]*dz* || κατ'] μετ' *z* || 11. δὴ om. *dz* || 12. Κροῖσον] om. *C*[1], τὸν κροῖσον *C*[2] || ἐγένετο *C* || 14. οὖν *d* || εὐεστοῖ] εὐθηνία *Rd*, εὐθηνίᾳ *z*, γρ. εὐθηνία *C*[2]*P* uterque in margine || ἐς ἑωυτὸν *z* || 16. χρησόμενος *z* || 18. βούλευ *Rdz* || ἰὰν Diod., ἴην *z* || κατὰ Diod. || 19. τόδε σοι *z* || 21. δὴ] δὲ *Rdz* || τῶν om. *z* || ἄλλον γνώσας *Rdz* || 23. παρημεληκέναι *C*[1], γρ. παρημέλεε *C*[2] || 24. ἀποθανέειν *L*

ὡς εἶδε ἐπιόντα τὸν Πέρσην, ὑπὸ δέους τε καὶ κακοῦ ἔρρηξε φωνήν, εἶπε δὲ "ὤνθρωπε, μὴ κτεῖνε Κροῖσον." οὗτος μὲν δὴ τοῦτο πρῶτον ἐφθέγξατο, μετὰ δὲ τοῦτο ἤδη ἐφώνεε τὸν πάντα χρόνον τῆς ζόης. οἱ δὲ Πέρσαι τάς τε δὴ Σάρδις 86
ἔσχον καὶ αὐτὸν Κροῖσον ἐζώγρησαν, ἄρξαντα ἔτεα τεσσερεσκαίδεκα καὶ τεσσερεσκαίδεκα ἡμέρας πολιορκηθέντα, κατὰ τὸ χρηστήριόν τε καταπαύσαντα τὴν ἑωυτοῦ μεγάλην ἀρχήν. λαβόντες δὲ αὐτὸν οἱ Πέρσαι ἤγαγον παρὰ Κῦρον. ὁ δὲ συννήσας πυρὴν μεγάλην ἀνεβίβασε ἐπ' αὐτὴν τὸν Κροῖσόν τε ἐν πέδῃσι δεδεμένον καὶ δὶς ἑπτὰ Λυδῶν παρ' αὐτὸν παῖδας, ἐν νόῳ ἔχων εἴτε δὴ ἀκροθίνια ταῦτα καταγιεῖν θεῶν ὅτεῳ δή, εἴτε καὶ εὐχὴν ἐπιτελέσαι θέλων, εἴτε καὶ πυθόμενος τὸν Κροῖσον εἶναι θεοσεβέα τοῦδε εἵνεκεν ἀνεβίβασε ἐπὶ τὴν πυρήν, βουλόμενος εἰδέναι εἴ τίς μιν δαιμόνων ῥύσεται τοῦ μὴ ζῶντα κατακαυθῆναι. τὸν μὲν δὴ ποιέειν ταῦτα· τῷ δὲ Κροίσῳ ἑστεῶτι ἐπὶ τῆς πυρῆς ἐσελθεῖν, καίπερ ἐν κακῷ ἐόντι τοσούτῳ, τὸ τοῦ Σόλωνος ὥς οἱ εἴη σὺν θεῷ εἰρημένον, τὸ μηδένα εἶναι τῶν ζωόντων ὄλβιον. ὡς δὲ ἄρα μιν προσστῆναι τοῦτο, ἀνενεικάμενόν τε καὶ ἀναστενάξαντα ἐκ πολλῆς ἡσυχίης ἐς τρὶς ὀνομάσαι "Σόλων". καὶ τὸν Κῦρον ἀκούσαντα κελεῦσαι τοὺς ἑρμηνέας ἐπείρεσθαι τὸν Κροῖσον τίνα τοῦτον ἐπικαλέοιτο, καὶ τοὺς προσελθόντας ἐπειρωτᾶν. Κροῖσον δὲ τέως μὲν σιγὴν ἔχειν εἰρωτεόμενον, μετὰ δέ, ὡς ἠναγκάζετο, εἰπεῖν "τὸν ἂν ἐγὼ πᾶσι τυράννοισι προετίμησα

περὶ Σόλωνος καὶ τῶν παρ' αὐτοῦ εἰρημένων (*R*)

---

2. Gellius V 9. — 18 sq. Eustathius Od. p. 1604. — 23 sq. idem Il. p. 80

1. ὡς om. *C* ‖ καὶ κακοῦ] καί κου *Rd* ‖ 4. ζωῆς *Rd* ‖ 5. τεσσερεσκαίδεκα *C*: τεσσαρεσκαίδεκα ‖ 6. τεσσαρεσκαίδεκα *L* ‖ 7. τε] τε ////// *P*, τε καὶ *Rdz* ‖ 8. συνήσας *A*²*C*¹*Rd* ‖ 10. δεδεμένον ἐν πέδησι *Rd* ‖ αὐτῶν *Cpr.* ‖ 11. ἀκροθοίνια *z* ‖ ὅτε δὴ *C*¹, ὁτεωιδὴ *P*, ὁτεωδὴ *dz* ‖ 12. ποιθόμενος *B* 13. εἵνεκα *z* ‖ 14. τίς μιν] τίσιν *C* ‖ 18. εἶναι om. *A*¹ ‖ ζώντων *Rdz* ‖ 19. προσστῆναι Schweighaeuser: προστῆναι ‖ 20. ἡσυχίης] λειποψυχίης *Rdz*, γρ. λειποψυχίης *C*²*P* uterque in margine ‖ τρεῖς *C* ‖ σόλωνα *s*, τὸ, Σόλων *z* ‖ 21. ἐπήρεσθαι *C* ‖ 22. ἐπηρωτᾶν *C* ‖ 23. ἕως *Rd*. Eust. ‖ ἐρωτώμενον codices, ἐρωτεώμενον *z* ‖ ὡς om. *Rdz*

μεγάλων χρημάτων ἐς λόγους ἐλθεῖν.” ὡς δέ σφι ἄσημα ἔφραζε, πάλιν ἐπειρώτεον τὰ λεγόμενα. λιπαρεόντων δὲ αὐτῶν καὶ ὄχλον παρεχόντων ἔλεγε δὴ ὡς ἦλθε ἀρχὴν ὁ Σόλων ἐὼν Ἀθηναῖος, καὶ θεησάμενος πάντα τὸν ἑωυτοῦ ὄλβον ἀποφλαυρίσειε οἷα δὴ εἴπας, ὥς τε αὐτῷ πάντα ἀποβέβηκέ οἱ τῇ περ ἐκεῖνος εἶπε, οὐδέν τι μᾶλλον ἐς ἑωυτὸν λέγων ἢ οὐκ ἐς ἅπαν τὸ ἀνθρώπινον καὶ μάλιστα τοὺς παρὰ σφίσι αὐτοῖσι ὀλβίους δοκέοντας εἶναι. τὸν μὲν Κροῖσον ταῦτα ἀπηγέεσθαι, τῆς δὲ πυρῆς ἤδη ἁμμένης καίεσθαι τὰ περιέσχατα. καὶ τὸν Κῦρον ἀκούσαντα τῶν ἑρμηνέων τὰ Κροῖσος εἶπε, μεταγνόντα τε καὶ ἐννώσαντα ὅτι καὶ αὐτὸς ἄνθρωπος ἐὼν ἄλλον ἄνθρωπον, γενόμενον ἑωυτοῦ εὐδαιμονίῃ οὐκ ἐλάσσω, ζῶντα πυρὶ διδοίη, πρός τε τούτοισι δείσαντα τὴν τίσιν καὶ ἐπιλεξάμενον ὡς οὐδὲν εἴη τῶν ἐν ἀνθρώποισι ἀσφαλέως ἔχον, κελεύειν σβεννύναι τὴν ταχίστην τὸ καιόμενον πῦρ καὶ καταβιβάζειν Κροῖσόν τε καὶ τοὺς μετὰ Κροίσου. καὶ τοὺς πειρωμένους οὐ δύνασθαι ἔτι τοῦ πυρὸς ἐπικρατῆσαι.

87 ἐνθαῦτα λέγεται ὑπὸ Λυδῶν Κροῖσον μαθόντα τὴν Κύρου μετάγνωσιν, ὡς ὥρα πάντα μὲν ἄνδρα σβεννύντα τὸ πῦρ δυναμένους δὲ οὐκέτι καταλαβεῖν, ἐπιβώσασθαι τὸν Ἀπόλλωνα ἐπικαλεόμενον, εἴ τί οἱ κεχαρισμένον ἐξ αὐτοῦ ἐδωρήθη, παραστῆναι καὶ ῥύσασθαι αὐτὸν ἐκ τοῦ παρεόντος κακοῦ. τὸν μὲν δακρύοντα ἐπικαλέεσθαι τὸν θεόν, ἐκ δὲ αἰθρίης τε καὶ νηνεμίης συνδραμεῖν ἐξαπίνης νέφεα καὶ χειμῶνά τε καταρραγῆναι καὶ ὗσαι ὕδατι λαβροτάτῳ, κατασβεσθῆναί τε τὴν πυρήν. οὕτω δὴ μαθόντα τὸν Κῦρον ὡς εἴη ὁ Κροῖσος καὶ θεοφιλὴς καὶ ἀνὴρ ἀγαθός, καταβιβάσαντα αὐτὸν ἀπὸ τῆς

3. Thomas M. p. 253. — 11. Eustathius Il. p. 288

2. ἐπειρώτεον z: ἐπηρώτων C, ἐπειρώτων reliqui ‖ 5. ἀποφλαυρίσειέ οἱ. ἃ δὴ Rdz ‖ ὥς τε] τῇ z ‖ ἀποβέβηκέ οἱ ABCP: ἀποβεβήκεε Rdz, ἀποβεβήκοι Schweighaeuser e codice Cantabrigiensi ‖ 6. ἢ οὐ correxi: ἢ ‖ 8. αὐτοῖς C ‖ δοκέοντας ὀλβίους z ‖ 9. κέεσθαι τὰ περὶ ἔσχατα z ‖ 10. τὰ εἶπε κροῖσος qz ‖ 12. ἑωτοῦ B[1] ‖ 13. ζώοντα B[2]C ‖ πυρῇ Rdz ‖ 15. κελεύειν B[2]: κελεύει ‖ 19. ὅρα R ‖ 22. αὐτὸν] μιν Rdz ‖ 24. συνδραμέειν z ‖ 25. κατασβεθῆναί B[1] ‖ 26. ὁ om. dz ‖ 27. καὶ ἀνὴρ] ἀνὴρ R

πυρῆς εἴρεσθαι τάδε. "Κροῖσε, τίς σε ἀνθρώπων ἀνέγνωσε ἐπὶ γῆν τὴν ἐμὴν στρατευσάμενον πολέμιον ἀντὶ φίλου ἐμοὶ καταστῆναι;" ὁ δὲ εἶπε "ὦ βασιλεῦ, ἐγὼ ταῦτα ἔπρηξα τῇ σῇ μὲν εὐδαιμονίῃ, τῇ ἐμεωυτοῦ δὲ κακοδαιμονίῃ. αἴτιος δὲ τούτων ἐγένετο ὁ Ἑλλήνων θεὸς ἐπαείρας ἐμὲ στρατεύεσθαι. οὐδεὶς γὰρ οὕτω ἀνόητός ἐστι ὅστις πόλεμον πρὸ εἰρήνης αἱρέεται· ἐν μὲν γὰρ τῇ οἱ παῖδες τοὺς πατέρας θάπτουσι, ἐν δὲ τῷ οἱ πατέρες τοὺς παῖδας. ἀλλὰ ταῦτα δαίμοσί κου φίλον ἦν οὕτω γενέσθαι."

Ὁ μὲν ταῦτα ἔλεγε, Κῦρος δὲ αὐτὸν λύσας κατεῖσέ τε 88
ἐγγὺς ἑωυτοῦ καὶ κάρτα ἐν πολλῇ προμηθίῃ εἶχε, ἀπεθώυμαζέ τε ὁρέων καὶ αὐτὸς καὶ οἱ περὶ ἐκεῖνον ἐόντες πάντες. ὁ δὲ συννοίῃ ἐχόμενος ἥσυχος ἦν. μετὰ δὲ ἐπιστραφείς τε καὶ ἰδόμενος τοὺς Πέρσας τὸ τῶν Λυδῶν ἄστυ κεραΐζοντας εἶπε "ὦ βασιλεῦ, κότερον λέγειν πρὸς σὲ τὰ νοέων τυγχάνω ἢ σιγᾶν ἐν τῷ παρεόντι χρή;" Κῦρος δέ μιν θαρσέοντα ἐκέλευε λέγειν ὅ τι βούλοιτο. ὁ δὲ αὐτὸν εἰρώτα λέγων "οὗτος ὁ πολλὸς ὅμιλος τί ταῦτα πολλῇ σπουδῇ ἐργάζεται;" ὁ δὲ εἶπε "πόλιν τε τὴν σὴν διαρπάζει καὶ χρήματα τὰ σὰ διαφορέει." Κροῖσος δὲ ἀμείβετο "οὔτε πόλιν τὴν ἐμὴν οὔτε χρήματα τὰ ἐμὰ διαρπάζει· οὐδὲν γὰρ ἐμοὶ ἔτι τούτων μέτα· ἀλλὰ φέρουσί τε καὶ ἄγουσι τὰ σά." Κύρῳ δὲ ἐπιμελὲς ἐγένετο 89
τὰ Κροῖσος εἶπε· μεταστησάμενος δὲ τοὺς ἄλλους, εἴρετο Κροῖσον ὅ τι οἱ ἐνορῴη ἐν τοῖσι ποιευμένοισι. ὁ δὲ εἶπε "ἐπείτε με θεοὶ ἔδωκαν δοῦλον σοί, δικαιῶ, εἴ τι ἐνορέω

διάλεξις Κύρου καὶ Κροίσου καὶ ὅτι τὰς πέδας ἀνέθηκεν ἐν Δελφοῖς

---

1. τίς - 2 στρατευσάμενον Stephanus in Bekkeri Anecd. p. 743. — Λέξεις. — 6. οὐδεὶς - 7 αἱρέεται Stobaeus floril. LV 10

1. ἀνέγνω Steph. ‖ 5. ἐπαιίρας *B*, ἐπαήρας *R*, ἐπάιρας *A*, ἐπάρας *CPd*, ἐπάρας *z* ‖ 8. δαίμονί *Rdz* ‖ 10. κατεῖσέ *ABP*: κάτεισέ *C*, κάτισέ *Rdz*, ὡς τζέτζης: τίσέ *A*[3] adscr. ‖ 11. ἀπεθώμαζε *C*, ἀπεθωύμαζε *dz* ‖ 13. συνοίῃ *R* ‖ 14. εἰδόμενος *C* ‖ 15. κότερα *z* ‖ 16. χρή *Rdz*: χρόνῳ ‖ 17. ἠρώτα *C* ‖ λέγων οὕτως· ὁ πολλὸς *Rdz* ‖ 18. σπουδῇ πολλῇ *q*, σπουδῇ πουλῇ *z*, σπουδῇ sine πολλῇ *Rd* ‖ 20. διαφθορέει *Rdz* ‖ 21. τἀμὰ bz ‖ ἔτι] ἐπὶ *C* ‖ 25. δῶκαν *Rdz* ‖ δοῦλον σοὶ *AB*: δοῦλον σοι *C*, δοῦλόν σοι reliqui ‖ ἐνορέω *C*: ἐνορῶ

πλέον, σημαίνειν σοί. Πέρσαι φύσιν ἐόντες ὑβρισταί εἰσι ἀχρήματοι. ἢν ὦν σὺ τούτους περιίδῃς διαρπάσαντας καὶ κατασχόντας χρήματα μεγάλα, τάδε τοι ἐξ αὐτῶν ἐπίδοξα γενέσθαι· ὃς ἂν αὐτῶν πλεῖστα κατάσχῃ, τοῦτον προσδέκεσθαί τοι ἐπαναστησόμενον. νῦν ὦν ποίησον ὧδε, εἴ τοι ἀρέσκει τὰ ἐγὼ λέγω. κάτισον τῶν δορυφόρων ἐπὶ πάσῃσι τῇσι πύλῃσι φυλάκους, οἳ λεγόντων πρὸς τοὺς ἐκφέροντας τὰ χρήματα ἀπαιρεόμενοι ὥς σφεα ἀναγκαίως ἔχει δεκατευθῆναι τῷ Διί. καὶ σύ τέ σφι οὐκ ἀπεχθήσεαι βίῃ ἀπαιρεόμενος τὰ χρήματα, καὶ ἐκεῖνοι συγγνόντες ποιέειν σε δίκαια ἑκόντες
90 προήσουσι." ταῦτα ἀκούων ὁ Κῦρος ὑπερήδετο, ὥς οἱ ἐδόκεε εὖ ὑποτίθεσθαι· αἰνέσας δὲ πολλά, καὶ ἐντειλάμενος τοῖσι δορυφόροισι τὰ Κροῖσος ὑπεθήκατο ἐπιτελέειν, εἶπε πρὸς Κροῖσον τάδε. "Κροῖσε, ἀναρτημένου σεῦ ἀνδρὸς βασιλέος χρηστὰ ἔργα καὶ ἔπεα ποιέειν, αἰτέο δόσιν ἥντινα βούλεαί τοι γενέσθαι παραυτίκα." ὁ δὲ εἶπε "ὦ δέσποτα, ἐάσας με χαριεῖ μάλιστα τὸν θεὸν τῶν Ἑλλήνων, τὸν ἐγὼ ἐτίμησα θεῶν μάλιστα, ἐπείρεσθαι πέμψαντα τάσδε τὰς πέδας, εἰ ἐξαπατᾶν τοὺς εὖ ποιεῦντας νόμος ἐστί οἱ." Κῦρος δὲ εἴρετο ὅ τι οἱ τοῦτο ἐπηγορέων παραιτέοιτο. Κροῖσος δέ οἱ ἐπαλιλλόγησε πᾶσαν τὴν ἑωυτοῦ διάνοιαν καὶ τῶν χρηστηρίων τὰς ὑποκρίσιας καὶ μάλιστα τὰ ἀναθήματα, καὶ ὡς ἐπαερθεὶς τῷ μαντηίῳ ἐστρατεύσατο ἐπὶ Πέρσας· λέγων δὲ ταῦτα κατέβαινε αὖτις παραιτεόμενος ἐπεῖναί οἱ τῷ θεῷ τοῦτο

---

3. Λέξεις. — 20. Pollux II 120. — 21. καὶ τῶν - 22 ὑποκρίσιας Thomas M. p. 375

1. σοι *L* ‖ 2. περιείδῃς *R* ‖ 3. τὰ δὲ *d* ‖ αὐτέων *z* ‖ 4. αὐτέων *z* ‖ κατάσχοι *d* ‖ τούτων προδέκεσθαί *R* ‖ 6. ἀρέσκοι *z* ‖ κάθισον *BRd* ‖ δορηφόρων *R* ‖ 8. ἀπαιρεούμενοι *Rdz* ‖ ὥσφεα *C*, ὥσφεα *d*, ὡς σφε *R* ‖ 9. ἀπεχθήσεται *C*[2] ‖ 11. προήσουσι Bekker: ποιήσουσι ‖ 12. εὖ om. *Rd* ‖ 13. πρὸς τὸν κροῖσον *R* ‖ 14. ἀνηρτημένου *Rdz* ‖ βασιλέος *AR*: βασιλέως ‖ 15. αἴτεο *C*[2] ‖ δώσιν *B*[1], τὴν δόσιν *Rdz* ‖ τήντινα *L* ‖ βουλέαι *C*[2], βούλεέ *R* ‖ 17. χαριῆι *Pz*, χαριῆ *R*, χαρίῃ *d* ‖ τῶν] τὸν *A* ‖ ἐτίμησα ἐγὼ *qz* ‖ 18. τᾶσδε (ἑ) *A* ‖ παῖδας *C* ‖ 19. εὖ ποιοῦντας *ARd*, εὐποιοῦντας *B* ‖ ἤρετο *C* ‖ 20. ἐπηγορέων Bredovius: ἐπηγορεύων *L*, ἐπαγορεύων Lobeck ‖ ἐπαλιλλόγησε Leopardus et Pollucis codex Parisinus alter: ἐπανηλόγησε *L*, ἐπανελόγησε ἐπαλληλόγησεν ἐπαντιλογήσει Pollucis codices alii ‖ 22. ἐπαρθεὶς *L* ‖ 24. αὖθις *ABC* ‖ τοῦτο *P*: τούτωι *ABC*, τούτῳ *R*, τούτων *dz*

ὀνειδίσαι. Κῦρος δὲ γελάσας εἶπε "καὶ τούτου τεύξεαι παρ' ἐμεῦ, Κροῖσε, καὶ ἄλλου παντὸς τοῦ ἂν ἑκάστοτε δέῃ." ὡς δὲ ταῦτα ἤκουσε ὁ Κροῖσος, πέμπων τῶν Λυδῶν ἐς Δελφοὺς ἐνετέλλετο τιθέντας τὰς πέδας ἐπὶ τοῦ νηοῦ τὸν οὐδὸν εἰρωτᾶν εἰ οὔ τι ἐπαισχύνεται τοῖσι μαντηίοισι ἐπαείρας Κροῖσον στρατεύεσθαι ἐπὶ Πέρσας ὡς καταπαύσοντα τὴν Κύρου δύναμιν, ἀπ' ἧς οἱ ἀκροθίνια τοιαῦτα γενέσθαι, δεικνύντας τὰς πέδας· ταῦτά τε ἐπειρωτᾶν, καὶ εἰ ἀχαρίστοισι νόμος εἶναι τοῖσι Ἑλληνικοῖσι θεοῖσι. ἀπικομένοισι δὲ τοῖσι Λυδοῖσι καὶ 91
λέγουσι τὰ ἐντεταλμένα τὴν Πυθίην λέγεται εἰπεῖν τάδε. "τὴν πεπρωμένην μοῖραν ἀδύνατά ἐστι ἀποφυγεῖν καὶ θεῷ. Κροῖσος δὲ πέμπτου γονέος ἁμαρτάδα ἐξέπλησε, ὃς ἐὼν δορυφόρος Ἡρακλειδέων, δόλῳ γυναικηίῳ ἐπισπόμενος ἐφόνευσε τὸν δεσπότεα καὶ ἔσχε τὴν ἐκείνου τιμὴν οὐδέν οἱ προσήκουσαν. προθυμεομένου δὲ Λοξίεω ὅκως ἂν κατὰ τοὺς παῖδας τοῦ Κροίσου γένοιτο τὸ Σαρδίων πάθος καὶ μὴ κατ' αὐτὸν Κροῖσον, οὐκ οἷόν τε ἐγένετο παραγαγεῖν μοίρας. ὅσον δὲ ἐνέδωκαν αὗται, ἤνυσέ τε καὶ ἐχαρίσατό οἱ· τρία γὰρ ἔτεα ἐπανεβάλετο τὴν Σαρδίων ἅλωσιν, καὶ τοῦτο ἐπιστάσθω Κροῖσος ὡς ὕστερον τοῖσι ἔτεσι τούτοισι ἁλοὺς τῆς πεπρωμένης. δεύτερα δὲ τούτων καιομένῳ αὐτῷ ἐπήρκεσε. κατὰ δὲ τὸ μαντήιον τὸ γενόμενον οὐκ ὀρθῶς Κροῖσος μέμφεται. προηγόρευε γάρ οἱ Λοξίης, ἢν στρατεύηται ἐπὶ Πέρσας, μεγάλην ἀρχὴν αὐτὸν καταλύσειν. τὸν δὲ πρὸς ταῦτα χρῆν εὖ μέλλοντα βουλεύεσθαι ἐπείρεσθαι πέμψαντα κότερα τὴν

ἑρμηνεία τοῦ δοθέντος χρησμοῦ Κροίσῳ

---

11. τὴν πεπρωμένην - θεῷ (Libanius περὶ δουλείας p. 64 R. Choricius p. 15 Boiss.)

2. ἐμοῦ *R* ‖ 3. ἤκουε κροῖσος *Rdz* ‖ τὸν λυδὸν *Ccorr.* ‖ 4. ἠρωτᾶν *C* ‖ 5. ἐπάιρας *AB*, ἐπάρας *z*, ἐπάρας reliqui ‖ 7. ἀκροθοίνια *z* ‖ 8. τοιαῦτά τε *Rdz* ‖ ἐπηρωτᾶν *C* ‖ 9. τοῖς ἑλληνικοῖς *B*¹*C* ‖ δὲ om. *C* ‖ 10. λέγουσι] λέγουσι ταῦτα δὴ *dz* ‖ 11. μοῖραν *CP*: μοίρην ‖ ἀποφυγέειν *L* ‖ 12. γονέος *AB*: γένεος ‖ 13. ἐπισπώμενος *z* ‖ 15. προθεμένου *C*¹ ‖ ὅπως *Rd* ‖ 16. τοὺς κροίσου *AB*²*C* ‖ 17. οἷός τε *R* ‖ ἐγίνετο *ABC* ‖ 18. ἤνυσέ τε Schaefer: ἠνύσατο ‖ 19. ἐπανεβάλλετο *Cdz* ‖ 23. στρατεύεται *R* ‖ 24. αὐτὸν om. *Rdz* ‖ ἀταλύσειν *R* ‖ 25. εὖ om. *Rdz* ‖ ἐπήρεσθαι *C*

ἑωυτοῦ ἢ τὴν Κύρου λέγοι ἀρχήν. οὐ συλλαβὼν δὲ τὸ ῥηθὲν οὐδ' ἐπανειρόμενος ἑωυτὸν αἴτιον ἀποφαινέτω. τῷ καὶ τὸ τελευταῖον χρηστηριαζομένῳ εἶπε Λοξίης περὶ ἡμιόνου, οὐδὲ τοῦτο συνέλαβε. ἦν γὰρ δὴ ὁ Κῦρος οὗτος ἡμίονος· ἐκ γὰρ δυῶν οὐκ ὁμοεθνέων ἐγεγόνεε, μητρὸς ἀμείνονος, πατρὸς δὲ ὑποδεεστέρου· ἡ μὲν γὰρ ἦν Μηδὶς καὶ Ἀστυάγεος θυγάτηρ τοῦ Μήδων βασιλέος, ὁ δὲ Πέρσης τε ἦν καὶ ἀρχόμενος ὑπ' ἐκείνοισι καὶ ἔνερθε ἐὼν τοῖσι ἅπασι δεσποίνῃ τῇ ἑωυτοῦ συνοίκεε." ταῦτα μὲν ἡ Πυθίη ὑπεκρίνατο τοῖσι Λυδοῖσι, οἱ δὲ ἀνήνεικαν ἐς Σάρδις καὶ ἀπήγγειλαν Κροίσῳ. ὁ δὲ ἀκούσας συνέγνω ἑωυτοῦ εἶναι τὴν ἁμαρτάδα καὶ οὐ τοῦ θεοῦ. κατὰ μὲν δὴ τὴν Κροίσου τε ἀρχὴν καὶ Ἰωνίης τὴν πρώτην καταστροφὴν ἔσχε οὕτω.

92 Κροίσῳ δέ ἐστι καὶ ἄλλα ἀναθήματα ἐν τῇ Ἑλλάδι πολλὰ καὶ οὐ τὰ εἰρημένα μοῦνα. ἐν μὲν γὰρ Θήβῃσι τῇσι Βοιωτῶν τρίπους χρύσεος, τὸν ἀνέθηκε τῷ Ἀπόλλωνι τῷ Ἰσμηνίῳ, ἐν δὲ Ἐφέσῳ αἵ τε βόες αἱ χρύσεαι καὶ τῶν κιόνων αἱ πολλαί, ἐν δὲ Προνηίης τῆς ἐν Δελφοῖσι ἀσπὶς χρυσέη μεγάλη. ταῦτα μὲν καὶ ἔτι ἐς ἐμὲ ἦν περιεόντα, τὰ δ' ἐξαπόλωλε τῶν ἀναθημάτων· τὰ δ' ἐν Βραγχίδῃσι τῇσι Μιλησίων ἀναθήματα Κροίσῳ, ὡς ἐγὼ πυνθάνομαι, ἴσα τε σταθμὸν καὶ ὅμοια τοῖσι ἐν Δελφοῖσι . . . . τὰ μέν νυν ἔς τε Δελφοὺς καὶ ἐς τοῦ Ἀμφιάρεω ἀνέθηκε οἰκήιά τε ἐόντα καὶ τῶν πατρωίων χρημάτων ἀπαρχήν· τὰ δὲ ἄλλα ἀναθήματα

διὰ τί ἡμίονος ὁ Κῦρος ἐκλήθη — περὶ τῶν ἐν ταῖς ἄλλαις πόλεσιν ἀναθημάτων τοῦ Κροίσου

9. ταῦτα - Λυδοῖσι Thomas M. p. 375. — 11. Priscianus XVIII 287. — 20. Philemon in Porphyrii quaest. Homer. 8. Cyrillus in Crameri Anecd. Paris. vol. IV p. 180

1. λέγοι *ABC*: λέγει ‖ 2. ἐπανειρόμενος *C* ‖ τῷ] ᾧ *L* ‖ 3. εἶπε *s*: εἶπε τὰ εἶπε ‖ legebatur ἡμιόνου· οὐδὲ ‖ 4. τούτου *R* ‖ συνέλαβε *z*: συνέβαλε ‖ 5. δυοῖν *L* ‖ 7. βασιλέως *BCdz* ‖ τε om. *R* ‖ 8. ἔνερθεν *d* ‖ 9. συνώκεε *z* ‖ 10. σάρδεις *d* ‖ τῷ κροίσῳ *Rdz* ‖ 11. οὐχὶ *d* ‖ 12. κατὰ - p. 63, 10 εἰρήσθω om. *Rd* ‖ 16. χροίσεος *B* ‖ 18. προνηίοις τοῖς *z* ‖ 20. τῶν Reiske: τὰ τῶν ‖ τῇσι] τῆς Alexander Cotyaensis apud Philemonem e coniectura, τοῖσι Reiske ‖ 21. ἀναθήματα om. *z* ‖ 22. exciderunt talia fere: ἐόντα, Πέρσαι χρόνῳ ὕστερον συλήσαντες ἐς Σοῦσα ἀπηγάγοντο ‖ 24. πατρώιων codices, πατρῴων *z*

ἐξ ἀνδρὸς ἐγένετο οὐσίης ἐχθροῦ. ὅς οἱ πρὶν ἢ βασιλεῦσαι ἀντιστασιώτης κατεστήκεε, συσπεύδων Πανταλέοντι γενέσθαι τὴν Λυδῶν ἀρχήν. ὁ δὲ Πανταλέων ἦν Ἀλυάττεω μὲν παῖς, Κροίσου δὲ ἀδελφεὸς οὐκ ὁμομήτριος· Κροῖσος μὲν γὰρ ἐκ Καείρης ἦν γυναικὸς Ἀλυάττῃ, Πανταλέων δὲ ἐξ Ἰάδος. ἐπείτε δὲ δόντος τοῦ πατρὸς ἐκράτησε τῆς ἀρχῆς ὁ Κροῖσος, τὸν ἄνθρωπον τὸν ἀντιπρήσσοντα ἐπὶ κνάφου ἕλκων διέφθειρε, τὴν δὲ οὐσίην αὐτοῦ ἔτι πρότερον κατιρώσας τότε τρόπῳ τῷ εἰρημένῳ ἀνέθηκε ἐς τὰ εἴρηται. καὶ περὶ μὲν ἀναθημάτων τοσαῦτα εἰρήσθω.

Θώυματα δὲ γῆ ἡ Λυδίη ἐς συγγραφὴν οὐ μάλα ἔχει, 93
οἷά τε καὶ ἄλλη χώρη, πάρεξ τοῦ ἐκ τοῦ Τμώλου καταφερομένου ψήγματος. ἓν δὲ ἔργον πολλὸν μέγιστον παρέχεται χωρὶς τῶν τε Αἰγυπτίων ἔργων καὶ τῶν Βαβυλωνίων. ἔστι αὐτόθι Ἀλυάττεω τοῦ Κροίσου πατρὸς σῆμα, τοῦ ἡ κρηπὶς μέν ἐστι λίθων μεγάλων, τὸ δὲ ἄλλο σῆμα χῶμα γῆς. ἐξεργάσαντο δέ μιν οἱ ἀγοραῖοι ἄνθρωποι καὶ οἱ χειρώνακτες καὶ αἱ ἐνεργαζόμεναι παιδίσκαι. οὖροι δὲ πέντε ἐόντες ἔτι καὶ ἐς ἐμὲ ἦσαν ἐπὶ τοῦ σήματος ἄνω, καί σφι γράμματα ἐνεκεκόλαπτο τὰ ἕκαστοι ἐξεργάσαντο, καὶ ἐφαίνετο μετρεόμενον τὸ τῶν παιδισκέων ἔργον ἐὸν μέγιστον. τοῦ γὰρ δὴ Λυδῶν δήμου αἱ θυγατέρες πορνεύονται πᾶσαι, συλλέγουσαι σφίσι φερνάς, ἐς ὃ ἂν συνοικήσωσι τοῦτο ποιέουσαι· ἐκδιδοῦσι δὲ

ὅτι Πανταλέων ἦν ἀδελφὸς Κροίσου
ψήγματος καὶ τοῦ Ἀλυάττου σήματος
θυγατέρες ἑσμέχρι γάμου

περὶ τοῦ ἐν Λυδίᾳ χρυσοῦ
ὅτι πορνεύονται τῶν Λυδῶν

2 sqq. Plutarchus mor. p. 858. — 7. (Hesychius v. ἐπὶ κνάφου ἕλκων). Λέξεις. — 15 sqq. Strabo p. 627. — 17. Pollux I 50. — 18. Λέξεις. — 22. Strabo p. 533

2. Παντολέοντι Plut. ‖ 7. κνάφου Hesych. Glossae, γνάφου Plut. : κναφηΐου ‖ 8. τρόπῳ] πρώτωι *C* ‖ 11. θώϋμα *Rdz*, θώματα *C* ‖ γῆ ἡ Schaefer : τῇ *d*, γῇ ceteri ‖ 13. ἓν δὲ - p. 64, 6 καταπορνεύουσι om. *Rd* ‖ 15. ἀλυάττεω *C* ‖ 16. ἐξεργάσαντο *Bpr.* : ἐξηργάσαντο *A*, ἐξειργάσαντο ceteri ‖ 17. χειρόνακτες *z* ‖ 18. νεργαζόμεναι *C* ‖ οὖροι *C*, οὗροι *z* ‖ 22. συλλέγουσαί σφισι *ABC* ‖ 23. συνοικήσουσι *z* ‖ ἐκδιδόασι *L* ‖ δὲ *P*: δ'

αὐταὶ ἑωυτάς. ἡ μὲν δὴ περίοδος τοῦ σήματος εἰσὶ στάδιοι ἓξ καὶ δύο πλέθρα, τὸ δὲ εὖρός ἐστι πλέθρα τρία καὶ δέκα. λίμνη δὲ ἔχεται τοῦ σήματος μεγάλη, τὴν λέγουσι Λυδοὶ

94 ἀείναον εἶναι· καλέεται δὲ αὕτη Γυγαίη. τοῦτο μὲν δὴ τοιοῦτό ἐστι. Λυδοὶ δὲ νόμοισι μὲν παραπλησίοισι χρέωνται καὶ Ἕλληνες, χωρὶς ἢ ὅτι τὰ θήλεα τέκνα καταπορνεύουσι, πρῶτοι δὲ ἀνθρώπων τῶν ἡμεῖς ἴδμεν νόμισμα χρυσοῦ καὶ ἀργύρου κοψάμενοι ἐχρήσαντο, πρῶτοι δὲ καὶ κάπηλοι ἐγένοντο. φασὶ δὲ αὐτοὶ Λυδοὶ καὶ τὰς παιγνίας τὰς νῦν σφίσι τε καὶ Ἕλλησι κατεστεώσας ἑωυτῶν ἐξεύρημα γενέσθαι, ἅμα δὲ ταύτας τε ἐξευρεθῆναι παρὰ σφίσι λέγουσι καὶ Τυρσηνίην ἀποικίσαι, ὧδε περὶ αὐτῶν λέγοντες. ἐπὶ Ἄτυος τοῦ Μάνεω βασιλέος σιτοδείην ἰσχυρὴν ἀνὰ τὴν Λυδίην πᾶσαν γενέσθαι, καὶ τοὺς Λυδοὺς τέως μὲν διάγειν λιπαρέοντας, μετὰ δέ, ὡς οὐ παύεσθαι, ἄκεα δίζησθαι, ἄλλον δὲ ἄλλο ἐπιμηχανᾶσθαι αὐτῶν. ἐξευρεθῆναι δὴ ὦν τότε καὶ τῶν κύβων καὶ τῶν ἀστραγάλων καὶ τῆς σφαίρης καὶ τῶν ἀλλέων πασέων παιγνιέων τὰ εἴδεα, πλὴν πεσσῶν· τούτων γὰρ ὦν τὴν ἐξεύρεσιν οὐκ οἰκηιοῦνται Λυδοί. ποιέειν δὲ ὧδε πρὸς τὸν λιμὸν ἐξευρόντας, τὴν μὲν ἑτέρην τῶν ἡμερέων παίζειν πᾶσαν, ἵνα δὴ μὴ ζητέοιεν σιτία, τὴν δὲ ἑτέρην σιτέεσθαι παυομένους τῶν παιγνιέων. τοιούτῳ τρόπῳ διάγειν ἐπ' ἔτεα δυῶν δέοντα εἴκοσι. ἐπείτε δὲ οὐκ ἀνιέναι τὸ κακὸν ἀλλ' ἔτι ἐπὶ μᾶλλον

περὶ τῶν παρὰ Λυδοῖς νομίμων καὶ ὅτι πρῶτοι νόμισμα χρυσοῦ καὶ ἀργύρου ἔκοψαν

12 sqq. Dionysius Hal. archaeol. I 27. — 16 sqq. Eustathius Od. p. 1396. — 18. Λέξεις

2. τὸ δ' εὖρος ἐστὶ *AB* ‖ πλέθρια *B* ‖ τρία καὶ δέκα *B*: τριακαίδεκα ceteri. δυώδεκα Thiersch ‖ 4. τοῦτον *A* ‖ τοιοῦτον *C* ‖ 5. χρέονται *B* ‖ 6. πρῶτοι δὲ] λυδοὶ γὰρ δὴ καὶ πρῶτοι *Rd* ‖ 9. *Rd* post Λυδοὶ καί, omissis quae inde sequuntur usque ad finem capitis 94, his id damnum compensant: παίγνια πρῶτοι ἐξευρέσθαι λέγονται παρὰ ἑλλήνων τῶν τε κύβων καὶ τῶν ἀστραγάλων καὶ τῆς σφαίρης καὶ τῶν ἀλλέων πασέων παιγνιέων τὰ εἴδεα πλὴν πεσσῶν. ‖ 12. ἀποικῆσαι *P*, ἀπονικῆσαι *qz*. ἀποικίσθαι Dobree ‖ 13. βασιλέως *C*, βασιλῆος *z* ‖ 14. ἕως *AB* ‖ 15. δίζεσθαι *Pz* ‖ 16. αὐτέων *B*[2] ‖ ὦν om. *z* ‖ 17. τῶν om. *z* ‖ ἀλέων *d*, ἄλλων *qz* ‖ 18. πεσῶν *A*[1]*d*, πεσσέων *z* ‖ ἐξεύρησιν (ε supra) *C*, εὕρεσιν *z* ‖ 19. οἰκηιοῦται *A*[1] ‖ 23. ἐπὶ μᾶλλον ἔτι *qz*

βιάζεσθαι, οὕτω δὴ τὸν βασιλέα αὐτῶν δύο μοίρας διελόντα Λυδῶν πάντων κληρῶσαι τὴν μὲν ἐπὶ μονῇ τὴν δὲ ἐπὶ ἐξόδῳ ἐκ τῆς χώρης, καὶ ἐπὶ μὲν τῇ μένειν αὐτοῦ λαγχανούσῃ τῶν μοιρέων ἑωυτὸν τὸν βασιλέα προστάσσειν, ἐπὶ δὲ τῇ ἀπαλλασσομένῃ τὸν ἑωυτοῦ παῖδα, τῷ οὔνομα εἶναι Τυρσηνόν. λαχόντας δὲ αὐτῶν τοὺς ἑτέρους ἐξιέναι ἐκ τῆς χώρης καταβῆναι ἐς Σμύρνην καὶ μηχανήσασθαι πλοῖα, ἐς τὰ ἐσθεμένους τὰ πάντα ὅσα σφι ἦν χρηστὰ ἐπίπλοα, ἀποπλέειν κατὰ βίου τε καὶ γῆς ζήτησιν, ἐς ὃ ἔθνεα πολλὰ παραμειψαμένους ἀπικέσθαι ἐς Ὀμβρικούς, ἔνθα σφέας ἐνιδρύσασθαι πόλιας καὶ οἰκέειν τὸ μέχρι τοῦδε. ἀντὶ δὲ Λυδῶν μετονομασθῆναι αὐτοὺς ἐπὶ τοῦ βασιλέος τοῦ παιδός, ὅς σφεας ἀνήγαγε· ἐπὶ τούτου τὴν ἐπωνυμίην ποιευμένους ὀνομασθῆναι Τυρσηνούς.

Λυδοὶ μὲν δὴ ὑπὸ Πέρσῃσι ἐδεδούλωντο. ἐπιδίζηται δὲ 95
δὴ τὸ ἐνθεῦτεν ἡμῖν ὁ λόγος τόν τε Κῦρον ὅστις ἐὼν τὴν Κροίσου ἀρχὴν κατεῖλε, καὶ τοὺς Πέρσας ὅτεῳ τρόπῳ ἡγήσαντο τῆς Ἀσίης. ὡς ὦν Περσέων μετεξέτεροι λέγουσι, οἱ μὴ βουλόμενοι σεμνοῦν τὰ περὶ Κῦρον ἀλλὰ τὸν ἐόντα λέγειν λόγον, κατὰ ταῦτα γράψω, ἐπιστάμενος περὶ Κύρου καὶ τριφασίας ἄλλας λόγων ὁδοὺς φῆναι.

Ἀσσυρίων ἀρχόντων τῆς ἄνω Ἀσίης ἐπ' ἔτεα εἴκοσι καὶ 96
πεντακόσια, πρῶτοι ἀπ' αὐτῶν Μῆδοι ἤρξαντο ἀπίστασθαι, καί κως οὗτοι περὶ τῆς ἐλευθερίης μαχεσάμενοι τοῖσι Ἀσσυρίοισι ἐγένοντο ἄνδρες ἀγαθοί, καὶ ἀπωσάμενοι τὴν δουλοσύνην ἠλευθερώθησαν. μετὰ δὲ τούτους καὶ τὰ ἄλλα ἔθνεα ἐποίεε τὠυτὸ τοῖσι Μήδοισι. ἐόντων δὲ αὐτονόμων πάντων

περὶ τῆς Κύρου γονῆς τε καὶ ἀνατροφῆς καὶ ἐκ τίνων ἐτύγχανε καὶ ὅτι διάφοροι περὶ αὐτοῦ λόγοι

---

21 sqq. Diodorus II 32

1. βασιλῆα z ‖ 2. δ' *ABC* ‖ 6. λαχόντα *C* ‖ αὐτὸν *Cpr.* ‖ καταβῆναι *C*: καὶ καταβῆναι ‖ 10. Ὀμβρηκοὺς z ‖ ἔνθά σφεας *L* ‖ 11. τομέχρι *CP* ‖ 12. ἐπὶ] ἀπὸ C^2 ‖ βασιλέως *Cz* ‖ ἐπὶ] ἀπὸ C^2 ‖ 14. ἐδεδούλωντο AB^1P: δεδούλωντο ‖ ἐπιδίζεται z ‖ 15. τοενθεῦτεν *P* ‖ 21. Ἀσσυρίων - p. 66, 1 περιῆλθον om. *Rd* ‖ 25. τἄλλα z ‖ 26. τοῖσι om. z ‖ ἐπὶ πολλὰς γενεὰς addit Diod.

ἀνὰ τὴν ἤπειρον, ὧδε αὖτις ἐς τυραννίδα περιῆλθον. ἀνὴρ ἐν τοῖσι Μήδοισι ἐγένετο σοφὸς τῷ οὔνομα ἦν Δηιόκης, παῖς δ' ἦν Φραόρτεω. οὗτος ὁ Δηιόκης ἐρασθεὶς τυραννίδος ἐποίεε τοιάδε. κατοικημένων τῶν Μήδων κατὰ κώμας, ἐν τῇ ἑωυτοῦ ἐὼν καὶ πρότερον δόκιμος καὶ μᾶλλόν τι καὶ προθυμότερον δικαιοσύνην ἐπιθέμενος ἤσκεε· καὶ ταῦτα μέντοι ἐούσης ἀνομίης πολλῆς ἀνὰ πᾶσαν τὴν Μηδικὴν ἐποίεε, ἐπιστάμενος ὅτι τῷ δικαίῳ τὸ ἄδικον πολέμιόν ἐστι. οἱ δ' ἐκ τῆς αὐτῆς κώμης Μῆδοι ὁρέοντες αὐτοῦ τοὺς τρόπους δικαστήν μιν ἑωυτῶν αἱρέοντο. ὁ δὲ δή, οἷα μνώμενος ἀρχήν, ἰθύς τε καὶ δίκαιος ἦν· ποιέων τε ταῦτα ἔπαινον εἶχε οὐκ ὀλίγον πρὸς τῶν πολιητέων, οὕτω ὥστε πυνθανόμενοι οἱ ἐν τῇσι ἄλλῃσι κώμῃσι ὡς Δηιόκης εἴη ἀνὴρ μοῦνος κατὰ τὸ ὀρθὸν δικάζων, πρότερον περιπίπτοντες ἀδίκοισι γνώμῃσι, τότε, ἐπείτε ἤκουσαν, ἄσμενοι ἐφοίτεον παρὰ τὸν Δηιόκεα καὶ αὐτοὶ δικασό-
97 μενοι, τέλος δὲ οὐδενὶ ἄλλῳ ἐπετράποντο. πλεῦνος δὲ αἰεὶ γινομένου τοῦ ἐπιφοιτέοντος, οἷα πυνθανομένων τὰς δίκας ἀποβαίνειν κατὰ τὸ ἐόν, γνοὺς ὁ Δηιόκης ἐς ἑωυτὸν πᾶν ἀνακείμενον οὔτε κατίζειν ἔτι ἤθελε ἔνθα περ πρότερον προκατίζων ἐδίκαζε, οὔτ' ἔφη δικᾶν ἔτι· οὐ γάρ οἱ λυσιτελέειν τῶν ἑωυτοῦ ἐξημεληκότα τοῖσι πέλας δι' ἡμέρης δικάζειν. ἐούσης ὦν ἁρπαγῆς καὶ ἀνομίης ἔτι πολλῷ μᾶλλον ἀνὰ τὰς κώμας ἢ πρότερον ἦν, συνελέχθησαν οἱ Μῆδοι ἐς τὠυτὸ καὶ ἐδίδοσαν σφίσι λόγον, λέγοντες περὶ τῶν κατηκόντων. ὡς δ' ἐγὼ δοκέω, μάλιστα ἔλεγον οἱ τοῦ Δηιόκεω φίλοι "οὐ γὰρ δὴ τρόπῳ τῷ παρεόντι χρεώμενοι δυνατοί εἱμεν οἰκέειν τὴν χώ-

3 sqq. Plutarchus mor. p. 858. — 20. Bekkeri Anecd. p. 90

1. ὡιδε *R* ‖ τυραννίδα correxi: τυραννίδας ‖ 2. ἐν τοῖσι *Rdz*: τοῖσι ‖ ἐγένετο om. *Rdz* ‖ δϊιόκης *R* ‖ 3. δὲ *Rdz* ‖ ἐρασθεὶς – p. 68, 8 μηδένα om. *Rd*, his in eorum locum substitutis: διὰ ὧν τὴν ἑωυτοῦ εὐνομίην ἐβασίλευε μήδων. ποιέουσι δὲ ταῦτα οἱ μῆδοι· οἰκοδομέουσί τε οἰκοδομήματα μεγάλα, καὶ δορυφόρους αὐτῷ ἐπιτρέπουσιν ἐκ πάντων μήδων καταλέξασθαι πρὸς τὸ μὴ εἰσιέναι παρὰ βασιλέα μηδένα συγχωρέειν ‖ 4. τοιάδε] τάδε *C* ‖ τῇ] γῇ *z* ‖ 9. ὁρέωντες *C*, ὁρῶντες ceteri ‖ 10. μνεώμενος *CPz* ‖ 12. πολιτέων *L* ‖ οἱ om. *z* ‖ 15. ἐφοίτεον *Pz*: ἐφοίτων *AB*, ἐφοίτεων *C* ‖ 16. ἀεὶ *L* ‖ 17. ἐπιφοιτέωντος *C* ‖ 24. ἐδίδοσάν σφισι *ABCz* ‖ δὲ *C* ‖ 25. μάλιστα] κάλλιστα *z* ‖ 26. χρώμενοι *C* ‖ χώραν *C*

ρην, φέρε στήσωμεν ἡμέων αὐτῶν βασιλέα· καὶ οὕτω ἥ τε χώρη εὐνομήσεται καὶ αὐτοὶ πρὸς ἔργα τρεψόμεθα, οὐδὲ ὑπ' ἀνομίης ἀνάστατοι ἐσόμεθα." ταῦτά κῃ λέγοντες πείθουσι ἑωυτοὺς βασιλεύεσθαι. αὐτίκα δὲ προβαλλομένων ὅντινα 98
στήσονται βασιλέα, ὁ Δηιόκης ἦν πολλὸς ὑπὸ παντὸς ἀνδρὸς καὶ προβαλλόμενος καὶ αἰνεόμενος, ἐς ὃ τοῦτον καταινέουσι βασιλέα σφίσι εἶναι. ὁ δ' ἐκέλευε αὐτοὺς οἰκία τε ἑωυτῷ ἄξια τῆς βασιληίης οἰκοδομῆσαι καὶ κρατῦναι αὐτὸν δορυφόροισι. ποιεῦσι δὴ ταῦτα οἱ Μῆδοι· οἰκοδομέουσί τε γάρ αὐτῷ οἰκία μεγάλα τε καὶ ἰσχυρά, ἵνα αὐτὸς ἔφρασε τῆς χώρης, καὶ δορυφόρους αὐτῷ ἐπιτράπουσι ἐκ πάντων Μήδων καταλέξασθαι. ὁ δὲ ὡς ἔσχε τὴν ἀρχήν, τοὺς Μήδους ἠνάγκασε ἓν πόλισμα ποιήσασθαι καὶ τοῦτο περιστέλλοντας τῶν ἄλλων ἧσσον ἐπιμέλεσθαι. πειθομένων δὲ καὶ ταῦτα τῶν Μήδων οἰκοδομέει τείχεα μεγάλα τε καὶ καρτερὰ ταῦτα τὰ νῦν Ἀγβάτανα κέκληται, ἕτερον ἑτέρῳ κύκλῳ ἐνεστεῶτα. μεμηχάνηται δὲ οὕτω τοῦτο τὸ τεῖχος ὥστε ὁ ἕτερος τοῦ ἑτέρου κύκλος τοῖσι προμαχεῶσι μούνοισι ἐστὶ ὑψηλότερος. τὸ μέν κού τι καὶ τὸ χωρίον συμμαχέει κολωνὸς ἐὼν ὥστε τοιοῦτο εἶναι, τὸ δὲ καὶ μᾶλλόν τι ἐπετηδεύθη· κύκλων δ' ἐόντων τῶν συναπάντων ἑπτά, ἐν δὴ τῷ τελευταίῳ τὰ βασιλήια ἔνεστι καὶ οἱ θησαυροί. τὸ δ' αὐτῶν μέγιστον ἐστὶ τεῖχος κατὰ τὸν Ἀθηνέων κύκλον μάλιστά κῃ τὸ μέγαθος. τοῦ μὲν δὴ πρώτου κύκλου οἱ προμαχεῶνες εἰσὶ λευκοί, τοῦ δὲ δευτέρου μέλανες, τρίτου δὲ κύκλου φοινίκεοι, τετάρτου δὲ κυάνεοι,

ὅτι Δηιόκης βασιλεύσας Ἀγβάτανα ἔκτισε καὶ περὶ τῆς οἰκοδομίας τοῦ τείχους καὶ τῆς ἄλλης αὐτοῦ περὶ τοὺς Μήδους διαγωγῆς

---

1. αὐτῶν z ‖ καὶ om. *C* ‖ 2. τρεψώμεθα *C* ‖ 4. τόντινα *C* ‖ 5. στήσωνται *AB* ‖ 6. ἐσὸ *AB* ut fere ‖ 7. δδ' *C* ‖ 8. αὐτὸν] ἑωυτόν? ‖ 9. ποιέουσι z ‖ 11. ἐπιτρέπουσι *L* ‖ 12. ἠνάγκασε ἐμπόλισμα *P* ‖ 15. οἰκοδομέειν *C* ‖ 16. ἐκβάτανα *C*²*P*z ‖ ἐνεστῶτα z ‖ 17. τοῦτο om. z ‖ 18. μούνοις *C* ‖ ἔστι *C*z ‖ 19. κοῦ τι *C*, τι κου *q*z ‖ ἐὸν *P*z ‖ 20. ἐπετηδεύθη· κύκλων δ' scripsi: ἐπετηδεύθη, κύκλων ‖ 21. συναπτόντων *P*z ‖ ἑπτά, ἐν δὴ Schweighaeuser: ἑπτά· ἐν δὲ ‖ 22. τοδ' *A*, τὸδ' *Ppr.*, τόδ' *Pcorr.*, τὸ δι' z ‖ αὐτὸ *C* ‖ 23. Ἀθηνέων Reiske: ἀθηναίων ‖ μέγαθος z: μέγεθος

πέμπτου δὲ σανδαράκινοι. οὕτω πάντων τῶν κύκλων οἱ προ-
μαχεῶνες ἠνθισμένοι εἰσὶ φαρμάκοισι· δύο δὲ οἱ τελευταῖοι
εἰσὶ ὁ μὲν καταργυρωμένους ὁ δὲ κατακεχρυσωμένους ἔχων
99 τοὺς προμαχεῶνας. ταῦτα μὲν δὴ ὁ Δηιόκης ἑωυτῷ τε ἐτεί-
χεε καὶ περὶ τὰ ἑωυτοῦ οἰκία, τὸν δὲ ἄλλον δῆμον πέριξ ἐκέ-
λευε τὸ τεῖχος οἰκέειν. οἰκοδομηθέντων δὲ πάντων κόσμον
τόνδε Δηιόκης πρῶτός ἐστι ὁ καταστησάμενος, μήτε ἐσιέναι
παρὰ βασιλέα μηδένα, δι᾽ ἀγγέλων δὲ πάντα χρᾶσθαι, ὁρᾶ-
σθαί τε βασιλέα ὑπὸ μηδενός, πρός τε τούτοισι ἔτι γελᾶν τε
καὶ ἀντίον πτύειν καὶ ἅπασι εἶναι τοῦτό γε αἰσχρόν. ταῦτα
δὲ περὶ ἑωυτὸν ἐσέμνυνε τῶνδε εἵνεκεν, ὅκως ἂν μὴ ὁρέοντες
οἱ ὁμήλικες, ἐόντες σύντροφοί τε ἐκείνῳ καὶ οἰκίης οὐ φλαυ-
ροτέρης οὐδὲ ἐς ἀνδραγαθίην λειπόμενοι, λυπεοίατο καὶ ἐπι-
100 βουλεύοιεν, ἀλλ᾽ ἑτεροῖός σφι δοκέοι εἶναι μὴ ὁρῶσι. ἐπείτε
δὲ ταῦτα διεκόσμησε καὶ ἐκράτυνε ἑωυτὸν τῇ τυραννίδι, ἦν
τὸ δίκαιον φυλάσσων χαλεπός· καὶ τάς τε δίκας γράφοντες
ἔσω παρ᾽ ἐκεῖνον ἐσπέμπεσκον, καὶ ἐκεῖνος διακρίνων τὰς
ἐσφερομένας ἐκπέμπεσκε. ταῦτα μὲν κατὰ τὰς δίκας ἐποίεε.
τάδε δὲ ἄλλα ἐκεκοσμέατό οἱ· εἴ τινα πυνθάνοιτο ὑβρίζοντα,
τοῦτον ὅκως μεταπέμψαιτο, κατ᾽ ἀξίην ἑκάστου ἀδικήματος
ἐδικαίευ, καί οἱ κατάσκοποί τε καὶ κατήκοοι ἦσαν ἀνὰ πᾶσαν
τὴν χώρην τῆς ἦρχε.
101 Δηιόκης μέν νυν τὸ Μηδικὸν ἔθνος συνέστρεψε μοῦνον
καὶ τούτου ἦρξε· ἔστι δὲ Μήδων τοσάδε γένεα, Βοῦσαι

πόσα ἔθνη Μήδων

1. οἱ προμαχεῶνες - 2 φαρμάκοισι Thomas M. p. 379. — Λέξεις. — 20. Suidas v. δικαιοῦν. — 24. Stephanus Byz. v. Βοῦσαι

1. σανδαράκινοι A^2, σανδαρακινοί H. Stephanus: στονδαράκινοι A^1BCP, στονδαράισινοι *q*, στονδαράαινοι *z* || οὕτω] τούτων? || 5. οἰκία (ει) *C* || 7. εἰσιέναι *AB* || 8. μηδένα] μηδένα συγχωρέειν *z* || διαγγέλων *AB* || χρέεσθαι *L* || 9. τε] δὲ *d* || πρόσθε τούτοισι *C* || 10. πτύειν ἀντίον *Rdz* || εἶναι post τοῦτό γε *z*! || 11. ἐσέμνυνε τῶνδε εἵνεκεν] ποιέονται *Rdz* || ἂν om. *Rdz* || ὁρέωντες *Cz*, ὁρῶντες ceteri || 12. σύντροφοι - 13 λειπόμενοι] καὶ σύντροφοι ἀγαθοί τε καὶ ἄλκιμοι *Rdz* || φαυλοτέρης C^1, φαυλότεροι C^2 || 14. ἀλλ᾽ - 22 ἦρχε om. *Rd* || ἑτεροῖόν *z* || ὁρέωσι *CPz* || 17. εἴσω *z* || εἰσεπέμπεσκον *CP*, ἐσεπέμπεσκον *z* || 19. τάδε δὲ Eltz: τὰ δὲ δὴ || 20. ὅπως *P* || 21. ἐδικαίου *A*, ἐδικέευ *z* || καὶ οἱ *BCz* || 22. τὴν om. *z* || 24. βοῦσαι *B*. Steph.: βουσαῖ *ACP*, βουσαὶ *Rdz*

Παρηταχηνοὶ Στρούχατες Ἀριζαντοὶ Βούδιοι Μάγοι. γένεα 102 μὲν δὴ Μήδων ἐστὶ τοσάδε. Δηιόκεω δὲ παῖς γίνεται Φραόρτης, ὃς τελευτήσαντος Δηιόκεω, βασιλεύσαντος τρία καὶ πεντήκοντα ἔτεα, παρεδέξατο τὴν ἀρχήν, παραδεξάμενος δὲ οὐκ ἀπεχρᾶτο μούνων Μήδων ἄρχειν, ἀλλὰ στρατευσάμενος ἐπὶ τοὺς Πέρσας πρώτοισί τε τούτοισι ἐπεθήκατο καὶ πρώτους Μήδων ὑπηκόους ἐποίησε. μετὰ δὲ ἔχων δύο ταῦτα ἔθνεα καὶ ἀμφότερα ἰσχυρά, κατεστρέφετο τὴν Ἀσίην ἀπ' ἄλλου ἐπ' ἄλλο ἰὼν ἔθνος, ἐς ὃ στρατευσάμενος ἐπὶ τοὺς Ἀσσυρίους καὶ Ἀσσυρίων τούτους οἳ Νίνον εἶχον καὶ ἦρχον πρότερον πάντων, τότε δὲ ἦσαν μεμουνωμένοι μὲν συμμάχων ἅτε ἀπεστεώτων, ἄλλως μέντοι ἑωυτῶν εὖ ἥκοντες, ἐπὶ τούτους δὴ στρατευσάμενος ὁ Φραόρτης αὐτός τε διεφθάρη, ἄρξας δύο καὶ εἴκοσι ἔτεα, καὶ ὁ στρατὸς αὐτοῦ ὁ πολλός.

Φραόρτεω δὲ τελευτήσαντος ἐξεδέξατο Κυαξάρης ὁ Φραόρτεω τοῦ Δηιόκεω παῖς. οὗτος λέγεται πολλὸν ἔτι γενέσθαι ἀλκιμώτερος τῶν προγόνων, καὶ πρῶτός τε ἐλόχισε κατὰ τέλεα τοὺς ἐν τῇ Ἀσίῃ καὶ πρῶτος διέταξε χωρὶς ἑκάστους εἶναι, τούς τε αἰχμοφόρους καὶ τοὺς τοξοφόρους καὶ τοὺς ἱππέας· πρὸ τοῦ δὲ ἀναμὶξ ἦν πάντα ὁμοίως ἀναπεφυρμένα. οὗτος ὁ τοῖσι Λυδοῖσι ἐστὶ μαχεσάμενος ὅτε νὺξ ἡ ἡμέρη ἐγένετό σφι μαχομένοισι, καὶ ὁ τὴν Ἅλυος ποταμοῦ ἄνω Ἀσίην πᾶσαν συστήσας ἑωυτῷ. συλλέξας δὲ τοὺς ὑπ' ἑωυτῷ ἀρχομένους 103

περὶ τῆς βασιλείας Φραόρτου τοῦ Δηιόκου παιδός ὅτι Ἀσσυρίοις μαχόμενος Φραόρτης διεφθάρη περὶ τῆς τοῦ Κυαξάρου τοῦ Φραόρτου παιδὸς βασιλείας καὶ περὶ τοῦ πρὸς Ἀσσυρίους καὶ Σκύθας πολέμου

---

5. Bekkeri Anecd. p. 123. Suidas v. ἀπεχρᾶτο. — 17. Λέξεις. — Λέξεις. — 18 sqq. (Themistius XXVI p. 319)

1. Βούδειοι Stephanus Byz. v. ‖ 2. δὴ om. *Cdz* ‖ τάδε *Rdz* ‖ δὲ] μὲν *Rd* ‖ 5. ἀπάγραιτο *C* ‖ μούνων μήδων ἄρχειν *BP*: μήδων μούνων ἄρχειν *A*, μήδων μούνων ἄρχειν *Cq*, μούνων ἄρχειν τῶν μήδων *Rdz* ‖ 9. ἐσὸ *AB* 10. νῖνον *A²Pz* ‖ ἔχον *z* ‖ 12. ἀποστεώτων *R* ‖ 14. δύο] δύο τε *Rdz* 15. ἐδέξατο *C* ‖ 17. ἐλόγησε *Rd*. glossae ‖ 19. καὶ τοὺς τοξοφόρους] om. *A¹*, post ἱππέας locant *Pz* ‖ 20. προτοῦ *Az* ‖ 21. σφι ἐγένετο *Rd* ‖ 22. ἄλυος *AB*, ἄλυος *Cd* ‖ 23. συλλέξας - 71, 19 μοίρης om. *Rd* ‖ δὲ om. *z*

πάντας ἐστρατεύετο ἐπὶ τὴν Νίνον, τιμωρέων τε τῷ πατρὶ καὶ τὴν πόλιν ταύτην θέλων ἐξελεῖν. καί οἱ, ὡς συμβαλὼν ἐνίκησε τοὺς Ἀσσυρίους, περικατημένῳ τὴν Νίνον ἐπῆλθε Σκυθέων στρατὸς μέγας, ἦγε δὲ αὐτοὺς βασιλεὺς ὁ Σκυθέων Μαδύης Προτοθύεω παῖς· οἳ ἐσέβαλον μὲν ἐς τὴν Ἀσίην Κιμμερίους ἐκβαλόντες ἐκ τῆς Εὐρώπης, τούτοισι δὲ ἐπισπό-
104 μενοι φεύγουσι οὕτω ἐς τὴν Μηδικὴν χώρην ἀπίκοντο. ἔστι δὲ ἀπὸ τῆς λίμνης τῆς Μαιήτιδος ἐπὶ Φᾶσιν ποταμὸν καὶ ἐς Κόλχους τριήκοντα ἡμερέων εὐζώνῳ ὁδός, ἐκ δὲ τῆς Κολχίδος οὐ πολλὸν ὑπερβῆναι ἐς τὴν Μηδικήν, ἀλλ' ἓν τὸ διὰ μέσου ἔθνος αὐτῶν ἐστι, Σάσπειρες, τοῦτο δὲ παραμειβομένοισι εἶναι ἐν τῇ Μηδικῇ. οὐ μέντοι οἵ γε Σκύθαι ταύτῃ ἐσέβαλον, ἀλλὰ τὴν κατύπερθε ὁδὸν πολλῷ μακροτέρην ἐκτραπόμενοι, ἐν δεξιῇ ἔχοντες τὸ Καυκάσιον ὄρος. ἐνθαῦτα οἱ μὲν Μῆδοι συμβαλόντες τοῖσι Σκύθῃσι καὶ ἑσσωθέντες τῇ μάχῃ τῆς ἀρχῆς κατελύθησαν, οἱ δὲ Σκύθαι τὴν Ἀσίην πᾶ-
105 σαν ἐπέσχον. ἐνθεῦτεν δὲ ἤισαν ἐπ' Αἴγυπτον· καὶ ἐπείτε ἐγένοντο ἐν τῇ Παλαιστίνῃ Συρίῃ, Ψαμμήτιχός σφεας Αἰγύπτου βασιλεὺς ἀντιάσας δώροισί τε καὶ λιτῇσι ἀποτράπει τὸ προσωτέρω μὴ πορεύεσθαι. οἱ δὲ ἐπείτε ἀναχωρέοντες ὀπίσω ἐγίνοντο τῆς Συρίης ἐν Ἀσκάλωνι πόλι, τῶν πλεόνων Σκυθέων παρεξελθόντων ἀσινέων ὀλίγοι τινὲς αὐτῶν ὑπολειφθέντες ἐσύλησαν τῆς οὐρανίης Ἀφροδίτης τὸ ἱρόν. ἔστι δὲ τοῦτο τὸ ἱρόν, ὡς ἐγὼ πυνθανόμενος εὑρίσκω, πάντων ἀρχαιότατον ἱρῶν ὅσα ταύτης τῆς θεοῦ· καὶ γὰρ τὸ ἐν Κύ-

ὅπως Σκύθαι εἰς τὴν Μηδικὴν εἰσέβαλον ὅτι μέχρι Ἀσκάλωνος Σκύθαι παρεγένοντο καὶ περὶ τοῦ ἐκεῖσε τῆς Ἀφροδίτης ἱεροῦ

1. νῖνον *Pz* ‖ 3. ἀσυρίους *C* ‖ 4. ἦγε δὲ *B*, ηγε δὲ *A* : ἄγε δὲ *P*, ἄγε δὲ *C*, ἄγαγε *qz* ‖ 5. μυδίης *C* ‖ πρωτοθύεω *Pz* ‖ ἐσέβαλλον *C* ‖ 6. ἐκβάλοντες *C* ‖ ἐπισπομένοισι *qz* ‖ 8. Φάσιν *z* ‖ 13. κατύπερθεν *Cz* ‖ ἐκτρεπόμενοι *z* ‖ 14. ἔχοντες] δὲ ἔχοντες *C* ‖ 15. σκύθοισι *C* ‖ 16. σκῦθαι *C* ‖ 17. ἦσαν *A*, ἤϊσαν *B*, ἦσαν *CPz* ‖ 18. ψαμμίτιχος *L* ‖ 19. δῶροι στε *B*[1], δώροις τε *C* ‖ ἀποτρέπει *L* ‖ 20. τοπροσωτέρωι *A*, τὸ προσωτέρωι *C*, προσωτέρω *z* ‖ 21. ἐγίνοντο *AB* : ἐγένοντο ‖ πόλει *CP*, πόλεϊ *z* ‖ 22. τινὲς] τι ἢ *C* ‖ ἀπολειφθέντες *C*[2] ‖ 23. ἔστι – 24 ἱρόν om. *z* ‖ 24. εὑρίσκω om. *z*

πρῳ ἱρὸν ἐνθεῦτεν ἐγένετο, ὡς αὐτοὶ Κύπριοι λέγουσι, καὶ τὸ ἐν Κυθήροισι Φοίνικές εἰσι οἱ ἱδρυσάμενοι ἐκ ταύτης τῆς Συρίης ἐόντες. τοῖσι δὲ τῶν Σκυθέων συλήσασι τὸ ἱρὸν τὸ ἐν Ἀσκάλωνι καὶ τοῖσι τούτων αἰεὶ ἐκγόνοισι ἐνέσκηψε ὁ θεὸς θήλεαν νοῦσον· ὥστε ἅμα λέγουσί τε οἱ Σκύθαι διὰ τοῦτό σφεας νοσέειν, καὶ ὁρᾶν παρ' ἑωυτοῖσι τοὺς ἀπικνεομένους ἐς τὴν Σκυθικὴν χώρην ὡς διακέαται, τοὺς καλέουσι Ἐνάρεας οἱ Σκύθαι.

Ἐπὶ μέν νυν ὀκτὼ καὶ εἴκοσι ἔτεα ἦρχον τῆς Ἀσίης οἱ 106
Σκύθαι, καὶ τὰ πάντα σφι ὑπό τε ὕβριος καὶ ὀλιγωρίης ἀνάστατα ἦν· χωρὶς μὲν γὰρ φόρον ἔπρησσον παρ' ἑκάστων τὸ ἑκάστοισι ἐπέβαλλον, χωρὶς δὲ τοῦ φόρου ἥρπαζον περιελαύνοντες τοῦτο ὅ τι ἔχοιεν ἕκαστοι. καὶ τούτων μὲν τοὺς πλεῦνας Κυαξάρης τε καὶ Μῆδοι ξεινίσαντες καὶ καταμεθύσαντες κατεφόνευσαν, καὶ οὕτω ἀνεσώσαντο τὴν ἀρχὴν Μῆδοι καὶ ἐπεκράτεον τῶν περ καὶ πρότερον, καὶ τήν τε Νίνον εἷλον (ὡς δὲ εἷλον, ἐν ἑτέροισι λόγοισι δηλώσω) καὶ τοὺς Ἀσσυρίους ὑποχειρίους ἐποιήσαντο πλὴν τῆς Βαβυλωνίης μοίρης. μετὰ δὲ ταῦτα Κυαξάρης μέν, βασιλεύσας τεσσεράκοντα ἔτεα σὺν τοῖσι Σκύθαι ἦρξαν, τελευτᾷ. ἐκδέκεται δὲ Ἀστυάγης Κυαξάρεω παῖς τὴν βασιληίην. καί οἱ ἐγένετο 107
θυγάτηρ τῇ οὔνομα ἔθετο Μανδάνην, τὴν ἐδόκεε Ἀστυάγης ἐν τῷ ὕπνῳ οὐρῆσαι τοσοῦτο ὥστε πλῆσαι μὲν τὴν ἑωυτοῦ πόλιν, ἐπικατακλύσαι δὲ καὶ τὴν Ἀσίην πᾶσαν. ὑπερθέμενος δὲ τῶν Μάγων τοῖσι ὀνειροπόλοισι τὸ ἐνύπνιον, ἐφοβήθη παρ'

ὅτι ἐπὶ κ̄ καὶ η̄ ἔτη ἦρξαν τῆς Ἀσίας οἱ Σκύθαι καὶ ὅτι Κυαξάρης αὐτῶν περιγέγονεν περὶ Ἀστυάγους καὶ τῆς αὐτοῦ θυγατρὸς καὶ τῶν περὶ αὐτῆς ἐνυπνίων

3-5. Longinus περὶ ὕψους 28. — 4. Tiberius περὶ σχημ. π. p. 665 W.

1. κύπροι λέγουσι *C*, λέγουσι κύπριοι *qz* || 4. τουτέων *z* || ἡ θεὸς Long. Tiber. || 5. θήλειαν *CPz* || 6. νοσεῖν *Pz* || 7. ἐναρέας *L* || 9. εἴκοσιν *AB* || 11. φόρον Reiske: φόρων || τὸν Reiske || 12. ἐπέβαλον *C*. ἐπιβάλλον Dobree || 13. ὅ τι] ὅπερ *z* || 14. ξενίσαντες *z* || 16. νῖνον *Pz* || 19. τεσσεράκοντα *Ad*: τεσσαράκοντα || 20. ἔτεα ante τεσσεράκοντα *d* || σὺν - ἦρξαν om. *Rd* || 21. ὁ κυαξάρεω *Rds* || 22. τῇ] τὴν *Rd* || 23. τοσοῦτον *L* | 24. ὑπερθέμενος Schaefer: ὑποθέμενος

αὐτῶν αὐτὰ ἕκαστα μαθών. μετὰ δὲ τὴν Μανδάνην ταύτην ἐοῦσαν ἤδη ἀνδρὸς ὡραίην Μήδων μὲν τῶν ἑωυτοῦ ἀξίων οὐδενὶ διδοῖ γυναῖκα, δεδοικὼς τὴν ὄψιν· ὁ δὲ Πέρσῃ διδοῖ τῷ οὔνομα ἦν Καμβύσης, τὸν εὕρισκε οἰκίης μὲν ἐόντα ἀγαθῆς τρόπου δὲ ἡσυχίου, πολλῷ ἔνερθε ἄγων αὐτὸν μέσου

108 ἀνδρὸς Μήδου. συνοικεούσης δὲ τῷ Καμβύσῃ τῆς Μανδάνης, ὁ Ἀστυάγης τῷ πρώτῳ ἔτεϊ εἶδε ἄλλην ὄψιν, ἐδόκεε δέ οἱ ἐκ τῶν αἰδοίων τῆς θυγατρὸς ταύτης φῦναι ἄμπελον, τὴν δὲ ἄμπελον ἐπισχεῖν τὴν Ἀσίην πᾶσαν. ἰδὼν δὲ τοῦτο καὶ ὑπερθέμενος τοῖσι ὀνειροπόλοισι, μετεπέμψατο ἐκ τῶν Περσέων τὴν θυγατέρα ἐπίτεκα ἐοῦσαν, ἀπικομένην δὲ ἐφύλασσε βουλόμενος τὸ γενόμενον ἐξ αὐτῆς διαφθεῖραι· ἐκ γάρ οἱ τῆς ὄψιος οἱ τῶν Μάγων ὀνειροπόλοι ἐσήμαινον ὅτι μέλλοι ὁ τῆς θυγατρὸς αὐτοῦ γόνος βασιλεύσειν ἀντὶ ἐκείνου. ταῦτα δὴ ὦν φυλασσόμενος ὁ Ἀστυάγης, ὡς ἐγένετο ὁ Κῦρος, καλέσας Ἅρπαγον ἄνδρα οἰκήιον καὶ πιστότατόν τε Μήδων καὶ πάντων ἐπίτροπον τῶν ἑωυτοῦ, ἔλεγέ οἱ τοιάδε. "Ἅρπαγε, πρῆγμα τὸ ἄν τοι προσθέω, μηδαμῶς παραχρήσῃ, μηδὲ ἐμέ τε παραβάλῃ καὶ ἄλλους ἑλόμενος ἐξ ὑστέρης σοὶ αὐτῷ περιπέσῃς. λάβε τὸν Μανδάνη ἔτεκε παῖδα, φέρων δὲ ἐς σεωυτοῦ ἀπόκτεινον· μετὰ δὲ θάψον τρόπῳ ὅτεῳ αὐτὸς βούλεαι." ὁ δὲ ἀμείβεται "ὦ βασιλεῦ, οὔτε ἄλλοτέ κω παρεῖδες ἀνδρὶ τῷδε ἄχαρι οὐδέν, φυλασσόμεθα δὲ ἐς σὲ καὶ ἐς τὸν μετέπειτα χρόνον μηδὲν ἐξαμαρτεῖν. ἀλλ' εἴ τοι φίλον τοῦτο οὕτω γίνεσθαι, χρὴ δὴ τό γε ἐμὸν ὑπηρετέεσθαι ἐπιτηδέως."

περὶ τοῦ Καμβύσου τοῦ Ἀστυάγους γαμβροῦ — περὶ τῆς Κύρου γεννήσεως καὶ ἐκθέσεως — περὶ Ἁρπάγου καὶ Κυνοῦς

1. αὐτέων z ‖ ἐκμαθὼν z ‖ τὴν] τὴν μὲν dz ‖ 3. τὴν ο[υ] (h. e. ὀνείρου) ὄψιν P ‖ 4. οἰκητῆς z ‖ 5. ἔνερθεν d ‖ 7. ἔτει AB ‖ δὲ om. bz ‖ 11. ἐπίτεκα Pz: ἐπίτοκα ‖ 12. βουλώμενος A^1B^1 ‖ γενώμενον B, γεννώμενον C^2Rdz ‖ ἐκ] καὶ d^1, καὶ ἐκ z ‖ 13. μέλλει z ‖ 14. ἀντ' Pz ‖ 17. τάδε R ‖ 18. προθέω z ‖ μηδαμῶς ABC: μηδαμὰ P, μηδαμᾶ Rd, μηδαμῇ z ‖ 19. ἐξυστέρης ABz ‖ σοὶ αὐτῶι P: σοὶ ἑωυτῶι AB, σὺ ἑωυτῶι C, σὺ ἑωυτῷ Rd, σεωυτῷ z ‖ 20. τὸν] τὸν ἂν Rdz ‖ ἐς om. R ‖ ἑωυτοῦ CRdz ‖ 22. ἄλλοτε A, ἄλλο τέ C ‖ παρίδες d, παρίδον R ‖ 23. εἰς d ‖ 25. γε] τε z ‖ ἐπιτηδείως d

τούτοισι ἀμειψάμενος ὁ Ἅρπαγος, ὥς οἱ παρεδόθη τὸ παιδίον κεκοσμημένον τὴν ἐπὶ θανάτῳ, ἤιε κλαίων ἐς τὰ οἰκία. 109
παρελθὼν δὲ ἔφραζε τῇ ἑωυτοῦ γυναικὶ τὸν πάντα Ἀστυάγεος ῥηθέντα λόγον. ἡ δὲ πρὸς αὐτὸν λέγει "νῦν ὦν τί σοὶ ἐν νόῳ ἐστὶ ποιέειν;" ὁ δὲ ἀμείβεται "οὐ τῇ ἐνετέλλετο Ἀστυάγης, οὐδ' εἰ παραφρονήσει τε καὶ μανέεται κάκιον ἢ νῦν μαίνεται, οὔ οἱ ἔγωγε προσθήσομαι τῇ γνώμῃ οὐδὲ ἐς φόνον τοιοῦτον ὑπηρετήσω. πολλῶν δὲ εἵνεκα οὐ φονεύσω μιν, καὶ ὅτι αὐτῷ μοι συγγενής ἐστι ὁ παῖς, καὶ ὅτι Ἀστυάγης μέν ἐστι γέρων καὶ ἄπαις ἔρσενος γόνου· εἰ δ' ἐθελήσει τούτου τελευτήσαντος ἐς τὴν θυγατέρα ταύτην ἀναβῆναι ἡ τυραννίς, τῆς νῦν τὸν υἱὸν κτείνει δι' ἐμεῦ, ἄλλο τι ἢ λείπεται τὸ ἐνθεῦτεν ἐμοὶ κινδύνων ὁ μέγιστος; ἀλλὰ τοῦ μὲν ἀσφαλέος εἵνεκα ἐμοὶ δεῖ τοῦτον τελευτᾶν τὸν παῖδα, δεῖ μέντοι τῶν τινα Ἀστυάγεος αὐτοῦ φονέα γενέσθαι καὶ μὴ τῶν ἐμῶν." ταῦτα 110
εἶπε καὶ αὐτίκα ἄγγελον ἔπεμπε ἐπὶ τῶν βουκόλων τῶν Ἀστυάγεος τὸν ἠπίστατο νομάς τε ἐπιτηδεοτάτας νέμοντα καὶ ὄρεα θηριωδέστατα, τῷ οὔνομα ἦν Μιτραδάτης. συνοίκεε δὲ ἑωυτοῦ συνδούλῃ, οὔνομα δὲ τῇ γυναικὶ ἦν τῇ συνοίκεε Κυνὼ κατὰ τὴν Ἑλλήνων γλῶσσαν, κατὰ δὲ τὴν Μηδικὴν Σπακώ· τὴν γὰρ κύνα καλέουσι σπάκα Μῆδοι. αἱ δὲ ὑπώρεαί εἰσι τῶν ὀρέων, ἔνθα τὰς νομὰς τῶν βοῶν εἶχε οὗτος δὴ ὁ βουκόλος, πρὸς βορέω τε ἀνέμου τῶν Ἀγβατάνων καὶ πρὸς τοῦ πόντου τοῦ Εὐξείνου· ταύτῃ

περὶ Μιτραδάτου τοῦ βουκόλου (*B*)

---

21. Hesychius v. σπάκα

1. πεδίον A^1B^1 || 2. ἤει *A*, ἥιει *B*, ἤιει *Pz*, ἥει *C*, ἴει *Rd*, ᾔει *z* || οἰκεῖα *dz* || 4. σοι *L* || 5. οὐ τῇ Struve: οὐκ ἢ || 6. παραφρονήσειέ τε *z* || μανεῖται *L* || 7. φόρον *R* || 10. ἄρσενος *Rd* || δ' ἐθελήσει *AB*: δὲ θελήσει || 11. τῆς] ἧς *L* || 12. ἄλλο τί *AB*] || τοενθεῦτεν *P* || 13. ἀσφαλέως *dz* || 16. εἶπε καὶ] εἴπας *z* || τῶν βουκόλων τῶν *AB*: τὸν βουκόλον τὸν A^2CPz, τὸν βουκόλον τοῦ *Rd* || 17. ἠπίστατον *R* || ἐπιτηδειοτάτας *AB*, ἐπιτηδεωτάτας *CP*, ἐπιτηδειότατα *d*, ἐπιτηδειότα *R*, ἐπιτηδεώτατα *z* || 18. ὄρεα *ABC*: οὔρεα || μητραδάτης *B*, μητριδάτου B^m || 19. δὲ τῇ ἑωυτοῦ *Rdz* || 20. Ἑλλήνων] τῶν Ἑλλήνων *z* || 22. ὀρέων *Rdz*: οὐρέων || 23. εἶχεν· οὗτος *Rd*, εἶχε· οὗτος *z* || ἐκβατάνων *P*

μὲν γὰρ ἡ Μηδικὴ χώρη πρὸς Σασπείρων ὀρεινή ἐστι κάρτα
καὶ ὑψηλή τε καὶ ἴδῃσι συνηρεφής, ἡ δὲ ἄλλη Μηδικὴ χώρη
ἐστὶ πᾶσα ἄπεδος. ἐπεὶ ὦν ὁ βουκόλος σπουδῇ πολλῇ καλεό-
μενος ἀπίκετο, ἔλεγε ὁ Ἅρπαγος τάδε. "κελεύει σε Ἀστυά-
γης τὸ παιδίον τοῦτο λαβόντα θεῖναι ἐς τὸ ἐρημότατον τῶν
ὀρέων, ὅκως ἂν τάχιστα διαφθαρείη. καὶ τάδε τοι ἐκέλευσε
εἰπεῖν, ἢν μὴ ἀποκτείνῃς αὐτὸ ἀλλά τεῳ τρόπῳ περιποιήσῃς,
ὀλέθρῳ τῷ κακίστῳ σε διαχρήσεσθαι. ἐπορᾶν δὲ ἐκκείμενον
111 τέταγμαι ἐγώ." ταῦτα ἀκούσας ὁ βουκόλος καὶ ἀναλαβὼν τὸ
παιδίον ἤιε τὴν αὐτὴν ὀπίσω ὁδὸν καὶ ἀπικνέεται ἐς τὴν
ἔπαυλιν. τῷ δ' ἄρα καὶ αὐτῷ ἡ γυνή, ἐπίτεξ ἐοῦσα πᾶσαν
ἡμέρην, τότε κως κατὰ δαίμονα τίκτει οἰχομένου τοῦ βουκό-
λου ἐς πόλιν. ἦσαν δὲ ἐν φροντίδι ἀμφότεροι ἀλλήλων πέρι,
ὁ μὲν τοῦ τόκου τῆς γυναικὸς ἀρρωδέων, ἡ δὲ γυνὴ ὅ τι οὐκ
ἐωθὼς ὁ Ἅρπαγος μεταπέμψαιτο αὐτῆς τὸν ἄνδρα. ἐπείτε
δὲ ἀπονοστήσας ἐπέστη, οἷα ἐξ ἀέλπτου ἰδοῦσα ἡ γυνὴ εἴρετο
προτέρη ὅ τι μιν οὕτω προθύμως Ἅρπαγος μετεπέμψατο.
ὁ δὲ εἶπε "ὦ γύναι, εἶδόν τε ἐς πόλιν ἐλθὼν καὶ ἤκουσα
τὸ μήτε ἰδεῖν ὄφελον μήτε κοτὲ γενέσθαι ἐς δεσπότας τοὺς
ἡμετέρους. οἶκος μὲν πᾶς Ἁρπάγου κλαυθμῷ κατείχετο, ἐγὼ
δὲ ἐκπλαγεὶς ἤια ἔσω. ὡς δὲ τάχιστα ἐσῆλθον, ὁρέω παιδίον
προκείμενον ἀσπαῖρόν τε καὶ κραυγανώμενον, κεκοσμημένον
χρυσῷ τε καὶ ἐσθῆτι ποικίλῃ. Ἅρπαγος δὲ ὡς εἶδέ με, ἐκέ-
λευε τὴν ταχίστην ἀναλαβόντα τὸ παιδίον οἴχεσθαι φέροντα
καὶ θεῖναι ἔνθα θηριωδέστατον εἴη τῶν ὀρέων, φὰς Ἀστυά-

2. ἡ δὲ - 3 ἄπεδος Thomas M. p. 46. — 19. τὸ - ὄφελον idem p. 255

1. πρὸς σασπείρων *AP*: πρὸ σασπείρων *B*, προσασπείρων *C*, πρὸς σαππείρων *Rdz* ‖ 2. καὶ ὑψηλή - 3 βουκόλος om. *R* ‖ 3. ἐπεὶ - βουκόλος om. *d* ‖ πολλῇ] ὦν *Rd* ‖ 4. ἔλεγε] καὶ ἔλεγε *Rd* ‖ σε] δε *R* ‖ 6. οὐρέων *CPz* ‖ 7. περιποιήσῃς Bekker: περιποιήσει B^1, περιποιήσῃ ceteri ‖ 8. σε om. *dz* ‖ διαχρήσασθαι *C* ‖ 9. διατέταγμαι *Rdz* ‖ ὡς ἐγώ *C* ‖ 10. ἤιε *AB*, ἦε *C* ‖ 11. ἆρα *C* ‖ 12. τότε κως] τὸ τέκος *Rd* ‖ 14. ὀρρωδέων A^2 ‖ 15. ἐωθὸς A^1, ἐωρθὼς *R* ‖ μετεπέμψατο *dz* ‖ 16. ἤρετο *C* ‖ 19. ὤφελον *PR* ‖ δεσπότεας *z* ‖ τοὺς om. *Rdz* ‖ 21. ἤια *AB*, ηἴα *C* ‖ εἰσῆλθον *C* ‖ 22. κραυγανώμενον A^1B^1CP: κραυγανόμενον ‖ 23. ἴδε *Rd* ‖ 25. θηριοδέστατον *R* ‖ ὀρέων *AB*: οὐρέων ‖ σφὰς C^1

γεα εἶναι τὸν ταῦτα ἐπιθέμενόν μοι, πόλλ' ἀπειλήσας εἰ μή σφεα ποιήσαιμι. καὶ ἐγὼ ἀναλαβὼν ἔφερον, δοκέων τῶν τινος οἰκετέων εἶναι· οὐ γὰρ ἄν κοτε κατέδοξα ἔνθεν γε ἦν. ἐθάμβεον δὲ ὁρέων χρυσῷ τε καὶ εἵμασι κεκοσμημένον, πρὸς δὲ καὶ κλαυθμὸν κατεστεῶτα ἐμφανέα ἐν Ἁρπάγου. καὶ πρόκατε δὴ κατ' ὁδὸν πυνθάνομαι τὸν πάντα λόγον θεράποντος, ὃς ἐμὲ προπέμπων ἔξω πόλιος ἐνεχείρισε τὸ βρέφος, ὡς ἄρα Μανδάνης τε εἴη παῖς τῆς Ἀστυάγεος θυγατρὸς καὶ Καμβύσεω τοῦ Κύρου, καί μιν Ἀστυάγης ἐντέλλεται ἀποκτεῖναι. νῦν τε ὅδε ἐστί." ἅμα δὲ ταῦτα ἔλεγε ὁ βουκόλος 112
καὶ ἐκκαλύψας ἀπεδείκνυε. ἡ δὲ ὡς εἶδε τὸ παιδίον μέγα τε καὶ εὐειδὲς ἐόν, δακρύσασα καὶ λαβομένη τῶν γουνάτων τοῦ ἀνδρὸς ἐχρήιζε μηδεμιῇ τέχνῃ ἐκθεῖναί μιν. ὁ δὲ οὐκ ἔφη οἷός τ' εἶναι ἄλλως αὐτὰ ποιέειν· ἐπιφοιτήσειν γὰρ κατασκόπους ἐξ Ἁρπάγου ἐποψομένους, ἀπολέεσθαί τε κάκιστα ἢν μή σφεα ποιήσῃ. ὡς δὲ οὐκ ἔπειθε ἄρα τὸν ἄνδρα, δεύτερα λέγει ἡ γυνὴ τάδε. "ἐπεὶ τοίνυν οὐ δύναμαί σε πείθειν μὴ ἐκθεῖναι, σὺ δὲ ὧδε ποίησον, εἰ δὴ πᾶσα ἀνάγκη ὀφθῆναι ἐκκείμενον. τέτοκα γὰρ καὶ ἐγώ, τέτοκα δὲ τεθνεός. τοῦτο μὲν φέρων πρόθες, τὸν δὲ τῆς Ἀστυάγεος θυγατρὸς παῖδα ὡς ἐξ ἡμέων ἐόντα τρέφωμεν. καὶ οὕτω οὔτε σὺ ἁλώσεαι ἀδικέων τοὺς δεσπότας οὔτε ἡμῖν κακῶς βεβουλευμένα ἔσται· ὅ τε γὰρ τεθνεὼς βασιληίης ταφῆς κυρήσει καὶ ὁ περιεὼν οὐκ ἀπολέει τὴν ψυχήν." κάρτα τε ἔδοξε τῷ βουκόλῳ πρὸς 113
τὰ παρεόντα εὖ λέγειν ἡ γυνή, καὶ αὐτίκα ἐποίεε ταῦτα. τὸν μὲν ἔφερε θανατώσων παῖδα, τοῦτον μὲν παραδιδοῖ τῇ ἑωυ-

5. (Hesychius v. καὶ προκατέδη)

1. τοιαῦτα *Rdz* ‖ πολλὰ *Rd* ‖ 3. κατέδεξα *z* ‖ γε ἦν] γενεήν *Rdz* ‖ 5. κατεστεῶτα *CPz*: καθεστεῶτα ‖ ἐμφανέα om. *R* ‖ 6. πρόκατε om. *Rdz* ‖ 7. ὃς ἐμπροπέμπων *R* ‖ 8. ἄρα] πάρα *R* ‖ ἀστυάγεω *Rdz* ‖ 10. ὅδε ἐστιν *Rd*, ὡδέ ἐστι *s* ‖ ἔλεγε[το] *B* ‖ 12. γονάτων *CPd* ‖ 13. ἐχρηιζε *ABCP*, ἔχρηζε *Rdz* ‖ 14. ἄλλος *C* ‖ 15. κατοψομένους *Rdz* ‖ ἀπολέσθαι γὰρ *Rd* ‖ 16. ποιήσει *R* ‖ δεύτερον *Rd* ‖ 18. πᾶσα] πᾶσά γε *Rdz* ‖ 19. δὲ *R* ‖ τεθνεὼς *B* ‖ 21. ἡμῶν *d* ‖ τρέφομεν *Apr. Cd* ‖ 22. δεσπότεας *z* ‖ 23. περιὼν *PR* ‖ 24. ἀπολέσει *Rdz* ‖ 26. τοῦτον μὲν] τοῦτον *CRd*

μὲν γὰρ ἡ Μηδικὴ χώρη πρὸς Σασπείρων ὀρεινή ἐστι κάρτα καὶ ὑψηλή τε καὶ ἴδῃσι συνηρεφής, ἡ δὲ ἄλλη Μηδικὴ χώρη ἐστὶ πᾶσα ἄπεδος. ἐπεὶ ὢν ὁ βουκόλος σπουδῇ πολλῇ καλεόμενος ἀπίκετο, ἔλεγε ὁ Ἅρπαγος τάδε. "κελεύει σε Ἀστυάγης τὸ παιδίον τοῦτο λαβόντα θεῖναι ἐς τὸ ἐρημότατον τῶν ὀρέων, ὅκως ἂν τάχιστα διαφθαρείη. καὶ τάδε τοι ἐκέλευσε εἰπεῖν, ἢν μὴ ἀποκτείνῃς αὐτὸ ἀλλά τεῳ τρόπῳ περιποιήσῃς, ὀλέθρῳ τῷ κακίστῳ σε διαχρήσεσθαι. ἐπορᾶν δὲ ἐκκείμενον
111 τέταγμαι ἐγώ." ταῦτα ἀκούσας ὁ βουκόλος καὶ ἀναλαβὼν τὸ παιδίον ἤιε τὴν αὐτὴν ὀπίσω ὁδὸν καὶ ἀπικνέεται ἐς τὴν ἔπαυλιν. τῷ δ' ἄρα καὶ αὐτῷ ἡ γυνή, ἐπίτεξ ἐοῦσα πᾶσαν ἡμέρην, τότε κως κατὰ δαίμονα τίκτει οἰχομένου τοῦ βουκόλου ἐς πόλιν. ἦσαν δὲ ἐν φροντίδι ἀμφότεροι ἀλλήλων πέρι, ὁ μὲν τοῦ τόκου τῆς γυναικὸς ἀρρωδέων, ἡ δὲ γυνὴ ὅ τι οὐκ ἐωθὼς ὁ Ἅρπαγος μεταπέμψαιτο αὐτῆς τὸν ἄνδρα. ἐπείτε δὲ ἀπονοστήσας ἐπέστη, οἷα ἐξ ἀέλπτου ἰδοῦσα ἡ γυνὴ εἴρετο προτέρη ὅ τι μιν οὕτω προθύμως Ἅρπαγος μετεπέμψατο. ὁ δὲ εἶπε "ὦ γύναι, εἶδόν τε ἐς πόλιν ἐλθὼν καὶ ἤκουσα τὸ μήτε ἰδεῖν ὄφελον μήτε κοτὲ γενέσθαι ἐς δεσπότας τοὺς ἡμετέρους. οἶκος μὲν πᾶς Ἁρπάγου κλαυθμῷ κατείχετο, ἐγὼ δὲ ἐκπλαγεὶς ἤια ἔσω. ὡς δὲ τάχιστα ἐσῆλθον, ὁρέω παιδίον προκείμενον ἀσπαῖρόν τε καὶ κραυγανώμενον, κεκοσμημένον χρυσῷ τε καὶ ἐσθῆτι ποικίλῃ. Ἅρπαγος δὲ ὡς εἶδέ με, ἐκέλευε τὴν ταχίστην ἀναλαβόντα τὸ παιδίον οἴχεσθαι φέροντα καὶ θεῖναι ἔνθα θηριωδέστατον εἴη τῶν ὀρέων, φὰς Ἀστυά-

---

2. ἡ δὲ - 3 ἄπεδος Thomas M. p. 46. — 19. τὸ - ὄφελον idem p. 255

1. πρὸς σασπείρων *AP*: πρὸ σασπείρων *B*, προσασπείρων *C*, πρὸς σαππείρων *Rdz* ‖ 2. καὶ ὑψηλή - 3 βουκόλος om. *R* ‖ 3. ἐπεὶ - βουκόλος om. *d* ‖ πολλῇ] ὢν *Rd* ‖ 4. ἔλεγε] καὶ ἔλεγε *Rd* ‖ σε] δε *R* ‖ 6. οὐρέων *CPz* ‖ 7. περιποιήσῃς Bekker: περιποιήσει B^1, περιποιήσῃ ceteri ‖ 8. σε om. *dz* διαχρήσασθαι *C* ‖ 9. διατέταγμαι *Rdz* ‖ ὡς ἐγώ *C* ‖ 10. ἤιε *AB*, ἦε *C* ‖ 11. ἆρα *C* ‖ 12. τότε κως] τὸ τέκος *Rd* ‖ 14. ὀρρωδέων A^2 ‖ 15. ἐωθὸς A^1, ἐωρθὼς *R* ‖ μετεπέμψατο *dz* ‖ 16. ἤρετο *C* ‖ 19. ὤφελον *PR* ‖ δεσπότεας *z* ‖ τοὺς om. *Rdz* ‖ 21. ἤια *AB*, ηἶα *C* ‖ εἰσῆλθον *C* ‖ 22. κραυγανώμενον A^1B^1CP: κραυγανόμενον ‖ 23. ἴδε *Rd* ‖ 25. θηριοδέστατον *R* ‖ ὀρέων *AB*: οὐρέων ‖ σφὰς C^1

γεα εἶναι τὸν ταῦτα ἐπιθέμενόν μοι, πόλλ' ἀπειλήσας εἰ μή
σφεα ποιήσαιμι. καὶ ἐγὼ ἀναλαβὼν ἔφερον, δοκέων τῶν
τινος οἰκετέων εἶναι· οὐ γὰρ ἄν κοτε κατέδοξα ἔνθεν γε ἦν.
ἐθάμβεον δὲ ὁρέων χρυσῷ τε καὶ εἵμασι κεκοσμημένον, πρὸς
δὲ καὶ κλαυθμὸν κατεστεῶτα ἐμφανέα ἐν Ἁρπάγου. καὶ
πρόκατε δὴ κατ' ὁδὸν πυνθάνομαι τὸν πάντα λόγον θερά-
ποντος, ὃς ἐμὲ προπέμπων ἔξω πόλιος ἐνεχείρισε τὸ βρέφος,
ὡς ἄρα Μανδάνης τε εἴη παῖς τῆς Ἀστυάγεος θυγατρὸς καὶ
Καμβύσεω τοῦ Κύρου, καί μιν Ἀστυάγης ἐντέλλεται ἀπο-
κτεῖναι. νῦν τε ὅδε ἐστί." ἅμα δὲ ταῦτα ἔλεγε ὁ βουκόλος 112
καὶ ἐκκαλύψας ἀπεδείκνυε. ἡ δὲ ὡς εἶδε τὸ παιδίον μέγα τε
καὶ εὐειδὲς ἐόν, δακρύσασα καὶ λαβομένη τῶν γουνάτων τοῦ
ἀνδρὸς ἐχρήιζε μηδεμιῇ τέχνῃ ἐκθεῖναί μιν. ὁ δὲ οὐκ ἔφη
οἷός τ' εἶναι ἄλλως αὐτὰ ποιέειν· ἐπιφοιτήσειν γὰρ κατασκό-
πους ἐξ Ἁρπάγου ἐποψομένους, ἀπολέεσθαί τε κάκιστα ἢν
μή σφεα ποιήσῃ. ὡς δὲ οὐκ ἔπειθε ἄρα τὸν ἄνδρα, δεύτερα
λέγει ἡ γυνὴ τάδε. "ἐπεὶ τοίνυν οὐ δύναμαί σε πείθειν μὴ
ἐκθεῖναι, σὺ δὲ ὧδε ποίησον, εἰ δὴ πᾶσα ἀνάγκη ὀφθῆναι
ἐκκείμενον. τέτοκα γὰρ καὶ ἐγώ, τέτοκα δὲ τεθνεός. τοῦτο
μὲν φέρων πρόθες, τὸν δὲ τῆς Ἀστυάγεος θυγατρὸς παῖδα
ὡς ἐξ ἡμέων ἐόντα τρέφωμεν. καὶ οὕτω οὔτε σὺ ἁλώσεαι
ἀδικέων τοὺς δεσπότας οὔτε ἡμῖν κακῶς βεβουλευμένα ἔσται·
ὅ τε γὰρ τεθνεὼς βασιληίης ταφῆς κυρήσει καὶ ὁ περιεὼν
οὐκ ἀπολέει τὴν ψυχήν." κάρτα τε ἔδοξε τῷ βουκόλῳ πρὸς 113
τὰ παρεόντα εὖ λέγειν ἡ γυνή, καὶ αὐτίκα ἐποίεε ταῦτα. τὸν
μὲν ἔφερε θανατώσων παῖδα, τοῦτον μὲν παραδιδοῖ τῇ ἑωυ-

---

5. (Hesychius v. καὶ προκατέδη)

1. τοιαῦτα *Rdz* ‖ πολλὰ *Rd* ‖ 3. κατέδεξα *z* ‖ γε ἦν] γενεῆν *Rdz* ‖ 5. κατεστεῶτα *CPz*: καθεστεῶτα ‖ ἐμφανέα om. *R* ‖ 6. πρόκατε om. *Rdz* ‖ 7. ὃς ἐμπροπέμπων *R* ‖ 8. ἄρα] πάρα *R* ‖ ἀστυάγεω *Rdz* ‖ 10. ὅδε ἐστιν *Rd*, ὡδέ ἐστι *z* ‖ ἐλέγε[το] *B* ‖ 12. γονάτων *CPd* ‖ 13. ἐχρηιζε *ABCP*, ἔχρηζε *Rdz* ‖ 14. ἄλλος *C* ‖ 15. κατοψομένους *Rdz* ‖ ἀπολέσθαι [γὰρ] *Rd* ‖ 16. ποιήσει *R* ‖ δεύτερον *Rd* ‖ 18. πᾶσα] πᾶσά γε *Rdz* ‖ 19. δὲ *R* ‖ τεθνεὼς *B* ‖ 21. ἡμῶν *d* ‖ τρέφομεν *Apr. Cd* ‖ 22. δεσπότεας *z* ‖ 23. περιὼν *PR* ‖ 24. ἀπολέσει *Rdz* ‖ 26. τοῦτον μὲν] τοῦτον *CRd*

τοῦ γυναικί, τὸν δὲ ἑωυτοῦ ἐόντα νεκρὸν λαβὼν ἔθηκε ἐς τὸ ἄγγος ἐν τῷ ἔφερε τὸν ἕτερον· κοσμήσας δὲ τῷ κόσμῳ παντὶ τοῦ ἑτέρου παιδός, φέρων ἐς τὸ ἐρημότατον τῶν ὀρέων τιθεῖ. ὡς δὲ τρίτη ἡμέρη τῷ παιδίῳ ἐκκειμένῳ ἐγένετο, ἤιε ἐς πόλιν ὁ βουκόλος, τῶν τινα προβοσκῶν φύλακον αὐτοῦ καταλιπών, ἐλθὼν δὲ ἐς τοῦ Ἁρπάγου ἀποδεικνύναι ἔφη ἕτοιμος εἶναι τοῦ παιδίου τὸν νέκυν. πέμψας δὲ ὁ Ἅρπαγος τῶν ἑωυτοῦ δορυφόρων τοὺς πιστοτάτους εἶδέ τε διὰ τούτων καὶ ἔθαψε τοῦ βουκόλου τὸ παιδίον. καὶ τὸ μὲν ἐτέθαπτο, τὸν δὲ ὕστερον τούτων Κῦρον ὀνομασθέντα παραλαβοῦσα ἔτρεφε ἡ γυνὴ τοῦ βουκόλου, οὔνομα ἄλλο κού τι καὶ οὐ Κῦρον θεμένη.
114 καὶ ὅτε ἦν δεκαέτης ὁ παῖς, πρῆγμα ἐς αὐτὸν τοιόνδε γενόμενον ἐξέφηνέ μιν. ἔπαιζε ἐν τῇ κώμῃ ταύτῃ ἐν τῇ ἦσαν καὶ αἱ βουκολίαι αὗται, ἔπαιζε δὲ μετ' ἄλλων ἡλίκων ἐν ὁδῷ. καὶ οἱ παῖδες παίζοντες εἵλοντο ἑωυτῶν βασιλέα εἶναι τοῦτον δὴ τὸν τοῦ βουκόλου ἐπίκλησιν παῖδα. ὁ δὲ αὐτῶν διέταξε τοὺς μὲν οἰκίας οἰκοδομέειν, τοὺς δὲ δορυφόρους εἶναι, τὸν δέ κού τινα αὐτῶν ὀφθαλμὸν βασιλέος εἶναι, τῷ δέ τινι τὰς ἀγγελίας φέρειν ἐδίδου γέρας, ὡς ἑκάστῳ ἔργον προστάσσων. εἷς δὴ τούτων τῶν παιδίων συμπαίζων, ἐὼν Ἀρτεμβάρεος παῖς ἀνδρὸς δοκίμου ἐν Μήδοισι, οὐ γὰρ δὴ ἐποίησε τὸ προσταχθὲν ἐκ τοῦ Κύρου, ἐκέλευε αὐτὸν τοὺς ἄλλους παῖδας διαλαβεῖν, πειθομένων δὲ τῶν παίδων ὁ Κῦρος τὸν παῖδα τρηχέως κάρτα περιέσπε μαστιγέων. ὁ δὲ ἐπείτε μετείθη τάχιστα, ὥς γε δὴ ἀνάξια ἑωυτοῦ παθών, μᾶλλόν τι περιημέκτεε, κατελθὼν δὲ ἐς πόλιν πρὸς τὸν πατέρα ἀποικτίζετο

---

22. ἐκέλευε – 23 διαλαβεῖν Phrynichus in Bekkeri Anecd. p. 36

2. τῷ] ᾧ *P* ‖ κοσμίσας *R* ‖ 3. ὀρέων *AB*: οὐρέων ‖ 5. προβόσκων *Rdz* ‖ φύλακα *dz* ‖ 6. τοῦ] τὸ *Rd* ‖ 9. ἐθάπτετο *Rdz* ‖ 10. τοῦτον *z* ‖ 11. ὄνομα *P* ‖ κου *ABR*, κοῦ *C* ‖ 12. ὅτε] ὅτε δὴ *Rdz* ‖ 14. ἔπαι δὲ *R* ‖ μετὰ *Rd* ‖ ἐν ὁδῷ ἦσαν καὶ οἱ *R* ‖ 16. τοῦ om. *Rdz* ‖ αὐτέων *z* ‖ 17. τῶν δέ κου *AB*, τῶν δὲ κοῦ *C* ‖ 18. αὐτέων *z* ‖ βασιλέως *R*, βασιλῆος *z* ‖ 19. ἐσφέρειν *Rdz* ‖ ἑκάστου *R* ‖ 20. παίδων Bekker ‖ ἀρτεβάρεω *s*, ἀρτεμβάρεω *z* ‖ 22. ἐκάλεσεν αὐτοῦ Phryn. ‖ 23. διαλαβέειν *z* ‖ 24. περίεπε *Rdz* ‖ μετῆθη (ει) *C*, ἐμετείθη *dz*, ἐμετείχθη *R*

τῶν ὑπὸ Κύρου ἤντησε. λέγων δὲ οὐ Κύρου (οὐ γάρ κω ἦν τοῦτο τοὔνομα) ἀλλὰ πρὸς τοῦ βουκόλου τοῦ Ἀστυάγεος παιδός. ὁ δὲ Ἀρτεμβάρης ὀργῇ ὡς εἶχε ἐλθὼν παρὰ τὸν Ἀστυάγεα καὶ ἅμα ἀγόμενος τὸν παῖδα ἀνάρσια πρήγματα ἔφη πεπονθέναι, λέγων "ὦ βασιλεῦ, ὑπὸ τοῦ σοῦ δούλου, βουκόλου δὲ παιδὸς ὧδε περιυβρίσμεθα", δεικνὺς τοῦ παιδὸς τοὺς ὤμους. ἀκούσας δὲ καὶ ἰδὼν Ἀστυάγης, θέλων τιμω- 115
ρῆσαι τῷ παιδὶ τιμῆς τῆς Ἀρτεμβάρεος εἵνεκα, μετεπέμπετο τόν τε βουκόλον καὶ τὸν παῖδα. ἐπείτε δὲ παρῆσαν ἀμφότεροι, βλέψας πρὸς τὸν Κῦρον ὁ Ἀστυάγης ἔφη "σὺ δὴ ἐὼν τοῦδε τοιούτου ἐόντος παῖς ἐτόλμησας τὸν τοῦδε παῖδα ἐόντος πρώτου παρ' ἐμοὶ ἀεικείῃ τοιῇδε περισπεῖν;" ὁ δὲ ἀμείβετο ὧδε. "ὦ δέσποτα, ἐγὼ ταῦτα τοῦτον ἐποίησα σὺν δίκῃ. οἱ γάρ με ἐκ τῆς κώμης παῖδες, τῶν καὶ ὅδε ἦν, παίζοντες σφέων αὐτῶν ἐστήσαντο βασιλέα· ἐδόκεον γάρ σφι εἶναι ἐς τοῦτο ἐπιτηδεότατος. οἱ μέν νυν ἄλλοι παῖδες τὰ ἐπιτασσόμενα ἐπετέλεον, οὗτος δὲ ἀνηκούστεέ τε καὶ λόγον εἶχε οὐδένα, ἐς ὃ ἔλαβε τὴν δίκην. εἰ ὦν δὴ τοῦδε εἵνεκα ἄξιός τευ κακοῦ εἰμι, ὅδε τοι πάρειμι." ταῦτα λέγοντος τοῦ παιδὸς 116
τὸν Ἀστυάγεα ἐσήιε ἀνάγνωσις αὐτοῦ, καί οἱ ὅ τε χαρακτὴρ τοῦ προσώπου προσφέρεσθαι ἐδόκεε ἐς ἑωυτὸν καὶ ἡ ὑπόκρισις ἐλευθερωτέρη εἶναι, ὅ τε χρόνος τῆς ἐκθέσιος τῇ ἡλικίῃ τοῦ παιδὸς ἐδόκεε συμβαίνειν. ἐκπλαγεὶς δὲ τούτοισι ἐπὶ χρόνον ἄφθογγος ἦν. μόγις δὲ δή κοτε ἀνενειχθεὶς εἶπε, θέλων ἐκπέμψαι τὸν Ἀρτεμβάρεα, ἵνα τὸν βουκόλον μοῦνον λαβὼν βασανίσῃ, "Ἀρτέμβαρες, ἐγὼ ταῦτα ποιήσω ὥστε σὲ

20. Suidas v. ἀνάγνωσις. — 23. ἐκπλαγεὶς - 24 εἶπε Etymol. Voss. p. 267 Gaisf. Eustathius Od. p. 1604.

1. ὑπὸ τοῦ κύρου *d* ‖ οὐ κύρον *R*, ὁ κύρου *C* ‖ 2. ὄνομα *d* ‖ 6. δὲ om. *R* ‖ 7. τοὺς ὤμους τοῦ παιδὸς *Rd* ‖ ὁ ἀστυάγης *C* ‖ 8. ἀρτεμβάρεω *dz* ‖ ἕνεκα *z* ‖ 11. τὸν τοῦδε] τὸν τούτου *P* ‖ 12. ἀεικίῃ *Rdz* ‖ ὁ δ' *AB*, ὧδ' *C* ‖ ἀμείβεται *z* ‖ 15. αὐτῶν *z* ‖ 16. ἐπιτηδεότατος *AB* : ἐπιτηδεώτατος ‖ 18. ἐσὸ *AB* ‖ 19. τεῦ *R*, τοῦ *d*, τε *C* ‖ ὧδέ *Rdz* ‖ τϊ *R* ‖ 20. ἐσήει *ABRd*, εἰσήιει *CP*, ἐσῄει *z* ‖ 21. ἐς] ὡς *dz* ‖ ωὔτὸν *R*, αὐτὸν *C*, αυτοὺς *AB* ‖ 22. ἐλευθεριωτέρη Portus ‖ ἐκθέσεος *R*, ἐκ θέσεως *d* ‖ 24. δὲ δή κοτε] δέ ποτε Etym., δέ τε Eust. ‖ ἀνενεχθεὶς *AB*[t]*R*. Etym. Eust. ‖ 25. μόνον *Cd* ‖ 26. σὲ om. *Rdz*

καὶ τὸν παῖδα τὸν σὸν μηδὲν ἐπιμέμφεσθαι.” τὸν μὲν δὴ Ἀρτεμβάρεα πέμπει, τὸν δὲ Κῦρον ἦγον ἔσω οἱ θεράποντες κελεύσαντος τοῦ Ἀστυάγεος. ἐπεὶ δὲ ὑπελέλειπτο ὁ βουκόλος, μοῦνος μουνωθέντα τάδε αὐτὸν εἴρετο ὁ Ἀστυάγης, κόθεν λάβοι τὸν παῖδα καὶ τίς εἴη ὁ παραδούς. ὁ δὲ ἐξ ἑωυτοῦ τε ἔφη γεγονέναι καὶ τὴν τεκοῦσαν αὐτὸν ἔτι εἶναι παρ' ἑωυτῷ. Ἀστυάγης δέ μιν οὐκ εὖ βουλεύεσθαι ἔφη ἐπιθυμέοντα ἐς ἀνάγκας μεγάλας ἀπικνέεσθαι, ἅμα τε λέγων ταῦτα ἐσήμαινε τοῖσι δορυφόροισι λαμβάνειν αὐτόν. ὁ δὲ ἀγόμενος ἐς τὰς ἀνάγκας οὕτω δὴ ἔφαινε τὸν ἐόντα λόγον· ἀρχόμενος δὲ ἀπ' ἀρχῆς διεξήιε τῇ ἀληθείῃ χρεώμενος, καὶ κατέβαινε ἐς λιτάς τε καὶ συγγνώμην ἑωυτῷ κελεύων ἔχειν αὐτόν.

117 Ἀστυάγης δὲ τοῦ μὲν βουκόλου τὴν ἀληθείην ἐκφήναντος λόγον ἤδη καὶ ἐλάσσω ἐποιέετο, Ἁρπάγῳ δὲ καὶ μεγάλως μεμφόμενος καλέειν αὐτὸν τοὺς δορυφόρους ἐκέλευε. ὡς δέ οἱ παρῆν ὁ Ἅρπαγος, εἴρετό μιν ὁ Ἀστυάγης “Ἅρπαγε, τέῳ δὴ μόρῳ τὸν παῖδα κατεχρήσαο τόν τοι παρέδωκα ἐκ θυγατρὸς γεγονότα τῆς ἐμῆς;” ὁ δὲ Ἅρπαγος ὡς εἶδε τὸν βουκόλον ἔνδον ἐόντα, οὐ τράπεται ἐπὶ ψευδέα ὁδόν, ἵνα μὴ ἐλεγχόμενος ἁλίσκηται, ἀλλὰ λέγει τάδε. “ὦ βασιλεῦ, ἐπείτε παρέλαβον τὸ παιδίον, ἐβούλευον σκοπέων ὅκως σοί τε ποιήσω κατὰ νόον, καὶ ἐγὼ πρὸς σὲ γινόμενος ἀναμάρτητος μήτε θυγατρὶ τῇ σῇ μήτε αὐτῷ σοὶ εἴην αὐθέντης. ποιέω δὴ ὧδε. καλέσας τὸν βουκόλον τόνδε παραδίδωμι τὸ παιδίον, φὰς σέ τε εἶναι τὸν κελεύοντα ἀποκτεῖναι αὐτό. καὶ λέγων τοῦτό γε

17. τέῳ - παρέδωκα Thomas M. p. 82. — 22. μήτε - 23 αὐθέντης idem p. 101

1. τὸν παῖδα] παῖδα *dz* || 2. ἄγον *C* || εἴσω *Rdz* || 3. ὑπελέλιπτο *Rd* || 4. μοῦνος μουνωθέντα, τάδε *CPz*, μοῦνος μουνόθεν, τάδε *ABpr.*, μοῦνος μουνοθέντα δὲ *R*, μοῦνος, μουνοθέντα τάδε *Bcorr.*, μοῦνος· μουνωθέντα δὲ τάδε *d*, γρ. μοῦνας, μουνωθέντα δὲ *A*² adscr. || ἤρετο *C* || 5. εἴη] εἰ *Rd* || 6. εἶναι ἔτι *ABC* || 8. μεγάλας ἀνάγκας *d* || 10. δὴ] δὲ *C* || δὲ] δὴ *Rdz* || 11. ἀπαρχῆς *ABCz* || διεξήει *ABRd*, διεξήιει *CP*, διεξήει *z* || ἀληθηίῃ *dz* || 12. κελεύειν *Rdz* || 13. ἀληθηίην *dz* || 16. ὁ Ἅρπαγος] ἅρπαγος *dz* || ἤρετό *C* || 17. μόρῳ] τρόπῳ *dz* || 19. τρέπεται *L* || 21. σκοπὸν *d*, σκοπῶν ceteri || 22. γενόμενος *d* || 23. σοὶ *AB* : σοι. fortasse τοι || ποιέω *CPz* : ποιῶ || δὴ] δὲ δὴ *C*

οὐκ ἐψευδόμην· σὺ γὰρ ἐνετέλλεο οὕτω. παραδίδωμι μέντοι
τῷδε κατὰ τάδε ἐντειλάμενος, θεῖναί μιν ἐς ἔρημον ὄρος καὶ
παραμένοντα φυλάσσειν ἄχρι οὗ τελευτήσῃ, ἀπειλήσας παν-
τοῖα τῷδε ἢν μὴ τάδε ἐπιτελέα ποιήσῃ. ἐπείτε δὲ ποιήσαν-
τος τούτου τὰ κελευόμενα ἐτελεύτησε τὸ παιδίον, πέμψας τῶν
εὐνούχων τοὺς πιστοτάτους καὶ εἶδον δι' ἐκείνων καὶ ἔθαψά
μιν. οὕτω ἔσχε ὦ βασιλεῦ περὶ τοῦ πρήγματος τούτου, καὶ
τοιούτῳ μόρῳ ἐχρήσατο ὁ παῖς." Ἅρπαγος μὲν δὴ τὸν ἰθὺν 118
ἔφαινε λόγον· Ἀστυάγης δὲ κρύπτων τόν οἱ ἐνεῖχε χόλον
διὰ τὸ γεγονός, πρῶτα μέν, κατά περ ἤκουσε αὐτὸς πρὸς τοῦ
βουκόλου τὸ πρῆγμα, πάλιν ἀπηγέετο τῷ Ἁρπάγῳ, μετὰ δέ,
ὥς οἱ ἐπαλιλλόγητο, κατέβαινε λέγων ὡς περίεστί τε ὁ παῖς
καὶ τὸ γεγονὸς ἔχει καλῶς· "τῷ τε γὰρ πεποιημένῳ" ἔφη
λέγων "ἐς τὸν παῖδα τοῦτον ἔκαμνον μεγάλως, καὶ θυγατρὶ
τῇ ἐμῇ διαβεβλημένος οὐκ ἐν ἐλαφρῷ ἐποιεύμην. ὡς ὦν
τῆς τύχης εὖ μετεστεώσης, τοῦτο μὲν τὸν σεωυτοῦ παῖδα
ἀπόπεμψον παρὰ τὸν παῖδα τὸν νεήλυδα, τοῦτο δέ (σῶστρα
γὰρ τοῦ παιδὸς μέλλω θύειν τοῖσι θεῶν τιμὴ αὕτη προσ-
κέεται) πάρισθί μοι ἐπὶ δεῖπνον." Ἅρπαγος μὲν ὡς ἤκουσε 119
ταῦτα, προσκυνήσας καὶ μεγάλα ποιησάμενος ὅτι τε ἡ ἁμαρ-
τάς οἱ ἐς δέον ἐγεγόνεε καὶ ὅτι ἐπὶ τύχῃσι χρηστῇσι ἐπὶ
δεῖπνον ἐκέκλητο, ἤιε ἐς τὰ οἰκία. ἐσελθὼν δὲ τὴν ταχίστην,
ἦν γάρ οἱ παῖς εἷς μοῦνος ἔτεα τρία καὶ δέκα κου μάλιστα
γεγονώς, τοῦτον ἐκπέμπει ἰέναι τε κελεύων ἐς Ἀστυάγεος καὶ
ποιέειν ὅ τι ἂν ἐκεῖνος κελεύῃ, αὐτὸς δὲ περιχαρὴς ἐὼν
φράζει τῇ γυναικὶ τὰ συγκυρήσαντα. Ἀστυάγης δέ, ὥς οἱ

---

6. καὶ εἶδον - ἔθαψά μιν Thomas M. p. 48

2. εἰς *C* ‖ ἐρῆμον *P* ‖ οὖρος *C*, οὖρος *Rdz* ‖ 3. ἄχρις *sz* ‖ τελευτήσει *dz* ‖ 6. ἴδον *Pd* ‖ ἐκεῖνον *R* ‖ ἔθαψά μιν] ἐθαψάμην Thomas ‖ 7. οὕτω *PR*: οὕτως ‖ τούτου om. *Rdz* ‖ 9. ἐνεῖχε H. Stephanus: ἐνείχεε ‖ χόλον] λόγον *CRd* ‖ 10. πρῶτον *d* ‖ αὐτὸς om. *dz* ‖ 12. ἐπαλληλόγητο *B*, ἐπαλ//ηλόγητο *C*, ἐπαλλιλόγητο *Rdz* ‖ 15. οὖν *R* ‖ 16. τύχης] ψυχῆς *C* ‖ 18. γὰρ post παιδὸς *z* ‖ 19. πάριθι *PRdz* ‖ 21. εἰς *C* ‖ 22. ἐκέκλειτο *B*¹, κέκλητο *C* ‖ ἤιε] ἦθε *R* ‖ οἰκεῖα *dz* ‖ 23. εἷς om. *B*¹ ‖ ἔτη *A*¹*B*¹*PRdz*, ἔτι *A*²*B*²*C* ‖ τρισκαίδεκα *CP* ‖ 24. γεγονώς] ἔτεα γεγονὼς *ABCcorr.*, γεγονὼς ἔτεα *Cpr.* ‖ 25. κελεύοι *z*

ἀπίκετο ὁ Ἁρπάγου παῖς, σφάξας αὐτὸν καὶ κατὰ μέλεα διελὼν τὰ μὲν ὤπτησε τὰ δὲ ἥψησε τῶν κρεῶν, εὔτυκα δὲ ποιησάμενος εἶχε ἕτοιμα. ἐπείτε δὲ τῆς ὥρης γινομένης τοῦ δείπνου παρῆσαν οἵ τε ἄλλοι δαιτυμόνες καὶ ὁ Ἅρπαγος, τοῖσι μὲν ἄλλοισι καὶ αὐτῷ Ἀστυάγεϊ παρετιθέατο τράπεζαι ἐπίπλεαι μηλείων κρεῶν, Ἁρπάγῳ δὲ τοῦ παιδὸς τοῦ ἑωυτοῦ, πλὴν κεφαλῆς τε καὶ ἄκρων χειρῶν τε καὶ ποδῶν, τἆλλα πάντα· ταῦτα δὲ χωρὶς ἔκειτο ἐπὶ κανέῳ κατακεκαλυμμένα. ὡς δὲ τῷ Ἁρπάγῳ ἐδόκεε ἅλις ἔχειν τῆς βορῆς, Ἀστυάγης εἴρετό μιν εἰ ἡσθείη τι τῇ θοίνῃ. φαμένου δὲ Ἁρπάγου καὶ κάρτα ἡσθῆναι, παρέφερον τοῖσι προσέκειτο τὴν κεφαλὴν τοῦ παιδὸς κατακεκαλυμμένην καὶ τὰς χεῖρας καὶ τοὺς πόδας, Ἅρπαγον δὲ ἐκέλευον προσστάντες ἀποκαλύπτειν τε καὶ λαβεῖν τὸ βούλεται αὐτῶν. πειθόμενος δὲ ὁ Ἅρπαγος καὶ ἀποκαλύπτων ὁρᾷ τοῦ παιδὸς τὰ λείμματα, ἰδὼν δὲ οὔτε ἐξεπλάγη ἐντός τε ἑωυτοῦ γίνεται. εἴρετο δὲ αὐτὸν ὁ Ἀστυάγης εἰ γινώσκοι ὅτευ θηρίου κρέα βεβρώκοι. ὁ δὲ καὶ γινώσκειν ἔφη καὶ ἀρεστὸν εἶναι πᾶν τὸ ἂν βασιλεὺς ἔρδῃ. τούτοισι δὲ ἀμειψάμενος καὶ ἀναλαβὼν τὰ λοιπὰ τῶν κρεῶν ἤιε ἐς τὰ οἰκία. ἐνθεῦτεν δὲ ἔμελλε, ὡς ἐγὼ δοκέω, ἁλίσας θάψειν τὰ πάντα.

120 Ἁρπάγῳ μὲν Ἀστυάγης δίκην ταύτην ἐπέθηκε, Κύρου δὲ πέρι βουλεύων ἐκάλεε τοὺς αὐτοὺς τῶν Μάγων οἳ τὸ ἐνύπνιόν οἱ ταύτῃ ἔκριναν. ἀπικομένους δὲ εἴρετο ὁ Ἀστυά-

τίνι τρόπῳ ὁ Ἀστυάγης ἐτιμωρήσατο τὸν Ἅρπαγον — περὶ ὧν οἱ Μάγοι ἐρωτῶντι τῷ Ἀστυάγει ἀπεκρίναντο ἕνεκεν Κύρου

2. Λέξεις. — 11. παρέφερον - 12 παῖδα Thomas M. p. 308

2. ἥψησε *AB*[1]: ἕψησε *Pz*, ἕψησε reliqui ‖ εὔτυκα *A*[1]*B*[t]*CP*: εὔτυκτα *A*[2]*B*[m]*Rdz* ‖ 3. ἐπείτε] ἔπειτα *Rdz* ‖ 5. ἀστυάγει *ABd* ‖ τράπεζα ἐπίπλεα *d*, τράπεζα ἐπίπλεια *z* ‖ 6. μηλίων *z*. μηλέων Bredovius ‖ τοῦ ἑωυτοῦ παιδὸς *Rdz* ‖ 7. πλὴν τῆς κεφαλῆς *BRdz* ‖ ἀκρέων? ‖ τὰ ἄλλα *Rd* ‖ 10. ἤρετό *C* ‖ δὲ τοῦ ἁρπάγου *C* ‖ 13. δ' *C* ‖ προσστάντες Schweighaeuser: προστάντες ‖ 14. αὐτέων *z* ‖ 16. ἐντὸς δ' *C* ‖ ἤρετο *C* ‖ 17. γινώσκει *d* ‖ βεβρώκει *qz* ‖ 18. ἔρδηι *AB*, ἔρδηι *P*, ἔρδοι *d*, ἔρδοι *z* ‖ 22. τοιαύτην *z* ‖ 23. περὶ *C* ‖ ἐκάλεσε *B*[1], ἐκέλευε *R* ‖ 24. ἔκριναν] ἔκρινάν οἱ τὴν ὄψιν *R* ‖ ἤρετο *C*

γης τῇ ἔκρινάν οἱ τὴν ὄψιν. οἱ δὲ κατὰ ταὐτὰ εἶπαν, λέγοντες ὡς βασιλεῦσαι χρῆν τὸν παῖδα, εἰ ἐπέζωσε καὶ μὴ ἀπέθανε πρότερον. ὁ δὲ ἀμείβεται αὐτοὺς τοῖσιδε. "ἔστι τε ὁ παῖς καὶ περίεστι, καί μιν ἐπ' ἀγροῦ διαιτώμενον οἱ ἐκ τῆς κώμης παῖδες ἐστήσαντο βασιλέα. ὁ δὲ πάντα, ὅσα περ οἱ ἀληθέι λόγῳ βασιλέες, ἐτελέωσε ποιήσας· καὶ γὰρ δορυφόρους καὶ θυρωροὺς καὶ ἀγγελιηφόρους καὶ τὰ λοιπὰ πάντα διατάξας ἦρχε. καὶ νῦν ἐς τί ὑμῖν ταῦτα φαίνεται φέρειν;" εἶπαν οἱ Μάγοι "εἰ μὲν περίεστί τε καὶ ἐβασίλευσε ὁ παῖς μὴ ἐκ προνοίης τινός, θάρσεέ τε τούτου εἵνεκα καὶ θυμὸν ἔχε ἀγαθόν· οὐ γὰρ ἔτι τὸ δεύτερον ἄρξει. παρὰ σμικρὰ γὰρ καὶ τῶν λογίων ἡμῖν ἔνια κεχώρηκε, καὶ τά γε τῶν ὀνειράτων ἐχόμενα τελέως ἐς ἀσθενὲς ἔρχεται." ἀμείβεται ὁ Ἀστυάγης τοῖσιδε. "καὶ αὐτὸς ὦ Μάγοι ταύτῃ πλεῖστος γνώμην εἰμί, βασιλέος ὀνομασθέντος τοῦ παιδὸς ἐξήκειν τε τὸν ὄνειρον καί μοι τὸν παῖδα τοῦτον εἶναι δεινὸν ἔτι οὐδέν. ὅμως μέν γέ τοι συμβουλεύσατέ μοι εὖ περισκεψάμενοι, τὰ μέλλει ἀσφαλέστατα εἶναι οἴκῳ τε τῷ ἐμῷ καὶ ὑμῖν." εἶπαν πρὸς ταῦτα οἱ Μάγοι "ὦ βασιλεῦ, καὶ αὐτοῖσι ἡμῖν περὶ πολλοῦ ἐστι κατορθοῦσθαι ἀρχὴν τὴν σήν. κείνως μὲν γὰρ ἀλλοτριοῦται ἐς τὸν παῖδα τοῦτον περιιοῦσα ἐόντα Πέρσην, καὶ ἡμεῖς ἐόντες Μῆδοι δουλούμεθά τε καὶ λόγου οὐδενὸς γινόμεθα πρὸς Περσέων, ἐόντες ξεῖνοι· σέο δ' ἐνεστεῶτος βασιλέος, ἐόντος πολιήτεω, καὶ ἄρχομεν τὸ μέρος καὶ τιμὰς πρὸς σέο μεγάλας ἔχομεν. οὕτω ὦν πάντως ἡμῖν σέο καὶ τῆς σῆς ἀρχῆς προοπτέον ἐστί. καὶ νῦν εἰ φοβερόν τι ἐνωρῶμεν, πᾶν ἂν σοὶ προεφράζομεν. νῦν δὲ ἀποσκήψαντος τοῦ ἐνυπνίου ἐς φαῦλον αὐτοί

---

1. τῇ] τί *d* ‖ ταὐτὰ] ταῦτα *BRd* ‖ 2. χρὴν *AB* ‖ ἐπέζησε *CPz* ‖ 3. ἀμείβετο *CR* ‖ τοῖσδε *L* ‖ 5. ἀληθεῖ *L* ‖ 6. βασιλῆες *z* ‖ τελέωσε *Cd* ‖ 7. ἀγγελιαφόρους *Rdz* ‖ 8. νῦν ἐς τί] ἔστι *R* ‖ ὅμιν *C* ‖ 9. περί ἔστι *C* ‖ προνοίας *Rd* ‖ 10. θάρσει *L* ‖ 11. σμικρὰ] τὰ σμικρὰ *C* ‖ 12. ἡμῶν *Rdz* ‖ 13. ὁ om. *Pz* ‖ τοῖσδε *L* ‖ 14. γνώμην] τῇ γνώμῃ *z* ‖ βασιλέως *Cd*, βασιλῆος *z* ‖ 16. δεινὸν om. *P* ‖ οὐδὲν ἔτι *Rdz* ‖ μέν γέ τοι] μέντοι *z* ‖ 21. περιοῦσα *Rd*, περιεοῦσα *z* ‖ 23. δὲ *R* ‖ ἀνεστεῶτος *C* ‖ βασιλέως *d*, βασιλῆος *z* ‖ 25. σέο] σέο τε *Rdz* ‖ 26. ἐνωρῶμεν Lhardy: ἐορῶμεν *C*, ἐωρῶμεν ceteri ‖ ἂν σοι *L* ‖ 27. φλαῦρον *Rdz*

τε θαρσέομεν καὶ σοὶ ἕτερα τοιαῦτα παρακελευόμεθα. τὸν δὲ παῖδα τοῦτον ἐξ ὀφθαλμῶν ἀπόπεμψαι ἐς Πέρσας τε καὶ τοὺς

121 γειναμένους." ἀκούσας ταῦτα ὁ Ἀστυάγης ἐχάρη τε καὶ καλέσας τὸν Κῦρον ἔλεγέ οἱ τάδε. "ὦ παῖ, σὲ γὰρ ἐγὼ δι' ὄψιν ὀνείρου οὐ τελέην ἠδίκεον, τῇ σεωυτοῦ δὲ μοίρῃ περίεις· νῦν ὦν ἴθι χαίρων ἐς Πέρσας, πομποὺς δὲ ἐγὼ ἅμα πέμψω. ἐλθὼν δὲ ἐκεῖ πατέρα τε καὶ μητέρα εὑρήσεις οὐ κατὰ Μιτραδάτην τε τὸν βουκόλον καὶ τὴν γυναῖκα αὐτοῦ."

122 ταῦτα εἴπας ὁ Ἀστυάγης ἀποπέμπει τὸν Κῦρον. νοστήσαντα δέ μιν ἐς τοῦ Καμβύσεω τὰ οἰκία ἐδέξαντο οἱ γεινάμενοι, καὶ δεξάμενοι ὡς ἐπύθοντο, μεγάλως ἀσπάζοντο οἷα δὴ ἐπιστάμενοι αὐτίκα τότε τελευτῆσαι, ἱστόρεόν τε ὅτεῳ τρόπῳ περιγένοιτο. ὁ δέ σφι ἔλεγε, φὰς πρὸ τοῦ μὲν οὐκ εἰδέναι ἀλλ' ἡμαρτηκέναι πλεῖστον, κατ' ὁδὸν δὲ πυθέσθαι πᾶσαν τὴν ἑωυτοῦ πάθην· ἐπίστασθαι μὲν γὰρ ὡς βουκόλου τοῦ Ἀστυάγεος εἴη παῖς, ἀπὸ δὲ τῆς κεῖθεν ὁδοῦ τὸν πάντα λόγον τῶν πομπῶν πυθέσθαι. τραφῆναι δὲ ἔλεγε ὑπὸ τῆς τοῦ βουκόλου γυναικός, ἤιέ τε ταύτην αἰνέων διὰ παντός, ἦν τέ οἱ ἐν τῷ λόγῳ τὰ πάντα ἡ Κυνώ. οἱ δὲ τοκέες παραλαβόντες τὸ οὔνομα τοῦτο, ἵνα θειοτέρως δοκέῃ τοῖσι Πέρσῃσι περιεῖναί σφι ὁ παῖς, κατέβαλον φάτιν ὡς ἐκκείμενον Κῦρον κύων ἐξέθρεψε. ἐνθεῦτεν μὲν ἡ φάτις αὕτη κεχώρηκε.

123 Κύρῳ δὲ ἀνδρευμένῳ καὶ ἐόντι τῶν ἡλίκων ἀνδρειοτάτῳ καὶ προσφιλεστάτῳ προσέκειτο ὁ Ἅρπαγος δῶρα πέμπων, τίσασθαι Ἀστυάγεα ἐπιθυμέων· ἀπ' ἑωυτοῦ γὰρ ἐόντος

ὅτι Ἀστυάγης ἀπέπεμψεν Κῦρον εἰς Πέρσας παρὰ τοὺς γονεῖς ὅτι Ἅρπαγος προέτρεψεν Κῦρον τίσασθαι Ἀστυάγην

---

18. (Hesychius v. αἰνέοντες)

1. διακελευόμεθα dz ‖ 2. ἀποπέμψαι *B*, ἀπόπεμψε *Rd* ‖ 4. τοιάδε dz ‖ 5. τελέειν *R* ‖ τῆς *R* ‖ σεαυτοῦ *C* ‖ μοίρης *R* ‖ περίεις *P*: περιεὶς *Rd*, περιεῖς reliqui ‖ 6. δ' *Pdz* ‖ 8. μητραδάτην *B* ‖ 10. εἰς *C* ‖ 11. ἐπείθοντο *d* ‖ ἠσπάζοντο z ‖ 13. ἔλεγέ σφεας *P*[m] *Rd* ‖ 16. εἴη] ἐστι *Rdz* ‖ 19. ὄνομα *P* ‖ 21. κατέλαβον *R* ‖ 22. φάτης *A*[1]*B*[1] ‖ κεχώρηκεν *C*, κεχωρήκεε dz ‖ 25. ἀπ'] ἀπὸ δὲ *R*

ἰδιώτεω οὐκ ἐνώρα τιμωρίην ἐσομένην ἐς Ἀστυάγεα, Κῦρον δὲ ὁρέων ἐπιτρεφόμενον ἐποιέετο σύμμαχον, τὰς πάθας τὰς Κύρου τῇσι ἑωυτοῦ ὁμοιούμενος. πρὸ δ' ἔτι τούτου τάδε οἱ κατέργαστο. ἐόντος τοῦ Ἀστυάγεος πικροῦ ἐς τοὺς Μήδους, συμμίσγων ἑνὶ ἑκάστῳ ὁ Ἅρπαγος τῶν πρώτων Μήδων ἀνέπειθε ὡς χρὴ Κῦρον προστησαμένους Ἀστυάγεα παῦσαι τῆς βασιληίης. κατεργασμένου δέ οἱ τούτου καὶ ἐόντος ἑτοίμου, οὕτω δὴ τῷ Κύρῳ διαιτωμένῳ ἐν Πέρσῃσι βουλόμενος Ἅρπαγος δηλῶσαι τὴν ἑωυτοῦ γνώμην ἄλλως μὲν οὐδαμῶς εἶχε ἅτε τῶν ὁδῶν φυλασσομενέων, ὁ δὲ ἐπιτεχνᾶται τοιόνδε. λαγὸν μηχανησάμενος καὶ ἀνασχίσας τούτου τὴν γαστέρα καὶ οὐδὲν ἀποτίλας, ὡς δὲ εἶχε, οὕτω ἐσέθηκε βυβλίον, γράψας τά οἱ ἐδόκεε· ἀπορράψας δὲ τοῦ λαγοῦ τὴν γαστέρα, καὶ δίκτυα δοὺς ἅτε θηρευτῇ τῶν οἰκετέων τῷ πιστοτάτῳ, ἀπέστελλε ἐς τοὺς Πέρσας, ἐντειλάμενός οἱ ἀπὸ γλώσσης διδόντα τὸν λαγὸν Κύρῳ ἐπειπεῖν αὐτοχειρίῃ μιν διελεῖν καὶ μηδένα οἱ ταῦτα ποιεῦντι παρεῖναι. ταῦτά τε δὴ ὦν ἐπιτελέα ἐγί- 124
νετο καὶ ὁ Κῦρος παραλαβὼν τὸν λαγὸν ἀνέσχισε. εὑρὼν δὲ ἐν αὐτῷ τὸ βυβλίον ἐνεὸν λαβὼν ἐπελέγετο· τὰ δὲ γράμματα ἔλεγε τάδε. "ὦ παῖ Καμβύσεω, σὲ γὰρ θεοὶ ἐπορέουσι· οὐ γὰρ ἄν κοτε ἐς τοσοῦτο τύχης ἀπίκευ· σύ νυν Ἀστυάγεα τὸν σεωυτοῦ φονέα τῖσαι. κατὰ μὲν γὰρ τὴν τούτου προθυμίην τέθνηκας, τὸ δὲ κατὰ θεούς τε καὶ ἐμὲ περίεις. τά σε

ἐπιστολὴ Ἁρπάγου πρὸς Κῦρον

---

5. Bekkeri Anecd. p. 111

1. ἐνεώρα *L* ‖ 2. πάθας τὰς] πάθας τοῦ *Rbz*, πάθας τὰς τοῦ *d* ‖ 3. τῇσι] τῇ *Rd*, τῇ *z* ‖ πρὸς *d* ‖ δέ τι *C* ‖ τούτῳ *z* ‖ 7. κατεργασαμένου *Rdz* ‖ 8. ὁ ἅρπαγος *Rdz* ‖ 10. οὐδῶν *R* ‖ φυλασσομένων *L* ‖ 11. λαγὼν *dz* ‖ 12. ἀποτίλας A^2B^2: ἀποτείλας ‖ ἐπέθηκε *Rdz* ‖ βιβλίον *PRdz* ‖ τά οἱ ἐδόκεε ἐγγράψας *z* ‖ 13. ἀποράψας *ABC* ‖ 14. δείκτυα B^1 ‖ ἀπέστελεν *R*, ἀπέστειλε *dz* ‖ 16. λαγὼν *bz* ‖ εἰπεῖν *d* ‖ αὐτοχειρί *Rdz* ‖ 17. ποιεῦν *R*, ποιεῦντα *d* ‖ ταῦτα ᵗὲ δὴ *C*, ταῦτα δὲ δὴ *z* ‖ 18. λαγὼν *z* ‖ 19. βιβλίον *PRdz* ‖ 20. ἐπορῶσι *ABd*, ἐπηρῶσιν *R*, ἐπορέωσι *CPz* ‖ 21. τοσοῦτον *Cdz* ‖ ἀπικνεῦς *R*, ἀπικνεῦ *dz* ‖ οὐ νῦν *L* ‖ 22. σεαυτοῦ *A*, ἑωυτοῦ *Rdz* ‖ τίσαι *CRdz* ‖ 23. περίης B^m, περιεὶς *d*, περιεῖς *Rz*

καὶ πάλαι δοκέω πάντα ἐκμεμαθηκέναι, σέο τε αὐτοῦ πέρι ὡς ἐπρήχθη, καὶ οἷα ἐγὼ ὑπὸ Ἀστυάγεος πέπονθα, ὅτι σε οὐκ ἀπέκτεινα ἀλλὰ ἔδωκα τῷ βουκόλῳ. σύ νυν, ἢν βούλῃ ἐμοὶ πείθεσθαι, τῆς περ Ἀστυάγης ἄρχει χώρης, ταύτης ἁπάσης ἄρξεις. Πέρσας γὰρ ἀναπείσας ἀπίστασθαι στρατηλάτεε ἐπὶ Μήδους· καὶ ἤν τε ἐγὼ ὑπὸ Ἀστυάγεος ἀποδεχθέω στρατηγὸς ἀντία σεῦ, ἔστι τοι τὰ σὺ βούλεαι, ἤν τε τῶν τις δοκίμων ἄλλος Μήδων· πρῶτοι γὰρ οὗτοι ἀποστάντες ἀπ' ἐκείνου καὶ γενόμενοι πρὸς σέο Ἀστυάγεα καταιρέειν πειρήσονται. ὡς ὦν ἑτοίμου τοῦ γε ἐνθάδε ἐόντος, ποίεε ταῦτα
125 καὶ ποίεε κατὰ τάχος." ἀκούσας ταῦτα ὁ Κῦρος ἐφρόντιζε ὅτεῳ τρόπῳ σοφωτάτῳ Πέρσας ἀναπείσει ἀπίστασθαι, φροντίζων δὲ εὑρίσκεται ταῦτα καιριώτατα εἶναι· ἐποίεε δὴ ταῦτα. γράψας ἐς βυβλίον τὰ ἐβούλετο, ἁλίην τῶν Περσέων ἐποιήσατο, μετὰ δὲ ἀναπτύξας τὸ βυβλίον καὶ ἐπιλεγόμενος ἔφη Ἀστυάγεά μιν στρατηγὸν Περσέων ἀποδεικνύναι. "νῦν τε," ἔφη λέγων, "ὦ Πέρσαι, προαγορεύω ὑμῖν παρεῖναι ἕκαστον ἔχοντα δρέπανον." Κῦρος μὲν ταῦτα προηγόρευσε. ἔστι δὲ Περσέων συχνὰ γένεα, καὶ τὰ μὲν αὐτῶν ὁ Κῦρος συνάλισε καὶ ἀνέπεισε ἀπίστασθαι ἀπὸ Μήδων· ἔστι δὲ τάδε, ἐξ ὧν ὧλλοι πάντες ἀρτέαται Πέρσαι, Πασαργάδαι Μαράφιοι Μάσπιοι. τούτων Πασαργάδαι εἰσὶ ἄριστοι, ἐν τοῖσι καὶ Ἀχαι-

τίνι τρόπῳ Πέρσας Κῦρος ἀπέστησε Μήδων πόσα γένη Περσῶν

14. Pollux VII 211. — Eustathius Il. p. 179. — 21. Stephanus B. p. 127 9. 128 4. (435 15). — 22. Eustathius Dion. 1069

1. ἐκμαθηκέναι *R* ‖ 3. ἀπέκτεινα] ἀπέστειλα *C*[1] ‖ σὺ νῦν *L* ‖ ἣν *R* ‖ βούλει *Rd* ‖ 4. πιθέσθαι *R*, πυθέσθαι *d* ‖ 6. ἀποδεχθῶ *ABCP*, ἀποδειχθῶ *Rdz* ‖ 7. ἀντία σεῦ] ἀντῆσαι *Rdz* ‖ ἔσται *z* ‖ 8. ἄλλων *C* ‖ ἐνθά$\overset{\Delta}{\gamma}$ε *C* ‖ 12. ἀναπείσαι *AB*, ἀναπεῖσαι *C* ‖ 13. εὕρισκε *Rdz*. εὕρισκέ τε Schaefer e cod. Cantabrig. ‖ καιριώτατα] καὶ κυριώτατα *R* ‖ ἐποίεε] καὶ ἐποίεε Schaefer indidem ‖ ταῦτα *ABC*: τάδε ‖ 14. ἐς βιβλίον *PRdz*, ἐν βιβλίῳ Poll. ‖ 15. βιβλίον *PRdz* ‖ 16. ἀστυάγεά μιν *Rd*: ἀστυάγεα μὲν ‖ νῦν ἔφη τε λέγων *z* ‖ 19. αὐτῶν *C*: αὐτέων ‖ 21. ὤλλοι *P*, ὦλλοι *R*, ἄλλοι *dz* ‖ πάντες ἀρτέαται *A*: πάντες ἀρτεάται *d*, πάντες ἀρτεάται· *CR*, πάντες· ἀρτεάται *B*, πάντες ἀρτεᾶται. *P*, πάντες, Ἀρτεάται· *z*. Ἀρτεᾶται Steph. ‖ Μεράφιοι *z* ‖ μάσιοι *Rdz* ‖ 22. τούτων *C*: τουτέων ‖ ἀχαιμ$\overset{\epsilon}{\text{αι}}$νίδαι *C*, ἀχαινίδαι *R*

μενίδαι εἰσὶ φρήτρη, ἔνθεν οἱ βασιλέες οἱ Περσεῖδαι γεγόνασι. ἄλλοι δὲ Πέρσαι εἰσὶ οἵδε, Πανθιαλαῖοι Δηρουσιαῖοι Γερμάνιοι. οὗτοι μὲν πάντες ἀροτῆρές εἰσι, οἱ δὲ ἄλλοι νομάδες, Δάοι Μάρδοι Δροπικοὶ Σαγάρτιοι. ὡς δὲ παρῆσαν 126
ἅπαντες ἔχοντες τὸ προειρημένον, ἐνθαῦτα ὁ Κῦρος, ἦν γάρ τις χῶρος τῆς Περσικῆς ἀκανθώδης ὅσον τε ἐπὶ ὀκτωκαίδεκα σταδίους ἢ εἴκοσι πάντῃ, τοῦτόν σφι τὸν χῶρον προεῖπε ἐξημερῶσαι ἐν ἡμέρῃ. ἐπιτελεσάντων δὲ τῶν Περσέων τὸν προκείμενον ἄεθλον, δεύτερά σφι προεῖπε ἐς τὴν ὑστεραίην παρεῖναι λελουμένους. ἐν δὲ τούτῳ τά τε αἰπόλια καὶ τὰς ποίμνας καὶ τὰ βουκόλια ὁ Κῦρος πάντα τοῦ πατρὸς συναλίσας ἐς τὠυτὸ ἔθυε καὶ παρεσκεύαζε ὡς δεξόμενος τὸν Περσέων στρατόν, πρὸς δὲ οἴνῳ τε καὶ σιτίοισι ὡς ἐπιτηδεοτάτοισι. ἀπικομένους δὲ τῇ ὑστεραίῃ τοὺς Πέρσας κατακλίνας ἐς λειμῶνα εὐώχεε. ἐπείτε δὲ ἀπὸ δείπνου ἦσαν, εἴρετό σφεας ὁ Κῦρος κότερα τὰ τῇ προτεραίῃ εἶχον ἢ τὰ παρεόντα σφι εἴη αἱρετώτερα. οἱ δὲ ἔφασαν πολλὸν εἶναι αὐτῶν τὸ μέσον· τὴν μὲν γὰρ προτέρην ἡμέρην πάντα σφι κακὰ ἔχειν, τὴν δὲ τότε παρεοῦσαν πάντα ἀγαθά. παραλαβὼν δὲ τοῦτο τὸ ἔπος ὁ Κῦρος παρεγύμνου τὸν πάντα λόγον, λέγων "ἄνδρες Πέρσαι, οὕτω ὑμῖν ἔχει. βουλομένοισι μὲν ἐμέο πείθεσθαι ἔστι τάδε τε καὶ ἄλλα μυρία ἀγαθά, οὐδένα πόνον δουλοπρεπέα ἔχουσι, μὴ βουλομένοισι δὲ ἐμέο πείθεσθαι εἰσὶ ὑμῖν πόνοι τῷ χθιζῷ παραπλήσιοι ἀναρίθμητοι. νῦν ὦν ἐμέο

---

2. Πέρσαι - 3 Γερμάνιοι Stephanus B. p. 228 22. — 4. Eustathius Dion. 305. — 8. (Hesychius v. ἐξημερῶσαι)

1. φήτρη *dz* || 2. εἰσὶ οἷδε *AC*, δ' οἱ μὲν Steph. || πανθήλεοι *R*, πανθήλαιοι *dz*, Πενθιάδαι Steph. || οἱ δὲ Δηρούσιοι οἱ δὲ Καρμάνιοι Steph. || 3. ἀροτῆρες ἔασι *C* || 6. τις χῶρος *Rdz*: τῆς χώρης || τε] δὲ *C* || 7. εἴκοσι· πάντη τοῦτόν σφι *d* || 8. ἐξημῶσαι *d*, ἐξερημῶσαι bz || 12. τωυτὸν *ABC*, τὸ ωὐτὸ *R*, τὸ ἑωυτὸ *d* || ἔθυσε *AC* || δεξάμενος *R*, δεξιωσόμενος *z* || τὸν περσέων στρατὸν *BCP*: τῶν περσέων στρατὸν *AR*, τῶν περσέων τὸν στρατὸν *dz* || 13. ἐπιτηδεοτάτοισι *AB*: ἐπιτηδειοτάτοισι *Rdz*, ἐπιτηδεωτάτοισι *CP* || 15. λειμῶνας *Cz* || 16. κότερα - 17 ἔφασαν om. *R* || ἢ *AB* || 17. αὐτῶν *C*: αὐτέων || 19. δὲ τοῦτο] τοῦτο *C*, δὲ τότε B^2 || 21. οὕτω *Pz*: οὕτως || 22. ἔσται *Rdz*, ἔστι δὲ *C* || 23. ἐμέο πίθεσθαι *R*, om. *z* || ὕμιν *C*

πειθόμενοι γίνεσθε ἐλεύθεροι. αὐτός τε γὰρ δοκέω θείῃ τύχῃ γεγονὼς τάδε ἐς χεῖρας ἄγεσθαι, καὶ ὑμέας ἥγημαι ἄνδρας Μήδων εἶναι οὐ φαυλοτέρους οὔτε τἆλλα οὔτε τὰ πολέμια. ὡς ὦν ἐχόντων ὧδε, ἀπίστασθε ἀπ' Ἀστυάγεος τὴν ταχίστην."

127 Πέρσαι μέν νυν προστάτεω ἐπιλαβόμενοι ἄσμενοι ἐλευθεροῦντο, καὶ πάλαι δεινὸν ποιεύμενοι ὑπὸ Μήδων ἄρχεσθαι. Ἀστυάγης δὲ ὡς ἐπύθετο Κῦρον ταῦτα πρήσσοντα, πέμψας ἄγγελον ἐκάλεε αὐτόν. ὁ δὲ Κῦρος ἐκέλευε τὸν ἄγγελον ἀπαγγέλλειν ὅτι πρότερον ἥξοι παρ' ἐκεῖνον ἢ Ἀστυάγης αὐτὸς βουλήσεται. ἀκούσας δὲ ταῦτα ὁ Ἀστυάγης Μήδους τε ὥπλισε πάντας, καὶ στρατηγὸν αὐτῶν ὥστε θεοβλαβὴς ἐὼν Ἅρπαγον ἀπέδεξε, λήθην ποιεύμενος τά μιν ἐόργεε. ὡς δὲ οἱ Μῆδοι στρατευσάμενοι τοῖσι Πέρσῃσι συνέμισγον, οἱ μέν τινες αὐτῶν ἐμάχοντο, ὅσοι μὴ τοῦ λόγου μετέσχον, οἱ δὲ αὐτομόλεον πρὸς τοὺς Πέρσας, οἱ δὲ πλεῖστοι ἐθελοκάκεόν

128 τε καὶ ἔφευγον. διαλυθέντος δὲ τοῦ Μηδικοῦ στρατεύματος αἰσχρῶς, ὡς ἐπύθετο τάχιστα ὁ Ἀστυάγης, ἔφη ἀπειλέων τῷ Κύρῳ "ἀλλ' οὐδ' ὣς Κῦρός γε χαιρήσει." τοσαῦτα εἴπας πρῶτον μὲν τῶν Μάγων τοὺς ὀνειροπόλους, οἵ μιν ἀνέγνωσαν μετεῖναι τὸν Κῦρον, τούτους ἀνεσκολόπισε, μετὰ δὲ ὥπλισε τοὺς ὑπολειφθέντας ἐν τῷ ἄστεϊ τῶν Μήδων, νέους τε καὶ πρεσβύτας ἄνδρας. ἐξαγαγὼν δὲ τούτους καὶ συμβαλὼν τοῖσι Πέρσῃσι ἑσσώθη, καὶ αὐτός τε Ἀστυάγης ἐζωγρήθη καὶ

ἐπιστράτευσις Ἀστυάγους κατὰ Κύρου καὶ Μήδων ἧττα ὅτι ἀποβαλὼν τοὺς μεθ' ἑαυτοῦ Ἀστυάγης ἐζωγρήθη

---

20. πρῶτον - 21 ἀνεσκολόπισε Suidas v. μετεῖναι. — τοὺς ὀνειροπόλους - 21 Κῦρον Suidas v. ἀνέγνωσαν. — οἵ - 21 Κῦρον Thomas M. p. 52

1. γίνεσθαι *CPpr*. ‖ 3. φλαυροτέρους Bredovius ‖ τὰ ἄλλα *Rd* ‖ 6. μέν νυν] δὲ νῦν *R* ‖ 8. πρήσσοντα ταῦτα *z* ‖ 9. ἐκάλεσε *P* ‖ 10. ἥξει *Rd* ‖ αὐτὸς Ἀστυάγης *z* ‖ 12. αὐτὸν *Rd*, αὐτέων *z* ‖ 13. ἀπέδειξε Ἅρπαγον *z* ‖ ἐώργεεν *Rd* ‖ δ' *Rdz* ‖ 14. συνέσμιγον *d*, ἔμισγον *C* ‖ 15. αὐτέων *z* ‖ 16. πρὸς] παρὰ *z* ‖ 18. ἀπειλῶν *d* ‖ 19. οὐδ' ὡς *A*, οὐδαμῶς *C* ‖ ὁ κῦρος *Rdz* ‖ 20. πρώτω *B*[1] ‖ 21. τὸν om. Thomas ‖ ἀνεσκολόπισε τούτους *d* ‖ ὅπλισε *AB*[1] ‖ 22. τῶν Μήδων ἐν τῷ ἄστεϊ *z* ‖ 24. εσσώθη *A*, ἐσώθη *C*[1]*Rd*, ἠσώθη *C*[2]

τοὺς ἐξήγαγε τῶν Μήδων ἀπέβαλε. ἐόντι δὲ αἰχμαλώτῳ τῷ 129
Ἀστυάγεϊ προσστὰς ὁ Ἅρπαγος κατέχαιρέ τε καὶ κατεκερτόμεε, καὶ ἄλλα λέγων ἐς αὐτὸν θυμαλγέα ἔπεα, καὶ δὴ καὶ εἴρετό μιν πρὸς τὸ ἑωυτοῦ δεῖπνον, τό μιν ἐκεῖνος σαρξὶ τοῦ παιδὸς ἐθοίνησε, ὅ τι εἴη ἡ ἐκείνου δουλοσύνη ἀντὶ τῆς βασιληίης. ὁ δέ μιν προσιδὼν ἀντείρετο εἰ ἑωυτοῦ ποιέεται τὸ Κύρου ἔργον. Ἅρπαγος δὲ ἔφη, αὐτὸς γὰρ γράψαι, τὸ πρῆγμα δὴ ἑωυτοῦ δικαίως εἶναι. Ἀστυάγης δέ μιν ἀπέφαινε τῷ λόγῳ σκαιότατόν τε καὶ ἀδικώτατον ἐόντα πάντων ἀνθρώπων, σκαιότατον μέν γε, εἰ παρεὸν αὐτῷ βασιλέα γενέσθαι, εἰ δὴ δι' ἑωυτοῦ γε ἐπρήχθη τὰ παρεόντα, ἄλλῳ περιέθηκε τὸ κράτος, ἀδικώτατον δέ, ὅτι τοῦ δείπνου εἵνεκεν Μήδους κατεδούλωσε. εἰ γὰρ δὴ δεῖν πάντως περιθεῖναι ἄλλῳ τέῳ τὴν βασιληίην καὶ μὴ αὐτὸν ἔχειν, δικαιότερον εἶναι Μήδων τέῳ περιβαλεῖν τοῦτο τὸ ἀγαθὸν ἢ Περσέων. νῦν δὲ Μήδους μὲν ἀναιτίους τούτου ἐόντας δούλους ἀντὶ δεσποτέων γεγονέναι, Πέρσας δὲ δούλους ἐόντας τὸ πρὶν Μήδων νῦν γεγονέναι δεσπότας.

Ἀστυάγης μέν νυν βασιλεύσας ἐπ' ἔτεα πέντε καὶ τριή- 130
κοντα οὕτω τῆς βασιληίης κατεπαύσθη, Μῆδοι δὲ ὑπέκυψαν Πέρσῃσι διὰ τὴν τούτου πικρότητα, ἄρξαντες τῆς ἄνω Ἅλυος ποταμοῦ Ἀσίης ἐπ' ἔτεα τριήκοντα καὶ ἑκατὸν δυῶν δέοντα, πάρεξ ἢ ὅσον οἱ Σκύθαι ἦρχον. ὑστέρῳ μέντοι χρόνῳ μετεμέλησέ τέ σφι ταῦτα ποιήσασι καὶ ἀπέστησαν ἀπὸ Δαρείου, ἀποστάντες δὲ ὀπίσω κατεστράφθησαν μάχῃ νικηθέντες.

ὅτι ρκη ἔτη ἦρξαν τῆς Ἀσίης οἱ Μῆδοι

22. Schol. Aristid. p. 310 Dind.

2. ἀστυάγει *ABd* ‖ προστὰς *L* ‖ 4. ἤρετο *C* ‖ 5. ἐθοίνισεν *R*[1]*d*, ἐθοίνισε *z* ‖ ἡ om. *C* ‖ 6. ἀντήρετο *C* ‖ ποιέεται om. *C* ‖ τὸ] καὶ τὸ *z* ‖ 8. ἑαυτοῦ δὴ *ABC* ‖ 9. ἀδικώτατον] δικαιότατον *C* ‖ 10. σκαιότατον — 11 ἑωυτοῦ γε om. *C* ‖ 11. γε om. *qz* ‖ 12. εἵνεκε *z* ‖ 13. δέον *ABC* ‖ ἄλλωι τεωι *A*, ἄλλώι τεωι *B* ‖ 14. μήδων τεωι *A*, μήδων τεωι *B* ‖ 16. δεσποτῶν *Rd* ‖ 20. κατεπαύθη *Acorr.Rdz* ‖ 22. τριάκοντα *Rd* ‖ 23. κατεμέλησέ *dz* ‖ 25. κατεστράφησαν *CRdz*

τότε δὲ ἐπὶ Ἀστυάγεος οἱ Πέρσαι τε καὶ ὁ Κῦρος ἐπαναστάντες τοῖσι Μήδοισι ἦρχον τὸ ἀπὸ τούτου τῆς Ἀσίης. Ἀστυάγεα δὲ Κῦρος κακὸν οὐδὲν ἄλλο ποιήσας εἶχε παρ' ἑωυτῷ, ἐς ὃ ἐτελεύτησε.

Οὕτω δὴ Κῦρος γενόμενός τε καὶ τραφεὶς ἐβασίλευσε καὶ Κροῖσον ὕστερον τούτων ἄρξαντα ἀδικίης κατεστρέψατο, ὡς εἴρηταί μοι πρότερον, τοῦτον δὲ καταστρεψάμενος οὕτω πάσης τῆς Ἀσίης ἦρξε.

131 Πέρσας δὲ οἶδα νόμοισι τοιοῖσιδε χρεωμένους, ἀγάλματα μὲν καὶ νηοὺς καὶ βωμοὺς οὐκ ἐν νόμῳ ποιευμένους ἱδρύεσθαι, ἀλλὰ καὶ τοῖσι ποιεῦσι μωρίην ἐπιφέρουσι, ὡς μὲν ἐμοὶ δοκέειν, ὅτι οὐκ ἀνθρωποφυέας ἐνόμισαν τοὺς θεοὺς κατά περ οἱ Ἕλληνες εἶναι· οἱ δὲ νομίζουσι Διὶ μὲν ἐπὶ τὰ ὑψηλότατα τῶν ὀρέων ἀναβαίνοντες θυσίας ἔρδειν, τὸν κύκλον πάντα τοῦ οὐρανοῦ Δία καλέοντες· θύουσι δὲ ἡλίῳ τε καὶ σελήνῃ καὶ γῇ καὶ πυρὶ καὶ ὕδατι καὶ ἀνέμοισι. τούτοισι μὲν δὴ θύουσι μούνοισι ἀρχῆθεν, ἐπιμεμαθήκασι δὲ καὶ τῇ Οὐρανίῃ θύειν, παρά τε Ἀσσυρίων μαθόντες καὶ Ἀραβίων· καλέουσι δὲ Ἀσσύριοι τὴν Ἀφροδίτην Μύλιττα, Ἀράβιοι δὲ
132 Ἀλιλάτ, Πέρσαι δὲ Μίτραν. θυσίη δὲ τοῖσι Πέρσῃσι περὶ τοὺς εἰρημένους θεοὺς ἥδε κατέστηκε. οὔτε βωμοὺς ποιεῦν-

τίσιν νόμοις οἱ Πέρσαι χρῶνται καὶ τίνας θεοὺς τιμῶσι ποίοις ὀνόμασι παρὰ Ἀσσυρίοις καὶ Ἀραβίοις καὶ Πέρσαις ἡ Ἀφροδίτη καλεῖται περὶ τῶν παρὰ Πέρσαις θυσιῶν

---

9 ff. (Strabo p. 732). — 9. Πέρσας - 13 εἶναι Celsus apud Origenem c. Cels. VII 62. — 13. νομίζουσι - 15 καλέοντες idem V 41. — 14. τὸν κύκλον - 15 καλέοντες Eustathius Il. p. 128. — 15. Schol. Arist. Pac. 410

4. ἑσὸ *AB* ‖ 5. τραφθεὶς *Apr.* ‖ ἐβασίλευσε] καὶ ἐβασίλευσε *Rdz* 6. χρῦσον *B*[1] ‖ 7. τὸ πρότερον *dz* ‖ 9. μόνοισι *Apr.* ‖ τοιοῖσιδε *Pd* : τϊοισίδε *R*, τοῖσδε *ABC*, τοῖσι Cels., τοιοῖσι *z* ‖ χρεομένους Cels. ‖ 10. ποιευμένους om. *C*, πορευομένους Cels. ‖ ἱδρύσθαι Cels. ‖ 12. δοκέει *R*. Cels. ‖ διότι Cels. ‖ 13. καθάπερ *sz*. Cels. ‖ 14. οὐρέων *CPz*. Cels. ‖ ἐρδειν *AB*, ἔρδειν *Pdz* ‖ τὸν κύκλον - 15 καλέοντες erasa *d* ‖ 17. θύουσι μόνοισι *C*, μούνοισι θύουσι *dz*, μούνοισι *R* ‖ ἐπιμεμαθήκασι - p. 89, 14 αἱρέει om. *Rd* ‖ 20. Ἀλιλάτ Selden : ἄλιττα codices, Αλίττα *z* ‖ μήτραν *B* ‖ 21. ἦδε *AB* ‖ κατεστήκεε *z*

ται οὔτε πῦρ ἀνακαίουσι μέλλοντες θύειν· οὐ σπονδῇ χρέωνται, οὐκὶ αὐλῷ, οὐ στέμμασι, οὐκὶ οὐλῇσι. τῶν δὲ ὡς ἑκάστῳ θύειν θέλῃ, ἐς χῶρον καθαρὸν ἀγαγὼν τὸ κτῆνος καλέει τὸν θεόν, ἐστεφανωμένος τὸν τιάραν μυρσίνῃ μάλιστα. ἑωυτῷ μὲν δὴ τῷ θύοντι ἰδίῃ μούνῳ οὔ οἱ ἐγγίνεται ἀρᾶσθαι ἀγαθά· ὁ δὲ τοῖσι πᾶσι Πέρσῃσι κατεύχεται εὖ γίνεσθαι καὶ τῷ βασιλέι· ἐν γὰρ δὴ τοῖσι ἅπασι Πέρσῃσι καὶ αὐτὸς γίνεται. ἐπεὰν δὲ διαμιστύλας κατὰ μέρεα τὸ ἱρήιον ἑψήσῃ τὰ κρέα, ὑποπάσας ποίην ὡς ἁπαλωτάτην, μάλιστα δὲ τὸ τρίφυλλον, ἐπὶ ταύτης ἔθηκε ὦν πάντα τὰ κρέα. διαθέντος δὲ αὐτοῦ Μάγος ἀνὴρ παρεστεὼς ἐπαείδει θεογονίην, οἵην δὴ ἐκεῖνοι λέγουσι εἶναι τὴν ἐπαοιδήν· ἄνευ γὰρ δὴ Μάγου οὔ σφι νόμος ἐστὶ θυσίας ποιέεσθαι. ἐπισχὼν δὲ ὀλίγον χρόνον ἀποφέρεται ὁ θύσας τὰ κρέα, καὶ χρᾶται ὅ τι μιν λόγος αἱρέει. ἡμέρην δὲ ἁπασέων 133
μάλιστα ἐκείνην τιμᾶν νομίζουσι τῇ ἕκαστος ἐγένετο. ἐν ταύτῃ δὲ πλέω δαῖτα τῶν ἀλλέων δικαιεῦσι προτίθεσθαι· ἐν τῇ οἱ εὐδαίμονες αὐτῶν βοῦν καὶ ἵππον καὶ κάμηλον καὶ ὄνον προτιθέαται ὅλους ὀπτοὺς ἐν καμίνοισι, οἱ δὲ πένητες αὐτῶν τὰ λεπτὰ τῶν προβάτων προτιθέαται. σίτοισι δὲ ὀλίγοισι χρέωνται, ἐπιφορήμασι δὲ πολλοῖσι καὶ οὐκ ἁλέσι· καὶ διὰ τοῦτό φασι Πέρσαι τοὺς Ἕλληνας σιτεομένους πεινῶντας παύεσθαι, ὅτι σφι ἀπὸ δείπνου παραφορέεται οὐδὲν λόγου ἄξιον· εἰ δέ τι παραφέροιτο, ἐσθίοντας ἂν οὐ παύεσθαι. οἴνῳ δὲ κάρτα προσκέαται, καί σφι οὐκ ἐμέσαι ἔξεστι, οὐκὶ οὐρῆσαι

---

4. Schol. Plat. p. 415. Hesychius v. τιάρα. — 6. πᾶσι - γίνεσθαι Thomas M. p. 219. — 14. ἡμέρην - p. 90, 7 ἐπιδιαγινώσκουσι Athenaeus p. 143 sq. — 19. σίτοισι - 20 πολλοῖσι idem p. 641. — 20. Λέξεις. Eustathius Il. p. 1141

2. τῶνδε ὡς *z* ‖ ἕκαστος Bekker ‖ 3. ἐθέλῃι *C*, θέλει *Pz* ‖ 4. τὴν *Cz* ‖ τιήρην Wesseling ‖ 6. πᾶσι τοῖσι *z*. an καὶ τοῖσι πᾶσι? ‖ βασιλέϊ *C*: βασιλεῖ ‖ 8. διαμυστίλας *z* ‖ ἱρήϊον ἑψήσῃι *C* ‖ ὑποσπάσας *qz* ‖ 10. ὦν—— *AB* (sic) ‖ πάντα τὰ Valckenaer: πάντα ‖ 11. οἵην *C* ‖ 14. ὁ λόγος *z* ‖ 15. ἐν ταύτῃ - 23 παύεσθαι om. *Rd* ‖ 16. ἄλλων *L* ‖ 17. καὶ ὄνον post βοῦν Athen. ‖ 19. αὐτῶν *C*. Athen.: αὐτέων ‖ σιτίοις δὲ Athen. p. 641, σίτοισί τε id. p. 144 ‖ 20. χρέονται Athen. ‖ οὐκαλέσι *AB*, οὐ καλοῖσι *qz* ‖ 21. πινῶντας *C* ‖ 22. σφίσιν Athen. ‖ 24. κάρτα] πέρσαι κάρτα *Rd* ‖ προσκέανται *Rd*, προκέαται *z* ‖ οὐκὶ] οὐκ Athen.

ἀντίον ἄλλου. ταῦτα μέν νυν οὕτω φυλάσσεται, μεθυσκόμενοι δὲ ἐώθασι βουλεύεσθαι τὰ σπουδαιέστατα τῶν πρηγμάτων. τὸ δ᾽ ἂν ἅδῃ σφι βουλευομένοισι, τοῦτο τῇ ὑστεραίῃ νήφουσι προτιθεῖ ὁ στέγαρχος, ἐν τοῦ ἂν ἐόντες βουλεύωνται· καὶ ἢν μὲν ἅδῃ καὶ νήφουσι, χρέωνται αὐτῷ, ἢν δὲ μὴ ἅδῃ, μετιεῖσι. τὰ δ᾽ ἂν νήφοντες προβουλεύσωνται, μεθυσκόμενοι
134 ἐπιδιαγινώσκουσι. ἐντυγχάνοντες δ᾽ ἀλλήλοισι ἐν τῇσι ὁδοῖσι, τῷδε ἄν τις διαγνοίη εἰ ὅμοιοί εἰσι οἱ συντυγχάνοντες· ἀντὶ γὰρ τοῦ προσαγορεύειν ἀλλήλους φιλέουσι τοῖσι στόμασι· ἢν δὲ ᾖ οὕτερος ὑποδεέστερος ὀλίγῳ, τὰς παρειὰς φιλέονται· ἢν δὲ πολλῷ ᾖ οὕτερος ἀγεννέστερος, προσπίπτων προσκυνέει τὸν ἕτερον. τιμῶσι δὲ ἐκ πάντων τοὺς ἄγχιστα ἑωυτῶν οἰκέοντας μετά γε ἑωυτούς, δεύτερα δὲ τοὺς δευτέρους· μετὰ δὲ κατὰ λόγον προβαίνοντες τιμῶσι· ἥκιστα δὲ τοὺς ἑωυτῶν ἑκαστάτω οἰκημένους ἐν τιμῇ ἄγονται, νομίζοντες ἑωυτοὺς εἶναι ἀνθρώπων μακρῷ τὰ πάντα ἀρίστους, τοὺς δὲ ἄλλους κατὰ λόγον τῶν λεγομένων τῆς ἀρετῆς ἀντέχεσθαι, τοὺς δὲ ἑκαστάτω οἰκέοντας ἀπὸ ἑωυτῶν κακίστους εἶναι. ἐπὶ δὲ Μήδων ἀρχόντων καὶ ἦρχε τὰ ἔθνεα ἀλλήλων, συναπάντων μὲν Μῆδοι καὶ τῶν ἄγχιστα οἰκεόντων σφίσι, οὗτοι δὲ καὶ τῶν ὁμαύρων, οἱ δὲ μάλα τῶν ἐχομένων, κατὰ τὸν αὐτὸν δὴ λόγον καὶ οἱ Πέρσαι τιμῶσι· προέβαινε γὰρ δὴ τὸ ἔθνος
135 ἄρχον τε καὶ ἐπιτροπεῦον. ξεινικὰ δὲ νόμαια Πέρσαι προσίενται ἀνδρῶν μάλιστα. καὶ γὰρ δὴ τὴν Μηδικὴν ἐσθῆτα

ποίοις ξενικοῖς νομίμοις ἐχρήσαντο Πέρσαι

---

7 sqq. (Strabo p. 734)

1. νυν] οὖν Athen., om. *Rd* ‖ μεθυσκόμενοι – p. 91, 2 θώρηκας om. *Rd* ‖ 2. σπουδαιότατα *Pz*. Athen. ‖ 3. ἅδῃ z. Athen.: ἅδῃ ‖ σφίσι Athen. ‖ 4. στεγέαρχος Athen. ‖ 5. ἅδῃ z. Athen.: ἅδῃ ‖ χρέονται Athen. ‖ αὐτῷ Athen.: αὐτέῳ ‖ αὐτέῳ – ἅδηι om. *B*[1] ‖ ἅδῃ z. Athen.: ἅδῃ ‖ μετίησι Athen. ‖ 7. ἐντυγχάνον *C* ‖ ἐν τῇσι] νήφουσι ἐν τοῖσι *C* ‖ 8. τῶι δὲ *C* ‖ διαγνοίηι *C* ‖ ὁμοῖοί *CPz* ‖ ἐντυγχάνοντες *Pz* ‖ 10. οὔτερος *C* ‖ 11. οὔτερος *C* ‖ 15. ἑκαστάτωι *ABC*, ἑκάστῳ z ‖ 17. τῶν λεγομένων correxi: τῶι λεγομένωι *A*, τῶι λεγομένωι *BCP*, τῷ λεγομένῳ z. τὸν λεγόμενον Abresch ‖ 18. ἑκαστάτωι *ABC* ‖ 21. μάλα] μάλιστα *C* ‖ ἐχομένων, κατὰ τὸν αὐτὸν δὴ correxi: ἐχομένων. κατὰ τὸν αὐτὸν δὲ ‖ 22. δὴ om. z

νομίσαντες τῆς ἑωυτῶν εἶναι καλλίω φορέουσι, καὶ ἐς τοὺς πολέμους τοὺς Αἰγυπτίους θώρηκας· καὶ εὐπαθείας τε παντοδαπὰς πυνθανόμενοι ἐπιτηδεύουσι, καὶ δὴ καὶ ἀπ' Ἑλλήνων μαθόντες παισὶ μίσγονται. γαμέουσι δὲ ἕκαστος αὐτῶν πολλὰς μὲν κουριδίας γυναῖκας, πολλῷ δ' ἔτι πλεῦνας παλλακὰς κτῶνται. ἀνδραγαθίη δὲ αὕτη ἀποδέδεκται, μετὰ τὸ 136
μάχεσθαι εἶναι ἀγαθόν, ὃς ἂν πολλοὺς ἀποδέξῃ παῖδας· τῷ δὲ τοὺς πλείστους ἀποδεικνύντι δῶρα ἐκπέμπει βασιλεὺς ἀνὰ πᾶν ἔτος. τὸ πολλὸν δ' ἡγέαται ἰσχυρὸν εἶναι. παιδεύουσι δὲ τοὺς παῖδας, ἀπὸ πενταέτεος ἀρξάμενοι μέχρι εἰκοσαέτεος, τρία μοῦνα, ἱππεύειν καὶ τοξεύειν καὶ ἀληθίζεσθαι. πρὶν δὲ ἢ πενταέτης γένηται, οὐκ ἀπικνέεται ἐς ὄψιν τῷ πατρί, ἀλλὰ παρὰ τῇσι γυναιξὶ δίαιταν ἔχει. τοῦδε δὲ εἵνεκα τοῦτο οὕτω ποιέεται, ἵνα, ἢν ἀποθάνῃ τρεφόμενος, μηδεμίαν ἄσην τῷ πατρὶ προσβάλῃ. αἰνέω μέν νυν τόνδε τὸν νόμον, αἰνέω δὲ 137
καὶ τόνδε, τὸ μὴ μιῆς αἰτίης εἵνεκα μήτε αὐτὸν τὸν βασιλέα μηδένα φονεύειν, μήτε τῶν ἄλλων Περσέων μηδένα τῶν ἑωυτοῦ οἰκετέων ἐπὶ μιῇ αἰτίῃ ἀνήκεστον πάθος ἔρδειν· ἀλλὰ λογισάμενος ἢν εὑρίσκῃ πλέω τε καὶ μέζω τὰ ἀδικήματα ἐόντα τῶν ὑπουργημάτων, οὕτω τῷ θυμῷ χρᾶται. ἀποκτεῖναι δὲ οὐδένα κω λέγουσι τὸν ἑωυτοῦ πατέρα οὐδὲ μητέρα, ἀλλὰ ὁκόσα ἤδη τοιαῦτα ἐγένετο, πᾶσαν ἀνάγκην φασὶ ἀναζητεό-

πῶς τοὺς παῖδας ἀνατρέφουσι καὶ παιδεύουσι

ὅτι ἐπὶ μιᾷ αἰτίᾳ οὐδεὶς φονεύεται παρ' αὐτοῖς

3 sq. Plutarchus mor. p. 857. Athenaeus p. 603. Schol. Gregor. Naz. Stelit. I p. 64 Mont. — 9. - 11 Strabo p. 733. Eustathius Dion. 1059. — 11. ἱππεύειν - ἀληθίζεσθαι Thomas M. p. 23

1. καλλίω *C* ‖ 2. θώρακας *z* ‖ 3. ἐπιτηδεύουσι δὲ καὶ εὐπαθείας παντοδαπὰς πυνθανόμενοι *Rd*, reliquis omissis usque ad 9 εἶναι ‖ 4. δὲ *BC*: δ' ‖ αὐτέων *ABcorr*. ‖ 5. κουριδίους *qz* ‖ δέ τι *Cz* ‖ παλακὰς *C* ‖ 6. δὲ *AB*: δ' ‖ 8. ὁ βασιλεὺς *z* ‖ 12. ἡ *R* ‖ πενταετὴς *L* ‖ 13. τοῦδε δὲ Schweighaeuser: τοῦ δὲ *CP*, τοῦδε reliqui ‖ τουτ°υ *C*, τοῦτο sine οὕτω *dz* ‖ 14. μὴ δὲ μίην *R*, μηδεμίην *z* ‖ ἄσην] ἄσην ἀηδῆ *z*, βλάβην ἀηδῆ *Rd* ‖ 15. προσβάλλῃ *dz* ‖ αἰνέων *R* ‖ 16. αἰτίας *C* ‖ ἕνεκα *AB* ‖ 17. μήτε] μὴ δὲ *d*, μηδένα *R* ‖ 18. οἰκετῶν *d* ‖ ἐρδειν *AB*, ἔρδειν *Pdz* ‖ ἀλλὰ - p. 92, 3 ἀποθνήσκειν om. *Rd* ‖ 19. εὑρίσκει *C* ‖ 20. χρᾶται *C* ‖ 21. λέγουσι] λύουσι *C* ‖ οὐδὲ] ἢ *qz* ‖ ἀλλ' *CP*

μενα ταῦτα ἂν εὑρεθῆναι ἤτοι ὑποβολιμαῖα ἐόντα ἢ μοιχίδια· οὐ γὰρ δή φασι οἰκὸς εἶναι τόν γε ἀληθέως τοκέα ὑπὸ τοῦ
138 ἑωυτοῦ παιδὸς ἀποθνήσκειν. ἅσσα δέ σφι ποιέειν οὐκ ἔξεστι, ταῦτα οὐδὲ λέγειν ἔξεστι. αἴσχιστον δὲ αὐτοῖσι τὸ ψεύδεσθαι νενόμισται, δεύτερα δὲ τὸ ὀφείλειν χρέος, πολλῶν μὲν καὶ ἄλλων εἵνεκα, μάλιστα δὲ ἀναγκαίην φασὶ εἶναι τὸν ὀφείλοντα καί τι ψεῦδος λέγειν. ὃς ἂν δὲ τῶν ἀστῶν λέπρην ἢ λεύκην ἔχῃ, ἐς πόλιν οὗτος οὐ κατέρχεται οὐδὲ συμμίσγεται τοῖσι ἄλλοισι Πέρσῃσι· φασὶ δέ μιν ἐς τὸν ἥλιον ἁμαρτόντα τι ταῦτα ἔχειν. ξεῖνον δὲ πάντα τὸν λαμβανόμενον ὑπὸ τουτέων [πολλοὶ] ἐξελαύνουσι ἐκ τῆς χώρης, καὶ τὰς λευκὰς περιστερὰς . . ., τὴν αὐτὴν αἰτίην ἐπιφέροντες. ἐς ποταμὸν δὲ οὔτε ἐνουρέουσι οὔτε ἐμπτύουσι, οὐ χεῖρας ἐναπονίζονται, οὐδὲ ἄλλον οὐδένα περιορέουσι, ἀλλὰ σέβονται ποταμοὺς
139 μάλιστα. καὶ τόδε ἄλλο σφι ὧδε συμπέπτωκε γίνεσθαι, τὸ Πέρσας μὲν αὐτοὺς λέληθε, ἡμέας μέντοι οὔ· τὰ οὐνόματά σφι ἐόντα ὅμοια τοῖσι σώμασι καὶ τῇ μεγαλοπρεπείῃ τελευτῶσι πάντα ἐς τὠυτὸ γράμμα, τὸ Δωριέες μὲν σὰν καλέουσι. Ἴωνες δὲ σίγμα· ἐς τοῦτο διζήμενος εὑρήσεις τελευτῶντα τῶν Περσέων τὰ οὐνόματα, οὐ τὰ μὲν τὰ δ' οὔ, ἀλλὰ πάντα ὁμοίως.

140 Ταῦτα μὲν ἀτρεκέως ἔχω περὶ αὐτῶν εἰδὼς εἰπεῖν· τάδε μέντοι ὡς κρυπτόμενα λέγεται καὶ οὐ σαφηνέως περὶ τοῦ

ὅτι πάντα τὰ Περσῶν ὀνόματα εἰς σ̄ λήγει.

---

7. Λέξεις

1. ταῦτα ἀνευρεθῆναι *z* ‖ μοιχίδα *C* ‖ 2. εἰκὸς *z* ‖ ἀληθῶς *Pz* ‖ 3. ἅσσα] ὁκόσα *Rdz* ‖ 4. ἔξεστι] ἔξεστι πέρσῃσιν *Rd* ‖ 5. πολλῶν – 12 ἐπιφέροντες om. *Rd* ‖ 8. ἔχοι *qz* ‖ 10. ταῦτ' *z* ‖ 11. πολλοὶ damnavit Fr. Palm: transposuit ante καὶ τὰς Reiz, πάλιν correxit Coray ‖ καὶ ἐλαύνουσι *C* 12. περιστερὰς . . . scripsi: περιστερὰς ‖ hinc *Rd* hunc in modum: καὶ τὸ ἐς ποταμὸν ἐνουρέειν ἢ πτύειν ἢ χεῖρας ἐναπονίζεσθαι ἢ ἄλλο τι ποιέειν. σέβονται δὲ ποταμοὺς πάντων μάλιστα. τὰ δὲ οὐνόματα τῶν περσέων πάντα τελευτῶσιν ἐς τώυτὸ γράμμα, τὸ δωριέες μὲν σὰν (σᾶν *R*) καλέουσι, ἴωνες δὲ σίγμα 13. ἐν οὔρεσι *C* ‖ οὔτε χεῖρας *B* ‖ 14. ἄλλον οὐδένα] ἀλλό τι οὐδὲν *z* περιορῶσι *ABP*, περιορέωσι *C*, ποιοῦσι *z* ‖ 15. μάλιστα] τῶν πάντων μάλιστα *z* ‖ 16. ἡμέας δὲ, οὗ *qz* ‖ 17. ὁμοῖα *CP* ‖ τοῖσι] τοῖσι καὶ *C* ‖ 18. σ̄ᾱν̄ *AB*, σᾶν *CR* ‖ 19. ἐς τοῦτο – p. 93, 1 ὡς om. *Rd*

ἀποθανόντος, ὡς οὐ πρότερον θάπτεται ἀνδρὸς Πέρσεω ὁ νέκυς πρὶν ἂν ὑπ' ὄρνιθος ἢ κυνὸς ἑλκυσθῇ. Μάγους μὲν γὰρ ἀτρεκέως οἶδα ταῦτα ποιέοντας· ἐμφανέως γὰρ δὴ ποιεῦσι. κατακηρώσαντες δὲ ὦν τὸν νέκυν Πέρσαι γῇ κρύπτουσι. Μάγοι δὲ κεχωρίδαται πολλὸν τῶν τε ἄλλων ἀνθρώπων καὶ τῶν ἐν Αἰγύπτῳ ἱρέων. οἱ μὲν γὰρ ἁγνεύουσι ἔμψυχον μηδὲν κτείνειν, εἰ μὴ ὅσα θύουσι· οἱ δὲ δὴ Μάγοι αὐτοχειρίῃ πάντα πλὴν κυνὸς καὶ ἀνθρώπου κτείνουσι, καὶ ἀγώνισμα μέγα τοῦτο ποιεῦνται, κτείνοντες ὁμοίως μύρμηκάς τε καὶ ὄφις καὶ τἆλλα ἑρπετὰ καὶ πετεινά. καὶ ἀμφὶ μὲν τῷ νόμῳ τούτῳ ἐχέτω ὡς καὶ ἀρχὴν ἐνομίσθη, ἄνειμι δὲ ἐπὶ τὸν πρότερον λόγον.

Ἴωνες δὲ καὶ Αἰολέες, ὡς οἱ Λυδοὶ τάχιστα κατεστρά- 141
φατο ὑπὸ Περσέων, ἔπεμπον ἀγγέλους ἐς Σάρδις παρὰ Κῦρον, ἐθέλοντες ἐπὶ τοῖσι αὐτοῖσι εἶναι τοῖσι καὶ Κροίσῳ ἦσαν κατήκοοι. ὁ δὲ ἀκούσας αὐτῶν τὰ προΐσχοντο, ἔλεξέ σφι λόγον, ἄνδρα φὰς αὐλητὴν ἰδόντα ἰχθῦς ἐν τῇ θαλάσσῃ αὐλέειν, δοκέοντά σφεας ἐξελεύσεσθαι ἐς γῆν· ὡς δὲ ψευσθῆναι τῆς ἐλπίδος, λαβεῖν ἀμφίβληστρον καὶ περιβαλεῖν τε πλῆθος πολλὸν τῶν ἰχθύων καὶ ἐξειρύσαι, ἰδόντα δὲ παλλομένους εἰπεῖν ἄρα αὐτὸν πρὸς τοὺς ἰχθῦς "παύεσθέ μοι ὀρχεόμενοι, ἐπεὶ οὐδ' ἐμέο αὐλέοντος ἠθέλετε ἐκβαίνειν ὀρχεόμενοι." Κῦρος μὲν τοῦτον τὸν λόγον τοῖσι Ἴωσι καὶ τοῖσι Αἰολεῦσι τῶνδε εἵνεκα ἔλεξε, ὅτι δὴ οἱ Ἴωνες πρότερον αὐτοῦ Κύρου δεηθέντος δι' ἀγγέλων ἀπίστασθαί σφεας ἀπὸ Κροί-

περὶ τῆς Ἰώνων καὶ Αἰολέων πρὸς Κῦρον πρεσβείας

---

1. οὐ πρότερον δὲ παρ' αὐτῶν θάπτεται νέκυς πρὶν *Rd* ‖ περσέων *C* ‖ 2. ἑλκυσθῇ *Rd*, ἑλκυσθῇ z: ἑλκυσθῆναι ‖ Μάγους - c. 177, 5 ἐπιμνήσομαι om. *Rd*, his illorum vice immissis: ταῦτα μέν νυν οὕτω τελεῖται ‖ 3. ποιέοντας ταῦτα *C* ‖ ποιέουσι *C* ‖ 4. δὲ ὦν correxi: δὴ ὦν ‖ 5. κεχωρίνδαται *C* ‖ 7. δὲ om. z ‖ 9. τοῦτο μέγα z ‖ 10. ὄφεις *L* ‖ πετ^{H}εινά *C* ‖ 13. κατεστράφατο *A*[2]: κατεστρεφέατο *C*, κατεστρέφατο reliqui ‖ 16. αὐτῶν *C*: αὐτέων ‖ προΐσχοντο cod. Paris. 134. Suppl.: προέσχοντο *BPz*, προσέσχοντο *AC* ‖ 20. ἐξειρῦσαι *C* ‖ 21. παύεσθαί *Bpr*. ‖ 22. οὐδ'] οὐκ z ‖ 25. δι' ἀγγέλου *Pz*

σου οὐκ ἐπείθοντο, τότε δὲ κατεργασμένων τῶν πρηγμάτων ἦσαν ἕτοιμοι πείθεσθαι Κύρῳ. ὁ μὲν δὴ ὀργῇ ἐχόμενος ἔλεγέ σφι τάδε· Ἴωνες δὲ ὡς ἤκουσαν τούτων ἀνενειχθέντων ἐς τὰς πόλιας, τείχεά τε περιεβάλοντο ἕκαστοι, καὶ συνελέγοντο ἐς Πανιώνιον οἱ ἄλλοι πλὴν Μιλησίων· πρὸς μούνους γὰρ τούτους ὅρκιον Κῦρος ἐποιήσατο ἐπ' οἷσί περ ὁ Λυδός. τοῖσι δὲ λοιποῖσι Ἴωσι ἔδοξε κοινῷ λόγῳ πέμπειν ἀγγέλους ἐς Σπάρτην δεησομένους Ἴωσι τιμωρέειν.

142 Οἱ δὲ Ἴωνες οὗτοι, τῶν καὶ τὸ Πανιώνιόν ἐστι, τοῦ μὲν οὐρανοῦ καὶ τῶν ὡρέων ἐν τῷ καλλίστῳ ἐτύγχανον ἱδρυσάμενοι πόλιας πάντων ἀνθρώπων τῶν ἡμεῖς ἴδμεν· οὔτε γὰρ τὰ ἄνω αὐτῆς χωρία τὠυτὸ ποιέει τῇ Ἰωνίῃ οὔτε τὰ κάτω, [οὔτε τὰ πρὸς τὴν ἠῶ οὔτε τὰ πρὸς τὴν ἑσπέρην,] τὰ μὲν ὑπὸ τοῦ ψυχροῦ τε καὶ ὑγροῦ πιεζόμενα, τὰ δὲ ὑπὸ τοῦ θερμοῦ τε καὶ αὐχμώδεος. γλῶσσαν δὲ οὐ τὴν αὐτὴν οὗτοι νενομίκασι, ἀλλὰ τρόπους τέσσερας παραγωγέων. Μίλητος μὲν αὐτέων πρώτη κέεται πόλις πρὸς μεσαμβρίην, μετὰ δὲ Μυοῦς τε καὶ Πριήνη. αὗται μὲν ἐν τῇ Καρίῃ κατοίκηνται κατὰ ταὐτὰ διαλεγόμεναι σφίσι, αἵδε δὲ ἐν τῇ Λυδίῃ, Ἔφεσος Κολοφὼν Λέβεδος Τέως Κλαζομεναὶ Φώκαια· αὗται δὲ αἱ πόλιες τῇσι πρότερον λεχθείσῃσι ὁμολογέουσι κατὰ γλῶσσαν οὐδέν, σφίσι δὲ ὁμοφωνέουσι. ἔτι δὲ τρεῖς ὑπόλοιποι Ἰάδες πόλιες, τῶν αἱ δύο μὲν νήσους οἰκέαται, Σάμον τε καὶ Χίον, ἡ δὲ μία ἐν τῇ ἠπείρῳ ἵδρυται, Ἐρυθραί. Χῖοι μέν νυν καὶ

περὶ τῶν ἐν Ἰωνίᾳ πόλεων καὶ τοῦ Πανιωνίου ἱεροῦ καὶ ἄλλων ἐθῶν καὶ διαλέκτου

19. Stephanus Byz. v. Ἔφεσος. — 20. idem v. Τέως. — idem v. Φώκαια. — 24. Χῖοι - p. 95, 1 διαλέγονται idem v. Χίος

2. ἑτοῖμοι *CPz* ‖ 3. ἀνενεχθέντων *B*¹, ἀνενειχθέντες *z* ‖ 4. περιεβάλλοντο *Pz* ‖ 7. λυποῖσι *B*¹ ‖ 10. οὐρέων *Pz* ‖ 12. ποιέει τῇ] ποιέειν τῆι *C*, ἐποιέετο *z* ‖ κάτωι *B* ‖ 13. οὔτε - ἑσπέρην seiunxi ‖ 15. τε om. *Pz* ‖ αὐτὴν] αὐτοὶ *C* ‖ 16. τέσσερας *A*: τέσσαρας ‖ 17. αὐτῶν *CPz* ‖ μεσαμβρίην *C* ‖ μύους *C*, μυοὺς *P* ‖ 19. κατὰ ταῦτα *C* ‖ διαλεγόμεναί σφισι *AB*, διαλεγόμεναί σφι *CPz* ‖ 20. κολοφὼν *A* ‖ κλαζομεναὶ *A* ‖ 22. σφὶ *L* ‖ ὑπόλοιποι *B*

Ἐρυθραῖοι κατὰ τὠυτὸ διαλέγονται, Σάμιοι δὲ ἐπ' ἑωυτῶν μοῦνοι. οὗτοι χαρακτῆρες γλώσσης τέσσερες γίνονται.

Τούτων δὴ ὦν τῶν Ἰώνων οἱ Μιλήσιοι μὲν ἦσαν ἐν σκέ- 143
πῃ τοῦ φόβου, ὅρκιον ποιησάμενοι, τοῖσι δὲ αὐτῶν νησιώτῃσι ἦν δεινὸν οὐδέν· οὔτε γὰρ Φοίνικες ἦσαν κω Περσέων κατήκοοι οὔτε αὐτοὶ οἱ Πέρσαι ναυβάται. ἀπεσχίσθησαν δὲ ἀπὸ τῶν ἄλλων Ἰώνων οὗτοι κατ' ἄλλο μὲν οὐδέν, ἀσθενέος δὲ ἐόντος τοῦ παντὸς τότε Ἑλληνικοῦ γένεος, πολλῷ δὴ ἦν ἀσθενέστατον τῶν ἐθνέων τὸ Ἰωνικὸν καὶ λόγου ἐλαχίστου· ὅτι γὰρ μὴ Ἀθῆναι, ἦν οὐδὲν ἄλλο πόλισμα λόγιμον. οἱ μέν νυν ἄλλοι Ἴωνες καὶ οἱ Ἀθηναῖοι ἔφυγον τὸ οὔνομα, οὐ βουλόμενοι Ἴωνες κεκλῆσθαι, ἀλλὰ καὶ νῦν φαίνονταί μοι οἱ πολλοὶ αὐτῶν ἐπαισχύνεσθαι τῷ οὐνόματι· αἱ δὲ δυώδεκα πόλιες αὗται τῷ τε οὐνόματι ἠγάλλοντο καὶ ἱρὸν ἱδρύσαντο ἐπὶ σφέων αὐτῶν, τῷ οὔνομα ἔθεντο Πανιώνιον, ἐβουλεύσαντο δὲ αὐτοῦ μεταδοῦναι μηδαμοῖσι ἄλλοισι Ἰώνων (οὐδ'
ἐδεήθησαν δὲ οὐδαμοὶ μετασχεῖν ὅτι μὴ Σμυρναῖοι)· κατά 144
περ οἱ ἐκ τῆς πενταπόλιος νῦν χώρης Δωριέες, πρότερον δὲ ἑξαπόλιος τῆς αὐτῆς ταύτης καλεομένης, φυλάσσονται ὦν μηδαμοὺς ἐσδέξασθαι τῶν προσοίκων Δωριέων ἐς τὸ Τριοπικὸν ἱρόν, ἀλλὰ καὶ σφέων αὐτῶν τοὺς περὶ τὸ ἱρὸν ἀνομήσαντας ἐξεκλήισαν τῆς μετοχῆς. ἐν γὰρ τῷ ἀγῶνι τοῦ Τριοπίου Ἀπόλλωνος ἐτίθεσαν τὸ πάλαι τρίποδας χαλκέους τοῖσι νικῶσι, καὶ τούτους χρῆν τοὺς λαμβάνοντας ἐκ τοῦ ἱροῦ μὴ

τίνος χάριν ἡ Ἁλικαρνασσὸς οὐ μετέχει τοῦ ἱεροῦ

---

2. Pollux II 110. — 10. ὅτι - λόγιμον Thomas M. p. 227. — 11 - 13. Plutarchus mor. p. 758. — 15. ἐβουλεύσαντο - 17 μετασχεῖν Thomas M. p. 269. — 20. Stephanus Byz. v. Τριόπιον. — 22. Bekkeri Anecd. p. 107

1. κατὰ ταὐτὸ aut κατ' αὐτὸ Stephani codd. ‖ δ' *AB* ‖ 2. τέσσαρες *CPz* ‖ 4. ὅρκια *qz* ‖ αὐτέων *z* ‖ 8. γένους *C*ᵗ ‖ δὴ correxi: δὲ *L.* τε G. Herold ‖ 11. καὶ Ἀθηναῖοι ἔφυγον τοὔνομα *z* ‖ 13. αὐτέων *z* ‖ ὀνόματι *z* ‖ 14. ὀνόματι *AB* ‖ ἱερὸν *AB* ‖ 15. ἐπὶ] ἐπί τε *C*, · ἐπί τε *Pcorr.*, ἔπειτε *z* ‖ αὐτῶν *C*: αὐτέων ‖ τὸ οὔνομα *CP*, τοὔνομα *z* ‖ 20. μηδαμῶς *z* ‖ ἐσδέξεσθαι *AB*, εἰσδέξεσθαι *C* ‖ 21. ἱερὸν Steph. ‖ αὐτέων *ABP*, αὐτῶν *z* ‖ ἀνομίσαντας *Cz* ‖ 24. χρὴν *AB*

ἐκφέρειν ἀλλ' αὐτοῦ ἀνατιθέναι τῷ θεῷ. ἀνὴρ ὦν Ἁλικαρνησσεύς, τῷ οὔνομα ἦν Ἀγασικλέης, νικήσας τὸν νόμον κατηλόγησε, φέρων δὲ πρὸς τὰ ἑωυτοῦ οἰκία προσεπασσάλευσε τὸν τρίποδα. διὰ ταύτην τὴν αἰτίην αἱ πέντε πόλιες, Λίνδος καὶ Ἰήλυσός τε καὶ Κάμειρος καὶ Κῶς τε καὶ Κνίδος, ἐξεκλήισαν τῆς μετοχῆς τὴν ἕκτην πόλιν Ἁλικαρνησσόν.
145 τούτοισι μέν νυν οὗτοι ταύτην τὴν ζημίην ἐπέθηκαν· δυώδεκα δέ μοι δοκέουσι πόλιας ποιήσασθαι οἱ Ἴωνες καὶ οὐκ ἐθελῆσαι πλεῦνας ἐσδέξασθαι τοῦδε εἵνεκα, ὅτι καὶ ὅτε ἐν Πελοποννήσῳ οἴκεον, δυώδεκα ἦν αὐτῶν μέρεα, κατά περ νῦν Ἀχαιῶν τῶν ἐξελασάντων Ἴωνας δυώδεκά ἐστι μέρεα, Πελλήνη μέν γε πρώτη πρὸς Σικυῶνος, μετὰ δὲ Αἴγειρα καὶ Αἰγαί, ἐν τῇ Κρᾶθις ποταμὸς ἀείναός ἐστι, ἀπ' ὅτευ ὁ ἐν Ἰταλίῃ ποταμὸς τὸ οὔνομα ἔσχε, καὶ Βοῦρα καὶ Ἑλίκη, ἐς τὴν κατέφυγον Ἴωνες ὑπὸ Ἀχαιῶν μάχῃ ἑσσωθέντες, καὶ Αἴγιον καὶ Ῥύπες καὶ Πατρέες καὶ Φαρέες καὶ Ὤλενος, ἐν τῷ Πεῖρος ποταμὸς μέγας ἐστί, καὶ Δύμη καὶ Τριταιέες, οἳ μοῦνοι τούτων μεσόγαιοι οἰκέουσι. ταῦτα δυώδεκα μέρεα νῦν
146 Ἀχαιῶν ἐστὶ καὶ τότε γε Ἰώνων ἦν. τούτων δὴ εἵνεκα καὶ οἱ Ἴωνες δυώδεκα πόλιας ἐποιήσαντο, ἐπεὶ ὥς γέ τι μᾶλλον οὗτοι Ἴωνές εἰσι τῶν ἄλλων Ἰώνων ἢ κάλλιόν τι γεγόνασι, μωρίη πολλὴ λέγειν· τῶν Ἄβαντες μὲν ἐξ Εὐβοίης εἰσὶ οὐκ ἐλαχίστη μοῖρα, τοῖσι Ἰωνίης μέτα οὐδὲ τοῦ οὐνόματος οὐδέν, Μινύαι δὲ Ὀρχομένιοί σφι ἀναμεμίχαται καὶ Καδμεῖοι καὶ Δρύοπες καὶ Φωκέες ἀποδάσμιοι καὶ Μολοσσοὶ καὶ Ἀρ-

διὰ τί δωδεκάπολις ἡ Ἰωνία

1. ἁλικαρνησσεὺς z || 2. τῶν νόμων *P* || 4. τὴν om. z || 5. κάμιρος *A*, καμεῖρος *Bpr.*, κάμειρος *Bcorr.* his adscriptis in margine: οὕτω χοιροβοσκ ἠρί (reliqua abscissa sunt: vide Eustath. Il. p. 315 29) || 6. Ἁλικαρνησσόν z || 7. οὗτοι post ζημίην z || 8. δοκέουσι δέ μοι δυώδεκα z || 9. πλέονας *Pz* || εἰσδέξασθαι *CP* || ὅτι] καὶ ὅτι *Pz* || 12. γε Reiske: τε || πρὸ *CPz* || 13. ἀέναός *ACP*, ἀένναός *Bz* || ἀπότου codices, ἀπό του z || 14. τὸ ὄνομα z || 16. ῥύπαις *C* || 17. δύμη *C*: δρύμη *ABP*, δρίμη *qz* || τριταίεες *A* || 18. τουτέων z || 19. τουτέων z || 20. γέ τι *AB*: γε ἐπί *C*, γέ τοι *Pz* || 22. μωρίηι πολλῆι *C* || 23. Ιωνίοις z || 24. Ὀρχομένιοί σφι G. Herold: Ὀρχομένιοι ante illum Palmerius, ὀρχομενίοισιν *AB*, ὀρχομενίοισι *CPz*

κάδες Πελασγοὶ καὶ Δωριέες Ἐπιδαύριοι. ἄλλα τε ἔθνεα
πολλὰ ἀναμεμίχαται· οἱ δὲ αὐτῶν ἀπὸ τοῦ πρυτανηίου τοῦ
Ἀθηναίων ὁρμηθέντες καὶ νομίζοντες γενναιότατοι εἶναι
Ἰώνων, οὗτοι δὲ οὐ γυναῖκας ἠγάγοντο ἐς τὴν ἀποικίην ἀλλὰ
Καείρας ἔσχον, τῶν ἐφόνευσαν τοὺς γονέας. διὰ τοῦτον δὲ
τὸν φόνον αἱ γυναῖκες αὗται νόμον θέμεναι σφίσι αὐτῇσι
ὅρκους ἐπήλασαν καὶ παρέδοσαν τῇσι θυγατράσι, μή κοτε
ὁμοσιτῆσαι τοῖσι ἀνδράσι μηδὲ οὐνόματι βῶσαι τὸν ἑωυτῆς
ἄνδρα, τοῦδε εἵνεκα ὅτι ἐφόνευσάν σφεων τοὺς πατέρας καὶ
ἄνδρας καὶ παῖδας καὶ ἔπειτεν ταῦτα ποιήσαντες αὐτῇσι
συνοίκεον. ταῦτα δὲ ἦν γινόμενα ἐν Μιλήτῳ. βασιλέας δὲ 147
ἐστήσαντο οἱ μὲν αὐτῶν Λυκίους ἀπὸ Γλαύκου τοῦ Ἱππο-
λόχου γεγονότας, οἱ δὲ Καύκωνας Πυλίους ἀπὸ Κόδρου τοῦ
Μελάνθου, οἱ δὲ καὶ συναμφοτέρους. ἀλλὰ γὰρ περιέχονται
τοῦ οὐνόματος μᾶλλόν τι τῶν ἄλλων Ἰώνων, ἔστωσαν δὴ καὶ
οἱ καθαρῶς γεγονότες Ἴωνες· εἰσὶ δὲ πάντες Ἴωνες, ὅσοι ἀπ᾽
Ἀθηνέων γεγόνασι καὶ Ἀπατούρια ἄγουσι ὁρτήν· ἄγουσι δὲ
πάντες πλὴν Ἐφεσίων καὶ Κολοφωνίων· οὗτοι γὰρ μοῦνοι
Ἰώνων οὐκ ἄγουσι Ἀπατούρια, καὶ οὗτοι κατὰ φόνου τινὰ
σκῆψιν. τὸ δὲ Πανιώνιον ἐστὶ τῆς Μυκάλης χῶρος ἱρὸς 148
πρὸς ἄρκτον τετραμμένος, κοινῇ ἐξαραιρημένος ὑπὸ Ἰώνων
Ποσειδέωνι Ἑλικωνίῳ. ἡ δὲ Μυκάλη ἐστὶ τῆς ἠπείρου ἄκρη
πρὸς ζέφυρον ἄνεμον κατήκουσα Σάμῳ, ἐς τὴν συλλεγόμενοι
ἀπὸ τῶν πολίων Ἴωνες ἄγεσκον ὁρτὴν τῇ ἔθεντο οὔνομα
Πανιώνια. [πεπόνθασι δὲ οὔτι μοῦναι αἱ Ἰώνων ὁρταὶ τοῦτο,

ὅτι Ἀπατούρια ἐπιτελοῦσιν Ἴωνες πλὴν Κολοφωνίων καὶ Ἐφεσίων
ποῦ τὸ Πανιώνιον ἵδρυται

2. - 11 Plutarchus mor. p. 858. — Λέξεις. — 7. Eustathius Il. p. 70. — 17. ἄγουσι - 18 Κολοφωνίων Plutarchus mor. p. 859

2. αὐτέων *L* ‖ 3. Ἀθηνέων Schaefer ‖ 8. ὀνόματι *L* ‖ 9. τοῦ δὲ *C* ἐφόνευσαν σφέων *Pz* ‖ 10. ἔπειτεν Reiz: ἐπεῖτε ‖ 15. ὀνόματος *B* ‖ δὴ G. Herold: δὲ ‖ 16. οἳ *AC* ‖ εἰσὶ - Ἴωνες om. *A¹* ‖ 17. ἀθηνῶν *L* ‖ ἑορτήν *ABC* ‖ δὲ om. *C* ‖ 19. τινὸς Schweighaeuser ‖ 21. ἀπὸ *C* ‖ 24. ὁρτήν *AB* ‖ 25. πεπόνθασι - p. 98, 2 οὐνόματα seclusi ‖ μόναι *z* ‖ ὁρταὶ *AB*

ἀλλὰ καὶ Ἑλλήνων πάντων ὁμοίως πᾶσαι ἐς τὠυτὸ γράμμα
τελευτῶσι, κατά περ τῶν Περσέων τὰ οὐνόματα.]
149 Αὗται μὲν αἱ Ἰάδες πόλιές εἰσι, αἵδε δὲ αἱ Αἰολίδες, Κύ-
μη ἡ Φρικωνὶς καλεομένη, Λήρισαι, Νέον τεῖχος, Τῆμνος,
Κίλλα, Νότιον, Αἰγιρόεσσα, Πιτάνη, Αἰγαῖαι, Μύρινα, Γρύ-
νεια. αὗται ἕνδεκα Αἰολέων πόλιες αἱ ἀρχαῖαι· μία γάρ
σφεων παρελύθη Σμύρνη ὑπὸ Ἰώνων· ἦσαν γὰρ καὶ αὗται
δυώδεκα αἱ ἐν τῇ ἠπείρῳ. οὗτοι δὲ οἱ Αἰολέες χώρην μὲν
ἔτυχον κτίσαντες ἀμείνω Ἰώνων, ὡρέων δὲ ἥκουσαν οὐκ
150 ὁμοίως. Σμύρνην δὲ ὧδε ἀπέβαλον Αἰολέες. Κολοφωνίους
ἄνδρας στάσι ἑσσωθέντας καὶ ἐκπεσόντας ἐκ τῆς πατρίδος
ὑπεδέξαντο. μετὰ δὲ οἱ φυγάδες τῶν Κολοφωνίων φυλάξαν-
τες τοὺς Σμυρναίους ὁρτὴν ἔξω τείχεος ποιευμένους Διονύσῳ,
τὰς πύλας ἀποκληίσαντες ἔσχον τὴν πόλιν. βοηθησάντων
δὲ πάντων Αἰολέων ὁμολογίῃ ἐχρήσαντο, τὰ ἔπιπλα ἀποδόν-
των τῶν Ἰώνων ἐκλιπεῖν Σμύρνην Αἰολέας. ποιησάντων δὲ
ταῦτα Σμυρναίων ἐπιδιείλοντό σφεας αἱ ἕνδεκα πόλιες καὶ
151 ἐποιήσαντο σφέων αὐτέων πολιήτας. αὗται μέν νυν αἱ ἠπει-
ρώτιδες Αἰολίδες πόλιες, ἔξω τῶν ἐν τῇ Ἴδῃ οἰκημενέων·
κεχωρίδαται γὰρ αὗται. αἱ δὲ τὰς νήσους ἔχουσαι πέντε μὲν
πόλιες τὴν Λέσβον νέμονται (τὴν γὰρ ἕκτην ἐν τῇ Λέσβῳ
οἰκεομένην Ἀρίσβαν ἠνδραπόδισαν Μηθυμναῖοι ἐόντας ὁμαί-
μους), ἐν Τενέδῳ δὲ μία οἰκέεται πόλις, καὶ ἐν τῇσι Ἑκατὸν
νήσοισι καλεομένῃσι ἄλλη μία. Λεσβίοισι μέν νυν καὶ Τενε-
δίοισι, κατά περ Ἰώνων τοῖσι τὰς νήσους ἔχουσι, ἦν δεινὸν

περὶ τῶν Αἰολίδων πόλεων καὶ πῶς Σμύρναν ἀπεβάλοντο

---

5. Stephanus Byz. v. Αἰγείρουσα. — 15. Λέξεις. — 22. idem v. Ἀρίσβη

1. πάντων om. z || ἐς τὸ αὐτὸ *A* || 2. τελευτῶσαι *Pz* || 3. αἶδε *A* || δὲ αἱ z : δὲ || Αἰολέες z || 4. Λήρισσαι z || Τῆμνος Holsten : τῆνος || 5. αἰγιρόεσα *C*, Αἰγειροῦσσα Steph. || αἰγαιαι *AB*, αἰγαία *C* || 6. αἱ ἀρχαῖαι *AB* : ἀρχαῖαι || 7. παρεληλύθη C^1, παρελείφθη C^2 adscr. || Σμύρνη post Ἰώνων z || 8. δώδεκα *C* || αἱ om. *Cqz* || ἐν τηπείρωι *C* || 10. ἀπέβαλλον *C* || 11. στάσι AB^t : στάσει || 13. ορτὴν *AB* || 19. Αἰολίδες om. z || οἰκημένων *L* || 22. μηθυμναῖοι A^2B^m : μεθυμναῖοι || 23. οἰκέαται *qz* || 24. καλεομένοισι *C* || τενέδοισι *C*

οὐδέν· τῇσι δὲ λοιπῇσι πόλισι ἕαδε κοινῇ Ἴωσι ἕπεσθαι [τῇ] ἂν οὗτοι ἐξηγέωνται.

Ὡς δὲ ἀπίκοντο ἐς τὴν Σπάρτην τῶν Ἰώνων καὶ Αἰολέων 152
οἱ ἄγγελοι (κατὰ γὰρ δὴ τάχος ἦν ταῦτα πρησσόμενα), εἵλοντο πρὸ πάντων λέγειν τὸν Φωκαέα, τῷ οὔνομα ἦν Πύθερμος. ὁ δὲ πορφύρεόν τε εἷμα περιβαλόμενος, ὡς ἂν πυνθανόμενοι πλεῖστοι συνέλθοιεν Σπαρτιητέων, καὶ καταστὰς ἔλεγε πολλὰ τιμωρέειν ἑωυτοῖσι χρηίζων. Λακεδαιμόνιοι δὲ οὔ κως ἐσήκουον, ἀλλ' ἀπέδοξέ σφι μὴ τιμωρέειν Ἴωσι. οἱ μὲν δὴ ἀπαλλάσσοντο, Λακεδαιμόνιοι δὲ ἀπωσάμενοι τῶν Ἰώνων τοὺς ἀγγέλους ὅμως ἀπέστειλαν πεντηκοντέρῳ ἄνδρας, ὡς μὲν ἐμοὶ δοκέει, κατασκόπους τῶν τε Κύρου πρηγμάτων καὶ Ἰωνίης. ἀπικόμενοι δὲ οὗτοι ἐς Φώκαιαν ἔπεμπον ἐς Σάρδις σφέων αὐτῶν τὸν δοκιμώτατον, τῷ οὔνομα ἦν Λακρίνης, ἀπερέοντα Κύρῳ Λακεδαιμονίων ῥῆσιν, γῆς τῆς Ἑλλάδος μηδεμίαν πόλιν σιναμωρέειν, ὡς αὐτῶν οὐ περιοψομένων.
ταῦτα εἰπόντος τοῦ κήρυκος, λέγεται Κῦρον ἐπείρεσθαι τοὺς 153
παρεόντας οἱ Ἑλλήνων τίνες ἐόντες ἄνθρωποι Λακεδαιμόνιοι καὶ κόσοι πλῆθος ταῦτα ἑωυτῷ προαγορεύουσι. πυνθανόμενον δέ μιν εἰπεῖν πρὸς τὸν κήρυκα τὸν Σπαρτιήτην "οὐκ ἔδεισά κω ἄνδρας τοιούτους, τοῖσι ἐστὶ χῶρος ἐν μέσῃ τῇ πόλι ἀποδεδεγμένος ἐς τὸν συλλεγόμενοι ἀλλήλους ὀμνύντες ἐξαπατῶσι· τοῖσι, ἢν ἐγὼ ὑγιαίνω, οὐ τὰ Ἰώνων πάθεα ἔσται ἔλλεσχα ἀλλὰ τὰ οἰκήια." ταῦτα ἐς τοὺς πάντας Ἕλληνας ἀπέρριψε ὁ Κῦρος τὰ ἔπεα, ὅτι ἀγορὰς στησάμενοι ὠνῇ τε καὶ πρήσι χρέωνται· αὐτοὶ γὰρ οἱ Πέρσαι ἀγορῇσι οὐδὲν

περὶ τῆς Ἰώνων καὶ Αἰολέων πρὸς Λακεδαιμονίους πρεσβείας
προαγόρευσις Λακεδαιμονίων πρὸς Κῦρον κἀκείνου πρὸς αὐτοὺς ἀπόκρισις

3. ἀπίκατο *C*, ἀπικέατο *Pz* ‖ 5. Φωκαιέα Bredovius ‖ 6. περιβαλλόμενος *z* ‖ 8. χρήιζων *P*, χρήζων *Cz* ‖ Λακεδαιμόνιοι – 10 ἀπαλλάσσοντο om. *z* ‖ 9. ἐσήκουον correxi: ἤκουον ‖ 12. μὲν om. *Cqz* ‖ 14. αὐτέων *z* ‖ λαρίνης *Ccorr.* ‖ 16. μηδεμίην *z* ‖ 17. ἐπήρεσθαι *C* ‖ 19. πόσοι *Pz* ‖ προσαγορεύουσι *z* ‖ 21. πόλει *CPz* ‖ ἀποδεδειγμένος *C* ‖ 22. ὀμνύντες Bekker: ὁμοῦντες codices, δμοῦντες *z* ‖ 24. ἔλεσχα *z* ‖ 25. στησάμενοι correxi: κτησάμενοι ‖ 26. πρήσει *L* ‖ χρέωνται – p. 100, 1 οὐδέ σφι om. *C*

ἐώθασι χρᾶσθαι, οὐδέ σφι ἐστὶ τὸ παράπαν ἀγορή. μετὰ ταῦτα ἐπιτρέψας τὰς μὲν Σάρδις Ταβάλῳ ἀνδρὶ Πέρσῃ, τὸν δὲ χρυσὸν τόν τε Κροίσου καὶ τὸν τῶν ἄλλων Λυδῶν Πακτύῃ ἀνδρὶ Λυδῷ κομίζειν, ἀπήλαυνε αὐτὸς ἐς Ἀγβάτανα, Κροῖσόν τε ἅμα ἀγόμενος καὶ τοὺς Ἴωνας ἐν οὐδενὶ λόγῳ ποιησάμενος τὴν πρώτην εἶναι. ἥ τε γὰρ Βαβυλών οἱ ἦν ἐμπόδιος καὶ τὸ Βάκτριον ἔθνος καὶ Σάκαι τε καὶ Αἰγύπτιοι, ἐπ' οὓς ἐπεῖχέ τε στρατηλατέειν αὐτός, ἐπὶ δὲ Ἴωνας ἄλλον πέμπειν στρατηγόν.

154 Ὡς δὲ ἀπήλασε ὁ Κῦρος ἐκ τῶν Σαρδίων, τοὺς Λυδοὺς ἀπέστησε ὁ Πακτύης ἀπό τε Ταβάλου καὶ Κύρου, καταβὰς δὲ ἐπὶ θάλασσαν, ἅτε τὸν χρυσὸν ἔχων πάντα τὸν ἐκ τῶν Σαρδίων, ἐπικούρους τε ἐμισθοῦτο καὶ τοὺς ἐπιθαλασσίους ἀνθρώπους ἔπειθε σὺν ἑωυτῷ στρατεύεσθαι. ἐλάσας δὲ ἐπὶ τὰς Σάρδις ἐπολιόρκεε Τάβαλον ἀπεργμένον ἐν τῇ ἀκροπόλι.

155 πυθόμενος δὲ κατ' ὁδὸν ταῦτα ὁ Κῦρος εἶπε πρὸς Κροῖσον τάδε. "Κροῖσε, τί ἔσται τέλος τῶν γινομένων τούτων ἐμοί; οὐ παύσονται Λυδοί, ὡς οἴκασι, πρήγματα παρέχοντες καὶ αὐτοὶ ἔχοντες. φροντίζω μὴ ἄριστον ᾖ ἐξανδραποδίσασθαί σφεας. ὁμοίως γάρ μοι νῦν γε φαίνομαι πεποιηκέναι ὡς εἴ τις πατέρα ἀποκτείνας τῶν παίδων αὐτοῦ φείσαιτο· ὡς δὲ καὶ ἐγὼ Λυδῶν τὸν μὲν πλέον τι ἢ πατέρα ἐόντα σὲ λαβὼν ἄγω, αὐτοῖσι δὲ Λυδοῖσι τὴν πόλιν παρέδωκα, καὶ ἔπειτα θωυμάζω εἴ μοι ἀπεστᾶσι." ὁ μὲν δὴ τά περ ἐνόεε ἔλεγε, ὁ δ' ἀμείβετο τοῖσιδε, δείσας μὴ ἀναστάτους ποιήσῃ τὰς

ὅτι Πακτύης ἀπέστησεν Λυδοὺς ἀπὸ Κύρου — βουλὴ Κύρου καὶ Κροίσου περὶ τῆς Λυδῶν ἀποστάσεως

20. ὁμοίως - 21 φείσαιτο (Clemens Al. Strom. VI 19 p. 747 P.)

1. χρῆσθαι *L* ‖ 3. χρύσου *C* ‖ Πακτύῃ ἀνδρὶ Λυδῷ om. *C* ‖ 4. αὐτούς *C* ‖ ἀκβάτανα *Pz* ‖ 8. ἐπεῖχε *B*ᵗ, ˜η *B*ᵐ ‖ 14. σὺν αὐτῷ *z* ‖ δὲ] τε *C* ‖ 15. ἀκροπόλει *CPz* ‖ 17. τέλος] τὸ τέλος *z* ‖ 18. εἴκασι *z* ‖ 20. σφέας *z* ‖ γε om. Clem. ‖ 21. ὡς *Pz*: ὡς ‖ 22. ὄντα *BC* ‖ 24. θωμάζω *C* ‖ νόεε *q*, νόε *z* ‖ 25. τοῖσδε *L* ‖ δείσας post Σάρδις *z*

Σάρδις. “ὦ βασιλεῦ, τὰ μὲν οἰκότα εἴρηκας. σὺ μέντοι μὴ πάντα θυμῷ χρέο, μηδὲ πόλιν ἀρχαίην ἐξαναστήσῃς ἀναμάρτητον ἐοῦσαν καὶ τῶν πρότερον καὶ τῶν νῦν ἑστεώτων. τὰ μὲν γὰρ πρότερον ἐγώ τε ἔπρηξα καὶ ἐγὼ κεφαλῇ ἀναμάξας φέρω· τὰ δὲ νῦν παρεόντα Πακτύης γάρ ἐστι ὁ ἀδικέων, τῷ σὺ ἐπέτρεψας Σάρδις, οὗτος δότω τοι δίκην. Λυδοῖσι δὲ συγγνώμην ἔχων τάδε αὐτοῖσι ἐπίταξον, ὡς μήτε ἀποστέωσι μήτε δεινοί τοι ἔωσι. ἄπειπε μέν σφι πέμψας ὅπλα ἀρήια μὴ ἐκτῆσθαι, κέλευε δέ σφεας κιθῶνάς τε ὑποδύνειν τοῖσι εἵμασι καὶ κοθόρνους ὑποδέεσθαι. πρόειπε δ’ αὐτοῖσι κιθαρίζειν τε καὶ ψάλλειν καὶ καπηλεύειν παιδεύειν τοὺς παῖδας. καὶ ταχέως σφέας ὦ βασιλεῦ γυναῖκας ἀντ’ ἀνδρῶν ὄψεαι γεγονότας, ὥστε οὐδὲν δεινοί τοι ἔσονται μὴ ἀποστέωσι.” Κροῖσος μὲν δὴ ταῦτά οἱ ὑπετίθετο, αἱρετώτερα 156
ταῦτα εὑρίσκων Λυδοῖσι ἢ ἀνδραποδισθέντας πρηθῆναί σφεας, ἐπιστάμενος ὅτι ἢν μὴ ἀξιόχρεον πρόφασιν προτείνῃ, οὐκ ἀναπείσει μιν μεταβουλεύσασθαι, ἀρρωδέων δὲ μὴ καὶ ὕστερόν κοτε οἱ Λυδοί, ἢν τὸ παρεὸν ὑπεκδράμωσι, ἀποστάντες ἀπὸ τῶν Περσέων ἀπόλωνται. Κῦρος δὲ ἡσθεὶς τῇ ὑποθήκῃ καὶ ὑπεὶς τῆς ὀργῆς ἔφη οἱ πείθεσθαι. καλέσας δὲ Μαζάρεα ἄνδρα Μῆδον, ταῦτά τέ οἱ ἐνετείλατο προειπεῖν Λυδοῖσι τὰ ὁ Κροῖσος ὑπετίθετο, καὶ πρὸς ἐξανδραποδίσασθαι τοὺς ἄλλους πάντας οἳ μετὰ Λυδῶν ἐπὶ Σάρδις ἐστρατεύσαντο, αὐτὸν δὲ Πακτύην πάντως ζῶντα ἀγαγεῖν παρ’ ἑωυτόν.

Ὁ μὲν δὴ ταῦτα ἐκ τῆς ὁδοῦ ἐντειλάμενος ἀπήλαυνε ἐς 157
ἤθεα τὰ Περσέων, Πακτύης δὲ πυθόμενος ἀγχοῦ εἶναι στρα-

τίνα Κῦρος Λύδοις ἐπέταξεν ὑποθεμένου Κροίσου

---

27. Λέξεις

1. εἰκότα z ‖ 2. χρέο *AB*: χρέω ‖ 3. ἐνεστεώτων? ‖ 4. τὰ] τὸ Bekkeri editio ‖ καὶ ἐγὼ] καὶ ἐμῇ *qz* ‖ κεφαλὴ *C* ‖ 8. τοι] τε *CPz* ‖ σφιν *C* ‖ 9. κεκτῆσθαι *AB* ‖ ὑποδύειν *C* ‖ 13. τοι] τε *C* ‖ 14. αἱρετότερα *B* ‖ 16. ἀξιόχρεων *Bcorr.Pz* ‖ 19. ἀπόλλωνται z ‖ 20. οἳ *C* ‖ 21. τε om. z ‖ 22. καὶ προσεξανδραποδίσασθαι z

τὸν ἐπ' ἑωυτὸν ἰόντα, δείσας οἴχετο φεύγων ἐς Κύμην. Μαζάρης δὲ ὁ Μῆδος ἐλάσας ἐπὶ τὰς Σάρδις τοῦ Κύρου στρατοῦ μοῖραν ὅσην δή κοτε ἔχων, ὡς οὐκ εὗρε ἔτι ἐόντας τοὺς ἀμφὶ Πακτύην ἐν Σάρδισι, πρῶτα μὲν τοὺς Λυδοὺς ἠνάγκασε τὰς Κύρου ἐντολὰς ἐπιτελέειν, ἐκ τούτου δὲ κελευσμοσύνης Λυδοὶ τὴν πᾶσαν δίαιταν τῆς ζόης μετέβαλον. Μαζάρης δὲ μετὰ τοῦτο ἔπεμπε ἐς τὴν Κύμην ἀγγέλους ἐκδιδόναι κελεύων Πακτύην. οἱ δὲ Κυμαῖοι ἔγνωσαν συμβουλῆς πέρι ἐς θεὸν ἀνοῖσαι τὸν ἐν Βραγχίδῃσι· ἦν γὰρ αὐτόθι μαντήιον ἐκ παλαιοῦ ἱδρυμένον, τῷ Ἴωνές τε πάντες καὶ Αἰολέες ἐώθεσαν χρᾶσθαι. ὁ δὲ χῶρος οὗτος ἐστὶ τῆς
158 Μιλησίης ὑπὲρ Πανόρμου λιμένος. πέμψαντες ὦν οἱ Κυμαῖοι ἐς τοὺς Βραγχίδας θεοπρόπους εἰρώτευν περὶ Πακτύην ὁκοῖόν τι ποιέοντες θεοῖσι μέλλοιεν χαριεῖσθαι. ἐπειρωτῶσι δέ σφι ταῦτα χρηστήριον ἐγένετο ἐκδιδόναι Πακτύην Πέρσῃσι. ταῦτα δὲ ὡς ἀπενειχθέντα ἤκουσαν οἱ Κυμαῖοι, ὁρμέατο ἐκδιδόναι· ὁρμημένου δὲ ταύτῃ τοῦ πλήθεος, Ἀριστόδικος ὁ Ἡρακλείδεω ἀνὴρ τῶν ἀστῶν ἐὼν δόκιμος ἔσχε μὴ ποιῆσαι ταῦτα Κυμαίους, ἀπιστέων τε τῷ χρησμῷ καὶ δοκέων τοὺς θεοπρόπους οὐ λέγειν ἀληθέως, ἐς ὃ τὸ δεύτερον περὶ Πακτύεω ἐπειρησόμενοι ἤισαν ἄλλοι θεοπρόποι, τῶν καὶ Ἀριστόδικος ἦν. ἀπικομένων δὲ ἐς Βραγχίδας ἐχρηστηριάζετο ἐκ
159 πάντων Ἀριστόδικος ἐπειρωτέων τάδε. "ὦναξ, ἦλθε παρ' ἡμέας ἱκέτης Πακτύης ὁ Λυδός, φεύγων θάνατον βίαιον πρὸς Περσέων· οἱ δέ μιν ἐξαιτέονται, προεῖναι Κυμαίους κελεύοντες. ἡμεῖς δὲ δειμαίνοντες τὴν Περσέων δύναμιν, τὸν

περὶ Πακτύου καὶ τοῦ ἐν Βραγχίδαις χρηστηρίου καὶ τοῦ δοθέντος Κυμαίοις χρησμοῦ   περὶ Ἀριστοδίκου πῶς διήλεγξεν τὸ χρηστήριον

---

1. ἐόντα z ‖ ὤιχετο *ABPz*, ᾤχετο *C* ‖ 3. οὐκ z: οὐχ ‖ 5. κεκελευσμοσύνης *Apr.* ‖ 6. ζώης *C* ‖ 9. ἀνῶσαι codices, ἀνῷσαι z ‖ 11. ἐώθασι *C* χρέεσθαι *L* ‖ οὗτος ἔστι *ABz* ‖ 12. πέμψας δὲ ὦν *C* ‖ 13. ἠρώτευν *CPz* 14. ἐπηρωτῶσι *C* ‖ 15. πέρσῃσιν *AB* ‖ 17. ὁρμημένου scripsi: ὁρμωμένου *AB*, ὁρμεωμένου *C*, ὁρμεομένου *Pz* ‖ 19. ἀπιστεύων *C* ‖ 20. ἐσὸ *AB* ‖ 21. ἐπηρησόμενοι *C* ‖ ἤιεσαν codices, ἤεσαν z ‖ 23. ἐπειρωτέων *Pz*: ἐπειρωτῶν *AB*, ἐπηρωτέων *C* ‖ ὦναξ *Cz* ‖ 25. κελεύοντες Κυμαίους z

ἱκέτην ἐς τόδε οὐ τετολμήκαμεν ἐκδιδόναι, πρὶν ἂν τὸ ἀπὸ σεῦ ἡμῖν δηλωθῇ ἀτρεκέως ὁκότερα ποιέωμεν." ὁ μὲν ταῦτα ἐπειρώτα, ὁ δ' αὖτις τὸν αὐτόν σφι χρησμὸν ἔφαινε, κελεύων ἐκδιδόναι Πακτύην Πέρσῃσι. πρὸς ταῦτα ὁ Ἀριστόδικος ἐκ προνοίης ἐποίεε τάδε. περιιὼν τὸν νηὸν κύκλῳ ἐξαίρεε τοὺς στρουθοὺς καὶ ἄλλα ὅσα ἦν νενοσσευμένα ὀρνίθων γένεα ἐν τῷ νηῷ. ποιέοντος δὲ αὐτοῦ ταῦτα λέγεται φωνὴν ἐκ τοῦ ἀδύτου γενέσθαι φέρουσαν μὲν πρὸς τὸν Ἀριστόδικον, λέγουσαν δὲ τάδε "ἀνοσιώτατε ἀνθρώπων, τί τάδε τολμᾷς ποιέειν; τοὺς ἱκέτας μου ἐκ τοῦ νηοῦ κεραΐζεις;" Ἀριστόδικον δὲ οὐκ ἀπορήσαντα πρὸς ταῦτα εἰπεῖν "ὦναξ, αὐτὸς μὲν οὕτω τοῖσι ἱκέτῃσι βοηθέεις, Κυμαίους δὲ κελεύεις τὸν ἱκέτην ἐκδιδόναι;" τὸν δὲ αὖτις ἀμείψασθαι τοῖσιδε "ναὶ κελεύω, ἵνα γε ἀσεβήσαντες θᾶσσον ἀπόλησθε, ὡς μὴ τὸ λοιπὸν περὶ ἱκετέων ἐκδόσιος ἔλθητε ἐπὶ τὸ χρηστήριον." ταῦτα ὡς ἀπε- 160
νειχθέντα ἤκουσαν οἱ Κυμαῖοι, οὐ βουλόμενοι οὔτε ἐκδόντες ἀπολέσθαι οὔτε παρ' ἑωυτοῖσι ἔχοντες πολιορκέεσθαι ἐκπέμπουσι αὐτὸν ἐς Μυτιλήνην. οἱ δὲ Μυτιληναῖοι ἐπιπέμποντος τοῦ Μαζάρεος ἀγγελίας ἐκδιδόναι τὸν Πακτύην παρεσκευάζοντο ἐπὶ μισθῷ ὅσῳ δή· οὐ γὰρ ἔχω τοῦτό γε εἰπεῖν ἀτρεκέως· οὐ γὰρ ἐτελεώθη. Κυμαῖοι γὰρ ὡς ἔμαθον ταῦτα πρησσόμενα ἐκ τῶν Μυτιληναίων, πέμψαντες πλοῖον ἐς Λέσβον ἐκκομίζουσι Πακτύην ἐς Χίον. ἐνθεῦτεν δὲ ἐξ ἱροῦ Ἀθηναίης πολιούχου ἀποσπασθεὶς ὑπὸ Χίων ἐξεδόθη· ἐξέδοσαν δὲ οἱ Χῖοι ἐπὶ τῷ Ἀταρνέι μισθῷ· τοῦ δὲ Ἀταρνέος

περὶ Πακτύου καὶ πῶς ὑπὸ Χίων ἐξεδόθη Μαζάρῃ

---

19 sq. Plutarchus mor. p. 859. — 23. - 25 ibidem

3. ἐπηρώτα *Cz* ‖ σφισι *z* ‖ 5. περὶ ἰὼν *C* ‖ 6. νενοσευμένα *z*, νενομισμένα *C*. νενεοσσευμένα Portus ‖ 7. νηῷ *C* ‖ ταῦτα αὐτοῦ *Cpr*. ‖ 11. οὕτωι *B* ‖ 13. αὖτις *C*, αὖθις *z* ‖ τοῖσδε *L* ‖ 14. ἀπόλλυσθε *z* ‖ 15. ἔλθοιτε *z* ‖ ἀπενειενεχθέντα *C* ‖ 17. ἑωυτοῖ *C* ‖ 18. μιτυλήνην et μιτυληναῖοι *B²CPz* ‖ ἐς Μιτυλήνην αὐτὸν ἐκπέμπουσι *z* ‖ 20. ὅσῳ δὴ et τοῦτο om. Plut. ‖ 22. μιτυληναίων *B²CPz* ‖ 23. χῖον *Cz* ‖ 24. πουλιούχου *z* ‖ 25. χίοι *C* ‖ ἀταρνεῖ *APz* ‖ Αταρνέως *z*

τούτου ἐστὶ χῶρος τῆς Μυσίης, Λέσβου ἀντίος. Πακτύην μέν νυν παραδεξάμενοι οἱ Πέρσαι εἶχον ἐν φυλακῇ, θέλοντες Κύρῳ ἀποδέξαι· ἦν δὲ χρόνος οὗτος οὐκ ὀλίγος γενόμενος, ὅτε Χίων οὐδεὶς ἐκ τοῦ Ἀταρνέος τούτου οὔτε οὐλὰς κριθέων πρόχυσιν ἐποιέετο θεῶν οὐδενὶ οὔτε πέμματα ἐπέσσετο καρποῦ τοῦ ἐνθεῦτεν, ἀπείχετό τε τῶν πάντων ἱρῶν τὰ πάντα ἐκ τῆς χώρης ταύτης γινόμενα.

161 Χῖοι μέν νυν Πακτύην ἐξέδοσαν. Μαζάρης δὲ μετὰ ταῦτα ἐστρατεύετο ἐπὶ τοὺς συμπολιορκήσαντας Τάβαλον, καὶ τοῦτο μὲν Πριηνέας ἐξηνδραποδίσατο, τοῦτο δὲ Μαιάνδρου πεδίον πᾶν ἐπέδραμε ληίην ποιεύμενος τῷ στρατῷ, Μαγνησίην τε
162 ὡσαύτως. μετὰ δὲ ταῦτα αὐτίκα νούσῳ τελευτᾷ. ἀποθανόντος δὲ τούτου Ἅρπαγος κατέβη διάδοχος τῆς στρατηγίης, γένος καὶ αὐτὸς ἐὼν Μῆδος, τὸν ὁ Μήδων βασιλεὺς Ἀστυάγης ἀνόμῳ τραπέζῃ ἔδαισε, ὁ τῷ Κύρῳ τὴν βασιληίην συγκατεργασάμενος. οὗτος ὡνὴρ τότε ὑπὸ Κύρου στρατηγὸς ἀποδεχθεὶς ὡς ἀπίκετο ἐς τὴν Ἰωνίην, αἵρεε τὰς πόλιας χώμασι· ὅκως γὰρ τειχήρεας ποιήσειε, τὸ ἐνθεῦτεν χώματα
163 χῶν πρὸς τὰ τείχεα ἐπόρθεε. πρώτῃ δὲ Φωκαίῃ Ἰωνίης ἐπεχείρησε. οἱ δὲ Φωκαιέες οὗτοι ναυτιλίῃσι μακρῇσι πρῶτοι Ἑλλήνων ἐχρήσαντο, καὶ τόν τε Ἀδρίην καὶ τὴν Τυρσηνίην καὶ τὴν Ἰβηρίην καὶ τὸν Ταρτησσὸν οὗτοί εἰσι οἱ καταδέξαντες· ἐναυτίλλοντο δὲ οὐ στρογγύλῃσι νηυσὶ ἀλλὰ πεντηκοντέροισι. ἀπικόμενοι δὲ ἐς τὸν Ταρτησσὸν προσφιλέες ἐγένοντο τῷ βασιλέι τῶν Ταρτησσίων, τῷ οὔνομα μὲν ἦν Ἀργανθώνιος, ἐτυράννευσε δὲ Ταρτησσοῦ ὀγδώκοντα ἔτεα,

ὅτι Μαζάρους μετὰ Πριήνης ἅλωσιν τελευτήσαντος Ἅρπαγος ἐπέμφθη στρατηγός — πῶς τὰς τῆς Ἰωνίης πόλεις Ἅρπαγος ἐπόρθει καὶ περὶ Φωκαιῶν — περὶ Ἀργανθωνίου τοῦ Ταρτησσίων τυράννου καὶ τῆς εἰς Φωκαιᾶς αὐτοῦ φιλίας

5. Λέξεις. — 26. - p. 105, 1 Lucianus Longaev. 10. — Tzetzes ad Lycophr. 643. — Strabo p. 151

4. κριθῶν *L* ‖ 6. γρ. απικετο *A*^m ‖ 9. πολιορκήσαντας *C* ‖ 11. τε] δὲ *Cz* ‖ 16. ὠνὴρ *C* ‖ 18. τειχήρας *z* ‖ 19. πρὸς τειχήρεα *C* ‖ 20. ναυτηλίῃσι *C* ‖ 23. ναυσὶ *z* ‖ 25. βασιλεῖ *ABPz*, βασιλέει *C* ‖ 26. ἀγαθώνιος *C* ‖ ὀγδοήκοντα *AB*

ἐβίωσε δὲ πάντα εἴκοσι καὶ ἑκατόν. τούτῳ δὴ τῷ ἀνδρὶ προσφιλέες οἱ Φωκαιέες οὕτω δή τι ἐγένοντο ὡς τὰ μὲν πρῶτά σφεας ἐκλιπόντας Ἰωνίην ἐκέλευε τῆς ἑωυτοῦ χώρης οἰκῆσαι ὅκου βούλονται, μετὰ δέ, ὡς τοῦτό γε οὐκ ἔπειθε τοὺς Φωκαιέας, ὁ δὲ πυθόμενος τὸν Μῆδον παρ' αὐτῶν ὡς αὔξοιτο, ἐδίδου σφι χρήματα τεῖχος περιβαλέσθαι τὴν πόλιν· ἐδίδου δὲ ἀφειδέως· καὶ γὰρ καὶ ἡ περίοδος τοῦ τείχεος οὐκ ὀλίγοι στάδιοί εἰσι, τοῦτο δὲ πᾶν λίθων μεγάλων καὶ εὖ συναρμοσμένων. τὸ μὲν δὴ τεῖχος τοῖσι Φωκαιεῦσι τρόπῳ 164
τοιῷδε ἐξεποιήθη. ὁ δὲ Ἅρπαγος ὡς ἐπήλασε τὴν στρατιήν, ἐπολιόρκεε αὐτούς, προϊσχόμενος ἔπεα ὥς οἱ καταχρᾷ εἰ βούλονται Φωκαιέες προμαχεῶνα ἕνα μοῦνον τοῦ τείχεος ἐρεῖψαι καὶ οἴκημα ἓν κατιρῶσαι. οἱ δὲ Φωκαιέες περιημεκτέοντες τῇ δουλοσύνῃ ἔφασαν θέλειν βουλεύσασθαι ἡμέρην μίαν καὶ ἔπειτα ὑποκρινέεσθαι· ἐν ᾧ δὲ βουλεύονται αὐτοί, ἀπαγαγεῖν ἐκεῖνον ἐκέλευον τὴν στρατιὴν ἀπὸ τοῦ τείχεος. ὁ δ' Ἅρπαγος ἔφη εἰδέναι μὲν εὖ τὰ ἐκεῖνοι μέλλοιεν ποιέειν, ὅμως δέ σφι παριέναι βουλεύσασθαι. ἐν ᾧ ὦν ὁ Ἅρπαγος ἀπὸ τοῦ τείχεος ἀπήγαγε τὴν στρατιήν, οἱ Φωκαιέες ἐν τούτῳ κατασπάσαντες τὰς πεντηκοντέρους, ἐσθέμενοι τέκνα καὶ γυναῖκας καὶ ἔπιπλα πάντα, πρὸς δὲ καὶ τὰ ἀγάλματα τὰ ἐκ τῶν ἱρῶν καὶ τὰ ἄλλα ἀναθήματα, χωρὶς ὅ τι χαλκὸς ἢ λίθος ἢ γραφὴ ἦν, τὰ δὲ ἄλλα πάντα ἐσθέντες καὶ αὐτοὶ ἐσβάντες ἔπλεον ἐπὶ Χίου. τὴν δὲ Φωκαίην ἐρημωθεῖσαν ἀνδρῶν ἔσχον οἱ Πέρσαι. οἱ δὲ Φωκαιέες, ἐπείτε 165

πῶς Φωκαιεῖς ἀπανέστησαν τῆς πατρίδος

---

6. ἐδίδου - πόλιν Thomas M. p. 293. — 13. οἱ δὲ - 14 δουλοσύνῃ (Suidas v. δουλοσύνῃ et v. περιημάκτεον)

1. ἐβίωσε δὲ πάντα om. *C* ‖ τὰ πάντα G. Hermann ‖ δὴ *z*: δὲ ‖ 2. φωκαίες *C* ‖ τι] τοι *C* ‖ πρῶτα σφέας *ABPz* ‖ 3. ἑαυτοῦ *C* ‖ 4. γε om. *Pz* ‖ 13. ἐρῖψαι *B*[l], ἐρῆψαι *B*[m], ἐρίψαι *A*[1], ἐρειψαι *A*[2], ἤριψε *C* ‖ κατειρῶσαι *AB*[1]*Pz*, κατερῶσαι *C*, κατειρόσαι *B*[2] ‖ 15. μίην *z* ‖ 17. ὁ δ' - 19 τείχεος om. *C* ‖ φωκαίες *C* ‖ 20. καταταcπάσαντες *C* ‖ 22. χωρὶς] χωρὶς ἢ Valckenaer

σφι Χῖοι τὰς νήσους τὰς Οἰνούσσας καλεομένας οὐκ ἐβούλοντο ὠνευμένοισι πωλέειν, δειμαίνοντες μὴ αἱ μὲν ἐμπόριον γένωνται, ἡ δὲ αὐτῶν νῆσος ἀποκληισθῇ τούτου εἵνεκα. πρὸς ταῦτα οἱ Φωκαιέες ἐστέλλοντο ἐς Κύρνον· ἐν γὰρ τῇ Κύρνῳ εἴκοσι ἔτεσι πρότερον τούτων ἐκ θεοπροπίου ἀνεστήσαντο πόλιν, τῇ οὔνομα ἦν Ἀλαλίη. Ἀργανθώνιος δὲ τηνικαῦτα ἤδη τετελευτήκεε. στελλόμενοι δὲ ἐπὶ τὴν Κύρνον, πρῶτα καταπλεύσαντες ἐς τὴν Φωκαίην κατεφόνευσαν τῶν Περσέων τὴν φυλακήν, ἣ ἐφρούρεε παραδεξαμένη παρὰ Ἁρπάγου τὴν πόλιν. μετὰ δέ, ὡς τοῦτό σφι ἐξέργαστο, ἐποιήσαντο ἰσχυρὰς κατάρας τῷ ὑπολειπομένῳ ἑωυτῶν τοῦ στόλου. πρὸς δὲ ταύτῃσι καὶ μύδρον σιδήρεον κατεπόντωσαν καὶ ὤμοσαν μὴ πρὶν ἐς Φωκαίην ἥξειν πρὶν ἢ τὸν μύδρον τοῦτον ἀναφανῆναι. στελλομένων δὲ αὐτῶν ἐπὶ τὴν Κύρνον, ὑπὲρ ἡμίσεας τῶν ἀστῶν ἔλαβε πόθος τε καὶ οἶκτος τῆς πόλιος καὶ τῶν ἠθέων τῆς χώρης, ψευδόρκιοι δὲ γενόμενοι ἀπέπλεον ὀπίσω ἐς τὴν Φωκαίην. οἳ δὲ αὐτῶν τὸ ὅρκιον ἐφύλασσον, ἀερθέν-
166 τες ἐκ τῶν Οἰνουσσέων ἔπλεον. ἐπείτε δὲ ἐς τὴν Κύρνον ἀπίκοντο, οἴκεον κοινῇ μετὰ τῶν πρότερον ἀπικομένων ἐπ' ἔτεα πέντε, καὶ ἱρὰ ἐνιδρύσαντο. καὶ ἦγον γὰρ δὴ καὶ ἔφερον τοὺς περιοίκους ἅπαντας· στρατεύονται ὦν ἐπ' αὐτοὺς κοινῷ λόγῳ χρησάμενοι Τυρσηνοὶ καὶ Καρχηδόνιοι, νηυσὶ ἑκάτεροι ἑξήκοντα. οἱ δὲ Φωκαιέες πληρώσαντες καὶ αὐτοὶ τὰ πλοῖα, ἐόντα ἀριθμὸν ἑξήκοντα, ἀντίαζον ἐς τὸ Σαρδόνιον καλεόμενον πέλαγος. συμμισγόντων δὲ τῇ ναυμαχίῃ Καδμείη τις νίκη τοῖσι Φωκαιεῦσι ἐγένετο· αἱ μὲν γὰρ τεσσεράκοντά σφι

μάχη Φωκαιῶν πρὸς Τυρσηνοὺς καὶ Καρχηδονίους

6. Stephanus Byz. v. Ἀλλαλία. — 12. Λέξεις

1. χίοι *C* || οἰνούσας *C* || ἐβούλευντο *z* || 3. αὐτῶν *C*: αὐτέων || ἀποκληισθῇ *C* || τούτου εἵνεκα fortasse spuria || 13. ἀναφανῆναι Reiske: ἀναφῆναι *L*. ἀναδῦναι Bekker, ἀναβῆναι Herold || 17. οἱ δὲ *z* || 18. οἰνουσέων *C* || 20. καὶ ἄγον γὰρ ἤδη *CPz* || 26. τεσσεράκοντα *A*: τεσσαράκοντα || σφι *C*: σφίσι

νέες διεφθάρησαν, αἱ δὲ εἴκοσι αἱ περιεοῦσαι ἦσαν ἄχρηστοι· ἀπεστράφατο γὰρ τοὺς ἐμβόλους. καταπλώσαντες δὲ ἐς τὴν Ἀλαλίην ἀνέλαβον τὰ τέκνα καὶ τὰς γυναῖκας καὶ τὴν ἄλλην κτῆσιν ὅσην οἷαί τε ἐγίνοντο αἱ νέες σφι ἄγειν, καὶ ἔπειτα ἀπέντες τὴν Κύρνον ἔπλεον ἐς Ῥήγιον. τῶν δὲ διαφθαρει- 167
σέων νεῶν τοὺς ἄνδρας οἵ τε Καρχηδόνιοι καὶ οἱ Τυρσηνοὶ . . . . ἔλαχόν τε αὐτῶν πολλῷ πλείστους καὶ τούτους ἐξαγαγόντες κατέλευσαν. μετὰ δὲ Ἀγυλλαίοισι πάντα τὰ παριόντα τὸν χῶρον, ἐν τῷ οἱ Φωκαιέες καταλευσθέντες ἐκέατο, ἐγίνετο διάστροφα καὶ ἔμπηρα καὶ ἀπόπληκτα, ὁμοίως πρόβατα καὶ ὑποζύγια καὶ ἄνθρωποι. οἱ δὲ Ἀγυλλαῖοι ἐς Δελφοὺς ἔπεμπον βουλόμενοι ἀκέσασθαι τὴν ἁμαρτάδα. ἡ δὲ Πυθίη σφέας ἐκέλευσε ποιέειν τὰ καὶ νῦν οἱ Ἀγυλλαῖοι ἔτι ἐπιτελέουσι· καὶ γὰρ ἐναγίζουσί σφι μεγάλως καὶ ἀγῶνα γυμνικὸν καὶ ἱππικὸν ἐπιστᾶσι. καὶ οὗτοι μὲν τῶν Φωκαιέων τοιούτῳ μόρῳ διεχρήσαντο, οἱ δὲ αὐτῶν ἐς τὸ Ῥήγιον καταφυγόντες ἐνθεῦτεν ὁρμεόμενοι ἐκτήσαντο πόλιν γῆς τῆς Οἰνωτρίης ταύτην ἥτις νῦν Ὑέλη καλέεται· ἔκτισαν δὲ ταύτην πρὸς ἀνδρὸς Ποσειδωνιήτεω μαθόντες ὡς τὸν Κύρνον σφι ἡ Πυθίη ἔχρησε κτίσαι ἥρων ἐόντα, ἀλλ᾽ οὐ τὴν νῆσον.

Φωκαίης μέν νυν πέρι τῆς ἐν Ἰωνίῃ οὕτω ἔσχε, παρα- 168
πλήσια δὲ τούτοισι καὶ Τήιοι ἐποίησαν. ἐπείτε γάρ σφεων εἷλε χώματι τὸ τεῖχος Ἅρπαγος, ἐσβάντες πάντες ἐς τὰ πλοῖα οἴχοντο πλέοντες ἐπὶ τῆς Θρηίκης, καὶ ἐνθαῦτα ἔκτισαν πόλιν

περὶ τῶν καταλευσθέντων Φωκαιῶν καὶ τῆς ὑπὲρ αὐτῶν κατὰ Ἀγυλλαίων θεομηνίας ὅτι ἐν Ῥηγίῳ Ὑέλην πόλιν ἔκτισαν οἱ Φωκαιεῖς περὶ Τηίων καὶ τῆς αὐτῶν ἀπαναστάσεως καὶ ὅτι ἐν Ἀβδήροις ᾤκησαν

---

2. Λέξεις. — 12. Suidas v. ἁμαρτίαν. — 14. Λέξεις. — 15. οὗτοι - 16 διεχρήσαντο Thomas M. p. 82. — 18. Stephanus Byz. v. Θυέλα

1. νῆες *L* ‖ περιοῦσαι *z* ‖ 2. ἀπεστρέφατο *AB* ‖ 4. ἐγένοντο *qz* ‖ νῆες *L* ‖ 5. ἀφέντες *L* ‖ 7. lacunam vidit Reiske, quam sic probabiliter expleveris: διέλαχον, τῶν δὲ Τυρσηνῶν οἱ Ἀγυλλαῖοι ‖ αὐτέων *z* ‖ πλείστους correxi: πλείους ‖ 8. πάντα τὰ] πάντά τινα *C*, γρ. παντά τινα *Pm* ‖ 10. ἔμπυρα *z* ‖ 12. ἁμαρτίδα *C* ‖ 15. καὶ ἱππικὸν om. *Pz* ‖ φωκεέων *C* ‖ 17. ὁρμεώμενοι *C* ‖ οἰνοτρίης *C* ‖ 18. ὑέλλη *Cpr.*, Θυέλα Steph. ‖ 19. ποσιδωνιήτεω *ABC* ‖ 21. οὔτω *z*: οὕτως ‖ 24. Θρηίκης Bekker: θρηικίης vel θρηϊκίης

Ἄβδηρα, τὴν πρότερος τούτων Κλαζομένιος Τιμήσιος κτίσας οὐκ ἀπώνητο, ἀλλ' ὑπὸ Θρηίκων ἐξελασθεὶς τιμὰς νῦν ὑπὸ Τηίων τῶν ἐν Ἀβδήροισι ὡς ἥρως ἔχει.

169 Οὗτοι μέν νυν Ἰώνων μοῦνοι τὴν δουλοσύνην οὐκ ἀνεχόμενοι ἐξέλιπον τὰς πατρίδας· οἱ δ' ἄλλοι Ἴωνες πλὴν Μιλησίων διὰ μάχης μὲν ἀπίκοντο Ἁρπάγῳ κατά περ οἱ ἐκλιπόντες, καὶ ἄνδρες ἐγένοντο ἀγαθοὶ περὶ τῆς ἑωυτοῦ ἕκαστος μαχόμενοι. ἑσσωθέντες δὲ καὶ ἁλόντες ἔμενον κατὰ χώρην ἕκαστοι καὶ τὰ ἐπιτασσόμενα ἐπετέλεον. Μιλήσιοι δέ, ὡς καὶ πρότερόν μοι εἴρηται, αὐτῷ Κύρῳ ὅρκιον ποιησάμενοι ἡσυχίην ἦγον. οὕτω δὴ τὸ δεύτερον Ἰωνίη ἐδεδούλωτο. ὡς δὲ τοὺς ἐν τῇ ἠπείρῳ Ἴωνας ἐχειρώσατο Ἅρπαγος, οἱ τὰς νήσους ἔχοντες Ἴωνες καταρρωδήσαντες ταῦτα σφέας αὐτοὺς ἔδοσαν Κύρῳ.

170 Κεκακωμένων δὲ Ἰώνων καὶ συλλεγομένων οὐδὲν ἧσσον ἐς τὸ Πανιώνιον, πυνθάνομαι γνώμην Βίαντα ἄνδρα Πριηνέα ἀποδέξασθαι Ἴωσι χρησιμωτάτην, τῇ εἰ ἐπείθοντο, παρεῖχε ἄν σφι εὐδαιμονέειν Ἑλλήνων μάλιστα· ὃς ἐκέλευε κοινῷ στόλῳ Ἴωνας ἀερθέντας πλέειν ἐς Σαρδὼ καὶ ἔπειτα πόλιν μίαν κτίζειν πάντων Ἰώνων, καὶ οὕτω ἀπαλλαχθέντας σφέας δουλοσύνης εὐδαιμονήσειν, νήσων τε ἁπασέων μεγίστην νεμομένους καὶ ἄρχοντας ἄλλων· μένουσι δέ σφι ἐν τῇ Ἰωνίῃ οὐκ ἔφη ἐνορᾶν ἐλευθερίην ἔτι ἐσομένην. αὕτη μὲν Βίαντος τοῦ Πριηνέος γνώμη ἐπὶ διεφθαρμένοισι Ἴωσι γενομένη. χρηστὴ δὲ καὶ πρὶν ἢ διαφθαρῆναι Ἰωνίην Θάλεω ἀνδρὸς Μιλησίου ἐγένετο, τὸ ἀνέκαθεν γένος ἐόντος Φοίνικος· ὃς

περὶ τῆς Βίαντος καὶ Θαλοῦ πρὸς Ἴωνας συμβουλῆς

1. τὴν - 2 ἀπώνητο Thomas M. p. 406. — 26. Phrynichus p. 170. idem in Bekkeri Anecd. p. 18. — Plutarchus mor. p. 857. Diogenes Laert. I 22. Schol. Plat. p. 420. Theodoretus graec. affect. I 24

2. ἀπώνητο Pz. Thom.: ἀπόνητο ‖ ἐξελαθεὶς P¹z ‖ 3. τῶν om z 6. ἀπικέατο CPz ‖ καθάπερ z ‖ 7. ἕκαστοι Schweighaeuser ‖ 11. ἔγον CPz ‖ 13. ταὐτὰ Reiske ‖ 19. ἀερθέντας qz: αἱρεθέντας ‖ σαρδῶ C 20. ἀπαλλαχθέντάς σφεας AB ‖ 21. εὐδαιμονίσειν z ‖ 23. ἐνόρᾶν 25. θάλλεω P, Θαλλέω z ‖ 26. τοανέκαθεν P, ἀνέκαθεν z

ἐκέλευε ἓν βουλευτήριον Ἴωνας ἐκτῆσθαι. τὸ δὲ εἶναι ἐν Τέῳ (Τέων γὰρ μέσον εἶναι Ἰωνίης), τὰς δὲ ἄλλας πόλιας οἰκεομένας ἧσσον νομίζεσθαι κατά περ εἰ δῆμοι εἶεν. οὗτοι μὲν δή σφι γνώμας τοιάσδε ἀπεδέξαντο.

171 Ἅρπαγος δὲ καταστρεψάμενος Ἰωνίην ἐποιέετο στρατηίην ἐπὶ Κᾶρας καὶ Καυνίους καὶ Λυκίους, ἅμα ἀγόμενος καὶ Ἴωνας καὶ Αἰολέας. εἰσὶ δὲ τούτων Κᾶρες μὲν ἀπιγμένοι ἐς τὴν ἤπειρον ἐκ τῶν νήσων. τὸ γὰρ παλαιὸν ἐόντες Μίνω κατήκοοι καὶ καλεόμενοι Λέλεγες εἶχον τὰς νήσους, φόρον μὲν οὐδένα ὑποτελέοντες, ὅσον καὶ ἐγὼ δυνατός εἰμι ἐπὶ μακρότατον ἐξικέσθαι ἀκοῇ· οἱ δέ, ὅκως Μίνως δέοιτο, ἐπλήρουν οἱ τὰς νέας. ἅτε δὴ Μίνω τε κατεστραμμένου γῆν πολλὴν καὶ εὐτυχέοντος τῷ πολέμῳ, τὸ Καρικὸν ἦν ἔθνος λογιμώτατον τῶν ἐθνέων ἁπάντων κατὰ τοῦτον ἅμα τὸν χρόνον μακρῷ μάλιστα. καί σφι τριξὰ ἐξευρήματα ἐγένετο τοῖσι οἱ Ἕλληνες ἐχρήσαντο· καὶ γὰρ ἐπὶ τὰ κράνεα λόφους ἐπιδέεσθαι Κᾶρές εἰσι οἱ καταδέξαντες καὶ ἐπὶ τὰς ἀσπίδας τὰ σημήια ποιέεσθαι, καὶ ὄχανα ἀσπίσι οὗτοί εἰσι οἱ ποιησάμενοι πρῶτοι· τέως δὲ ἄνευ ὀχάνων ἐφόρεον τὰς ἀσπίδας πάντες οἵ περ ἐώθεσαν ἀσπίσι χρᾶσθαι, τελαμῶσι σκυτίνοισι οἰηκίζοντες, περὶ τοῖσι αὐχέσι τε καὶ τοῖσι ἀριστεροῖσι ὤμοισι περικείμενοι. μετὰ δὲ τοὺς Κᾶρας χρόνῳ ὕστερον πολλῷ Δωριέες τε καὶ Ἴωνες ἐξανέστησαν ἐκ τῶν νήσων, καὶ οὕτω ἐς τὴν ἤπειρον ἀπίκοντο. κατὰ μὲν δὴ Κᾶρας οὕτω Κρῆτες

Ἁρπάγου στρατεία ἐπὶ Κᾶρας καὶ Καυνίους καὶ Λυκίους περὶ Καρῶν τίνες ἦσαν καὶ τῶν παρ' αὐτοῖς ἐξευρημάτων καὶ ἐθῶν

2. Stephanus Byz. v. Τέως. — 12. ἅτε - 13 πολλὴν Thomas M. p. 74. — 13. Stephanus Byz. v. Καρία

1. κεκτῆσθαι *A* || 2. μέσην Steph. || 3. καθάπερ *B* || εἰ] οἱ *z* || οὗτοι Schaefer: οὕτω || 4. τοιᾶσδε *A* || 5. δὲ om. *z* || στρατίην *C* || 6. καυνίους *Pz*: Καυκωνίους, quod idem *A*[m] || καὶ Λυκίους om. *A*[t] || 9. Μίνω] Μίνω τε J. Gronovius tanquam ex *A* || 10. ἐπὶ μακρότατον Werfer: μακρότατον 12. δὴ] δὲ δὴ *CP*[m], δὲ *qz* || τε om. *z* || 14. δοκιμώτατον Steph. || 15. μακρῷ] καὶ μακρῷ *z* || ἐξεγένετο *C* || 18. σημεῖα *Pz* || 20. ἐώθησαν *z* χρέεσθαι *L* || 23. οὕτως *L*

λέγουσι γενέσθαι· οὐ μέντοι αὐτοί γε ὁμολογέουσι τούτοισι
οἱ Κᾶρες. ἀλλὰ νομίζουσι αὐτοὶ ἑωυτοὺς εἶναι αὐτόχθονας
ἠπειρώτας, καὶ τῷ οὐνόματι τῷ αὐτῷ αἰεὶ διαχρεωμένους τῷ
περ νῦν. ἀποδεικνῦσι δὲ ἐν Μυλάσοισι Διὸς Καρίου ἱρὸν
ἀρχαῖον, τοῦ Μυσοῖσι μὲν καὶ Λυδοῖσι μέτεστι ὡς κασιγνή-
τοισι ἐοῦσι τοῖσι Καρσί· τὸν γὰρ Λυδὸν καὶ τὸν Μυσὸν
λέγουσι εἶναι Καρὸς ἀδελφεούς. τούτοισι μὲν δὴ μέτεστι.
ὅσοι δὲ ἐόντες ἄλλου ἔθνεος ὁμόγλωσσοι τοῖσι Καρσὶ ἐγέ-
172 νοντο, τούτοισι δὲ οὐ μέτα. οἱ δὲ Καύνιοι αὐτόχθονες δοκέειν
ἐμοὶ εἰσί, αὐτοὶ μέντοι ἐκ Κρήτης φασὶ εἶναι. προσκεχωρή-
κασι δὲ γλῶσσαν μὲν πρὸς τὸ Καρικὸν ἔθνος, ἢ οἱ Κᾶρες
πρὸς τὸ Καυνικόν (τοῦτο γὰρ οὐκ ἔχω ἀτρεκέως διακρῖναι).
νόμοισι δὲ χρέωνται κεχωρισμένοισι πολλὸν τῶν τε ἄλλων
ἀνθρώπων καὶ Καρῶν. τοῖσι γὰρ κάλλιστόν ἐστι κατ' ἡλι-
κίην τε καὶ φιλότητα εἰλαδὸν συγγίνεσθαι ἐς πόσιν, καὶ ἀν-
δράσι καὶ γυναιξὶ καὶ παισί. ἱδρυθέντων δέ σφι ἱρῶν ξεινι-
κῶν, μετέπειτα, ὥς σφι ἀπέδοξε, ἔδοξε δὲ τοῖσι πατρίοισι
μοῦνον χρᾶσθαι θεοῖσι, ἐνδύντες τὰ ὅπλα ἅπαντες Καύνιοι
ἡβηδόν, τύπτοντες δόρασι τὸν ἠέρα, μέχρι οὔρων τῶν Καλυν-
δικῶν εἵποντο, καὶ ἔφασαν ἐκβάλλειν τοὺς ξεινικοὺς θεούς.
173 καὶ οὗτοι μὲν τρόποισι τοιούτοισι χρέωνται. οἱ δὲ Λύκιοι ἐκ
Κρήτης τὠρχαῖον γεγόνασι (τὴν γὰρ Κρήτην εἶχον τὸ πα-
λαιὸν πᾶσαν βάρβαροι)· διενειχθέντων δὲ ἐν Κρήτῃ περὶ τῆς
βασιληίης τῶν Εὐρώπης παίδων Σαρπηδόνος τε καὶ Μίνω,
ὡς ἐπεκράτησε τῇ στάσι Μίνως, ἐξήλασε αὐτόν τε Σαρπη-
δόνα καὶ τοὺς στασιώτας αὐτοῦ, οἱ δὲ ἀπωσθέντες ἀπίκοντο

περὶ Καυνίων τίνες (*B*) περὶ Λυκίων τίνες τε εἰσὶ καὶ πόθεν καὶ περὶ τῶν παρ' αὐτοῖς νομίμων καὶ ἐθῶν

---

3. καὶ τῷ - 4 νῦν Thomas M. p. 82. — 19. Λέξεις. — 21. Eustathius Dion. 857. — 25 sqq. Strabo p. 573

3. ἠπειρώτας] ὑπηρέτας *q*, ὑπερέτας *z* || ὀνόματι *AB*. Thom. || ἀεὶ *Pz* 4. Μυλάσσοισι *z* || 6. τοῖσι om. *Apr*. || 15. ἰλαδὸν *Pz* || εἰς *C* || 16. ἱδρυνθέντων *z* || 17. ἔδοξε δὲ *z*: ἔδοξε δὴ *ABP*, om. *C* || 19. δούρασι *Pz* 20. ἕποντο *z* || 24. πέδων *C* || 25. στάσει *L*

τῆς Ἀσίης ἐς γῆν τὴν Μιλυάδα· τὴν γὰρ νῦν Λύκιοι νέμονται, αὕτη τὸ παλαιὸν ἦν Μιλυάς, οἱ δὲ Μιλύαι τότε Σόλυμοι ἐκαλέοντο. τέως μὲν δὴ αὐτῶν Σαρπηδὼν ἦρχε, οἱ δὲ ἐκαλέοντο τό πέρ τε ἠνείκαντο οὔνομα καὶ νῦν ἔτι καλέονται ὑπὸ τῶν περιοίκων οἱ Λύκιοι, Τερμίλαι· ὡς δὲ ἐξ Ἀθηνέων Λύκος ὁ Πανδίονος, ἐξελασθεὶς καὶ οὗτος ὑπὸ τοῦ ἀδελφεοῦ Αἰγέος, ἀπίκετο ἐς τοὺς Τερμίλας παρὰ Σαρπηδόνα, οὕτω δὴ κατὰ τοῦ Λύκου τὴν ἐπωνυμίην Λύκιοι ἀνὰ χρόνον ἐκλήθησαν. νόμοισι δὲ τὰ μὲν Κρητικοῖσι τὰ δὲ Καρικοῖσι χρέωνται. ἓν δὲ τόδε ἴδιον νενομίκασι καὶ οὐδαμοῖσι ἄλλοισι συμφέρονται ἀνθρώπων. καλέουσι ἀπὸ τῶν μητέρων ἑωυτοὺς καὶ οὐχὶ ἀπὸ τῶν πατέρων· εἰρομένου δὲ ἑτέρου τὸν πλησίον τίς εἴη, καταλέξει ἑωυτὸν μητρόθεν καὶ τῆς μητρὸς ἀνανεμέεται τὰς μητέρας. καὶ ἢν μέν γε γυνὴ ἀστὴ δούλῳ συνοικήσῃ, γενναῖα τὰ τέκνα νενόμισται· ἢν δὲ ἀνὴρ ἀστὸς καὶ ὁ πρῶτος αὐτῶν γυναῖκα ξείνην ἢ παλλακὴν ἔχῃ, ἄτιμα τὰ τέκνα γίνεται.

Οἱ μέν νυν Κᾶρες οὐδὲν λαμπρὸν ἔργον ἀποδεξάμενοι 174
ἐδουλώθησαν ὑπὸ Ἁρπάγου, οὔτε αὐτοὶ οἱ Κᾶρες ἀποδεξάμενοι οὐδέν, οὔτε ὅσοι Ἑλλήνων ταύτην τὴν χώρην οἰκέουσι· οἰκέουσι δὲ καὶ ἄλλοι καὶ Λακεδαιμονίων ἄποικοι Κνίδιοι· οἳ τῆς χώρης τῆς σφετέρης τετραμμένης ἐς πόντον, τὸ δὴ Τριόπιον καλέεται, ἀργμένης δὲ ἐκ τῆς Χερσονήσου τῆς Βυβασσίης, ἐούσης τε πάσης τῆς Κνιδίης πλὴν ὀλίγης περιρρόου (τὰ μὲν γὰρ αὐτῆς πρὸς βορέην ἄνεμον ὁ Κεραμεικὸς

ὅτι Λύκιοι μόνοι ἀπὸ τῶν μητρῶν ἑαυτοὺς καλοῦσι — περὶ Κνιδίων
ὅτι νῆσον ἐπετήδευσαν τὴν ἑαυτῶν ποιῆσαι πόλιν

5 sqq. Eustathius Dion. 857. — Stephanus Byz. v. Τέρμερα. — 13. Suidas v. ἀνανέμειν. — 15. Bekkeri Anecd. p. 111

2. μιλύας *C* ‖ 3. αὐτέων *z* ‖ 4. τό om. *z* ‖ 5. ἀθηναίων *CPz* 6. ἐξελαθεὶς *Pz* ‖ ἀδελφοῦ *qz* ‖ 7. αἰγέως *L* ‖ 11. συμφέροντα *A* 12. ἠρομένου *C* ‖ 13. ἀνανεμεῖται *AB* ‖ 14. γε om. *z* ‖ 15. ἀστὸς] αὐτὸς *C* ‖ 16. αὐτέων *z* ‖ 21. Κνίδιοι, οἳ Bekker: Κνίδιοι ‖ 23. Βυβασσίης Is. Vossius: βυβλεσίης ‖ 25. βορῆν codices, βορὴν *z* ‖ Κεραμικὸς *z*

κόλπος ἀπέργει, τὰ δὲ πρὸς νότον ἡ κατὰ Σύμην τε καὶ Ῥόδον θάλασσα), τὸ ὦν δὴ ὀλίγον τοῦτο, ἐὸν ὅσον τε ἐπὶ πέντε στάδια, ὤρυσσον οἱ Κνίδιοι ἐν ὅσῳ Ἅρπαγος τὴν Ἰωνίην κατεστρέφετο, βουλόμενοι νῆσον τὴν χώρην ποιῆσαι. ἐντὸς δὲ πᾶσά σφι ἐγίνετο· τῇ γὰρ ἡ Κνιδίη χώρη ἐς τὴν ἤπειρον τελευτᾷ, ταύτῃ ὁ ἰσθμός ἐστι τὸν ὤρυσσον. καὶ δὴ πολλῇ χειρὶ ἐργαζομένων τῶν Κνιδίων, μᾶλλον γάρ τι καὶ θειότερον ἐφαίνοντο τιτρώσκεσθαι οἱ ἐργαζόμενοι τοῦ οἰκότος τά τε ἄλλα τοῦ σώματος καὶ μάλιστα τὰ περὶ τοὺς ὀφθαλμοὺς θραυομένης τῆς πέτρης, ἔπεμπον ἐς Δελφοὺς θεοπρόπους ἐπειρησομένους τὸ ἀντίξοον. ἡ δὲ Πυθίη σφι, ὡς αὐτοὶ Κνίδιοι λέγουσι, χρᾷ ἐν τριμέτρῳ τόνῳ τάδε.

ἰσθμὸν δὲ μὴ πυργοῦτε μηδ' ὀρύσσετε·
Ζεὺς γάρ κ' ἔθηκε νῆσον, εἴ κ' ἐβούλετο.

Κνίδιοι μὲν ταῦτα τῆς Πυθίης χρησάσης τοῦ τε ὀρύγματος ἐπαύσαντο καὶ Ἁρπάγῳ ἐπιόντι σὺν τῷ στρατῷ ἀμαχητὶ
175 σφέας αὐτοὺς παρέδοσαν. ἦσαν δὲ Πηδασέες οἰκέοντες ὑπὲρ Ἁλικαρνησσοῦ μεσόγαιαν, τοῖσι ὅκως τι μέλλοι ἀνεπιτήδεον ἔσεσθαι, αὐτοῖσί τε καὶ τοῖσι περιοίκοισι, ἡ ἱρείη τῆς Ἀθηναίης πώγωνα μέγαν ἴσχει. τρίς σφι τοῦτο ἐγένετο. οὗτοι τῶν περὶ Καρίην ἀνδρῶν μοῦνοί τε ἀντέσχον χρόνον Ἁρπάγῳ καὶ πρήγματα παρέσχον πλεῖστα, ὄρος τειχίσαντες τῷ οὔνομά ἐστι Λίδη.

176 Πηδασέες μέν νυν χρόνῳ ἐξαιρέθησαν· Λύκιοι δέ, ὡς ἐς τὸ Ξάνθιον πεδίον ἤλασε ὁ Ἅρπαγος τὸν στρατόν, ἐπεξιόντες

περὶ τοῦ πώγωνα φύεσθαι τῇ ἐν Πηδάσῳ τῆς Ἀθηνᾶς ἱερείᾳ   περὶ τοῦ πρὸς Λυκίους καὶ Καυνίους πολέμου

---

11. Λέξεις. — 13 sq. (Oenomaus apud Euseb. praep. ev. V 26). — 18. - 20 Strabo p. 611

1. ἀπείργει *Cz* ‖ 5. ἐγίνετο *AB*: ἐγένετο ‖ 6. πολλὴ *AB* ‖ 8. εἰκότος *z* ‖ 10. θεοπρόπους om. *z* ‖ 11. ἐπερησομένους *L* ‖ 13. δὲ om. Oenom. ‖ 14. αἴ κ' Oenom. εἴ γ' Bekker ‖ 17. πηδασσέες *C* ‖ οἰκοῦντες *L* ‖ 18. Αλικαρνασοῦ *z* ‖ 19. περιοικεῦσι *C* ‖ ἱερείη *L* ‖ 20. τρίσφι τοῦτο *C* ‖ 24. πηδασσέες *C* ‖ 25. ἐπεξιόντες Bekker: ὑπεξιόντες

καὶ μαχόμενοι ὀλίγοι πρὸς πολλοὺς ἀρετὰς ἀπεδείκνυντο, ἑσσωθέντες δὲ καὶ κατειληθέντες ἐς τὸ ἄστυ συνήλισαν ἐς τὴν ἀκρόπολιν τάς τε γυναῖκας καὶ τὰ τέκνα καὶ τὰ χρήματα καὶ τοὺς οἰκέτας, καὶ ἔπειτα ὑπῆψαν τὴν ἀκρόπολιν πᾶσαν ταύτην καίεσθαι. ταῦτα δὲ ποιήσαντες καὶ συνομόσαντες ὅρκους δεινούς, ἐπεξελθόντες ἀπέθανον πάντες Ξάνθιοι μαχόμενοι. τῶν δὲ νῦν Λυκίων φαμένων Ξανθίων εἶναι οἱ πολλοί, πλὴν ὀγδώκοντα ἱστιέων, εἰσὶ ἐπήλυδες· αἱ δὲ ὀγδώκοντα ἱστίαι αὗται ἔτυχον τηνικαῦτα ἐκδημέουσαι καὶ οὕτω περιεγένοντο. τὴν μὲν δὴ Ξάνθον οὕτω ἔσχε ὁ Ἅρπαγος, παραπλησίως δὲ καὶ τὴν Καῦνον ἔσχε· καὶ γὰρ οἱ Καύνιοι τοὺς Λυκίους ἐμιμήσαντο τὰ πλέω.

Τὰ μέν νυν κάτω τῆς Ἀσίης Ἅρπαγος ἀνάστατα ἐποίεε, 177
τὰ δὲ ἄνω αὐτῆς αὐτὸς Κῦρος, πᾶν ἔθνος καταστρεφόμενος καὶ οὐδὲν παριείς. τὰ μέν νυν αὐτῶν πλέω παρήσομεν· τὰ δέ οἱ παρέσχε τε πόνον πλεῖστον καὶ ἀξιαπηγητότατά ἐστι, τούτων ἐπιμνήσομαι.

Κῦρος ἐπείτε τὰ πάντα τῆς ἠπείρου ὑποχείρια ἐποιή- 178
σατο, Ἀσσυρίοισι ἐπετίθετο. τῆς δὲ Ἀσσυρίης ἐστὶ μέν κου καὶ ἄλλα πολίσματα μεγάλα πολλά, τὸ δὲ ὀνομαστότατον καὶ ἰσχυρότατον καὶ ἔνθα σφι Νίνου ἀναστάτου γενομένης τὰ βασιλήια κατεστήκεε, ἦν Βαβυλών, ἐοῦσα τοιαύτη δή τις πόλις. κέεται ἐν πεδίῳ μεγάλῳ, μέγαθος ἐοῦσα μέτωπον ἕκαστον εἴκοσι καὶ ἑκατὸν σταδίων, ἐούσης τετραγώνου· οὗτοι στάδιοι τῆς περιόδου τῆς πόλιος γίνονται συνάπαντες ὀγδώ-

περὶ τῶν ἐν τῇ ἄνω Ἀσίᾳ Κύρου πράξεων περὶ Ἀσσυρίων καὶ Βαβυλῶνος καὶ περὶ μεγέθους αὐτῆς καὶ σχήματος

---

20. - p. 114, 1 Eustathius Dion. 1005

1. ἐπεδείκνυντο *C* ‖ 2. συνείλησα *Pz* ‖ 6. ἐπεξελθόντες Bekker: ὑπεξελθόντες ‖ 8. ἱστιαίων *P*, Ἱστιαίων *z* ‖ 10. οὕτως *L* ‖ 13. ἀναστατέα *C* ‖ 15. αὐτέων *z* ‖ παρήσομαι *z* ‖ 16. πόνον τε *z* ‖ 18. κῦρος δὲ *Rdz* ‖ ὑποχεῖρα *R*, ὑπὸ χεῖρα *dz* ‖ ἐποιήσαντο *C* ‖ 19. Ἀσσυρίοισι — τῆς δὲ om. *A*[1] ‖ ἐστὶ] ἐστὶ τὰ *ACP* ‖ 20. οὐνομαστότατον *C* ‖ 24. τετραγώνων *Rd* ‖ 25. πόλεως *d*

χοντα καὶ τετρακόσια. τὸ μέν νυν μέγαθος τοσοῦτόν ἐστι τοῦ ἄστεος τοῦ Βαβυλωνίου, ἐκεκόσμητο δὲ ὡς οὐδὲν ἄλλο πόλισμα τῶν ἡμεῖς ἴδμεν. τάφρος μὲν πρῶτά μιν βαθέα τε καὶ εὐρέα καὶ πλέη ὕδατος περιθέει, μετὰ δὲ τεῖχος πεντήκοντα μὲν πηχέων βασιληίων ἐὸν τὸ εὖρος, ὕψος δὲ διηκοσίων πηχέων· ὁ δὲ βασιλήιος πῆχυς τοῦ μετρίου ἐστὶ πήχεος

179 μέζων τρισὶ δακτύλοισι. δεῖ δή με πρὸς τούτοισι ἔτι φράσαι ἵνα τε ἐκ τῆς τάφρου ἡ γῆ ἀναισιμώθη, καὶ τὸ τεῖχος ὅντινα τρόπον ἔργαστο. ὀρύσσοντες ἅμα τὴν τάφρον ἐπλίνθευον τὴν γῆν τὴν ἐκ τοῦ ὀρύγματος ἐκφερομένην, ἑλκύσαντες δὲ πλίνθους ἱκανὰς ὤπτησαν αὐτὰς ἐν καμίνοισι· μετὰ δὲ τέλματι χρεώμενοι ἀσφάλτῳ θερμῇ καὶ διὰ τριήκοντα δόμων πλίνθου ταρσοὺς καλάμων διαστοιβάζοντες, ἔδειμαν πρῶτα μὲν τῆς τάφρου τὰ χείλεα, δεύτερα δὲ αὐτὸ τὸ τεῖχος τὸν αὐτὸν τρόπον. ἐπάνω δὲ τοῦ τείχεος παρὰ τὰ ἔσχατα οἰκήματα μουνόκωλα ἔδειμαν, τετραμμένα ἐς ἄλληλα· τὸ μέσον δὲ τῶν οἰκημάτων ἔλιπον τεθρίππῳ περιέλασιν. πύλαι δὲ ἐνεστᾶσι πέριξ τοῦ τείχεος ἑκατόν, χάλκεαι πᾶσαι, καὶ σταθμοί τε καὶ ὑπέρθυρα ὡσαύτως. ἔστι δὲ ἄλλη πόλις ἀπέχουσα ὀκτὼ ἡμερέων ὁδὸν ἀπὸ Βαβυλῶνος· Ἶς οὔνομα αὐτῇ. ἔνθα ἐστὶ ποταμὸς οὐ μέγας· Ἶς καὶ τῷ ποταμῷ τὸ οὔνομα· ἐσβάλλει δὲ οὗτος ἐς τὸν Εὐφρήτην ποταμὸν τὸ ῥέεθρον. οὗτος ὦν ὁ Ἶς ποταμὸς ἅμα τῷ ὕδατι θρόμβους ἀσφάλτου ἀναδιδοῖ πολλούς, ἔνθεν ἡ ἄσφαλτος ἐς τὸ ἐν

ὅτι ὁ Ἶς ποταμὸς ἄσφαλτον ἀναδίδωσι περὶ ἀσφάλτου ποταμοῦ

12. Schol. Theocrit. XVI 100. — Bekkeri Anecd. 89. — 13. Λέξεις. — 17. πύλαι - 19 ὑπέρθυρα Eustathius Dion. 1005. — 21. idem Il. p. 877. — 23. Herodianus π. μον. λέξ. p. 19. Stephanus Byz. v. Ἶς. Choeroboscus in Et. M. p. 470, 309. — 24. ἔνθεν - 115, 1 ἐκομίσθη Stephanus Byz. v. Ἶς

1. μέγεθος *R* ‖ 3. ἴδμεν *z*: ἴσμεν ‖ τάφος *C* ‖ μιν om. *Rdz* ‖ βαθέα *dz*: βαθεῖα ‖ 4. εὐρέα *dz*: εὐρεῖα ‖ καὶ om. *Rd* ‖ 5. πήχεων *PR*, τειχέαν *C* ‖ 6. πήχεων *PR* ‖ 7. ἔτι φράσαι Bekker: ἐπιφράσαι ‖ 11. ἱκανοὺς *d* ‖ 12. χρεόμενοι *R* ‖ 15. τείχους *R* ‖ 16. μουνόκωλα *C*, μουνόκολα *R* ‖ εἰς *R* ‖ 17. περὶ ἔλασιν *dz*, πὲρ ἰ ἔλασιν *R* ‖ 18. ἐστᾶσι *Rd* ‖ 20. ἡμερῶν *R* ‖ 21. τὸ] τῷ *z* ‖ 22. εὐφρήτην *CPz*: εὐφράτην ‖ 24. ἔνθα *d*

Βαβυλῶνι τεῖχος ἐκομίσθη. ἐτετείχιστο μέν νυν ἡ Βαβυλὼν 180
τρόπῳ τοιῷδε, ἔστι δὲ δύο φάρσεα τῆς πόλιος. τὸ γὰρ μέσον αὐτῆς ποταμὸς διέργει, τῷ οὔνομά ἐστι Εὐφρήτης· ῥέει δὲ ἐξ Ἀρμενίων, ἐὼν μέγας καὶ βαθὺς καὶ ταχύς· ἐξίει δὲ οὗτος ἐς τὴν Ἐρυθρὴν θάλασσαν. τὸ ὦν δὴ τεῖχος ἑκάτερον τοὺς ἀγκῶνας ἐς τὸν ποταμὸν ἐλήλαται· τὸ δὲ ἀπὸ τούτου αἱ ἐπικαμπαὶ παρὰ χεῖλος ἑκάτερον τοῦ ποταμοῦ αἱμασιὴ πλίνθων ὀπτέων παρατείνει. τὸ δὲ ἄστυ αὐτὸ ἐὸν πλῆρες οἰκιέων τριωρόφων τε καὶ τετρωρόφων κατατέτμηται τὰς ὁδοὺς ἰθέας, τάς τε ἄλλας καὶ τὰς ἐπικαρσίας τὰς ἐπὶ τὸν ποταμὸν ἐχούσας. κατὰ δὴ ὦν ἑκάστην ὁδὸν ἐν τῇ αἱμασιῇ τῇ παρὰ τὸν ποταμὸν πυλίδες ἐπῆσαν, ὅσαι περ αἱ λαῦραι, τοσαῦται ἀριθμόν· ἦσαν δὲ καὶ αὗται χάλκεαι, φέρουσαι καὶ αὐταὶ ἐς αὐτὸν τὸν ποταμόν. τοῦτο μὲν δὴ τὸ τεῖχος θώρηξ ἐστί, 181
ἕτερον δὲ ἔσωθεν τεῖχος περιθέει, οὐ πολλῷ τεῳ ἀσθενέστερον τοῦ ἑτέρου τείχεος, στεινότερον δέ. ἐν δὲ φάρσεϊ ἑκατέρῳ τῆς πόλιος ἐτετείχιστο [ἐν μέσῳ] ἐν τῷ μὲν τὰ βασιλήια περιβόλῳ τε μεγάλῳ καὶ ἰσχυρῷ, ἐν δὲ τῷ ἑτέρῳ Διὸς Βήλου ἱρὸν χαλκόπυλον, καὶ ἐς ἐμὲ ἔτι τοῦτο ἐόν, δύο σταδίων πάντῃ, ἐὸν τετράγωνον. ἐν μέσῳ δὲ τοῦ ἱροῦ πύργος στερεὸς οἰκοδόμηται, σταδίου καὶ τὸ μῆκος καὶ τὸ εὖρος, καὶ ἐπὶ τούτῳ τῷ πύργῳ ἄλλος πύργος ἐπιβέβηκε, καὶ ἕτερος μάλα ἐπὶ τούτῳ, μέχρι οὗ ὀκτὼ πύργων. ἀνάβασις δὲ ἐς αὐτοὺς ἔξωθεν κύκλῳ περὶ πάντας τοὺς πύργους ἔχουσα πε-

---

2. - 5 Eustathius Dion. 988. — Λέξεις. — 7. Λέξεις. — 8 sq. Dionysius Hal. art. rhet. I 3. — 12. Λέξεις. — 19. Eustathius Dion. 1005. — 22 sq. Choricius p. 150. 103 Boiss.

1. τετείχιστο *C* ‖ 2. δὲ om. *Rdz* ‖ 3. διέργει *C*: διείργει ‖ εὐφράτης *AB* ‖ 5. δὴ ὧν *d* ‖ 8. ἐὼν *P* ‖ οἰκιῶν *Rd* ‖ 9. τριορόφων *ABpr.C.* πεντώροφα Dion. ‖ τε om. *ABC* ‖ τετρορόφων *ABpr.C.* ἑξώροφα Dion. ‖ ἰθείας *L* ‖ 10. ἐχούσας] ἀγούσας *z* ‖ 12. ἐπήεσαν *Rd*, ἐπῄεσαν *z* ‖ αἱ om. *z* ‖ 13. αὐταὶ *C* ‖ χάλκειαι *Rd* ‖ 14. μὲν om. *R* ‖ 15. περιθεῖ *ABCPz*, om. *Rd* ‖ τεωι *A*: τέῳ ‖ εὐσθενέστερον *z* ‖ 16. ἐν δὲ - p. 117, 6 πολλά om. *Rd* ‖ φάρσει *ABP* ‖ 17. τετείχιστο *C* ‖ ἐν μέσῳ seclusi ab Opperto admonitus ‖ μὲν J. Gronovius: ἦεν *AB*, ᾖεν *Pz*, εἶεν *C*. μὲν ἐνὶ Koen ‖ τὰ om. *z* ‖ 18. τε μεγάλῳ καὶ *Pz*: τε μεγάλῳ τε καὶ ‖ 19. τοῦτο ἔτι *Pz* ‖ 20. πάντη *C* ‖ 23. μέχρις *L*

ποίηται. μεσοῦντι δέ κου τῆς ἀναβάσιος ἐστὶ καταγωγή τε
καὶ θῶκοι ἀμπαυστήριοι, ἐν τοῖσι κατίζοντες ἀμπαύονται οἱ
ἀναβαίνοντες. ἐν δὲ τῷ τελευταίῳ πύργῳ νηὸς ἔπεστι μέγας·
ἐν δὲ τῷ νηῷ κλίνη μεγάλη κέεται εὖ ἐστρωμένη καί οἱ
τράπεζα παρακέεται χρυσέη. ἄγαλμα δὲ οὐκ ἔνι οὐδὲν αὐ-
τόθι ἐνιδρυμένον· οὐδὲ νύκτα οὐδεὶς ἐναυλίζεται ἀνθρώπων
ὅτι μὴ γυνὴ μούνη τῶν ἐπιχωρίων, τὴν ἂν ὁ θεὸς ἕληται ἐκ
πασέων, ὡς λέγουσι οἱ Χαλδαῖοι ἐόντες ἱρέες τούτου τοῦ
182 θεοῦ. φασὶ δὲ οἱ αὐτοὶ οὗτοι, ἐμοὶ μὲν οὐ πιστὰ λέγοντες,
τὸν θεὸν αὐτὸν φοιτᾶν τε ἐς τὸν νηὸν καὶ ἀμπαύεσθαι ἐπὶ τῆς
κλίνης, κατά περ ἐν Θήβῃσι τῇσι Αἰγυπτίῃσι κατὰ τὸν αὐτὸν
τρόπον, ὡς λέγουσι οἱ Αἰγύπτιοι· καὶ γὰρ δὴ ἐκεῖθι κοιμᾶται
ἐν τῷ τοῦ Διὸς τοῦ Θηβαιέος γυνή, ἀμφότεραι δὲ αὗται
λέγονται ἀνδρῶν οὐδαμῶν ἐς ὁμιλίην φοιτᾶν· καὶ κατά περ
ἐν Πατάροισι τῆς Λυκίης ἡ πρόμαντις τοῦ θεοῦ, ἐπεὰν γένη-
ται· οὐ γὰρ ὦν αἰεί ἐστι χρηστήριον αὐτόθι· ἐπεὰν δὲ γέ-
νηται, τότε ὦν συγκατακληίεται τὰς νύκτας ἔσω ἐν τῷ νηῷ.
183 ἔστι δὲ τοῦ ἐν Βαβυλῶνι ἱροῦ καὶ ἄλλος κάτω νηός, ἔνθα
ἄγαλμα μέγα τοῦ Διὸς ἔνι κατήμενον χρύσεον καί οἱ τρά-
πεζα μεγάλη παρακέεται χρυσέη, καὶ τὸ βάθρον οἱ καὶ ὁ
θρόνος χρύσεός ἐστι· καὶ ὡς ἔλεγον οἱ Χαλδαῖοι, ταλάντων
ὀκτακοσίων χρυσίου πεποίηται ταῦτα. ἔξω δὲ τοῦ νηοῦ βω-
μός ἐστι χρύσεος. ἔστι δὲ καὶ ἄλλος βωμὸς μέγας, ὅκου
θύεται τὰ τέλεα τῶν προβάτων· ἐπὶ γὰρ τοῦ χρυσέου βωμοῦ
οὐκ ἔξεστι θύειν ὅτι μὴ γαλαθηνὰ μοῦνα. ἐπὶ δὲ τοῦ μέζονος
βωμοῦ καὶ καταγίζουσι λιβανωτοῦ χίλια τάλαντα ἔτεος ἑκά-
στου οἱ Χαλδαῖοι τότε ἐπεὰν τὴν ὁρτὴν ἄγωσι τῷ θεῷ τούτῳ.
ἦν δὲ ἐν τῷ τεμένεϊ τούτῳ ἔτι τὸν χρόνον ἐκεῖνον καὶ ἀνδριὰς

---

1. Λέξεις. — 12. καὶ - 13 γυνή Lexicon Vindob. p. 89. — 24 sq. Athenaeus p. 396

3. ἐπεστη *B* ‖ 4. καὶ ἡ τράπεζα *z* ‖ 7. ὁ om. *qz* ‖ 10. ἀμπαύεσθαι *z*: ἀναπαύεσθαι ‖ 12. οἱ om. *C* ‖ 13. Θηβαίου Lex. Vind. ‖ 16. ὦν] δὴ *qz* ‖ 17. συγκατακλήιεται *B*, συγκατακλήεται *C* ‖ ἐς τὸν νηόν *qz* ‖ 20. παρακέαται *qz* ‖ 21. χρύσεόν ἐστι *z* ‖ 23. μεγὰς βωμὸς *C* ‖ ὅπου *L* ‖ 27. ὀργὴν *C* ‖ 28. τεμένει *AB*

δυώδεκα πηχέων χρύσεος στερεός· ἐγὼ μέν μιν οὐκ εἶδον, τὰ δὲ λέγεται ὑπὸ Χαλδαίων, ταῦτα λέγω. τούτῳ τῷ ἀνδριάντι Δαρεῖος μὲν ὁ Ὑστάσπεος ἐπιβουλεύσας οὐκ ἐτόλμησε λαβεῖν, Ξέρξης δὲ ὁ Δαρείου ἔλαβε καὶ τὸν ἱρέα ἀπέκτεινε ἀπαγορεύοντα μὴ κινέειν τὸν ἀνδριάντα. τὸ μὲν δὴ ἱρὸν τοῦτο οὕτω κεκόσμηται, ἔστι δὲ καὶ ἴδια ἀναθήματα πολλά.

Τῆς δὲ Βαβυλῶνος ταύτης πολλοὶ μέν κου καὶ ἄλλοι 184
ἐγένοντο βασιλέες, τῶν ἐν τοῖσι Ἀσσυρίοισι λόγοισι μνήμην ποιήσομαι, οἳ τὰ τείχεά τε ἐπεκόσμησαν καὶ τὰ ἱρά, ἐν δὲ δὴ καὶ γυναῖκες δύο. ἡ μὲν πρότερον ἄρξασα, τῆς ὕστερον γενεῇσι πέντε πρότερον γενομένη, τῇ οὔνομα ἦν Σεμίραμις, αὕτη μὲν ἀπεδέξατο χώματα ἀνὰ τὸ πεδίον ἐόντα ἀξιοθέητα· πρότερον δὲ ἐώθεε ὁ ποταμὸς ἀνὰ τὸ πεδίον πᾶν πελαγίζειν.
ἡ δὲ δὴ δεύτερον γενομένη ταύτης βασίλεια, τῇ οὔνομα ἦν 185
Νίτωκρις, αὕτη δὲ συνετωτέρη γενομένη τῆς πρότερον ἀρξάσης τοῦτο μὲν μνημόσυνα ἐλίπετο τὰ ἐγὼ ἀπηγήσομαι, τοῦτο δὲ τὴν Μήδων ὁρέουσα ἀρχὴν μεγάλην τε καὶ οὐκ ἀτρεμίζουσαν, ἀλλ' ἄλλα τε ἀραιρημένα ἄστεα αὐτοῖσι, ἐν δὲ δὴ καὶ τὴν Νίνον, προεφυλάξατο ὅσα ἐδύνατο μάλιστα. πρῶτα μὲν τὸν Εὐφρήτην ποταμὸν ῥέοντα πρότερον ἰθύν, ὅς σφι διὰ τῆς πόλιος μέσης ῥέει, τοῦτον ἄνωθεν διώρυχας ὀρύξασα οὕτω δή τι ἐποίησε σκολιὸν ὥστε δὴ τρὶς ἐς τῶν τινα κωμέων τῶν ἐν τῇ Ἀσσυρίῃ ἀπικνέεται ῥέων· τῇ δὲ κώμῃ οὔνομά ἐστι, ἐς τὴν ἀπικνέεται ὁ Εὐφρήτης, Ἀρδέρικκα. καὶ νῦν οἳ ἂν κομίζωνται ἀπὸ τῆσδε τῆς θαλάσσης ἐς Βαβυλῶνα, καταπλέοντες [ἐς] τὸν Εὐφρήτην ποταμὸν τρίς τε ἐς τὴν αὐτὴν ταύτην κώμην παραγίνονται καὶ ἐν τρισὶ ἡμέρῃσι.

περὶ τῶν ἐν Βαβυλῶνι βασιλέων καὶ βασιλίδων (*B*)   περὶ τῶν Νιτώκριδος κατασκευασμάτων

1. πήχεων *Pz* ‖ 6. κεκόσμητο *C* ‖ 8. βασιλῆες *z* ‖ 10. καὶ om. *C* ‖ 13. ἔωθεν *Rd* ‖ 14. ἡ δὲ δὴ] ἤδη δὲ ἡ *R*, ἤδη δὲ ἡ *d* ‖ 15. νίτρωκρις *ABC*, νίτοκρις *d* ‖ 17. ὁρῶσα *L* ‖ 18. ἀλλ' ἄλλα Bekker: ἄλλα ‖ 19. νῖνον *Pz* ‖ 20. τὸν om. *R* ‖ εὐφράτην *ABd* ‖ ἐόντα *Rdz* ‖ ὅσφι *C* ‖ 22. τινα *A*: τινὰ ‖ 24. εὐφράτης *AB* ‖ ἀρδέρικα *C*, ἀρδερικκά *Rd*, Αρδερικά *z* ‖ 25. οἳ ἂγκομίζονται *R* ‖ τῆσδε om. *Rdz* ‖ 26. ἐς damnavit Schweighaeuser

τοῦτο μὲν δὴ τοιοῦτον ἐποίησε, χῶμα δὲ παρέχωσε παρ' ἑκάτερον τοῦ ποταμοῦ τὸ χεῖλος ἄξιον θώυματος μέγαθος καὶ ὕψος ὅσον τι ἐστί. κατύπερθε δὲ πολλῷ Βαβυλῶνος ὤρυσσε ἔλυτρον λίμνῃ, ὀλίγον τι παρατείνουσα ἀπὸ τοῦ ποταμοῦ, βάθος μὲν ἐς τὸ ὕδωρ αἰεὶ ὀρύσσουσα, εὖρος δὲ τὸ περίμετρον αὐτοῦ ποιεῦσα εἴκοσί τε καὶ τετρακοσίων σταδίων· τὸν δὲ ὀρυσσόμενον χοῦν ἐκ τούτου τοῦ ὀρύγματος ἀναισίμου παρὰ τὰ χείλεα τοῦ ποταμοῦ παραχέουσα. ἐπείτε δέ οἱ ὀρώρυκτο, λίθους ἀγαγομένη κρηπῖδα κύκλῳ περὶ αὐτὴν ἤλασε. ἐποίεε δὲ ἀμφότερα ταῦτα, τόν τε ποταμὸν σκολιὸν καὶ τὸ ὄρυγμα πᾶν ἕλος, ὡς ὅ τε ποταμὸς βραδύτερος εἴη περὶ καμπὰς πολλὰς ἀγνύμενος, καὶ οἱ πλόοι ἔωσι σκολιοὶ ἐς τὴν Βαβυλῶνα, ἔκ τε τῶν πλόων ἐκδέκηται περίοδος τῆς λίμνης μακρή. κατὰ τοῦτο δὲ ἐργάζετο τῆς χώρης τῇ αἵ τε ἐσβολαὶ ἦσαν καὶ τὰ σύντομα τῆς ἐκ Μήδων ὁδοῦ, ἵνα μὴ ἐπιμισγόμενοι οἱ Μῆδοι ἐκμανθάνοιεν αὐτῆς τὰ πρήγματα.

186 ταῦτα μὲν δὴ ἐκ βάθεος περιεβάλετο, τοιήνδε δὲ ἐξ αὐτῶν παρενθήκην ἐποιήσατο. τῆς πόλιος ἐούσης δύο φαρσέων, τοῦ δὲ ποταμοῦ μέσον ἔχοντος, ἐπὶ τῶν πρότερον βασιλέων ὅκως τις ἐθέλοι ἐκ τοῦ ἑτέρου φάρσεος ἐς τοὔτερον διαβῆναι, χρῆν πλοίῳ διαβαίνειν, καὶ ἦν, ὡς ἐγὼ δοκέω, ὀχληρὸν τοῦτο. αὕτη δὲ καὶ τοῦτο προεῖδε· ἐπείτε γὰρ ὤρυσσε τὸ ἔλυτρον τῇ λίμνῃ, μνημόσυνον τόδε ἄλλο ἀπὸ τοῦ αὐτοῦ ἔργου ἐλίπετο. ἐτάμνετο λίθους περιμήκεας, ὡς δέ οἱ ἦσαν οἱ λίθοι ἕτοιμοι καὶ τὸ χωρίον ὀρώρυκτο, ἐκτρέψασα τοῦ ποταμοῦ τὸ ῥέεθρον πᾶν ἐς τὸ ὤρυσσε χωρίον, ἐν ᾧ ἐπίμπλατο τοῦτο, ἐν

4. Λέξεις. — 18. Phrynichus p. 223 Lob.

1. τοιοῦτο z ‖ 3. κατύπερθεν *R* ‖ 4. ὄρυσσε *AB* ‖ λίμνης *Rdz* ‖ παρακλίνασα *Rd* ‖ 5. αἰεὶ *C*: ἀεὶ ‖ 9. ὀρώρυκτο Bekker: ὤρυκτο ‖ ἀγομένη *Rdz* ‖ κύκλῳ (ω sup.) *R* ‖ 10. ταῦτα ἀμφότερα *d* ‖ 14. μακρός *ABCPcorr.* ‖ δὲ τοῦτο *d* ‖ ἠργάζετο *ABpr.*, εἰργάζετο reliqui ‖ 17. περιεβάλλετο *d* ‖ τοιῆνδε *A* ‖ δὲ om. *d* ‖ αὐτέων *B* ‖ 18. παρεντήκην *Bcorr.CP* ‖ ἐόντων Reiske ‖ 19. προτέρων *PRdz* ‖ 20. ἐθέλει *C* ‖ 21. χρὴ πλοίωι διαβῆναι *C* ‖ 25. ἑτοῖμοι *CP* ‖ ὠρώρυκτο *Bpr.Pz* ‖ 26. ἐν τῷ z ‖ τοῦτο τὸ ἐν τούτῳ *Rd*

τούτῳ ἀπεξηρασμένου τοῦ ἀρχαίου ῥεέθρου τοῦτο μὲν τὰ χείλεα τοῦ ποταμοῦ κατὰ τὴν πόλιν καὶ τὰς καταβάσιας τὰς ἐκ τῶν πυλίδων ἐς τὸν ποταμὸν φερούσας ἀνοικοδόμησε πλίνθοισι ὀπτῇσι κατὰ τὸν αὐτὸν λόγον τῷ τείχεϊ, τοῦτο δὲ κατὰ μέσην κου μάλιστα τὴν πόλιν τοῖσι λίθοισι τοὺς ὠρύξατο οἰκοδόμεε γέφυραν, δέουσα τοὺς λίθους σιδήρῳ τε καὶ μολύβδῳ. ἐπιτείνεσκε δὲ ἐπ' αὐτήν, ὅκως μὲν ἡμέρη γένοιτο, ξύλα τετράγωνα, ἐπ' ὧν τὴν διάβασιν ἐποιεῦντο οἱ Βαβυλώνιοι· τὰς δὲ νύκτας τὰ ξύλα ταῦτα ἀπαιρέεσκον τοῦδε εἵνεκα, ἵνα μὴ διαφοιτέοντες τὰς νύκτας κλέπτοιεν παρ' ἀλλήλων. ὡς δὲ τά τε ὀρυχθὲν λίμνη πλήρης ἐγεγόνεε ὑπὸ τοῦ ποταμοῦ καὶ τὰ περὶ τὴν γέφυραν ἐκεκόσμητο, τὸν Εὐφρήτην ποταμὸν ἐς τὰ ἀρχαῖα ῥέεθρα ἐκ τῆς λίμνης ἐξήγαγε, καὶ οὕτω τὸ ὀρυχθὲν ἕλος γινόμενον ἐς δέον ἐδόκεε γεγονέναι καὶ τοῖσι πολιήτῃσι γέφυρα ἦν κατεσκευασμένη.

Ἡ δ' αὐτὴ αὕτη βασίλεια καὶ ἀπάτην τοιήνδε τινὰ ἐμηχανήσατο. 187
ὑπὲρ τῶν μάλιστα λεωφόρων πυλέων τοῦ ἄστεος τάφον ἑωυτῇ κατεσκευάσατο μετέωρον ἐπιπολῆς αὐτέων τῶν πυλέων, ἐνεκόλαψε δὲ ἐς τὸν τάφον γράμματα λέγοντα τάδε. "τῶν τις ἐμεῦ ὕστερον γινομένων Βαβυλῶνος βασιλέων ἢν σπανίσῃ χρημάτων, ἀνοίξας τὸν τάφον λαβέτω ὁκόσα βούλεται χρήματα· μὴ μέντοι γε μὴ σπανίσας γε ἄλλως ἀνοίξῃ· οὐ γὰρ ἄμεινον." οὗτος ὁ τάφος ἦν ἀκίνητος μέχρι οὗ ἐς Δαρεῖον περιῆλθε ἡ βασιληίη· Δαρείῳ δὲ καὶ δεινὸν ἐδόκεε εἶναι τῇσι πύλῃσι ταύτῃσι μηδὲν χρᾶσθαι, καὶ χρημάτων κειμένων καὶ αὐτῶν τῶν χρημάτων ἐπικαλεομένων, μὴ οὐ

---

16 sqq. (Plutarchus mor. p. 173)

1. ἀπεξηραμένου sz ‖ 2. τὰς] κατὰ τὰς dz ‖ καταβάσεις Rd ‖ 3. ἀνῳκοδόμησε R, ἀνωκοδόμησε d ‖ 4. ὀπτοῖσι d ‖ τείχει AB ‖ 6. τοὺς λίθους om. C ‖ μολίβδῳ Rdz ‖ 7. ἐπετείνεσκε z ‖ γένηται dz ‖ 8. οἱ] τοὶ z ‖ 9. ἀπαιρέεσκον Rdz: ἀπαίρεσκον ‖ 10. διαφοιτέωντες C, φοιτέοντες dz ‖ τὰς νύκτας om. C ‖ 12. εὐφράτην Rd ‖ 13. ἐξάγαγε z ‖ 14. τὰ] τό τε? ‖ γενόμενον Rdz ‖ 16. δὲ Rd ‖ αὕτη om. Rdz ‖ τοιῆνδέ τινα AC ‖ 17. λεωφόρων Rdz: λαοφόρων ‖ 18. ἐπὶ πολλῆς C ‖ 20. γεινομένων R ‖ 21. χρήματα Rd ‖ 22. ἄλλος R ‖ 23. μέχρι dz: μέχρις ‖ 24. βασιληίη Rd[1] ‖ 25. χρέεσθαι CPz, χρῆσθαι reliqui

λαβεῖν αὐτά. τῇσι δὲ πύλῃσι ταύτῃσι οὐδὲν ἐχρᾶτο τοῦδε εἵνεκα, ὅτι ὑπὲρ κεφαλῆς οἱ ἐγίνετο ὁ νεκρὸς διεξελαύνοντι. ἀνοίξας δὲ τὸν τάφον εὗρε χρήματα μὲν οὔ, τὸν δὲ νεκρὸν καὶ γράμματα λέγοντα τάδε. "εἰ μὴ ἄπληστός τε ἔας χρημάτων καὶ αἰσχροκερδής, οὐκ ἂν νεκρῶν θήκας ἀνέῳγες."

188 Αὕτη μέν νυν ἡ βασίλεια τοιαύτη τις λέγεται γενέσθαι· ὁ δὲ δὴ Κῦρος ἐπὶ ταύτης τῆς γυναικὸς τὸν παῖδα ἐστρατεύετο, ἔχοντά τε τοῦ πατρὸς τοῦ ἑωυτοῦ τοὔνομα Λαβυνήτου καὶ τὴν Ἀσσυρίων ἀρχήν. στρατεύεται δὲ δὴ βασιλεὺς ὁ μέγας καὶ σιτίοισι εὖ ἐσκευασμένος ἐξ οἴκου καὶ προβάτοισι, καὶ δὴ καὶ ὕδωρ ἀπὸ τοῦ Χοάσπεω ποταμοῦ ἅμα ἄγεται τοῦ παρὰ Σοῦσα ῥέοντος, τοῦ μούνου πίνει βασιλεὺς καὶ ἄλλου οὐδενὸς ποταμοῦ. τούτου δὲ τοῦ Χοάσπεω τοῦ ὕδατος ἀπεψημένου πολλαὶ κάρτα ἅμαξαι τετράκυκλοι ἡμιόνειαι κομίζουσαι ἐν ἀγγηίοισι ἀργυρέοισι ἕπονται, ὅκῃ ἂν ἐλαύνῃ ἑκά-
189 στοτε. ἐπείτε δὲ ὁ Κῦρος πορευόμενος ἐπὶ τὴν Βαβυλῶνα ἐγίνετο ἐπὶ Γύνδῃ ποταμῷ, τοῦ αἱ μὲν πηγαὶ ἐν Ματιηνοῖσι ὄρεσι, ῥέει δὲ διὰ Δαρδανέων, ἐκδιδοῖ δὲ ἐς ἕτερον ποταμὸν Τίγρην, ὁ δὲ παρὰ Ὦπιν πόλιν ῥέων ἐς τὴν Ἐρυθρὴν θάλασσαν ἐκδιδοῖ, τοῦτον δὴ τὸν Γύνδην ποταμὸν ὡς διαβαίνειν ἐπειρᾶτο ὁ Κῦρος ἐόντα νηυσιπέρητον, ἐνθαῦτά οἱ τῶν τις ἱρῶν ἵππων τῶν λευκῶν ὑπὸ ὕβριος ἐσβὰς ἐς τὸν ποταμὸν διαβαίνειν ἐπειρᾶτο, ὁ δέ μιν συμψήσας ὑποβρύχιον οἰχώκεε

περὶ Λαβυνίτου τοῦ Νιτώκριδος παιδὸς καὶ τῆς ἐπ' αὐτὸν Κύρου στρατιᾶς   Χοάσπης ποταμός   Γύνδης ποταμός

---

5. οὐκ - ἀνέῳγες Lexicon Vindob. p. 33. — 11. - 15 Athenaeus p. 45. Eustathius Dion. 1073. (Od. p. 1499). — 21. τῶν τις - p. 121, 1 φέρων Suidas v. συμψήσας. — 23. Λέξεις

2. ἐγένετο *dz*, ἐγένοντο *R* ‖ 3. νεκρὸν δὲ *dz* ‖ 4. ἔεις *Rdz* ‖ 5. ἀνέωγες *CRdz*, ἀνέῳγας Lex. Vind. ‖ 8. Λαβυνήτου Wesseling: λαβυνίτου ‖ 9. δὴ om. *Rdz* ‖ 10. ἐσκευασμένος Schweighaeuser: ἐσκευασμένοις *Rd*, ἐσκευασμένοισι reliqui ‖ 12. μόνου *BCPz*, μοῦνος *R*d^1*z*. Eust. Od. ‖ πίνειν *R* ‖ 14. ἡμιόνειε *R*, ἡμιόνει d^1, ἡμιόνειοι Eust. Dion., ἡμιόνεαι *sv*. Bredovius ‖ 15. ἀγγείοισι ἀργυρέοισι codices, ἀργυρέοισι ἀγγείοισι *z* ‖ ὅπῃι *AB*, ὅπῃ *CRd*, ὅποι *Pz* ‖ ἐλαύνῃισι *ABC*, ἐλαύνοι *qz* ‖ 17. μαντιηνοῖσι *CRdz* ‖ 18. δαρδάνων *B* ‖ εἰς *AB* ‖ 19. τίγρην *ABC*: τίγριν ‖ 20. γύδην *A*B^1 ‖ 21. νηυσὶ περητὸν *L*

φέρων. κάρτα τε δὴ ἐχαλέπαινε τῷ ποταμῷ ὁ Κῦρος τοῦτο ὑβρίσαντι, καί οἱ ἐπηπείλησε οὕτω δή μιν ἀσθενέα ποιήσειν ὥστε τοῦ λοιποῦ καὶ γυναῖκάς μιν εὐπετέως τὸ γόνυ οὐ βρεχούσας διαβήσεσθαι. μετὰ δὲ τὴν ἀπειλὴν μετεὶς τὴν ἐπὶ Βαβυλῶνα στράτευσιν διαίρεε τὴν στρατιὴν δίχα, διελὼν δὲ κατέτεινε σχοινοτενέας ὑποδέξας διώρυχας ὀγδώκοντα καὶ ἑκατὸν παρ' ἑκάτερον τὸ χεῖλος τοῦ Γύνδεω τετραμμένας πάντα τρόπον, διατάξας δὲ τὸν στρατὸν ὀρύσσειν ἐκέλευε. οἷα δὲ ὁμίλου πολλοῦ ἐργαζομένου ἤνετο μὲν τὸ ἔργον, ὅμως μέντοι τὴν θερείην πᾶσαν αὐτοῦ ταύτῃ διέτριψαν ἐργαζόμενοι.

Ὡς δὲ τὸν Γύνδην ποταμὸν ἐτίσατο Κῦρος ἐς τριηκοσίας 190
καὶ ἑξήκοντα διώρυχάς μιν διαλαβών, καὶ τὸ δεύτερον ἔαρ ὑπέλαμπε, οὕτω δὴ ἤλαυνε ἐπὶ τὴν Βαβυλῶνα. οἱ δὲ Βαβυλώνιοι ἐκστρατευσάμενοι ἔμενον αὐτόν. ἐπεὶ δὲ ἐγένετο ἐλαύνων ἀγχοῦ τῆς πόλιος, συνέβαλόν τε οἱ Βαβυλώνιοι καὶ ἑσσωθέντες τῇ μάχῃ κατειλήθησαν ἐς τὸ ἄστυ. οἷα δὲ ἐξεπιστάμενοι ἔτι πρότερον τὸν Κῦρον οὐκ ἀτρεμίζοντα, ἀλλ' ὁρέοντες αὐτὸν παντὶ ἔθνεϊ ὁμοίως ἐπιχειρέοντα, προεσάξαντο σιτία ἐτέων κάρτα πολλῶν. ἐνθαῦτα οὗτοι μὲν λόγον εἶχον τῆς πολιορκίης οὐδένα, Κῦρος δὲ ἀπορίῃσι ἐνείχετο, ἅτε χρόνου τε ἐγγινομένου συχνοῦ ἀνωτέρω τε οὐδὲν τῶν πρηγμάτων προκοπτομένων. εἴτε δὴ ὤν ἄλλος οἱ ἀπορέοντι ὑπεθήκατο, 191
εἴτε καὶ αὐτὸς ἔμαθε τὸ ποιητέον οἱ ἦν, ἐποίεε δὴ τοιόνδε. τάξας τὴν στρατιὴν ἅπασαν ἐξ ἐμβολῆς τοῦ ποταμοῦ, τῇ ἐς

ἧττα Ἀσσυρίων καὶ πολιορκία καὶ πῶς ἥλω Βαβυλών

---

6. Λέξεις. — 10. Bekkeri Anecd. p. 99. — 13. Phrynichus ib. p. 36. — 14. οἱ - 15 αὐτόν Lexicon Vindob. p. 63

1. τε] δὲ *sz* ‖ τοῦτο *ABC*: τούτῳ ‖ 3. οὐ] μὴ *Rdz* ‖ 5. στράτευσειν *A*[1] ‖ διελον *A*[1] ‖ 7. τετραμμένας τοῦ γύνδεω *C* ‖ 8. ἐκέλευσεν *Rd*, ‖ 9. ἠνύετο *Rdz* ‖ 13. ἑξήκοντά μιν διώρυχας *z* ‖ 16. ἀχοῦ *d* ‖ πόλεος *B* ‖ 17. ἐσσωθέντες *CRd* ‖ 18. ἀλλὰ *Rd* ‖ 19. ὀρέωντες *C* ‖ προσάξαντο *Rdz* ‖ 21. πολιορκίας *P* ‖ 22. ἀνωτέρωι *AB* ‖ τε] δὲ *dz* ‖ 23. ἄλλως *d* ‖ ἐπεθήκατο *Cpr.* ‖ 24. τὸ] τὰ *C* ‖ δὴ om. *Ccorr.* ‖ 25. ἅπασαν] ἀπαναστᾶσαν?

τὴν πόλιν ἐσβάλλει, καὶ ὄπισθε αὖτις τῆς πόλιος τάξας ἑτέρους, τῇ ἐξίει ἐκ τῆς πόλιος ὁ ποταμός, προεῖπε τῷ στρατῷ, ὅταν διαβατὸν τὸ ῥέεθρον ἴδωνται γενόμενον, ἐσιέναι ταύτῃ ἐς τὴν πόλιν. οὕτω τε δὴ τάξας καὶ κατὰ ταῦτα παραινέσας ἀπήλαυνε αὐτὸς σὺν τῷ ἀχρηίῳ τοῦ στρατοῦ. ἀπικόμενος δὲ ἐπὶ τὴν λίμνην, τά περ ἡ τῶν Βαβυλωνίων βασίλεια ἐποίησε κατά τε τὸν ποταμὸν καὶ κατὰ τὴν λίμνην, ἐποίεε καὶ ὁ Κῦρος ἕτερα τοιαῦτα· τὸν γὰρ ποταμὸν διώρυχι ἐσαγαγὼν ἐς τὴν λίμνην ἐοῦσαν ἕλος τὸ ἀρχαῖον ῥέεθρον διαβατὸν εἶναι ἐποίησε, ὑπονοστήσαντος τοῦ ποταμοῦ. γενομένου δὲ τούτου τοιούτου, οἱ Πέρσαι οἵ περ ἐτετάχατο ἐπ' αὐτῷ τούτῳ κατὰ τὸ ῥέεθρον τοῦ Εὐφρήτεω ποταμοῦ ὑπονενοστηκότος ἀνδρὶ ὡς ἐς μέσον μηρὸν μάλιστά κῃ, κατὰ τοῦτο ἐσήισαν ἐς τὴν Βαβυλῶνα. εἰ μέν νυν προεπύθοντο ἢ ἔμαθον οἱ Βαβυλώνιοι τὸ ἐκ τοῦ Κύρου ποιεύμενον, οἱ δ' ἂν περιιδόντες τοὺς Πέρσας ἐσελθεῖν ἐς τὴν πόλιν διέφθειραν ἂν κάκιστα· κατακληίσαντες γὰρ ἂν πάσας τὰς ἐς τὸν ποταμὸν πυλίδας ἐχούσας καὶ αὐτοὶ ἐπὶ τὰς αἱμασιὰς ἀναβάντες τὰς παρὰ τὰ χείλεα τοῦ ποταμοῦ ἐληλαμένας, ἔλαβον ἄν σφεας ὡς ἐν κύρτῃ. νῦν δὲ ἐξ ἀπροσδοκήτου σφι παρέστησαν οἱ Πέρσαι. ὑπὸ δὲ μεγάθεος τῆς πόλιος, ὡς λέγεται ὑπὸ τῶν ταύτῃ οἰκημένων, τῶν περὶ τὰ ἔσχατα τῆς πόλιος ἑαλωκότων τοὺς τὸ μέσον οἰκέοντας τῶν Βαβυλωνίων οὐ μανθάνειν ἑαλωκότας, ἀλλὰ (τυχεῖν γάρ σφι ἐοῦσαν ὁρτὴν) χορεύειν τε τοῦτον τὸν χρόνον καὶ ἐν εὐπαθείῃσι εἶναι, ἐς ὃ δὴ καὶ τὸ κάρτα ἐπύθοντο.

---

19. Pollux X 160

1. ὄπισθεν *Rd* ‖ 2. ἐξίει (η) *C*, ἐξῄει *Rd*, ἐξῄει *z* ‖ 4. τε om. *Rdz* ‖ 6. ἐποίεε *C* ‖ 7. ἐποίεε - 9 λίμνην om. *Rd* ‖ 8. εἰσαγαγὼν *z* ‖ 10. ἐποίησε - 11 κατὰ om. *Ct*, quae supplevit manus aliquanto recentior hunce in modum: τὸ ἀρχαῖον ῥέεθρον, τοῦ εὐφρήτεω ποταμοῦ ὑπονενοστηκότος, ἐποίησεν εἶναι διαβατὸν ἀνδρὶ ὡς ἐς μέσον ‖ τούτου] τοῦ *z* ‖ 12. εὐφράτεω *Rd* ‖ ἀνδρὶ ὡς] ἀνδρείως *Rdz* ‖ 13. ἐσήιεσαν *CP*, ἐσῄεσαν *z*, ἐσήεσαν *Rd* ‖ 15. οἱ δ' ἂν Fr. Palm: οὐδ' ἂν *ABCP*, οὐ μὰν *Rdz*. οὐκ ἂν Schweighaeuser ‖ 16. διέφθειραν ἂν correxi: διέφθειραν ‖ κατακλήισαντες *BC*, κατακλήσαντες *Rd* ‖ 19. κύρτῳ *R* ‖ 24. ὁρτὴν *A*, ορτὴν *B*, ἑορτὴν *Rd* ‖ 25. ἐσὸ *AB*

Καὶ Βαβυλὼν μὲν οὕτω τότε πρῶτον ἀραίρητο· τὴν δὲ 192
δύναμιν τῶν Βαβυλωνίων πολλοῖσι μὲν καὶ ἄλλοισι δηλώσω ὅση τις ἐστί, ἐν δὲ δὴ καὶ τῷδε. βασιλεῖ τῷ μεγάλῳ ἐς τροφὴν αὐτοῦ τε καὶ τῆς στρατιῆς διαραίρηται, πάρεξ τοῦ φόρου, γῆ πᾶσα ὅσης ἄρχει· δυώδεκα ὦν μηνῶν ἐόντων ἐς τὸν ἐνιαυτὸν τοὺς τέσσερας μῆνας τρέφει μιν ἡ Βαβυλωνίη χώρη, τοὺς δὲ ὀκτὼ τῶν μηνῶν ἡ λοιπὴ πᾶσα Ἀσίη. οὕτω τριτημορίη ἡ Ἀσσυρίη χώρη τῇ δυνάμι τῆς ἄλλης Ἀσίης. καὶ ἡ ἀρχὴ τῆς χώρης ταύτης, τὴν οἱ Πέρσαι σατραπηίην καλέουσι, ἐστὶ ἁπασέων τῶν ἀρχέων πολλόν τι κρατίστη, ὅκου Τριτανταίχμῃ τῷ Ἀρταβάζου ἐκ βασιλέος ἔχοντι τὸν νομὸν τοῦτον ἀργυρίου μὲν προσήιε ἑκάστης ἡμέρης ἀρτάβη μεστή· ἡ δὲ ἀρτάβη μέτρον ἐὸν Περσικὸν χωρέει μεδίμνου Ἀττικοῦ πλέον χοίνιξι τρισὶ Ἀττικῇσι. ἵπποι δέ οἱ αὐτοῦ ἦσαν ἰδίῃ, πάρεξ τῶν πολεμιστηρίων, οἱ μὲν ἀναβαίνοντες τὰς θηλέας ὀκτακόσιοι, αἱ δὲ βαινόμεναι ἑξακισχίλιαι καὶ μύριαι· ἀνέβαινε γὰρ ἕκαστος τῶν ἐρσένων τούτων εἴκοσι ἵππους. κυνῶν δὲ Ἰνδικῶν τοσοῦτο δή τι πλῆθος ἐτρέφετο ὥστε τέσσερες τῶν ἐν τῷ πεδίῳ κῶμαι μεγάλαι, τῶν ἄλλων ἐοῦσαι ἀτελέες, τοῖσι κυσὶ προσετετάχατο σιτία παρέχειν. τοιαῦτα μὲν τῷ ἄρχοντι τῆς Βαβυλῶνος ὑπῆρχε ἐόντα· ἡ δὲ 193
γῆ τῶν Ἀσσυρίων ὕεται μὲν ὀλίγῳ, καὶ τὸ ἐκτρέφον τὴν ῥίζαν τοῦ σίτου ἐστὶ τοῦτο· ἀρδόμενον μέντοι ἐκ τοῦ ποτα-

περὶ τῆς Βαβυλωνίων δυνάμεως καὶ ὧν ἐτέλουν τῷ ἄρχοντι

---

5. - 7 Eustathius Dion. 1005. — 11. - 20 Tzetzes ad Hesiod. ἔργ. 589. (Chiliad. III 1 sqq.). — 11. - 18 Eustathius Il. p. 1206. — 13. Pollux IV 168. Bekkeri Anecd. p. 147. — 17. ἀνέβαινε - 18 ἵππους Lexicon Vindob. p. 22

1. τότε om. *Rdz* ‖ ἀναίρητο *dz* ‖ 3. τίς ἐστι *L* ‖ βασιλέϊ *Cd*: βασιλεῖ ‖ 6. τέσσαρας *PRdz*, Δ *C* ‖ μῆνας om. *Rdz* ‖ μὲν *z* ‖ 7. χώρα *z* ‖ τῶν om. *Apr.* ‖ λυπὴ *BC*[1] ‖ 8. τριτημοιρίη *Rds* ‖ ἡ Ἀσσυρίη om. *Rdz* ‖ δυνάμει *L* ‖ 9. σατραπίην *CRd* ‖ 10. ἀρχέων *AC*[2]*P*: ἀρχαίων ‖ 11. τριπανταίχμῃ *C*, τριταίχμῃ *Rdz*. Tzetz. ‖ βασιλέως *Rdz* ‖ 12. προσήιει *CP*, προσῄει reliqui ‖ ἡμέρας *z* ‖ 13. ἐὸν] ἐστὶ *Rdz* ‖ χωρέον *Rdz* ‖ 14. ἀττικοῦ *Rds*: ἀττικῆς ‖ πλεῖον *L* ‖ ἀττικοῖσι *d* ‖ δὲ οἱ *C* ‖ 15. πολεμιστέων *Rdz*. Eust. ‖ 16. θηλείας *Rdz* ‖ 17. ἀρσένων *Pd*. Lex. Vind. ‖ 18. τοσούτῳ *R*, τοσοῦτον *z* ‖ 19. τέσσερες *AB*: τέσσαρες ‖ 20. τῇσι *d* ‖ 23. ἀρδευόμενον *Rds*

μοῦ ἁδρύνεταί τε τὸ λήιον καὶ παραγίνεται ὁ σῖτος, οὐ κατά περ ἐν Αἰγύπτῳ αὐτοῦ τοῦ ποταμοῦ ἀναβαίνοντος ἐς τὰς ἀρούρας, ἀλλὰ χερσί τε καὶ κηλωνηίοισι ἀρδόμενος. ἡ γὰρ Βαβυλωνίη χώρη πᾶσα, κατά περ ἡ Αἰγυπτίη, κατατέτμηται ἐς διώρυχας· καὶ ἡ μεγίστη τῶν διωρύχων ἐστὶ νηυσιπέρητος, πρὸς ἥλιον τετραμμένη τὸν χειμερινόν, ἐσέχει δὲ ἐς ἄλλον ποταμὸν ἐκ τοῦ Εὐφρήτεω, ἐς τὸν Τίγρην, παρ' ὃν Νίνος πόλις οἴκητο. ἔστι δὲ χωρέων αὕτη πασέων μακρῷ ἀρίστη τῶν ἡμεῖς ἴδμεν Δήμητρος καρπὸν ἐκφέρειν· τὰ γὰρ δὴ ἄλλα δένδρεα οὐδὲ πειρᾶται ἀρχὴν φέρειν, οὔτε συκέην οὔτε ἄμπελον οὔτε ἐλαίην. τὸν δὲ τῆς Δήμητρος καρπὸν ὧδε ἀγαθὴ ἐκφέρειν ἐστὶ ὥστε ἐπὶ διηκόσια μὲν τὸ παράπαν ἀποδιδοῖ, ἐπειδὰν δὲ ἄριστα αὐτὴ ἑωυτῆς ἐνείκῃ, ἐπὶ τριηκόσια ἐκφέρει. τὰ δὲ φύλλα αὐτόθι τῶν τε πυρῶν καὶ τῶν κριθέων τὸ πλάτος γίνεται τεσσέρων εὐπετέως δακτύλων. ἐκ δὲ κέγχρου καὶ σησάμου ὅσον τι δένδρον μέγαθος γίνεται, ἐξεπιστάμενος μνήμην οὐ ποιήσομαι, εὖ εἰδὼς ὅτι τοῖσι μὴ ἀπιγμένοισι ἐς τὴν Βαβυλωνίην χώρην καὶ τὰ εἰρημένα καρπῶν ἐχόμενα ἐς ἀπιστίην πολλὴν ἀπῖκται. χρέωνται δὲ οὐδὲν ἐλαίῳ, ἀλλ' ἐκ τῶν σησάμων ποιεῦντες. εἰσὶ δέ σφι φοίνικες πεφυκότες ἀνὰ πᾶν τὸ πεδίον, οἱ πλεῦνες αὐτῶν καρποφόροι, ἐκ τῶν καὶ σιτία καὶ οἶνον καὶ μέλι ποιεῦνται· τοὺς συκέων τρόπον θεραπεύουσι τά τε ἄλλα καὶ φοινίκων τοὺς

περὶ τῶν καρπῶν τῆς Βαβυλωνίων χώρας

3. Pollux VII 143. — 20. Strabo p. 746. — εἰσὶ - p. 125, 5 ὄλυνθοι Athenaeus p. 651

1. τε om. *B*[1]*Rd* ‖ 3. κηλονηΐοισι *Bcorr.R*, κηλωνίοισι *dz* ‖ 5. διορύχων *B* ‖ νηυσὶ περητὸς *BRdz* ‖ 7. εὐφράτεω *Rd* ‖ τίγριν *Pdz* ‖ 8. νῖνος *CPz* ‖ οἴκητο Wesseling e cod. Cantabrig., γρ. οἴκητο Stephanus: οἱ ωικητο *A*, οἱ ὠικητο *B*, οἱ ὤικητο *CP*, οἰκώκητο *Rd*, οἰκέαται *z* ‖ αὕτη πασέων *ABC*: πασέων αὕτη *R*, αὐτὴ ἁπασέων *P*, αὕτη ἁπασέων *z*, ἁπασέων αὕτη *d* ‖ 13. ἐπειδὰν *A*, ἐπεὰν *dz*, ἐπ' ἐὰν *R* ‖ αὕτη ἄριστα *Rd*, ἄριστα αὕτη *z* ‖ ἐκείνη *d* ‖ 15. τεσσάρων *CPdz* ‖ εὐπετέων *dz* ‖ 16. δένδρου *z* ‖ 18. καρπὸν *Rdz* ‖ 19. ἀπίκται *AB* ‖ 20. ποιεῦνται *s*, ποιεῦντες ἀλείφονται invenerat fortasse Strabo, nisi plura quaedam desunt ‖ σφι] αὐτόθι Athen. ‖ 21. αὐτέων *z* ‖ 22. ποιέονται Athen. ‖ 23. συκῶν *Rd* ‖ τρόπωι *C* ‖ θεραπεύουσι. τῶν γὰρ φοινίκων οὓς Athen.

ἔρσενας Ἕλληνες καλέουσι, τούτων τὸν καρπὸν περιδέουσι τῇσι βαλανηφόροισι τῶν φοινίκων, ἵνα πεπαίνῃ τέ σφι ὁ ψὴν τὴν βάλανον ἐσδύνων καὶ μὴ ἀπορρέῃ ὁ καρπὸς τοῦ φοίνικος· ψῆνας γὰρ δὴ φέρουσι ἐν τῷ καρπῷ οἱ ἔρσενες κατά περ δὴ οἱ ὄλυνθοι. τὸ δὲ ἁπάντων θῶυμα μέγιστόν μοι ἐστὶ τῶν 194 ταύτῃ μετά γε αὐτὴν τὴν πόλιν, ἔρχομαι φράσων. τὰ πλοῖα αὐτοῖσι ἐστὶ τὰ κατὰ τὸν ποταμὸν πορευόμενα ἐς τὴν Βαβυλῶνα, ἐόντα κυκλοτερέα, πάντα σκύτινα. ἐπεὰν γὰρ ἐν τοῖσι Ἀρμενίοισι τοῖσι κατύπερθε Ἀσσυρίων οἰκημένοισι νομέας ἰτέης ταμόμενοι ποιήσωνται, περιτείνουσι τούτοισι διφθέρας στεγαστρίδας ἔξωθεν ἐδάφεος τρόπον, οὔτε πρύμνην ἀποκρίνοντες οὔτε πρῴρην συνάγοντες, ἀλλ' ἀσπίδος τρόπον κυκλοτερέα ποιήσαντες καὶ καλάμης πλήσαντες πᾶν τὸ πλοῖον τοῦτο ἀπιεῖσι κατὰ τὸν ποταμὸν φέρεσθαι, φορτίων πλήσαντες· μάλιστα δὲ βίκους φοινικηίους κατάγουσι οἴνου πλέους. ἰθύνεται δὲ ὑπό τε δύο πλήκτρων καὶ δύο ἀνδρῶν ὀρθῶν ἑστεώτων, καὶ ὁ μὲν ἔσω ἕλκει τὸ πλῆκτρον ὁ δὲ ἔξω ὠθέει. ποιέεται δὲ καὶ κάρτα μεγάλα ταῦτα τὰ πλοῖα καὶ ἐλάσσω· τὰ δὲ μέγιστα αὐτῶν καὶ πενταχισχιλίων ταλάντων γόμον ἔχει. ἐν ἑκάστῳ δὲ πλοίῳ ὄνος ζωὸς ἔνεστι, ἐν δὲ τοῖσι μέζοσι πλεῦνες. ἐπεὰν ὦν ἀπίκωνται πλέοντες ἐς τὴν Βαβυλῶνα καὶ διαθέωνται τὸν φόρτον, νομέας μὲν τοῦ πλοίου καὶ τὴν καλάμην πᾶσαν ἀπ' ὧν ἐκήρυξαν, τὰς δὲ διφθέρας ἐπισάξαντες ἐπὶ τοὺς ὄνους ἀπελαύνουσι ἐς τοὺς Ἀρμενίους.

περὶ πλοίων οἷς χρῶνται Βαβυλώνιοι

---

4. Λέξεις. — 15. Bekkeri Anecd. p. 85. — 23. Pollux VII 186

1. ἄρσενας *R* ‖ τοῦτον *Rdz* Athen. ‖ 2. πεπαίνηι τέ *AB*: πεπαίνηταί ‖ 3. τὴν βάλανον om. *C* ‖ ἐνδύνων Athen. ‖ ἀπορρείῃ Athen. ‖ τοῦ] ὁ τοῦ *Rdz* ‖ 4. δὴ om. *R* ‖ φορέουσιν Athen. ‖ ἄρσενες *R* ‖ καθάπερ Athen. ‖ 5. δὴ om. *ABC*. Athen. ‖ ὄλονθοι *ABC*. Athen. ‖ θῶμα *B*, θώυμα vel θώϋμα *Rdz* ‖ 6. τὴν πόλιν αὐτὴν *z* ‖ 9. τοῖσι om. *Rdz* ‖ κατύπερθεν *Rd* ‖ 10. ποιήσονται *CRd* ‖ 11. τεγαστρίδας *C* ‖ 12. πρώρρην *C* ‖ 13. ἀλλὰ *AB* ‖ 14. ἀπιᾶσι *Rdz* ‖ 15. βικοὺς *AC*, βίκους *P* ‖ '*doliis e palmularum vino onustum*' Valla, unde Wesseling aliique φοινικηίου ‖ 19. αὐτέων *z* ‖ 20. ζῶς *Rd*, ζῶος *d* ‖ 21. οὖν *z* ‖ 23. ἀπ' ὧν ἐκήρυξαν *C*, ἀπινεκήρυξαν *AB*, ἀπενεκήρυξαν *A*[2], ἀπονεκ^η *Bm*, ἀπεκήρυξαν reliqui

ἀνὰ τὸν ποταμὸν γὰρ δὴ οὐκ οἷά τε ἐστὶ πλέειν οὐδενὶ τρόπῳ
ὑπὸ τάχεος τοῦ ποταμοῦ· διὰ γὰρ ταῦτα καὶ οὐκ ἐκ ξύλων
ποιεῦνται τὰ πλοῖα ἀλλ' ἐκ διφθερέων. ἐπεὰν δὲ τοὺς ὄνους
ἐλαύνοντες ἀπίκωνται ὀπίσω ἐς τοὺς Ἀρμενίους, ἄλλα τρόπῳ
195 τῷ αὐτῷ ποιεῦνται πλοῖα. τὰ μὲν δὴ πλοῖα αὐτοῖσι ἐστὶ
τοιαῦτα· ἐσθῆτι δὲ τοιῇδε χρέωνται, κιθῶνι ποδηνεκέϊ λινέῳ,
καὶ ἐπὶ τοῦτον ἄλλον εἰρίνεον κιθῶνα ἐπενδύνει καὶ χλανίδιον
λευκὸν περιβαλλόμενος, ὑποδήματα ἔχων ἐπιχώρια, παραπλήσια τῇσι Βοιωτίῃσι ἐμβάσι. κομέοντες δὲ τὰς κεφαλὰς
μίτρῃσι ἀναδέονται, μεμυρισμένοι πᾶν τὸ σῶμα. σφρηγῖδα
δὲ ἕκαστος ἔχει καὶ σκῆπτρον χειροποίητον· ἐπ' ἑκάστῳ δὲ
σκήπτρῳ ἔπεστι πεποιημένον ἢ μῆλον ἢ ῥόδον ἢ κρίνον ἢ
αἰετὸς ἢ ἄλλο τι· ἄνευ γὰρ ἐπισήμου οὔ σφι νόμος ἐστὶ ἔχειν
196 σκῆπτρον. αὕτη μὲν δή σφι ἄρτησις περὶ τὸ σῶμα ἐστί·
νόμοι δὲ αὐτοῖσι ὧδε κατεστᾶσι, ὁ μὲν σοφώτατος ὅδε κατὰ γνώμην τὴν ἡμετέρην, τῷ καὶ Ἰλλυριῶν Ἐνετοὺς πυνθάνομαι χρᾶσθαι. κατὰ κώμας ἑκάστας ἅπαξ τοῦ ἔτεος ἑκάστου ἐποιέετο τάδε. ὡς ἂν αἱ παρθένοι γενοίατο γάμων ὡραῖαι, ταύτας ὅκως συναγάγοιεν πάσας, ἐς ἓν χωρίον ἐσάγεσκον ἀλέας, πέριξ δὲ αὐτὰς ἵστατο ὅμιλος ἀνδρῶν, ἀνιστὰς δὲ κατὰ μίαν ἑκάστην κῆρυξ πωλέεσκε, πρῶτα μὲν τὴν εὐειδεστάτην ἐκ πασέων· μετὰ δέ, ὅκως αὕτη εὑροῦσα πολλὸν χρυσίον πρηθείη, ἄλλην ἂν ἀνεκήρυσσε ἣ μετ' ἐκείνην ἔσκε εὐειδε-

περὶ ἐσθῆτος τῶν Βαβυλωνίων καὶ σκήπτρων   περὶ τῶν παρ' αὐτοῖς νόμων

6. – 13 (Strab. p. 746)

3. ποιεῦντε *B* ‖ 4. ὀπίσωι *B* ‖ 6. ποδηνεκέϊ *R*, ποδηνεκεῖ *ABC* ‖ 7. ἐπὶ τούτῳ *z* ‖ εἰρινέον *R*, ἠρινεῖον *d*, ἠρινέον *z* ‖ χιτῶνα *C* ‖ 8. περιβαλλόμενοι *Rdz* ‖ ἔχουσι *z* ‖ 9. βοιωτήισι *C*, βοιωτιῆσι *Rd*, βοιωτικῇσι *z* ‖ κομῶντας *L* ‖ 10. μήτρῃσι *Bpr.*, μέτροισιν *d* ‖ σφηγῖδα *C* ‖ 12. κῖρνον *R* ‖ 14. ἄρτισις *Rdz* ‖ 15. αὐτῆισι *C* ‖ οἵδε *Eltz* ‖ κατεστέασι *CP*, κατεστέαται reliqui ‖ σοφώτατος· *PRz* ‖ ὁ δὲ *CR*, ὁ δὲ *P*, ὁ δὲ, *z*, om. *d* ‖ 17. χρέεσθαι *B²C*, χρῆσθαι reliqui ‖ 18. ὅσαι αἰεὶ παρθένοι? ‖ γενοίατο *z* ‖ 20. ἀλέας *AC* ‖ ἵσταται *C* ‖ ἀναστὰς *Rz* ‖ 21. μίην *z* ‖ 22. αυτη *A*, αὐτὴ *Rdz* ‖ 23. πραθείη *qz* ‖ ἂν ἀνεκήρυσσε scripsi: ἀνεκήροσσε

στάτη· ἐπωλέοντο δὲ ἐπὶ συνοικήσι. ὅσοι μὲν δὴ ἔσκον εὐδαίμονες τῶν Βαβυλωνίων ἐπίγαμοι, ὑπερβάλλοντες ἀλλήλους ἐξωνέοντο τὰς καλλιστευούσας· ὅσοι δὲ τοῦ δήμου ἔσκον ἐπίγαμοι, οὗτοι δὲ εἴδεος μὲν οὐδὲν ἐδέοντο χρηστοῦ, οἱ δ' ἂν χρήματά τε καὶ αἰσχίονας παρθένους ἐλάμβανον. ὡς γὰρ δὴ διεξέλθοι ὁ κῆρυξ πωλέων τὰς εὐειδεστάτας τῶν παρθένων, ἀνίστη ἂν τὴν ἀμορφεστάτην ἢ εἴ τις αὐτέων ἔμπηρος εἴη, καὶ ταύτην ἀνεκήρυσσε, ὅστις θέλοι ἐλάχιστον χρυσίον λαβὼν συνοικέειν αὐτῇ, ἐς ὃ τῷ τὸ ἐλάχιστον ὑπισταμένῳ προσέκειτο. τὸ δὲ ἂν χρυσίον ἐγίνετο ἀπὸ τῶν εὐειδέων παρθένων, καὶ οὕτω αἱ εὔμορφοι τὰς ἀμόρφους καὶ ἐμπήρους ἐξεδίδοσαν. ἐκδοῦναι δὲ τὴν ἑωυτοῦ θυγατέρα ὅτεῳ βούλοιτο ἕκαστος οὐκ ἐξῆν, οὐδὲ ἄνευ ἐγγυητέω ἀπάγεσθαι τὴν παρθένον πριάμενον, ἀλλ' ἐγγυητὰς χρῆν καταστήσαντα ἦ μὲν συνοικήσειν αὐτῇ, οὕτω ἀπάγεσθαι. εἰ δὲ μὴ συμφεροίατο, ἀποφέρειν τὸ χρυσίον ἔκειτο νόμος. ἐξῆν δὲ καὶ ἐξ ἄλλης ἐλθόντα κώμης τὸν βουλόμενον ὠνέεσθαι. ὁ μέν νυν κάλλιστος νόμος οὗτός σφι ἦν, οὐ μέντοι νῦν γε διετέλεσε ἐών, ἄλλο δέ τι ἐξευρήκασι νεωστὶ γενέσθαι [, ἵνα μὴ ἀδικοῖεν αὐτὰς μηδ' εἰς ἑτέραν πόλιν ἄγωνται]· ἐπείτε γὰρ ἁλόντες ἐκακώθησαν καὶ οἰκοφθορήθησαν, πᾶς τις τοῦ δήμου βίου σπανίζων καταπορνεύει τὰ θήλεα τέκνα. δεύτερος δὲ σοφίῃ 197
ὅδε ἄλλος σφι νόμος κατέστηκε. τοὺς κάμνοντας ἐς τὴν ἀγορὴν ἐκφορέουσι· οὐ γὰρ δὴ χρέωνται ἰητροῖσι. προσιόντες

1. ὅσοι - 3 καλλιστευούσας Lexicon Vindob. p. 61. — 7. Eustathius Od. p. 1441. — 11. καὶ οὕτω - 12 ἐξεδίδοσαν Lexicon Vindob. p. 63. — 22. Thomas M. p. 130

1. συνοικήσει *L* ‖ δὴ om. Lex. Vind. ‖ 5. οἳ δ' *ABRz* ‖ 6. δὴ διεξέλθοι Bergler: δὴ οἱ ἐξέλθοι ‖ 7. ἀμορφεστάτην *d*, ἀμορφοτάτην *z* ‖ ἢ om. *Rdz* ‖ αὐτέων *Cz*: αὐτῆς *d*, αὐτῶν reliqui ‖ 8. ἔμπειρος *z* ‖ εἴη scripsi: ἤι *AB*, εἰ[ΗΙ] *C*, ἦε reliqui ‖ θέλει *dz* ‖ 9. λαβὼν *PRd*: βαλὼν ‖ ἐπισταμένῳ *dz* ‖ 10. προσεκέετο *C* ‖ ἀειδέων *z* ‖ 11. οὕτω *z*: οὕτως ‖ ἐμπείρους *z* ‖ 12. ἐκδοῦναι - θυγατέρα om. *Rd* ‖ ἑαυτοῦ *C* ‖ 13. ἐγγυήτεω *R*, ἐγγυητέων *z* ‖ ἀπαγάγεσθαι *Rdz* ‖ 14. χρὴ *Rd*[1] ‖ μὴν *L* ‖ 15. ἀπαγέσθαι correxi: ἂν ἄγεσθαι *ABCP*, ἀνάγεσθαι *Rdz*. ἀπάγεσθαι Gronovius tanquam ex *A* ‖ 16. ἀποφέρει *C* ‖ ἐκέετο *C* ‖ 17. νιν *P* ‖ 18. μέντοι νυν *P*, μὲν τοίνυν *ABd* ‖ γε om. *d* ‖ διετέλεσσε *A*, διετέλεεν *Rd*, διετέλεε *z* ‖ 19. ἄλλο δ' ἐπεξευρήκασι B^2C ‖ ἵνα - 20 ἄγωνται seiunxi ‖ 20. εἰς ἑτέρην *R*, ἐς ἑτέρην *z* ‖ 21. οἰκοφορήθησαν *C* ‖ 23. κατέστηκε Schaefer: κατεστήκεε ‖ 24. ἐκφέρουσιν *Rd*

ὧν πρὸς τὸν κάμνοντα συμβουλεύουσι περὶ τῆς νούσου, εἴ τις καὶ αὐτὸς τοιοῦτο ἔπαθε ὁκοῖον ἂν ἔχῃ ὁ κάμνων, ἢ ἄλλον εἶδε παθόντα· ταῦτα προσιόντες συμβουλεύουσι καὶ παραινέουσι, ἅσσα αὐτὸς ποιήσας ἐξέφυγε ὁμοίην νοῦσον ἢ ἄλλον εἶδε ἐκφυγόντα. σιγῇ δὲ παρεξελθεῖν τὸν κάμνοντα οὔ σφι
198 ἔξεστι, πρὶν ἂν ἐπείρηται ἥντινα νοῦσον ἔχει. ταφαὶ δέ σφι ἐν μέλιτι, θρῆνοι δὲ παραπλήσιοι τοῖσι ἐν Αἰγύπτῳ. ὁσάκις δ' ἂν μιχθῇ γυναικὶ τῇ ἑωυτοῦ ἀνὴρ Βαβυλώνιος, περὶ θυμίημα καταγιζόμενον ἵζει, ἑτέρωθι δὲ ἡ γυνὴ τὠυτὸ τοῦτο ποιέει, ὄρθρου δὲ γενομένου λοῦνται καὶ ἀμφότεροι· ἄγγεος γὰρ οὐδενὸς ἅψονται πρὶν ἂν λούσωνται. ταὐτὰ δὲ ταῦτα καὶ
199 Ἀράβιοι ποιεῦσι. ὁ δὲ δὴ αἴσχιστος τῶν νόμων ἐστὶ τοῖσι Βαβυλωνίοισι ὅδε. δεῖ πᾶσαν γυναῖκα ἐπιχωρίην ἱζομένην ἐς ἱρὸν Ἀφροδίτης ἅπαξ ἐν τῇ ζόῃ μιχθῆναι ἀνδρὶ ξείνῳ. πολλαὶ δὲ καὶ οὐκ ἀξιεύμεναι ἀναμίσγεσθαι τῇσι ἄλλῃσι οἷα πλούτῳ ὑπερφρονέουσαι, ἐπὶ ζευγέων ἐν καμάρῃσι ἐλάσασαι πρὸς τὸ ἱρὸν ἑστᾶσι· θεραπηίη δέ σφι ὄπισθε ἕπεται πολλή. αἱ δὲ πλεῦνες ποιεῦσι ὧδε. ἐν τεμένεϊ Ἀφροδίτης κατέαται στέφανον περὶ τῇσι κεφαλῇσι ἔχουσαι θώμιγγος πολλαὶ γυναῖκες· αἱ μὲν γὰρ προσέρχονται, αἱ δὲ ἀπέρχονται· σχοινοτενέες δὲ διέξοδοι πάντα τρόπον ὁδῶν ἔχουσι διὰ τῶν γυναικῶν, δι' ὧν οἱ ξεῖνοι διεξιόντες ἐκλέγονται. ἔνθα ἐπεὰν ἵζηται γυνή, οὐ πρότερον ἀπαλλάσσεται ἐς τὰ οἰκία ἤ τίς οἱ ξείνων ἀργύριον ἐμβαλὼν ἐς τὰ γούνατα μιχθῇ ἔξω τοῦ ἱροῦ· ἐμβαλόντα δὲ δεῖ εἰπεῖν τοσόνδε, "ἐπικαλέω τοι τὴν θεὸν Μύλιττα." Μύλιττα δὲ καλέουσι τὴν Ἀφροδίτην Ἀσσύριοι.

---

5. σιγῇ - κάμνοντα Lexicon Vindob. p. 145. — 8. - 11 (Strabo p. 745). — 16. Pollux X 52

1. νούσου *ABz*: νόσου ‖ 2. τοιοῦτον *Rdz* ‖ ἂν ἔχῃ *PRd*: ἂν ἔχοι ‖ 5. δὲ om. *Rd*[1] ‖ τὸν κάμνοντα om. *Rd* ‖ οὐ] οὔπω *z* ‖ 6. ἥντινα *R* ‖ ἔχῃ *z* ‖ 8. περὶ] πυρὶ *z* ‖ 10. ποιεῖ *P* ‖ καὶ om. *PRdz* ‖ 11. ἅψωνται *d* ‖ λούσονται *Bpr.* ‖ ταὐτὰ] ταῦτα *Cd* ‖ 12. ποιέουσι *PRdz* ‖ ὁ δὲ - p. 129, 10 νόμος om. *Rd* ‖ 13. ὧδε *Bpr.* ‖ ἑζομένην *C* ‖ 14. εἰς *AB* ‖ ζώηι *C* 17. ἱστᾶσι *Cz* ‖ ὄπισθεν *L* ‖ ἕπεται πολλή ante ὄπισθεν *Pz* ‖ 19. τεμένει *AB* ‖ 21. ὁδὸν *z*

τὸ δὲ ἀργύριον μέγαθός ἐστι ὅσον ὦν· οὐ γὰρ μὴ ἀπώσηται· οὐ γάρ οἱ θέμις ἐστί· γίνεται γὰρ ἱρὸν τοῦτο τὸ ἀργύριον. τῷ δὲ πρώτῳ ἐμβαλόντι ἕπεται οὐδὲ ἀποδοκιμᾷ οὐδένα. ἐπεὰν δὲ μιχθῇ, ἀποσιωσαμένη τῇ θεῷ ἀπαλλάσσεται ἐς τὰ οἰκία, καὶ τὠπὸ τούτου οὐκ οὕτω μέγα τί οἱ δώσεις ὥς μιν λάμψεαι. ὅσαι μέν νυν εἴδεός τε ἐπαμμέναι εἰσὶ καὶ μεγάθεος, ταχὺ ἀπαλλάσσονται, ὅσαι δὲ ἄμορφοι αὐτέων εἰσί, χρόνον πολλὸν προσμένουσι οὐ δυνάμεναι τὸν νόμον ἐκπλῆσαι· καὶ γὰρ τριέτεα καὶ τετραέτεα μετεξέτεραι χρόνον μένουσι. ἐνιαχῇ δὲ καὶ τῆς Κύπρου ἐστὶ παραπλήσιος τούτῳ νόμος.

Νόμοι μὲν δὴ τοῖσι Βαβυλωνίοισι οὗτοι κατεστᾶσι· εἰσὶ 200 δὲ αὐτῶν πατριαὶ τρεῖς αἳ οὐδὲν ἄλλο σιτέονται εἰ μὴ ἰχθῦς μοῦνον, τοὺς ἐπείτε ἂν θηρεύσαντες αὐήνωσι πρὸς ἥλιον, ποιεῦσι τάδε· ἐσβάλλουσι ἐς ὅλμον καὶ λεήναντες ὑπέροισι σῶσι διὰ σινδόνος, καὶ ὃς μὲν ἂν βούληται αὐτῶν ἅτε μᾶζαν μαξάμενος ἔχει, ὁ δὲ ἄρτου τρόπον ὀπτήσας.

Ὡς δὲ τῷ Κύρῳ καὶ τοῦτο τὸ ἔθνος κατέργαστο, ἐπεθύ- 201 μησε Μασσαγέτας ὑπ᾽ ἑωυτῷ ποιήσασθαι. τὸ δὲ ἔθνος τοῦτο καὶ μέγα λέγεται εἶναι καὶ ἄλκιμον, οἰκημένον δὲ πρὸς ἠῶ τε καὶ ἡλίου ἀνατολάς, πέρην τοῦ Ἀράξεω ποταμοῦ, ἀντίον δὲ Ἰσσηδόνων ἀνδρῶν. εἰσὶ δὲ οἵτινες καὶ Σκυθικὸν λέγουσι τοῦτο τὸ ἔθνος εἶναι. ὁ δὲ Ἀράξης λέγεται καὶ μέζων καὶ ἐλάσ- 202 σων εἶναι τοῦ Ἴστρου· νήσους δὲ ἐν αὐτῷ Λέσβῳ μεγάθεα παραπλησίας συχνάς φασι εἶναι, ἐν δὲ αὐτῇσι ἀνθρώπους οἳ σιτέονται μὲν ῥίζας τὸ θέρος ὀρύσσοντες παντοίας, καρποὺς

ὅτι τινὲς τῶν Βαβυλωνίων ἰχθῦς μόνους ἐσθίουσι — περὶ Μασσαγετῶν καὶ τοῦ Ἀράξου ποταμοῦ

15. Etymologicum et Orionis et Magnum v. σήθω

1. ὅσον ὦν BCz || 6. ἐπαγμέναι z || 7. ἀπαλλάττονται Pz || 11. μὲν δὴ] δὲ Rd || 12. αὐτέων z || 13. μόνον C || αὐήνωσιν AB || 14. ὄλμον A, ὅλμον ceteri || οἱπέροισι C[1] || 15. αὐτέων z || μάζαν L || 18. μασαγέτας Rd || ἐπ᾽ d[1] || ἑωυτὸ C, ἑωυτὸν Rdz || 19. εἶναι λέγεται C || 21. ἰσαιδόνων C || εἴτινες d || λέγουσι om. C || 23. δὲ BRd: δ᾽ || μεγεάθεα R || 24. συχνάς om. C || αὐτοῖσιν Rd

δὲ ἀπὸ δενδρέων ἐξευρημένους σφι ἐς φορβὴν κατατίθεσθαι ὡραίους, καὶ τούτους σιτέεσθαι τὴν χειμερινήν. ἄλλα δέ σφι ἐξευρῆσθαι δένδρεα καρποὺς τοιούσδε τινὰς φέροντα, τοὺς ἐπείτε ἂν ἐς τὠυτὸ συνέλθωσι κατὰ εἴλας καὶ πῦρ ἀνακαύσωνται κύκλῳ περιιζομένους ἐπιβάλλειν ἐπὶ τὸ πῦρ, ὀσφραινομένους δὲ καταγιζομένου τοῦ καρποῦ τοῦ ἐπιβαλλομένου μεθύσκεσθαι τῇ ὀδμῇ κατά περ Ἕλληνας τῷ οἴνῳ, πλεῦνος δὲ ἐπιβαλλομένου τοῦ καρποῦ μᾶλλον μεθύσκεσθαι, ἐς ὃ ἐς ὄρχησίν τε ἀνίστασθαι καὶ ἐς ἀοιδὴν ἀπικνέεσθαι. τούτων μὲν αὕτη λέγεται δίαιτα εἶναι. ὁ δὲ Ἀράξης ποταμὸς ῥέει μὲν ἐκ Ματιηνῶν, ὅθεν περ ὁ Γύνδης τὸν ἐς τὰς διώρυχας τὰς ἑξήκοντά τε καὶ τριηκοσίας διέλαβε ὁ Κῦρος, στόμασι δὲ ἐξερεύγεται τεσσεράκοντα, τῶν τὰ πάντα πλὴν ἑνὸς ἐς ἕλεά τε καὶ τενάγεα ἐκδιδοῖ, ἐν τοῖσι ἀνθρώπους κατοικῆσθαι λέγουσι ἰχθῦς ὠμοὺς σιτεομένους, ἐσθῆτι δὲ νομίζοντας χρᾶσθαι φωκέων δέρμασι. τὸ δὲ ἓν τῶν στομάτων τοῦ Ἀράξεω
203 ῥέει διὰ καθαροῦ ἐς τὴν Κασπίην θάλασσαν. ἡ δὲ Κασπίη θάλασσα ἐστὶ ἐπ' ἑωυτῆς, οὐ συμμίσγουσα τῇ ἑτέρῃ θαλάσσῃ. τὴν μὲν γὰρ Ἕλληνες ναυτίλλονται πᾶσαν καὶ ἡ ἔξω στηλέων θάλασσα ἡ Ἀτλαντὶς καλεομένη καὶ ἡ Ἐρυθρὴ μία ἐοῦσα τυγχάνει· ἡ δὲ Κασπίη ἐστὶ ἑτέρη ἐπ' ἑωυτῆς, ἐοῦσα μῆκος μὲν πλόου εἰρεσίῃ χρεωμένῳ πεντεκαίδεκα ἡμερέων, εὖρος δέ, τῇ εὐρυτάτη ἐστὶ αὐτὴ ἑωυτῆς, ὀκτὼ ἡμερέων. καὶ τὰ μὲν πρὸς τὴν ἑσπέρην φέροντα τῆς θαλάσσης ταύτης

---

5. - 7 Schol. Lucian. p. 130 Jac. — 11 sqq. Eustathius Dion. 739. — 11. - 13 Strabo p. 531. — 18. Eustathius Dion. 48. — 21. - 23 ibidem 721

3. τοιοῦσδέ τινας *A*, τοιούσδέ τινας *BCPz* ‖ 4. τωὔτῶ *R* ‖ εἴλας *C*, εἶλας *Rdz*, εἰλὰς *AB*, ἴλας *P* ‖ ἀνακαύσονται *Rd*[1] ‖ 6. καταγιαζομένου *Rdz* ‖ ἐπιβαλομένου *C* ‖ 8. δ' *ABC* ‖ ἐσὸ *AB* ‖ 11. μαντιηνῶν *Cdz* γύδης *C* ‖ 12. τε om. *Rd* ‖ 13. τεσσαράκοντα *CPRz* ‖ εἰς τεσσαράκοντα ποταμοὺς σχίζεσθαι, μερίζειν δὲ Σκύθας καὶ Βακτριανούς Strabo tanquam ex Herodoto: sed idem cum subiungat καὶ Καλλισθένης δὲ ἠκολούθησεν αὐτῷ (sc. τῷ Ἡροδότῳ), videndum ne Callisthenes immiscuerit ‖ 14. τε om. *Rpr.* ‖ κατοικεῖσθαι *PRdz* ‖ 18. ἐστὶ *z*: ἐστὶν *AB*, ἔστιν *Cd*, ἔστι *PR* ‖ ἐπ αὐτῆς *Rd* ‖ ξυμμίσγουσα *P* ‖ 19. πᾶσα *AB* ‖ 20. στηλῶν *Rd* ‖ ἀτλάντις *R* ‖ καὶ om. *C* ‖ 21. τυγχάνει ἐοῦσα *z* ‖ ὑπ *d*[1] ‖ ἑαυτῆς *C* ‖ 22. μὲν om. *Rd* ‖ χρεομένωι *B*

ὁ Καύκασος παρατείνει, ἐὸν ὀρέων καὶ πλήθεϊ μέγιστον καὶ μεγάθεϊ ὑψηλότατον. ἔθνεα δὲ ἀνθρώπων πολλὰ καὶ παντοῖα ἐν ἑωυτῷ ἔχει ὁ Καύκασος, τὰ πολλὰ πάντα ἀπ' ὕλης ἀγρίης ζώοντα· ἐν τοῖσι καὶ δένδρεα φύλλα τοιῆσδε ἰδέης παρεχόμενα εἶναι λέγεται, τὰ τρίβοντάς τε καὶ παραμίσγοντας ὕδωρ ζῷα ἑωυτοῖσι ἐς τὴν ἐσθῆτα ἐγγράφειν· τὰ δὲ ζῷα οὐκ ἐκπλύνεσθαι, ἀλλὰ συγκαταγηράσκειν τῷ ἄλλῳ εἰρίῳ κατά περ ἐνυφανθέντα ἀρχήν. μῖξιν δὲ τούτων τῶν ἀνθρώπων εἶναι ἐμφανέα κατά περ τοῖσι προβάτοισι.

Τὰ μὲν δὴ πρὸς ἑσπέρην τῆς θαλάσσης ταύτης τῆς 204
Κασπίης καλεομένης ὁ Καύκασος ἀπέργει, τὰ δὲ πρὸς ἠῶ τε καὶ ἥλιον ἀνατέλλοντα πεδίον ἐκδέκεται πλῆθος ἄπειρον ἐς ἄποψιν. τοῦ ὦν δὴ πεδίου τούτου τοῦ μεγάλου οὐκ ἐλαχίστην μοῖραν μετέχουσι οἱ Μασσαγέται, ἐπ' οὓς ὁ Κῦρος ἔσχε προθυμίην στρατεύσασθαι. πολλά τε γάρ μιν καὶ μεγάλα τὰ ἐπαείροντα καὶ ἐποτρύνοντα ἦν. πρῶτον μὲν ἡ γένεσις, τὸ δοκέειν πλέον τι εἶναι ἀνθρώπου, δεύτερα δὲ ἡ εὐτυχίη ἡ κατὰ τοὺς πολέμους γινομένη· ὅκῃ γὰρ ἰθύσειε στρατεύεσθαι Κῦρος, ἀμήχανον ἦν ἐκεῖνο τὸ ἔθνος διαφυγεῖν. ἦν δὲ τοῦ 205
ἀνδρὸς ἀποθανόντος γυνὴ τῶν Μασσαγετέων βασίλεια· Τόμυρίς οἱ ἦν οὔνομα. ταύτην πέμπων ὁ Κῦρος ἐμνᾶτο τῷ λόγῳ θέλων γυναῖκα ἥν ἔχειν. ἡ δὲ Τόμυρις συνιεῖσα οὐκ αὐτήν μιν μνώμενον ἀλλὰ τὴν Μασσαγετέων βασιληίην,

περὶ τοῦ Καυκάσου ὄρους καὶ τῶν ἐν αὐτῷ ἐθνῶν περὶ τῆς κατὰ Μασσαγετῶν Κύρου στρατείας καὶ Τομύριδος

---

12. Bekkeri Anecd. p. 293. — 13. Pollux II 58

1. καυκάσιος *Rd* ‖ ἐὸν *Rd*: ἐὼν ‖ οὐρέων *C* ‖ πλήθει *ABPz* ‖ 2. μεγάθει *ABP* ‖ 3. ἑαυτῶι *C* ‖ καυκάσιος *Rd* ‖ ἀπύλης *A*, ἐξ ὕλης *Rdz* ‖ 6. 7. ζῶια *AB*: ζῷα ‖ 8. ἐν ὑφανθέντα *C* ‖ μῖξιν *AB*: μίξιν ‖ δὲ] τε *Rdz* ‖ 9. ἐκφανέα *C* ‖ 11. καυκάσιος *Rd* ‖ ἀπείργει *ABP* ‖ 13. τοῦ ὦν δὴ τὸ πεδίον *C* ‖ τούτου τοῦ Herold: τοῦ ‖ 14. μοίρην *L* ‖ μασαγέται *Rd* ‖ ἔχει *C*, ἔσχε *Rd* ‖ 16. τὸ] τῷ *P*[t] ‖ 17. δεύτερον *PRdz* ‖ 18. κατὰ τοὺς] κατοὺς *B*[1] ‖ πολεμίους *Rd*[1] ‖ γινομένη *PRd*: γενομένη *ABC*, γεγενημένη *z* ‖ 19. διαφυγέειν *L* ‖ 20. μασαγετέων *Rd* ‖ τὸ μῦρίς *R* ‖ 21. ταύτη *Rd* ‖ 22. συνεῖσα *Rdz* ‖ 23. μασαγετέων *Rd*

ἀπείπατο τὴν πρόσοδον. Κῦρος δὲ μετὰ τοῦτο, ὥς οἱ δόλῳ οὐ προεχώρεε, ἐλάσας ἐπὶ τὸν Ἀράξεα ἐποιέετο ἐκ τοῦ ἐμφανέος ἐπὶ τοὺς Μασσαγέτας στρατηίην, γεφύρας τε ζευγνύων ἐπὶ τοῦ ποταμοῦ διάβασιν τῷ στρατῷ, καὶ πύργους ἐπὶ πλοίων τῶν διαπορθμευόντων τὸν ποταμὸν οἰκοδομεόμενος.
206 ἔχοντι δέ οἱ τοῦτον τὸν πόνον πέμψασα ἡ Τόμυρις κήρυκα ἔλεγε τάδε. "ὦ βασιλεῦ Μήδων, παῦσαι σπεύδων τὰ σπεύδεις· οὐ γὰρ ἂν εἰδείης εἴ τοι ἐς καιρὸν ἔσται ταῦτα τελεόμενα· παυσάμενος δὲ βασίλευε τῶν σεωυτοῦ, καὶ ἡμέας ἀνέχεο ὁρέων ἄρχοντας τῶν περ ἄρχομεν. οὔκων ἐθελήσεις ὑποθήκῃσι τῇσιδε χρᾶσθαι, ἀλλὰ πάντως μᾶλλον ἢ δι' ἡσυχίης εἶναι· σὺ δὲ εἰ μεγάλως προθυμέεαι Μασσαγετέων πειρηθῆναι, φέρε, μόχθον μὲν τὸν ἔχεις ζευγνὺς τὸν ποταμὸν ἄπες, σὺ δὲ ἡμέων ἀναχωρησάντων ἀπὸ τοῦ ποταμοῦ τριῶν ἡμερέων ὁδὸν διάβαινε ἐς τὴν ἡμετέρην. εἰ δ' ἡμέας βούλεαι ἐσδέξασθαι μᾶλλον ἐς τὴν ὑμετέρην, σὺ τὠυτὸ τοῦτο ποίεε." ταῦτα δὲ ἀκούσας ὁ Κῦρος συνεκάλεσε Περσέων τοὺς πρώτους, συναγείρας δὲ τούτους ἐς μέσον σφι προετίθεε τὸ πρῆγμα, συμβουλευόμενος ὁκότερα ποιέῃ. τῶν δὲ κατὰ τὠυτὸ αἱ γνῶμαι συνεξέπιπτον κελευόντων ἐσδέχεσθαι Τό-
207 μυρίν τε καὶ τὸν στρατὸν αὐτῆς ἐς τὴν χώρην. παρεὼν δὲ καὶ μεμφόμενος τὴν γνώμην ταύτην Κροῖσος ὁ Λυδὸς ἀπεδείκνυτο ἐναντίην τῇ προκειμένῃ γνώμῃ, λέγων τάδε. "ὦ βασιλεῦ, εἶπον μὲν καὶ πρότερόν τοι ὅτι ἐπεί με Ζεὺς ἔδωκέ τοι, τὸ ἂν ὁρέω σφάλμα ἐὸν οἴκῳ τῷ σῷ, κατὰ δύναμιν ἀποτρέψειν· τὰ δέ μοι παθήματα τὰ ἐόντα ἀχάριτα μαθήματα

1. ὡς – 3 στρατηίην (Suidas v. Τόμυρις. μνωμένη)

2. προσεχώρεε *PRdz* ‖ ἀράξην *Rd* ‖ 3. στρατιὴν *dz*, στρατιὰν Suid. ‖ 8. τοι] τι *d*[1] ‖ εἰς *C* ‖ ταῦτά τε λεγόμενα *Rd*[1], ταῦτα τελεύμενα *d*[2]*z* ‖ 10. ὁρέων *CR* ‖ 11. τῆισι δὲ *C*, τῇσι δὲ *d*, τῆσίδε *R*, τῇσίδε *z* ‖ χρῆσθαι codices, χρέεσθαι *z* ‖ πάντων *z* ‖ 12. εἰ] ἢν *ABC* ‖ προθυμέεαι *P*: προθυμέαι ‖ μασαγετέων *R* ‖ 14. ἄφες *L* ‖ δ' *C* ‖ 15. βούλεε *R* ‖ 16. εἰσδέξασθαι *CR* ‖ 17. ποίει *ABP* ‖ συνεκάλεε *C* ‖ 18. προετίθετο τὸ *R* ‖ 19. ποιέει *Rdz* ‖ κατωυτὸ *C* ‖ 20. εἰσδέχεσθαι *C* ‖ 23. γνώμῃ om. *z* ‖ 24. ὅτι om. *z* ‖ 25. ὁρέω *C*: ὁρῶ ‖ 26. τὰ ἐόντα] ἐόντα Schaefer ‖ ἄριστα *C*, ἀχάριστα *dz*

γέγονε. εἰ μὲν ἀθάνατος δοκέεις εἶναι καὶ στρατιῆς τοιαύτης ἄρχειν, οὐδὲν ἂν εἴη πρῆγμα γνώμας ἐμὲ σοὶ ἀποφαίνεσθαι· εἰ δ' ἔγνωκας ὅτι ἄνθρωπος καὶ σὺ εἷς καὶ ἑτέρων τοιῶνδε ἄρχεις, ἐκεῖνο πρῶτον μάθε, ὡς κύκλος τῶν ἀνθρωπηίων ἐστὶ πρηγμάτων, περιφερόμενος δὲ οὐκ ἐᾷ αἰεὶ τοὺς αὐτοὺς εὐτυχέειν. ἤδη ὦν ἔχω γνώμην περὶ τοῦ προκειμένου πρήγματος τὰ ἔμπαλιν ἢ οὗτοι. εἰ γὰρ ἐθελήσομεν ἐσδέξασθαι τοὺς πολεμίους ἐς τὴν χώρην, ὅδε τοι ἐν αὐτῷ κίνδυνος ἔνι. ἑσσωθεὶς μὲν προσαπολλύεις πᾶσαν τὴν ἀρχήν· δῆλα γὰρ δὴ ὅτι νικῶντες Μασσαγέται οὐ τὸ ὀπίσω φεύξονται ἀλλ' ἐπ' ἀρχὰς τὰς σὰς ἐλῶσι· νικῶν δὲ οὐ νικᾷς τοσοῦτον ὅσον εἰ διαβὰς ἐς τὴν ἐκείνων, νικῶν Μασσαγέτας, ἕποιο φεύγουσι· τὠυτὸ γὰρ ἀντιθήσω ἐκείνῳ, ὅτι νικήσας τοὺς ἀντιουμένους ἐλᾷς ἰθὺ τῆς ἀρχῆς τῆς Τομύριος. χωρίς τε τοῦ ἀπηγημένου αἰσχρὸν καὶ οὐκ ἀνασχετὸν Κῦρόν γε τὸν Καμβύσεω γυναικὶ εἴξαντα ὑποχωρῆσαι τῆς χώρης. νῦν ὦν μοι δοκέει διαβάντας προελθεῖν ὅσον ἂν ἐκεῖνοι διεξίωσι, ἐνθεῦτεν δὲ τάδε ποιεῦντας πειρᾶσθαι ἐκείνων περιγενέσθαι. ὡς γὰρ ἐγὼ πυνθάνομαι, Μασσαγέται εἰσὶ ἀγαθῶν τε Περσικῶν ἄπειροι καὶ καλῶν μεγάλων ἀπαθέες· τούτοισι ὦν τοῖσι ἀνδράσι τῶν προβάτων ἀφειδέως πολλὰ κατακόψαντας καὶ σκευάσαντας προθεῖναι ἐν τῷ στρατοπέδῳ τῷ ἡμετέρῳ δαῖτα, πρὸς δὲ καὶ κρητῆρας ἀφειδέως οἴνου ἀκρήτου καὶ σιτία παντοῖα· ποιήσαντας δὲ ταῦτα, ὑπολιπομένους τῆς στρατιῆς τὸ φλαυρότα-

---

4. ὡς κύκλος - 5 εὐτυχέειν Stobaeus floril. CV 53. — 10. οὐ τὸ - 11 ἐλῶσι Thomas M. p. 118. — 23. ποιήσαντας - 24 φλαυρότατον Suidas v. φλαυρότατον

1. γέγονεν *Rd*: γεγόνεε *ABPz*, ἐγεγόνεε *C* ‖ 2. ἐμὲ σοὶ *ABC*: ἐμέ σοι 5. ἀεὶ *z* ‖ εὐτυχεῖν Stob. ‖ 6. ἐγὼ γνώμην ἔχω *Rd*, γνώμην ἔχω *qz* ‖ περὶ om. *R* ‖ 8. ὁ δέ τοι *P*, ὅδε τις *z* ‖ 9. εσσωθεὶς *A*, ἑσσωθεὶς *CRd* ‖ 10. μασαγέται *d* ‖ 12. εἰς *d* ‖ μασαγέτας *Rd* ‖ 13. ἐναντιουμένους *Rdz* 14. ἰθὺ *C*: ἰθὺς ‖ τομύριδος *Rdz* ‖ 15. αἰσχρόν τε καὶ *z* ‖ ἀνάσχετον *AB*[1]*C* ‖ τὸν κῦρόν *Pz* ‖ γε] τε *d*[1], om. *d*[2] ‖ 16. ἀποχωρῆσαι *R* ‖ χώρης] μάχης *Rdz* ‖ 17. διαβάντα *Rdz* ‖ προσελθεῖν *C*[1]*Rd*[1] ‖ ὑπεξίωσι? ‖ 18. ποιεῦντες *B* ‖ περιγίνεσθαι *Rdz* ‖ 21. ἀφειδέων *P* ‖ πωλλὰ *A* ‖ 22. τῷ ἡμετέρῳ om. *d* ‖ καὶ om. *Rd* ‖ 23. κρατῆρας ἀφειδέως *R*, ἀφειδέως κρητῆρας *d* ‖ ἀκράτου *d* ‖ 24. ὑπολειπομένους *Rdz*, ὑπολείπεσθαι Suid. ‖ φαυλότατον *Apr.C*

τον, τοὺς λοιποὺς αὖτις ἐξαναχωρέειν ἐπὶ τὸν ποταμόν. ἢν γὰρ ἐγὼ γνώμης μὴ ἁμάρτω, κεῖνοι ἰδόμενοι ἀγαθὰ πολλὰ τρέψονταί τε πρὸς αὐτὰ καὶ ἡμῖν τὸ ἐνθεῦτεν λείπεται ἀπόδεξις ἔργων μεγάλων."

208 Γνῶμαι μὲν αὗται συνέστασαν· Κῦρος δὲ μετεὶς τὴν προτέρην γνώμην, τὴν Κροίσου δὲ ἑλόμενος, προηγόρευε Τομύρι ἐξαναχωρέειν ὡς αὐτοῦ διαβησομένου ἐπ' ἐκείνην. ἡ μὲν δὴ ἐξανεχώρεε κατὰ ὑπέσχετο πρῶτα· Κῦρος δὲ Κροῖσον ἐς τὰς χεῖρας ἐσθεὶς τῷ ἑωυτοῦ παιδὶ Καμβύσῃ, τῷ περ τὴν βασιληίην ἐδίδου, καὶ πολλὰ ἐντειλάμενός οἱ τιμᾶν τε αὐτὸν καὶ εὖ ποιέειν, ἢν ἡ διάβασις ἡ ἐπὶ Μασσαγέτας μὴ ὀρθωθῇ, ταῦτα ἐντειλάμενος καὶ ἀποστείλας τούτους ἐς Πέρσας, αὐτὸς

209 διέβαινε τὸν ποταμὸν καὶ ὁ στρατὸς αὐτοῦ. ἐπείτε δὲ ἐπεραιώθη τὸν Ἀράξεα, νυκτὸς ἐπελθούσης εἶδε ὄψιν εὕδων ἐν τῶν Μασσαγετέων τῇ χώρῃ τοιήνδε. ἐδόκεε ὁ Κῦρος ἐν τῷ ὕπνῳ ὁρᾶν τῶν Ὑστάσπεος παίδων τὸν πρεσβύτατον ἔχοντα ἐπὶ τῶν ὤμων πτέρυγας καὶ τουτέων τῇ μὲν τὴν Ἀσίην τῇ δὲ τὴν Εὐρώπην ἐπισκιάζειν. Ὑστάσπεϊ δὲ τῷ Ἀρσάμεος ἐόντι ἀνδρὶ Ἀχαιμενίδῃ ἦν τῶν παίδων Δαρεῖος πρεσβύτατος, ἐὼν τότε ἡλικίην ἐς εἴκοσί κου μάλιστα ἔτεα, καὶ οὗτος κατελέλειπτο ἐν Πέρσῃσι· οὐ γὰρ εἶχέ κω ἡλικίην στρατεύεσθαι. ἐπεὶ ὦν δὴ ἐξηγέρθη ὁ Κῦρος, ἐδίδου λόγον ἑωυτῷ περὶ τῆς ὄψιος. ὡς δέ οἱ ἐδόκεε μεγάλη εἶναι ἡ ὄψις, καλέσας Ὑστάσπεα καὶ ἀπολαβὼν μοῦνον εἶπε "Ὕστασπες, παῖς σὸς ἐπιβουλεύων ἐμοί τε καὶ τῇ ἐμῇ ἀρχῇ ἑάλωκε. ὡς δὲ ταῦτα ἀτρεκέως οἶδα, ἐγὼ σημανέω. ἐμεῦ θεοὶ κήδονται

περὶ οὗ εἶδεν ὀνείρου ἐν Μασσαγέταις ὁ Κῦρος

1. ἐπὶ om. *C* ‖ 3. τε om. *z*. ‖ ἀπόδειξις *R* ‖ 5. αὗται] ἄλλων *B* ‖ 6. κροίσου διελόμενος *d* ‖ τόμυριν *R*, τόμυρι *dz* ‖ 8. ἐξανεχώρεε *ABR*: ἐξαναχώρεε ‖ καθὰ *ABRd* ‖ 9. παιδὶ om. *d* ‖ 11. εὐποιέειν *B* ‖ μασαγέτας *d* ‖ 14. ἀράξην *Rd* ‖ 15. μασσαγετέων *d* ‖ τοιῆνδε *A* ‖ κύρος *C* ‖ 18. ὑστάσπηι *AB* ‖ ἀρσάμεος *ACP*: ἀρσάμενος ‖ 20. κου om. *C* ‖ 21. κατελέλειπτο *AB*: καταλέλειπτο ‖ 22. ἐξηγέρθη (ε supra) *C*, ἐξεγέρθη *Pz* ‖ 23. ὄψιος] ὄψεως *AB*[1] ‖ καλεσάσας *C* ‖ 26. ἀτρεκέως ταῦτα *z* ‖ κηδέαται *C*, κηδέανται *B*[2]

καί μοι πάντα προδεικνύουσι τὰ ἐπιφερόμενα. ἤδη ὦν ἐν τῇ παροιχομένῃ νυκτὶ εὕδων εἶδον τῶν σῶν παίδων τὸν πρεσβύτατον ἔχοντα ἐπὶ τῶν ὤμων πτέρυγας, καὶ τουτέων τῇ μὲν τὴν Ἀσίην τῇ δὲ τὴν Εὐρώπην ἐπισκιάζειν. οὔκων ἐστὶ μηχανὴ ἀπὸ τῆς ὄψιος ταύτης οὐδεμία τὸ μὴ ἐκεῖνον ἐπιβουλεύειν ἐμοί. σὺ τοίνυν τὴν ταχίστην πορεύεο ὀπίσω ἐς Πέρσας καὶ ποίεε ὅκως, ἐπεὰν ἐγὼ τάδε καταστρεψάμενος ἔλθω ἐκεῖ, ὥς μοι καταστήσεις τὸν παῖδα ἐς ἔλεγχον."

Κῦρος μὲν δοκέων οἱ Δαρεῖον ἐπιβουλεύειν ἔλεγε τάδε· τῷ 210
δὲ ὁ δαίμων προέφαινε ὡς αὐτὸς μὲν τελευτήσειν αὐτοῦ ταύτῃ μέλλοι, ἡ δὲ βασιληίη αὐτοῦ περιχωρέοι ἐς Δαρεῖον. ἀμείβεται δὴ ὦν ὁ Ὑστάσπης τοῖσιδε. "ὦ βασιλεῦ, μὴ εἴη ἀνὴρ Πέρσης γεγονὼς ὅστις τοι ἐπιβουλεύσει, εἰ δ' ἔστι, ἀπόλοιτο ὡς τάχιστα· ὃς ἀντὶ μὲν δούλων ἐποίησας ἐλευθέρους Πέρσας εἶναι, ἀντὶ δὲ ἄρχεσθαι ὑπ' ἄλλων ἄρχειν ἁπάντων. εἰ δέ τίς τοι ὄψις ἀπαγγέλλει παῖδα τὸν ἐμὸν νεώτερα βουλεύειν περὶ σέο, ἐγώ τοι παραδίδωμι χρᾶσθαι αὐτῷ τοῦτο ὅ τι σὺ βούλεαι." Ὑστάσπης μὲν τούτοισι 211
ἀμειψάμενος καὶ διαβὰς τὸν Ἀράξεα ἤιε ἐς Πέρσας φυλάξων Κύρῳ τὸν παῖδα Δαρεῖον, Κῦρος δὲ προελθὼν ἀπὸ τοῦ Ἀράξεω ἡμέρης ὁδὸν ἐποίεε τὰς Κροίσου ὑποθήκας. μετὰ δὲ ταῦτα Κύρου τε καὶ Περσέων τοῦ καθαροῦ στρατοῦ ἀπελάσαντος ὀπίσω ἐπὶ τὸν Ἀράξεα, λειφθέντος δὲ τοῦ ἀχρηίου, ἐπελθοῦσα τῶν Μασσαγετέων τριτημορὶς τοῦ στρατοῦ τούς τε λειφθέντας τῆς Κύρου στρατιῆς ἐφόνευε ἀλεξομένους καὶ

---

24 sq. Suidas v. ἀλεξόμενον. — Pollux IX 66. — 25. Λέξεις

5. μηχανῆς *C* ‖ οὐδὲ μίη *Rd*, οὐδεμίη *z* ‖ κεῖνον *z* ‖ 6. τοίνυν] νῦν *ABC* ‖ πορεύου *d* ‖ 8. καταστήσηις *ABC*, καταστήσῃς *sz* ‖ εἰς *C* ‖ 9. δαρεῖον δοκέων οἱ *d*, δοκέων Δαρεῖόν οἱ *z* ‖ τῷ δὲ] τῶι δέ οἱ *ABC*, τῷδ' *Rd*, τῷδ' *z* ‖ 11. περιχορεύει *C*, περιχορεύοι *R*, περιχωρεύοι *d* ‖ 12. ἀμείβεται *dz*: ἀμείβετ' οἱ *R*, ἀμείβεταί οἱ reliqui ‖ ὢν δὴ *Pz* ‖ τοιοῖσδε *Pz*, τοῖσδε reliqui ‖ εἴης *R* ‖ 13. ἐπιβουλεύει *B*[1]*R*, ἐπιβουλεύοι *dz* ‖ 14. ἀπόλλοιτο *CR* ‖ δούλων μὲν *d* ‖ 15. εἶναι πέρσας *d* ‖ 16. ἀπαγγέλλοι *z* ‖ 17. χρῆσθαι *L* ‖ 18. τοῦτο] τούτω *B*[2], τούτῳ *z* ‖ 19. Ἀράξεα *z*: ἀράξην ‖ 22. ἐπελεύσαντος *Rdz* ‖ 24. ἀπελθοῦσα (ε supra) *R* ‖ τοὺς περιληφθέντας Suid. ‖ 25. ἐφόνεε *C*

τὴν προκειμένην ἰδόντες δαῖτα, ὡς ἐχειρώσαντο τοὺς ἐναντίους, κλιθέντες ἐδαίνυντο, πληρωθέντες δὲ φορβῆς καὶ οἴνου εὗδον. οἱ δὲ Πέρσαι ἐπελθόντες πολλοὺς μέν σφεων ἐφόνευσαν, πολλῷ δ' ἔτι πλεῦνας ἐζώγρησαν καὶ ἄλλους καὶ τὸν τῆς βασιλείης Τομύριος παῖδα στρατηγέοντα Μασσαγετέων,
212 τῷ οὔνομα ἦν Σπαργαπίσης. ἡ δὲ πυθομένη τά τε περὶ τὴν στρατιὴν γεγονότα καὶ τὰ περὶ τὸν παῖδα, πέμπουσα κήρυκα παρὰ Κῦρον ἔλεγε τάδε. "ἄπληστε αἵματος Κῦρε, μηδὲν ἐπαερθῇς τῷ γεγονότι τῷδε πρήγματι, εἰ ἀμπελίνῳ καρπῷ, τῷ περ αὐτοὶ ἐμπιπλάμενοι μαίνεσθε οὕτω ὥστε κατιόντος τοῦ οἴνου ἐς τὸ σῶμα ἐπαναπλέειν ὑμῖν ἔπεα κακά, τοιούτῳ φαρμάκῳ δολώσας ἐκράτησας παιδὸς τοῦ ἐμοῦ, ἀλλ' οὐ μάχῃ κατὰ τὸ καρτερόν. νῦν ὦν μευ εὖ παραινεούσης ὑπόλαβε τὸν λόγον· ἀποδούς μοι τὸν παῖδα ἄπιθι ἐκ τῆσδε τῆς χώρης ἀζήμιος, Μασσαγετέων τριτημορίδι τοῦ στρατοῦ κατυβρίσας. εἰ δὲ ταῦτα οὐ ποιήσεις, ἥλιον ἐπόμνυμί τοι τὸν Μασσαγετέων δεσπότην, ἦ μέν σε ἐγὼ καὶ ἄπληστον ἐόντα αἵματος
213 κορέσω." Κῦρος μὲν ἐπέων οὐδένα τούτων ἀνενειχθέντων ἐποιέετο λόγον· ὁ δὲ τῆς βασιλείης Τομύριος παῖς Σπαργαπίσης, ὥς μιν ὅ τε οἶνος ἀνῆκε καὶ ἔμαθε ἵνα ἦν κακοῦ, δεηθεὶς Κύρου ἐκ τῶν δεσμῶν λυθῆναι ἔτυχε, ὡς δὲ ἐλύθη τε τάχιστα καὶ τῶν χειρῶν ἐκράτησε, διεργάζεται ἑωυτόν.
214 καὶ δὴ οὗτος μὲν τρόπῳ τοιούτῳ τελευτᾷ· Τόμυρις δέ, ὥς οἱ Κῦρος οὐκ ἐσήκουσε, συλλέξασα πᾶσαν τὴν ἑωυτῆς δύναμιν

---

10. κατιόντος - 11 κακά Athenaeus p. 613. — Eustathius Il. p. 1156. 1241. Od. p. 1857. — 13. νῦν - 14 λόγον Thomas M. p. 370. — 17 sq. Etymol. M. v. ἦ μήν

εὖ

2. κλινθέντες *d* ‖ δαίνυντο *Rd* ‖ 3. ηὗδον *AB*, ἧὗδον *R*, εὗδον *C* ‖ 4. δ' ἔτι] δέ τι *CPR* ‖ 5. βασιληίης *Rdz* ‖ τομύριδος *Rdz* ‖ μασαγατέων *d* ‖ 8. ἄπλειστε *R* ‖ 9. ἐπαρθῇς *L* ‖ 10. οὕτω *z*: οὕτως ‖ 11. ἐπαναπνέειν *Rdz*, ἀναπλώειν Eust. ter ‖ κακὰ ἔπεα καὶ μαινόμενα Athen., ἔπεα μαινομένῳ πρέποντα Eust. Il. p. 1156 ‖ 12. παιδὸς] τοῦ παιδὸς *d* ‖ 13. μεῦ *AR* ‖ 15. τρίτῃ μορίδι *CR* ‖ 16. ταῦτα] μὴ ταῦτα *CPdz* ‖ οὐ *Acorr.Bcorr.*: σὺ ποιήσῃς *d* ‖ 17. ἦ μὶν *B*, ἦ μὴν ceteri cum Et. M. ‖ σ' ἐγὼ Et. M. ‖ ἄπλειστον *R* ‖ 18. μέν νυν τῶν ἐπέων τουτέων *z* ‖ ἀνενεχθέντων *B*[1] ‖ 19. ἐποιέετο] οὐδένα ἐποιέετο *z* ‖ βασιληίης *Rdz* ‖ τομύριδος *Rdz* ‖ 23. ὡς *L* ‖ οἱ] οἱ ὁ *P*, ὁ *Rdz* ‖ 24. πᾶσαν om. *Rdz*

συνέβαλε Κύρῳ. ταύτην τὴν μάχην, ὅσαι δὴ βαρβάρων ἀνδρῶν μάχαι ἐγένοντο, κρίνω ἰσχυροτάτην γενέσθαι, καὶ δὴ καὶ πυνθάνομαι οὕτω τοῦτο γενόμενον. πρῶτα μὲν γὰρ λέγεται αὐτοὺς διαστάντας ἐς ἀλλήλους τοξεύειν, μετὰ δέ, ὥς σφι τὰ βέλεα ἐξετετόξευτο, συμπεσόντας τῇσι αἰχμῇσί τε καὶ τοῖσι ἐγχειριδίοισι συνέχεσθαι. χρόνον τε δὴ ἐπὶ πολλὸν συνεστάναι μαχομένους καὶ οὐδετέρους ἐθέλειν φεύγειν· τέλος δὲ οἱ Μασσαγέται περιεγένοντο. ἥ τε δὴ πολλὴ τῆς Περσικῆς στρατιῆς αὐτοῦ ταύτῃ διεφθάρη καὶ δὴ καὶ αὐτὸς Κῦρος τελευτᾷ, βασιλεύσας τὰ πάντα ἑνὸς δέοντα τριήκοντα ἔτεα. ἀσκὸν δὲ πλήσασα αἵματος ἀνθρωπηίου Τόμυρις ἐδίζητο ἐν τοῖσι τεθνεῶσι τῶν Περσέων τὸν Κύρου νέκυν, ὡς δὲ εὗρε, ἐναπῆκε αὐτοῦ τὴν κεφαλὴν ἐς τὸν ἀσκόν. λυμαινομένη δὲ τῷ νεκρῷ ἐπέλεγε τάδε. "σὺ μὲν ἐμὲ ζῶσάν τε καὶ νικῶσάν σε μάχῃ ἀπώλεσας, παῖδα τὸν ἐμὸν ἑλὼν δόλῳ· σὲ δ' ἐγώ, κατά περ ἠπείλησα, αἵματος κορέσω." τὰ μὲν δὴ κατὰ τὴν Κύρου τελευτὴν τοῦ βίου, πολλῶν λόγων λεγομένων, ὅδε μοι ὁ πιθανώτατος εἴρηται.

Μασσαγέται δὲ ἐσθῆτά τε ὁμοίην τῇ Σκυθικῇ φορέουσι 215
καὶ δίαιταν ἔχουσι, ἱππόται δέ εἰσι καὶ ἄνιπποι (ἀμφοτέρων γὰρ μετέχουσι) καὶ τοξόται τε καὶ αἰχμοφόροι, σαγάρις νομίζοντες ἔχειν. χρυσῷ δὲ καὶ χαλκῷ τὰ πάντα χρέωνται· ὅσα μὲν γὰρ ἐς αἰχμὰς καὶ ἄρδις καὶ σαγάρις, χαλκῷ τὰ

μάχη Κύρου πρὸς Μασσαγέτας καὶ τελευτή   περὶ τῆς Μασσαγετῶν διαίτης καὶ ἐθῶν καὶ νόμων

13. λυμαινομένη - 14 τάδε Priscianus XVIII 236. — ibidem 139. — 21. Λέξεις. — 23. Λέξεις

4. ἐς] ἐπ' *P* ‖ 5. ἐξετοξεύετο *Rdz* ‖ 7. οὐδ' ἑτέρους *C* ‖ 8. μασαγέτας *d* ‖ περιεγένοντο *Rd*: περιεγενέατο ‖ 9. αὐτοῦ στρατιῆς *z* ‖ 10. δέον *A*[1] ‖ 11. ἐδίζ(ε)ητο *R*, ἐδίζετο *dz* ‖ 13. ἐπανῆπτε *ABC* ‖ 14. τοιάδε Prisc. ‖ ἐμεῦ *z* ‖ ζώουσαν *C*, ζώσης *z* ‖ 15. νικώσης *z* ‖ ἐς μάχῃ *R*, ἐς μάχην *dz* ‖ 16. δὲ *Rd* ‖ 18. ὧδέ *R*, ὧδέ *d* ‖ πιθανότατος *C* ‖ 20. ἱππόται - 21 μετέχουσι om. *P*[t] ‖ 21. αἰχμωφόροι *Apr.Bpr.* ‖ σάγαρις *C*, σαγγάρεις *Rdz* ‖ 22. χρέωνται *BCz*: χρῶνται ‖ 23. ἄρδις] ἄρδεις *z*, φαρέτρας *Rd* ‖ σαγγάρεις *dz*

πάντα χρέωνται, ὅσα δὲ περὶ κεφαλὴν καὶ ζωστῆρας καὶ μασχαλιστῆρας, χρυσῷ κοσμέονται. ὡς δ' αὔτως τῶν ἵππων τὰ μὲν [περὶ τὰ] στέρνα χαλκέους θώρηκας περιβάλλουσι, τὰ δὲ περὶ τοὺς χαλινοὺς καὶ στόμια καὶ φάλαρα χρυσῷ. σιδήρῳ δὲ οὐδ' ἀργύρῳ χρέωνται οὐδέν· οὐδὲ γὰρ οὐδέ σφι ἐστὶ

216 ἐν τῇ χώρῃ, ὁ δὲ χρυσὸς καὶ ὁ χαλκὸς ἄπλετος. νόμοισι δὲ χρέωνται τοιοῖσιδε. γυναῖκα μὲν γαμέει ἕκαστος, ταύτῃσι δὲ ἐπίκοινα χρέωνται· τὸ γὰρ Σκύθας φασὶ Ἕλληνες ποιέειν, οὐ Σκύθαι εἰσὶ οἱ ποιέοντες ἀλλὰ Μασσαγέται· τῆς γὰρ ἐπιθυμήσῃ γυναικὸς Μασσαγέτης ἀνήρ, τὸν φαρετρεῶνα ἀποκρεμάσας πρὸ τῆς ἁμάξης μίσγεται ἀδεῶς. οὖρος δὲ ἡλικίης σφι προκέεται ἄλλος μὲν οὐδείς· ἐπεὰν δὲ γέρων γένηται χάρτα, οἱ προσήκοντές οἱ πάντες συνελθόντες θύουσί μιν καὶ ἄλλα πρόβατα ἅμα αὐτῷ, ἑψήσαντες δὲ τὰ κρέα κατευωχέονται. ταῦτα μὲν τὰ ὀλβιώτατά σφι νενόμισται, τὸν δὲ νούσῳ τελευτήσαντα οὐ κατασιτέονται ἀλλὰ γῇ κρύπτουσι, συμφορὴν ποιεύμενοι ὅτι οὐκ ἵκετο ἐς τὸ τυθῆναι. σπείρουσι δὲ οὐδέν, ἀλλ' ἀπὸ κτηνέων ζώουσι καὶ ἰχθύων· οἱ δὲ ἄφθονοί σφι ἐκ τοῦ Ἀράξεω ποταμοῦ παραγίνονται· γαλακτοπόται δ' εἰσί. θεῶν δὲ μοῦνον ἥλιον σέβονται, τῷ θύουσι ἵππους. νόος δὲ οὗτος τῆς θυσίης· τῶν θεῶν τῷ ταχίστῳ πάντων τῶν θνητῶν τὸ τάχιστον δατέονται.

περὶ τῆς παρὰ Μασσαγέταις ἀνθρωποφαγίας καὶ περὶ θυσιῶν

4. Λέξεις. — 10 sq. Aelianus hist. an. VI 60. — 21 sq. Eustathius Il. p. 36. 844. (339)

2. ὡς *L* ‖ ἱππέων *C* ‖ 3. περὶ τὰ seclusi ‖ 5. σφί ἐστι *ABR*, σφι ἐστι *C* ‖ 6. ὁ δὲ χαλκὸς καὶ ὁ χρυσὸς *dz* ‖ 7. τοιοῖσδε *L* ‖ 8. ἐπὶ κοινὰ *Rdz* ‖ τὸ] δ *L* ‖ 9. μασαγέται et μασαγέτης *d* ‖ τῆς – 10 Μασσαγέτης om. *R* ‖ ἐπιθυμήσηι *AB* : ἐπιθυμήσει ‖ 10. τῶν φαρετρεῶν *Rd*[1] ‖ 12. φι *C* ‖ προκέεται *C*: πρόκειται ‖ 14. ἑψήσαντες *R* ‖ 16. χάρτα σιτέονται *z* ‖ 18. ἀλλὰ *Rd* ‖ κτεινέων *P* ‖ 19. δέ εἰσι *Rdz* ‖ 21. νόος Krueger: νόμους *R*, νόμος ceteri

ΗΡΟΔΟΤΟΥ Α̅ *A*, ηροδότου ἱστοριῶν Α *B*, ιστοριων ἡροδότου α'. *C*, ἱστοριῶν ἡροδότου α' *P*, ἡροδότου ἱστοριῶν α̃ *R*, τέλος ἡροδότου ἱστοριῶν πρώτης *d*, ΗΡΟΔΟΤΟΥ ΙΣΤΟΡΙΩΝ ΠΡΩΤΗ. *z*

B

Τελευτήσαντος δὲ Κύρου παρέλαβε τὴν βασιληίην Καμβύσης, Κύρου ἐὼν παῖς καὶ Κασσανδάνης τῆς Φαρνάσπεω θυγατρός, τῆς προαποθανούσης Κῦρος αὐτός τε μέγα πένθος ἐποιήσατο καὶ τοῖσι ἄλλοισι προεῖπε πᾶσι τῶν ἦρχε πένθος ποιέεσθαι. ταύτης δὴ τῆς γυναικὸς ἐὼν παῖς καὶ Κύρου Καμβύσης Ἴωνας μὲν καὶ Αἰολέας ὡς δούλους πατρωίους ἐόντας ἐνόμιζε, ἐπὶ δὲ Αἴγυπτον ἐποιέετο στρατηλασίην ἄλλους τε παραλαβὼν τῶν ἦρχε καὶ δὴ καὶ Ἑλλήνων τῶν ἐπεκράτεε. 1

Οἱ δὲ Αἰγύπτιοι, πρὶν μὲν ἢ Ψαμμήτιχον σφέων βασιλεῦσαι, ἐνόμιζον ἑωυτοὺς πρώτους γενέσθαι πάντων ἀνθρώπων· ἐπειδὴ δὲ Ψαμμήτιχος βασιλεύσας ἠθέλησε εἰδέναι οἵτινες γενοίατο πρῶτοι, ἀπὸ τούτου νομίζουσι Φρύγας προτέρους γενέσθαι ἑωυτῶν, τῶν δὲ ἄλλων ἑωυτούς. Ψαμμήτιχος δὲ ὡς οὐκ ἐδύνατο πυνθανόμενος πόρον οὐδένα τούτου ἀνευρεῖν, 2

ὅτι Καμβύσης ὁ Κύρου καὶ Κασσανδάνης παραλαβὼν τὴν βασιλείαν ἐστράτευσεν κατὰ Αἰγυπτίων   περὶ Αἰγυπτίων καὶ Ψαμμητίχου καὶ τῆς τοῦ βεκὸς φωνῆς καὶ ὅτι πρῶτοι ἀνθρώπων Φρύγες

---

10 sqq. (Schol. Arist nub. 397. Suidas v. βεκκεσέληνε)

ЄΥΤΕΡΠΗ Β̄ *A*, Β ‖ : ευτέρπηι *B*, εὐτέρπη. β′ *CR*, Εὐτέρπη ·:· δευτέρα *P*, ἡροδότου ἱστοριῶν δευτέρα *d*, ΗΡΟΔΟΤΟΥ ΑΛΙΚΑΡΝΑΣΣΕΩΣ ΙΣΤΟΡΙΩΝ ΔΕΥΤΕΡΑ. ΕΥΤΕΡΠΗ. *z*

1. δὴ *R* ‖ 2. κασανδάνης *C* ‖ φαρνάπεω *C* ‖ 3. πένθος μέγα *Rdz* ‖ 4. πένθος] μέγα πένθος *z* ‖ 5. ποιεῖσθαι *R* ‖ δὴ *ABC*: δὲ ‖ καὶ χαμβύσης *A* ‖ 6. πατρώιους *ACP*, πατρῴους *B* ‖ 8. Ελληνας *z* ‖ 10. ψαμμήτιχος *Apr.Bpr.*, ψαμμίτιχος *Acorr.*, ψαμμίτιχον *CP* ‖ 12. ἐπειδὴ] ἐπεὶ *Rdz* ‖ ψαμμίτιχος *Acorr.CP* ‖ 14. ψαμμίτιχος *CP* ‖ δὲ] γὰρ *qz*

οἳ γενοίατο πρῶτοι ἀνθρώπων, ἐπιτεχνᾶται τοιόνδε. παιδία δύο νεογνὰ ἀνθρώπων τῶν ἐπιτυχόντων δίδωσι ποιμένι τρέφειν ἐς τὰ ποίμνια τροφήν τινα τοιήνδε, ἐντειλάμενος μηδένα ἀντίον αὐτῶν μηδεμίαν φωνὴν ἱέναι, ἐν στέγῃ δὲ ἐρήμῃ ἐπ' ἑωυτῶν κέεσθαι αὐτά, καὶ τὴν ὥρην ἐπαγινέειν σφι αἶγας, πλήσαντα δὲ γάλακτος τἆλλα διαπρήσσεσθαι. ταῦτα δὲ ἐποίεέ τε καὶ ἐνετέλλετο Ψαμμήτιχος θέλων ἀκοῦσαι τῶν παιδίων, ἀπαλλαχθέντων τῶν ἀσήμων κνυζημάτων, ἥντινα φωνὴν ῥήξουσι πρώτην· τά περ ὦν καὶ ἐγένετο. ὡς γὰρ διέτης χρόνος ἐγεγόνεε ταῦτα τῷ ποιμένι πρήσσοντι, ἀνοίγοντι τὴν θύρην καὶ ἐσιόντι τὰ παιδία ἀμφότερα προσπίπτοντα βεκὸς ἐφώνεον, ὀρέγοντα τὰς χεῖρας. τὰ μὲν δὴ πρῶτα ἀκούσας ἥσυχος ἦν ὁ ποιμήν· ὡς δὲ πολλάκις φοιτέοντι καὶ ἐπιμελομένῳ πολλὸν ἦν τοῦτο τὸ ἔπος, οὕτω δὴ σημήνας τῷ δεσπότῃ ἤγαγε τὰ παιδία κελεύσαντος ἐς ὄψιν τὴν ἐκείνου. ἀκούσας δὲ καὶ αὐτὸς ὁ Ψαμμήτιχος ἐπυνθάνετο οἵτινες ἀνθρώπων βεκός τι καλέουσι, πυνθανόμενος δὲ εὕρισκε Φρύγας καλέοντας τὸν ἄρτον. οὕτω συνεχώρησαν Αἰγύπτιοι καὶ τοιούτῳ σταθμησάμενοι πρήγματι τοὺς Φρύγας πρεσβυτέρους εἶναι ἑωυτῶν. ὧδε μὲν γενέσθαι τῶν ἱρέων τοῦ Ἡφαίστου τοῦ ἐν Μέμφι ἤκουον· Ἕλληνες δὲ λέγουσι ἄλλα τε μάταια πολλὰ καὶ ὡς γυναικῶν τὰς γλώσσας ὁ Ψαμμήτιχος ἐκταμὼν

2. Pollux II 8. — 8. Λέξεις. — 9. ὡς - 10 πρήσσοντι Lexicon Vindob. p. 53. — 12. Hesychius v. βεκός

1. ἐπιτεχνᾶται - 2 ἀνθρώπων om. B[1] || 2. διδοῖ Rdz || πυμένι (οι) C || 3. τοιῆνδε A || μηδὲν ABC[1] || 4. αὐτέων z || μηδεμίην φωνὴν z, φωνὴν μὴ δὲ μίαν Rd, μὴ δὲ μίαν φωνήν τινα τοιῆνδε C || ἱέναι dz || ὑπ' dz || 5. κεῖσθαι Rd || αὐτῶν (ἀ) R || ἐπαγινέην R, ἐπάγειν ABC || σφίσιν Rd, σφίσι z || 6. πλήσαντας ABCpr. || τοῦ γάλακτος Rdz || δὲ ABC: δ' || 7. ἐποιέετο καὶ Rdz || ὁ ψαμμήτιχος Rdz, ψαμμίτιχος CP || 8. ἀπαλλαγέντων C. (Schol. Arist. et Suid.), ἀπηλλαχθέντων (α) R || 10. διετης ABC[1]. Lex. Vind., τριετής Schol. Arist. et Suid. || ταῦτα om. C[1] || ἀνοίγοντί τε Rdz || 11. ἐπιόντι Rd || 12. βέκκος Rdz. Suid., βέκους Suidae codices duo, βόκος Schol. Arist. || ἐφώνευον C || τὴν χεῖρα d || 13. πολλάκι z || φοιτέωντι C, φοιτῶντι Rd || 14. ἐπιμελουμένῳ Rdz || σημάνας AB || 16. ψαμμίτιχος CP || 17. βεκκός R, βέκκος dz || τί dz || εὕρησκε C || 19. πρεσβυτέρους] πρώτους Rd || 20. ἱρέων C, ἱερέων R || 21. τοῦ ἐν] ἐν dz || 22. ψαμμίτιχος CP

τὴν δίαιταν οὕτω ἐποιήσατο τῶν παίδων παρὰ ταύτῃσι τῇσι γυναιξί.

Κατὰ μὲν δὴ τὴν τροφὴν τῶν παίδων τοσαῦτα ἔλεγον, 3
ἤκουσα δὲ καὶ ἄλλα ἐν Μέμφι ἐλθὼν ἐς λόγους τοῖσι ἱρεῦσι τοῦ Ἡφαίστου. καὶ δὴ καὶ ἐς Θήβας τε καὶ ἐς Ἡλίου πόλιν αὐτῶν τούτων εἵνεκεν ἐτραπόμην, ἐθέλων εἰδέναι εἰ συμβήσονται τοῖσι λόγοισι τοῖσι ἐν Μέμφι· οἱ γὰρ Ἡλιοπολῖται λέγονται Αἰγυπτίων εἶναι λογιώτατοι. τὰ μέν νυν θεῖα τῶν ἀπηγημάτων οἷα ἤκουον, οὐκ εἰμὶ πρόθυμος ἐξηγέεσθαι, ἔξω ἢ τὰ οὐνόματα αὐτῶν μοῦνον, νομίζων πάντας ἀνθρώπους ἴσον περὶ αὐτῶν ἐπίστασθαι· τὰ δ᾽ ἂν ἐπιμνησθέω αὐτῶν, ὑπὸ τοῦ λόγου ἐξαναγκαζόμενος ἐπιμνησθήσομαι. ὅσα 4
δὲ ἀνθρωπήια πρήγματα, ὧδε ἔλεγον ὁμολογέοντες σφίσι, πρώτους Αἰγυπτίους ἀνθρώπων ἁπάντων ἐξευρεῖν τὸν ἐνιαυτόν, δυώδεκα μέρεα δασαμένους τῶν ὡρέων ἐς αὐτόν· ταῦτα δὲ ἐξευρεῖν ἐκ τῶν ἀστέρων ἔλεγον. ἄγουσι δὲ τοσῷδε σοφώτερον Ἑλλήνων, ἐμοὶ δοκέειν, ὅσῳ Ἕλληνες μὲν διὰ τρίτου ἔτεος ἐμβόλιμον ἐπεμβάλλουσι τῶν ὡρέων εἵνεκεν, Αἰγύπτιοι δὲ τριηκοντημέρους ἄγοντες τοὺς δυώδεκα μῆνας ἐπάγουσι ἀνὰ πᾶν ἔτος πέντε ἡμέρας πάρεξ τοῦ ἀριθμοῦ, καί σφι ὁ κύκλος τῶν ὡρέων ἐς τὠυτὸ περιιὼν παραγίνεται. δυώδεκά τε θεῶν ἐπωνυμίας ἔλεγον πρώτους Αἰγυπτίους νομίσαι καὶ Ἕλληνας παρὰ σφέων ἀναλαβεῖν, βωμούς τε καὶ

περὶ ὧν Αἰγύπτιοι ἐξεῦρον

5. Stephanus Byz. v. Ἡλίου πόλις. — 7 sq. Eustathius Dion. 232. — 8. τὰ μέν - 10 μοῦνον Athenagoras legat. 24. — 14. Eustathius Dion. 232

1. οὕτως *L* ‖ παιδίων *Rdz* ‖ ταῖς *Rd* ‖ 3. τὴν om. *Rd* ‖ παιδίων *Rdz* ‖ 4. ἱερεῦσι *B* ‖ 5. ἡλίου πόλιν *A*: ἡλιούπολιν ‖ 6. αὐτῶν τούτων *CR*: αὐτέων τουτέων *ABP*, αὐτῶν *d*, αὐτέων *z* ‖ ἕνεκεν *R*, ἕνεκα *d* ‖ 7. μέμφηι *C* ‖ ἡλιοπολῖται *AB*: ἡλιουπολῖται ‖ 8. λογιμώτατοι *Rdz*. Eust. ‖ 9. διηγεῖσθαι Athen. ‖ 10. ἔξω ἢ] ἐξ ὧν Athen. ‖ ὀνόματα *d*. Athen. ‖ αὐτέων *z*. Athen. ‖ μόνον *Rd*, μοῦνα ἐλάχιστα Athen. ‖ 11. ἶσον *CB* ‖ περὶ αὐτὸν *Rd*, περὶ αὐτέων *z* ‖ ἐπιμνησθῶ *L* ‖ 12. ἀναγκαζόμενος *Rdz* ‖ 13. ὁμολογέοντές σφι B^2C ‖ 14. ἐξευρέειν *L* ‖ 15. ὡρέων *C*, ὡραίων *z* ‖ 16. ἐξευρεῖν *AB*: ἐξευρέειν ‖ ἄστρων *ABC* ‖ 17. ὡς ἐμοὶ δοκέει *Rdz* ‖ 18. ἐπεμβάλουσι *d* ‖ ὡρέων *C* ‖ 19. τριηκοντημέρους *Rdz*: τριηκονθημέρους C^2P, τριακονθημέρους ABC^1 ‖ 23. παρά σφεων *C*

ἀγάλματα καὶ νηοὺς θεοῖσι ἀπονεῖμαι σφέας πρώτους καὶ ζῷα ἐν λίθοισι ἐγγλύψαι. καὶ τούτων μέν νυν τὰ πλέω ἔργῳ ἐδήλουν οὕτω γενόμενα. βασιλεῦσαι δὲ πρῶτον Αἰγύπτου ἄνθρωπον ἔλεγον Μῖνα· ἐπὶ τούτου, πλὴν τοῦ Θηβαϊκοῦ νομοῦ, πᾶσαν Αἴγυπτον εἶναι ἕλος, καὶ αὐτῆς εἶναι οὐδὲν ὑπερέχον τῶν νῦν ἔνερθε λίμνης τῆς Μοίριος ἐόντων, ἐς τὴν ἀνάπλοος ἀπὸ θαλάσσης ἑπτὰ ἡμερέων ἐστὶ ἀνὰ τὸν ποταμόν.

5 καὶ εὖ μοι ἐδόκεον λέγειν περὶ τῆς χώρης· δῆλα γὰρ δὴ καὶ μὴ προακούσαντι ἰδόντι δέ, ὅστις γε σύνεσιν ἔχει, ὅτι Αἴγυπτος, ἐς τὴν Ἕλληνες ναυτίλλονται, ἐστὶ Αἰγυπτίοισι ἐπίκτητός τε γῆ καὶ δῶρον τοῦ ποταμοῦ, καὶ τὰ κατύπερθε ἔτι τῆς λίμνης ταύτης μέχρι τριῶν ἡμερέων πλόου, τῆς πέρι ἐκεῖνοι οὐδὲν ἔτι τοιόνδε ἔλεγον, ἔστι δὲ ἕτερον τοιοῦτον. Αἰγύπτου γὰρ φύσις ἐστὶ τῆς χώρης τοιήδε. πρῶτα μὲν προσπλέων ἔτι καὶ ἡμέρης δρόμον ἀπέχων ἀπὸ γῆς, κατεὶς καταπειρητηρίην πηλόν τε ἀνοίσεις καὶ ἐν ἕνδεκα ὀργυιῇσι ἔσεαι. τοῦτο μὲν ἐπὶ τοσοῦτο δηλοῖ πρόχυσιν τῆς γῆς ἐοῦσαν.

6 αὖτις δὲ αὐτῆς ἐστι Αἰγύπτου μῆκος τὸ παρὰ θάλασσαν ἑξήκοντα σχοῖνοι, κατὰ ἡμεῖς διαιρέομεν εἶναι Αἴγυπτον ἀπὸ τοῦ Πλινθινήτεω κόλπου μέχρι Σερβωνίδος λίμνης, παρ' ἣν τὸ Κάσιον ὄρος τείνει· ταύτης ὦν ἄπο οἱ ἑξήκοντα σχοῖ-

περὶ τοῦ πρώτου Αἰγύπτου βασιλέως   περὶ τῆς Αἰγυπτίων χώρας φύσεώς τε καὶ θέσεως καὶ μεγέθους καὶ σχήματος καὶ τῆς τοῦ Νείλου προσχώσεως

---

11. Strabo p. 36. 536. 691. Arrianus anab. V 6 3. — 16. (Hesychius v. καταπιρητηρίη)

1. ἀπονεῖμαί σφεας *C* ‖ 2. ζῶια *AB*: ζῷα ‖ καὶ τούτων] τουτέων *Rdz* ‖ 3. Αἰγύπτου om. *Rdz* ‖ 4. ἀνθρώπων *Rdz* ‖ μῖνα *Pd*²: μίνα *C*, μεινα *A*¹, μεινεα *A*², μεῖνα *B*, μῆνα *Rd*¹*z* ‖ 6. μύριος *CRdz* ‖ 7. ἀνάπλους *L* ‖ 8. ἐδόκεε *d* ‖ 9. δὴ om. *ABC* ‖ 10. ἐστὶ *P*: ἐστὶν *AB*, ἔστι z, ἔστιν reliqui ‖ 11. καὶ τὰ] καὶ ἡ τὰ Dietsch ‖ κατύπερ *d*, καθ' ὕπερ *R* ‖ 13. δὲ *ABC*: δ' ‖ τοιοῦτον *Rdz*: τοιοῦτο *P*, τοιόνδε *ABC* ‖ 14. τῆς χώρης ἐστὶ z ‖ τοιῆδε *AB* ‖ πρῶτον *d* ‖ 16. κατὰ πειρητηρίην *CRdz* ‖ ἀνῦδεις (οι) *C* ‖ ἐν ἕνδεκα *Ppr.Rdz*: ἐν δέκα ‖ ὀργυιῆισι *P*: ὀργυιῆισιν *AB*, ὀργιῆσι *C*¹, ὀργυιῆσι *C*², ὀργυίησιν *d*, ὀργΰησιν *R*, ὀργυίῃσι z ‖ 17. τοσοῦτον *Rdz* ‖ 18. αὐτῆς δὲ τῆς αἰγύπτου ἐπὶ μῆκος *Rdz* ‖ 19. κατ' ἃ *R* ‖ ἡμέες *Pz* ‖ 20. τοῦ om. *C* ‖ πλινθηνήτεω *dz* ‖ σελβωνίδος *dz* ‖ 21. κάσσιον *A* ‖ τείνει om. *ABC*¹ ‖ οὖν *R* ‖ ἄπο om. *Rdz*

νοί εἰσι. ὅσοι μὲν γὰρ γεωπεῖναί εἰσι ἀνθρώπων, ὀργυιῇσι μεμετρήκασι τὴν χώρην, ὅσοι δὲ ἧσσον γεωπεῖναι, σταδίοισι, οἳ δὲ πολλὴν ἔχουσι, παρασάγγῃσι, οἳ δὲ ἄφθονον λίην, σχοίνοισι. δύναται δὲ ὁ παρασάγγης τριήκοντα στάδια, ὁ δὲ σχοῖνος ἕκαστος, μέτρον ἐὸν Αἰγύπτιον, ἑξήκοντα στάδια. οὕτω ἂν εἴησαν Αἰγύπτου στάδιοι ἑξακόσιοι καὶ τρισχίλιοι τὸ
παρὰ θάλασσαν. ἐνθεῦτεν μὲν καὶ μέχρι Ἡλίου πόλιος ἐς 7
τὴν μεσόγαιαν ἐστὶ εὐρέα Αἴγυπτος, ἐοῦσα πᾶσα ὑπτίη τε καὶ ἔνυδρος καὶ ἰλύς. ἔστι δὲ ὁδὸς ἐς Ἡλίου πόλιν ἀπὸ θαλάσσης ἄνω ἰόντι παραπλησίη τὸ μῆκος τῇ ἐξ Ἀθηνέων ὁδῷ τῇ ἀπὸ τῶν δυώδεκα θεῶν τοῦ βωμοῦ φερούσῃ ἔς τε Πίσαν καὶ ἐπὶ τὸν νηὸν τοῦ Διὸς τοῦ Ὀλυμπίου. σμικρόν τι τὸ διάφορον εὕροι τις ἂν λογιζόμενος τῶν ὁδῶν τουτέων τὸ μὴ ἴσας μῆκος εἶναι, οὐ πλέον πεντεκαίδεκα σταδίων· ἡ μὲν γὰρ ἐς Πίσαν ἐξ Ἀθηνέων καταδεῖ πεντεκαίδεκα σταδίων μὴ εἶναι πεντακοσίων καὶ χιλίων, ἡ δὲ ἐς Ἡλίου πόλιν ἀπὸ θαλάσσης πληροῖ ἐς τὸν ἀριθμὸν τοῦτον. ἀπὸ δὲ Ἡλίου πόλιος 8
ἄνω ἰόντι στεινή ἐστι Αἴγυπτος. τῇ μὲν γὰρ τῆς Ἀραβίης ὄρος παρατέταται, φέρον ἀπ' ἄρκτου πρὸς μεσαμβρίην τε καὶ νότον, αἰεὶ ἄνω τεῖνον ἐς τὴν Ἐρυθρὴν καλεομένην θάλασσαν· ἐν τῷ αἱ λιθοτομίαι ἔνεισι αἱ ἐς τὰς πυραμίδας κατα-

ὅτι ὁ παρασάγγης λ̄ σταδίους ἔχει ὁ δὲ σχοῖνος ξ̄

---

1. Λέξεις. — 4. δύναται - 5 στάδια Lexicon rhet. p. 674 Dobr. — 5. Photius v. σχοῖνος

1. γεωπεῖναι *Pz*. gloss.: γεωπῖναι ‖ ὀργύιησι *R*, ὀργυίῃσι *dz* ‖ 2. γεωπεῖναι *Pz*: γεωπεῖναι ‖ 3. οἱ δὲ *AR* ‖ 4. δὲ ὁ] δὲ ὁ μὲν *C*²*Rdz*, μὲν οὖν οἱ Lex. rhet. ‖ παρασάγγεις τριάκοντα σταδίους Lex. rhet. ‖ 5. ἑκατὸν Lex. rhet. ‖ ἐὼν *Pz*, om. Lex. rhet. ‖ σταδίους Lex. rhet. ‖ 7. μὲν om. *Rdz* ‖ ἡλιου πολιος *A*, ἡλίου πόλιος *BCPz*, ἡλίου πόλεως *d*, ἡλιουπόλεως *R* ‖ 8. μεσόγεαν *R* ‖ 9. ἔνυδρος Hennicke: ἄνυδρος *L*, εὔυδρος Larcher ‖ ἐς] ἐς τὴν *Rdz* ‖ ἡλιουπόλιν *A*, ἡλιούπολιν ceteri ‖ 10. ἰόντι] ἀνιόντι *Rdz* ‖ ἀθηναίων *CRdz* ‖ 11. πεῖσαν *AB*, πίσσαν bz ‖ 12. σμικρὸν τὸ διάφορον *C*, σμικρόν τι διαφέρον *Rdz* ‖ 13. εὐδῶν *d*, οὐδῶν *z* ‖ 14. μῆκος om. *Rdz* ‖ ἡ μὲν - 15 σταδίων om. *B*[1] ‖ 15. ἐς] ἐπὶ *Rd* ‖ πεῖσαν *AB*[2], πᾶσαν *R*, πίσσαν bz ‖ ἀθηναίων *CRdz* ‖ καταδῇ *d*, κατὰ δὴ *Rz* ‖ πέντε καίδεκα *A* ‖ μὴ] ὡς μὴ *Rdz* ‖ 16. ἡλιουπόλιν *A*, ἰλιούπολιν *P*, ἡλιούπολιν reliqui ‖ 17. ἡλιουπόλιος *L* ‖ 19. μεσαμβρίην *z*: μεσαμβρίη *Rd*, μεσαμβρίης reliqui ‖ 20. νότον *z*: νότου ‖ ἀεὶ *Rd* ‖ 21. τῷ αἱ] τῷ καὶ *Rdz* ‖ πυραμῖδας *AB*

τμηθεῖσαι τὰς ἐν Μέμφι. ταύτῃ μὲν λῆγον ἀνακάμπτει ἐς τὰ εἴρηται τὸ ὄρος· τῇ δὲ αὐτὸ ἑωυτοῦ ἐστι μακρότατον, ὡς ἐγὼ ἐπυνθανόμην, δύο μηνῶν αὐτὸ εἶναι τῆς ὁδοῦ ἀπὸ ἠοῦς πρὸς ἑσπέρην, τὰ δὲ πρὸς τὴν ἠῶ λιβανωτοφόρα αὐτοῦ τὰ τέρματα εἶναι. τοῦτο μέν νυν τὸ ὄρος τοιοῦτό ἐστι, τὰ δὲ πρὸς Λιβύης τῆς Αἰγύπτου ὄρος ἄλλο πέτρινον τείνει, ἐν τῷ αἱ πυραμίδες ἔνεισι, ψάμμῳ κατειλυμένον, κατὰ τὸν αὐτὸν τρόπον καὶ τοῦ Ἀραβίου τὰ πρὸς μεσαμβρίην φέροντα. τὸ ὦν δὴ ἀπὸ Ἡλίου πόλιος οὐκέτι πολλὸν χωρίον ὡς εἶναι Αἰγύπτου, ἀλλ᾽ ὅσον τε ἡμερέων τεσσέρων καὶ δέκα ἀναπλόου ἐστὶ στεινὴ Αἴγυπτος ἐοῦσα. τῶν δὲ ὀρέων τῶν εἰρημένων τὸ μεταξὺ πεδιὰς μὲν γῆ, στάδιοι δὲ μάλιστα ἐδόκεόν μοι εἶναι, τῇ στεινότατόν ἐστι, διηκοσίων οὐ πλέους ἐκ τοῦ Ἀραβίου ὄρεος ἐς τὸ Λιβυκὸν καλεόμενον. τὸ δ᾽ ἐνθεῦτεν
9 αὖτις εὐρέα Αἴγυπτός ἐστι. πέφυκε μέν νυν ἡ χώρη αὕτη οὕτω. ἀπὸ δὲ Ἡλίου πόλιος ἐς Θήβας ἐστὶ ἀνάπλοος ἐννέα ἡμερέων, στάδιοι δὲ τῆς ὁδοῦ ἑξήκοντα καὶ ὀκτακόσιοι καὶ τετρακισχίλιοι, σχοίνων ἑνὸς καὶ ὀγδώκοντα ἐόντων. οὗτοι συντιθέμενοι οἱ στάδιοι Αἰγύπτου, τὸ μὲν παρὰ θάλασσαν ἤδη μοι καὶ πρότερον δεδήλωται ὅτι ἑξακοσίων τε ἐστὶ σταδίων καὶ τρισχιλίων, ὅσον δέ τι ἀπὸ θαλάσσης ἐς μεσόγαιαν μέχρι Θηβέων ἐστί, σημανέω· στάδιοι γάρ εἰσι εἴκοσι καὶ ἑκατὸν

10 sq. Aristides Aegypt. p. 343

1. μέμφηι *C* ‖ 2. μακρότερον *Rdz* ‖ 3. ///πυνθανόμην *Bcorr.*, πυνθάνομαι *C* ‖ ἕω *Rdz* ‖ 4. ἕω *Rdz* ‖ 5. τοιοῦτόν ἐστι *Rdz* ‖ 6. πέτρινον τείνει] ὑπερτείνει *B*²*CPcorr.* ‖ 7. πυραμῖδες *ABC* ‖ κατειλυμένον *ABC*: κατειλημμένον ‖ κατὰ τὸν] κατὸν *B*, τεταμένον τὸν *Rdz*. [an τετραμμέναν?] Bekker ‖ 8. καὶ] τὸν καὶ *A*²*CP* ‖ μεσημβρίην *Cd* ‖ 9. ἡλίου πόλιος *AB*: ἡλιουπόλιος ‖ πολλῶν χωρίων *Rdz* ‖ 10. ὅσων *dz*. ‖ τεσσέρων καὶ δέκα Dietsch: τεσσάρων *Ppr.Rd*, τεσσέρων reliqui, τεττάρων Arist. ‖ 11. στεινή ἐστι *z* ‖ δὲ om. *ABC* ‖ οὐρέων *CPz* ‖ 12. γῆς *R* ‖ 13. πλείους *Rdz* ‖ 14. ἀρραβίου *d* ut solet ‖ οὔρεος *Ccorr.Pdz* ‖ καλεύμενον *Rdz* ‖ δὲ *ABC* ‖ 15. αὖθις *B* ‖ αἴγυπτος εὐρέα ἐστί *Rd* ‖ μὲν ὦν *Rdz* ‖ 16. οὕτως *ABC* ‖ ἡλιουπόλιος *L* ‖ ἐστὶν ἐς θήβας *R* ‖ 17. ὀκτακόσιοι] τετρακόσιοι *A*¹*BC*¹ ‖ 18. καὶ om. *Rdz* ‖ 19. συντεθειμένοι *Rdz* ‖ οἱ om. *Rdz* ‖ 21. δέ τι] δὲ τῇ *Rd*, δὲ τῇ *z* ‖ ἐς μεσόγαιαν om. *Rdz* ‖ 22. θηβαίων *CRdz* ‖ ἐστί] μεσόγαιά ἐστι *dz*, μεσόγεά ἐστι *R*

καὶ ἑξακισχίλιοι. τὸ δὲ ἀπὸ Θηβέων ἐς Ἐλεφαντίνην καλεο-
μένην πόλιν στάδιοι χίλιοι καὶ ὀκτακόσιοί εἰσι.
Ταύτης ὦν τῆς χώρης τῆς εἰρημένης ἡ πολλή, κατά 10
περ οἱ ἱρέες ἔλεγον, ἐδόκεε καὶ αὐτῷ μοι εἶναι ἐπίκτητος
Αἰγυπτίοισι. τῶν γὰρ ὀρέων τῶν εἰρημένων τῶν ὑπὲρ
Μέμφιος πόλιος κειμένων τὸ μεταξὺ ἐφαίνετό μοι εἶναί κοτε
κόλπος θαλάσσης, ὥσπερ γε τὰ περὶ Ἴλιον καὶ Τευθρανίην
καὶ Ἔφεσόν τε καὶ Μαιάνδρου πεδίον, ὥς γε εἶναι σμικρὰ
ταῦτα μεγάλοισι συμβαλεῖν· τῶν γὰρ ταῦτα τὰ χωρία προσ-
χωσάντων ποταμῶν ἑνὶ τῶν στομάτων τοῦ Νείλου, ἐόντος
πενταστόμου, οὐδεὶς αὐτῶν πλήθεος πέρι ἄξιος συμβληθῆναί
ἐστι. εἰσὶ δὲ καὶ ἄλλοι ποταμοί, οὐ κατὰ τὸν Νεῖλον ἐόντες
μεγάθεα, οἵτινες ἔργα ἀποδεξάμενοι μεγάλα εἰσί· τῶν ἐγὼ
φράσαι ἔχω οὐνόματα καὶ ἄλλων καὶ οὐκ ἥκιστα Ἀχελῴου,
ὃς ῥέων δι' Ἀκαρνανίης καὶ ἐξιεὶς ἐς θάλασσαν τῶν Ἐχι-
νάδων νήσων τὰς ἡμισέας ἤδη ἤπειρον πεποίηκε. ἔστι δὲ 11
τῆς Ἀραβίης χώρης, Αἰγύπτου δὲ οὐ πρόσω, κόλπος θαλάσ-
σης ἐσέχων ἐκ τῆς Ἐρυθρῆς καλεομένης θαλάσσης, μακρὸς
οὕτω δή τι καὶ στεινὸς ὡς ἔρχομαι φράσων. μῆκος μὲν
πλόου, ἀρξαμένῳ ἐκ μυχοῦ διεκπλῶσαι ἐς τὴν εὐρέαν θά-
λασσαν, ἡμέραι ἀναισιμοῦνται τεσσεράκοντα εἰρεσίῃ χρεω-
μένῳ· εὖρος δέ, τῇ εὐρύτατός ἐστι ὁ κόλπος, ἥμισυ ἡμέρης

περὶ τοῦ Ἀχελῴου ποταμοῦ καὶ τοῦ Ἀραβίου κόλπου

15. ῥέων – 16 πεποίηκε Eustathius Dion. 431. — 17. κόλπος θαλάσσης – 18 θαλάσσης Lexicon Vindob. p. 64

1. θηβαίων *CRdz* ‖ 2. χίλιοι] εἴκοσι *Rdz* ‖ 4. ἱερέες *CR* ‖ ἐδόκεε] ἐδόκεε δὲ *C*²*Pcorr.Rdz* ‖ 5. οὐρέων *CPz* ‖ τῶν ὑπὲρ] ὑπὲρ *B* ‖ 6. Μέμφιος πόλιος Bekker: μέμφην πόλιν *C*, μέμφιν πόλιν ceteri ‖ μεταξύ γε φαίνετό *Rd*, μεταξύ γ' ἐφαίνετό *z* ‖ 7. γε τὰ] τά τε *Rdz* ‖ ἥλιον *Rd* ‖ 8. ὥς γε Schweighaeuser: ὥστε *ABCP*, ὡς *Rdz* ‖ 9. συμβαλέειν *L* ‖ προχωσάντων *dz* ‖ 11. ἑπταστόμου *C*³*Pcorr.Rdz* ‖ αὐτὸν *d* ‖ πέριξ *C* ‖ ξυμβληθῆναι *PRd* ‖ 13. μεγάθεες *z* ‖ 14. ἀχελώου *CPRd* ‖ 15. διὰ καρνανίης *P* ‖ ἐξιὼν *Rdz*. Eust. ‖ ἐς τὴν θάλασσαν *dz* ‖ 16. ἡμίσεας *Rdz*. Eust. ‖ 18. καλεομένης θαλάσσης] καλεομένης *R* ‖ 19. στενὸς *Rdz* ‖ 20. πλόου *Bcorr.Rdz*: πλοίου ‖ ἀρξαμένῳ *Rdz*: ἀρξαμένου ‖ μάχου *Rdz* ‖ εὐρείην *ABPz*, εὐρέην *Rd*, εὐρεῖαν *C* ‖ 21. τεσσαράκοντα *Rdz* ‖ χρωμένωι *AB*

πλόου. ῥηχίη δ' ἐν αὐτῷ καὶ ἄμπωτις ἀνὰ πᾶσαν ἡμέρην γίνεται. ἕτερον τοιοῦτον κόλπον καὶ τὴν Αἴγυπτον δοκέω γενέσθαι κου, τὸν μὲν ἐκ τῆς βορηίης θαλάσσης κόλπον ἐσέχοντα ἐπ' Αἰθιοπίης, τὸν δὲ ['Αράβιον, τὸν ἔρχομαι λέξων,] ἐς τῆς νοτίης φέροντα ἐπὶ Συρίης, σχεδὸν μὲν ἀλλήλοισι συντετραίνοντας τοὺς μυχούς, ὀλίγον δέ τι παραλλάσσοντας τῆς χώρης. εἰ ὤν ἐθελήσει ἐκτρέψαι τὸ ῥέεθρον ὁ Νεῖλος ἐς τοῦτον τὸν 'Αράβιον κόλπον, τί μιν κωλύει ῥέοντος τούτου ἐκχωσθῆναι ἐντός γε δισμυρίων ἐτέων; ἐγὼ μὲν γὰρ ἔλπομαί γε καὶ μυρίων ἐντὸς χωσθῆναι ἄν· κοῦ γε δὴ ἐν τῷ προαναισιμωμένῳ χρόνῳ πρότερον ἢ ἐμὲ γενέσθαι οὐκ ἂν χωσθείη κόλπος καὶ πολλῷ μέζων ἔτι τούτου ὑπὸ τοσούτου
12 τε ποταμοῦ καὶ οὕτω ἐργατικοῦ; τὰ περὶ Αἴγυπτον ὤν καὶ τοῖσι λέγουσι αὐτὰ πείθομαι καὶ αὐτὸς οὕτω κάρτα δοκέω εἶναι, ἰδών τε τὴν Αἴγυπτον προκειμένην τῆς ἐχομένης γῆς κογχύλιά τε φαινόμενα ἐπὶ τοῖσι ὄρεσι καὶ ἅλμην ἐπανθέουσαν, ὥστε καὶ τὰς πυραμίδας δηλέεσθαι, καὶ ψάμμον μοῦνον Αἰγύπτου ὄρος τοῦτο τὸ ὑπὲρ Μέμφιος ἔχον. πρὸς δὲ [τῇ χώρῃ] οὔτε τῇ 'Αραβίῃ προσούρῳ ἐούσῃ τὴν Αἴγυπτον προσεικέλην οὔτε τῇ Λιβύῃ, οὐ μὲν οὐδὲ τῇ Συρίῃ (τῆς γὰρ 'Αραβίης τὰ παρὰ θάλασσαν Σύροι νέμονται), ἀλλὰ μελάγγαιόν τε καὶ καταρρηγνυμένην ὥστε ἐοῦσαν ἰλύν τε καὶ πρό-

---

6. Λέξεις. — 13. Eustathius Dion. 222. — 16. idem Od. 1509

1. ῥιχί *C* ‖ δὲ *d* ‖ 2. τὴν] ἐπὶ τὴν *PRdz* ‖ δοκέων *C* ‖ 3. κου om. *Rdz*. fortasse rectius κοτέ ‖ βορέης *Rdz* ‖ κόλπον om. *dz* ‖ ἐσέχοντα cod. Remigianus itemque Reiske: ἐσχέοντα *ABP*, εἰσχέοντα *C*, ἔχοντα *Rdz* ‖ 4. ἐπὶ *Rd* ‖ 'Αράβιον - λέξων separavit Schweighaeuser ‖ 5. μὲν om. *Rd* ‖ συντετραίνοντας *ABC*[1]: συμπεραίνοντας ‖ 6. δ' ἔτι *C* ‖ παραλάσσοντας *C*, παραλλάσοντας *R* ‖ 7. ὤν] ὤν δὴ *C*[2]*P*[m] *Rdz* ‖ 9. χωσθῆναι *Rdz* ‖ μὲν om. *Rd* ‖ 10. γε καὶ] τε *Rdz* ‖ χωσθῆναι ἄν· κοῦ γε Reiske: χωσθῆναι (vel χωσθῆναι, vel χωσθῆναι·) ἄν (vel ἂν) κου γε *L*, nisi quod *A*[2] ἦν pro ἄν ‖ 11. ἡ με *Rd* ‖ οὐκ ἂν χωσθείη *Rdz*: οὐκ ἀναχωσθείη ‖ 12. μέζον *BC*, μείζων *Rd* ‖ 13. οὕτως *L* ‖ 14. κάρτα δοκέω] καταδοκέω *Rdz* ‖ 16. οὔρεσι *C* ‖ ἐμπαθέουσαν *C* ‖ 17. πυραμῖδας *ABC* ‖ μόνον *Rd* ‖ 18. οὖρος *C* ‖ τῇ χώρῃ seclusi ‖ 19. πρὸς οὔρῳ *dz* ‖ 20. μὲν *Rdz*: μὴν ‖ 21. σύριοι *L* ‖ μελάγγεόν *Rdz* ‖ 22. καταρηγνυμένην *ABC*, κατερρηγνυμένην reliqui. κατερρηγμένην Bekker ‖ οὖσαν *Rd*

χυσιν ἐξ Αἰθιοπίης κατενηνειγμένην ὑπὸ τοῦ ποταμοῦ. τὴν δὲ Λιβύην ἴδμεν ἐρυθροτέρην τε γῆν καὶ ὑποψαμμοτέρην, τὴν δὲ Ἀραβίην τε καὶ Συρίην ἀργιλωδεστέρην τε καὶ ὑπόπετρον ἐοῦσαν.

13 Ἔλεγον δὲ καὶ τόδε μοι μέγα τεκμήριον περὶ τῆς χώρης ταύτης οἱ ἱρέες, ὡς ἐπὶ Μοίριος βασιλέος, ὅκως ἔλθοι ὁ ποταμὸς ἐπὶ ὀκτὼ πήχεας τὸ ἐλάχιστον, ἄρδεσκε Αἴγυπτον τὴν ἔνερθε Μέμφιος· καὶ Μοίρι οὔκω ἦν ἔτεα εἰνακόσια τετελευτηκότι ὅτε τῶν ἱρέων ταῦτα ἐγὼ ἤκουον. νῦν δὲ εἰ μὴ ἐπ' ἑκκαίδεκα ἢ πεντεκαίδεκα πήχεας ἀναβῇ τὸ ἐλάχιστον ὁ ποταμός, οὐκ ὑπερβαίνει ἐς τὴν χώρην. δοκέουσί τέ μοι Αἰγυπτίων οἱ ἔνερθε λίμνης τῆς Μοίριος οἰκέοντες τά τε ἄλλα χωρία καὶ τὸ καλεόμενον Δέλτα, ἢν οὕτω ἡ χώρη αὕτη κατὰ λόγον ἐπιδιδῷ ἐς ὕψος καὶ τὸ ὅμοιον ἀποδιδῷ ἐς αὔξησιν, μὴ κατακλύζοντος αὐτὴν τοῦ Νείλου πείσεσθαι τὸν πάντα χρόνον τὸν ἐπίλοιπον Αἰγύπτιοι τὸ κοτὲ αὐτοὶ Ἕλληνας ἔφασαν πείσεσθαι. πυθόμενοι γὰρ ὡς ὕεται πᾶσα ἡ χώρη τῶν Ἑλλήνων ἀλλ' οὐ ποταμοῖσι ἄρδεται κατά περ ἡ σφετέρη, ἔφασαν Ἕλληνας ψευσθέντας κοτὲ ἐλπίδος μεγάλης κακῶς πεινήσειν. τὸ δὲ ἔπος τοῦτο ἐθέλει λέγειν ὡς, εἰ μὴ ἐθελήσει σφι ὕειν ὁ θεὸς ἀλλὰ αὐχμῷ διαχρᾶσθαι, λιμῷ οἱ Ἕλληνες αἱρεθήσονται· οὐ γὰρ δή σφι ἐστὶ ὕδατος οὐδεμία ἄλλη ἀποστροφὴ ὅτι μὴ ἐκ τοῦ Διὸς μοῦνον.

14 καὶ ταῦτα μὲν ἐς Ἕλληνας Αἰγυπτίοισι ὀρθῶς ἔχοντα εἴρηται· φέρε δὲ νῦν καὶ αὐτοῖσι Αἰγυπτίοισι ὡς ἔχει φράσω. εἴ σφι θέλοι, ὡς καὶ πρότερον εἶπον, ἡ χώρη ἡ ἔνερθε Μέμφιος (αὕτη γὰρ

---

1. κατενηνειγμένην *P*: κατενηνεγμένην *AB*, κατενενηγμένην *C*, κατανενειγμένην *Rd*, κατενειγμένην *d* ‖ 2. ἴσμεν *ABC* ‖ 3. ὑπόπτερον B^2C ‖ 6. ἱερέες *C* ‖ μύριος *Cpr.Pcorr.Rdz* ‖ βασιλῆος *z* ‖ 7. ἀρδέεσκε *z* ‖ 8. μοίρη *C*, μύρις *Rdz* ‖ ἐννακόσια τετελευτηκὼς *Rdz* ‖ 9. ἱερέων *R* ‖ ἐγὼ ταῦτα *C* ‖ εἰ] ἢν *PRd*[1] ‖ 10. ἐπὶ *Rd* ‖ τοὐλάχιστον *dz* ‖ 11. οὐχ *AB* ‖ τέ] δέ *Rdz* ‖ 12. λίμνης] τῆς λίμνης *Rdz* ‖ μύριος *Rdz* ‖ οὐκέοντες *C* ‖ 14. ἐπιδιδῷ et ἀποδιδῷ Reiz: ἐπιδιδοῖ et ἀποδιδοῖ ‖ 16. τό κοτε *L* ‖ Ἕλληνας αὐτοὶ *R* ‖ 17. πυνθανόμενοι *Rdz* ‖ 20. πονήσειν *z* ‖ θελήσει *C*, ἐθελήσῃ *R*, ἐθελήσοι *qz* ‖ 21. σφιν *Rd*, σφίσι reliqui ‖ ἀλλὰ *ABC*: ἀλλ' ‖ 22. σφί ἐστι *ABR* ‖ οὐδεμίη *z* ‖ 23. μούνου *d* ‖ 24. ἐς om. *R* ‖ δὲ om. *Rdz* ‖ 25. ἐθελήσει *Rd*, ἐθελήσοι *z* ‖ 26. καὶ om. *C*

ἐστι ἡ αὐξανομένη) κατὰ λόγον τοῦ παροιχομένου χρόνου ἐς ὕψος αὐξάνεσθαι, ἄλλο τι ἢ οἱ ταύτῃ οἰκέοντες Αἰγυπτίων πεινήσουσι, εἰ μήτε γε ὕσεταί σφι ἡ χώρη μήτε ὁ ποταμὸς οἷός τ' ἔσται ἐς τὰς ἀρούρας ὑπερβαίνειν; ἦ γὰρ δὴ νῦν γε οὗτοι ἀπονητότατα καρπὸν κομίζονται ἐκ γῆς τῶν τε ἄλλων ἀνθρώπων πάντων καὶ τῶν λοιπῶν Αἰγυπτίων· οἳ οὔτε ἀρότρῳ ἀναρρηγνύντες αὔλακας ἔχουσι πόνους οὔτε σκάλλοντες οὔτε ἄλλο ἐργαζόμενοι οὐδὲν τῶν οἱ ἄλλοι ἄνθρωποι περὶ λήιον πονέουσι, ἀλλ' ἐπεάν σφι ὁ ποταμὸς αὐτόματος ἐπελθὼν ἄρσῃ τὰς ἀρούρας, ἄρσας δὲ ἀπολίπῃ ὀπίσω, τότε σπείρας ἕκαστος τὴν ἑωυτοῦ ἄρουραν ἐσβάλλει ἐς αὐτὴν ὗς, ἐπεὰν δὲ καταπατήσῃ τῇσι ὑσὶ τὸ σπέρμα, ἄμητον τὸ ἀπὸ τούτου μένει, ἀποδινήσας δὲ τῇσι ὑσὶ τὸν σῖτον οὕτω κομίζεται.

15 Εἰ ὦν βουλόμεθα γνώμῃσι τῇσι Ἰώνων χρᾶσθαι τὰ περὶ Αἴγυπτον, οἳ φασὶ τὸ Δέλτα μοῦνον εἶναι Αἴγυπτον, ἀπὸ Περσέος καλεομένης σκοπιῆς λέγοντες τὸ παρὰ θάλασσαν εἶναι αὐτῆς μέχρι ταριχηίων τῶν Πηλουσιακῶν, τῇ δὴ τεσσεράκοντά εἰσι σχοῖνοι, τὸ δὲ ἀπὸ θαλάσσης λεγόντων ἐς μεσόγαιαν τείνειν αὐτὴν μέχρι Κερκασώρου πόλιος, κατ' ἣν σχίζεται ὁ Νεῖλος ἔς τε Πηλούσιον ῥέων καὶ ἐς Κάνωβον, τὰ δὲ ἄλλα λεγόντων τῆς Αἰγύπτου τὰ μὲν Λιβύης τὰ δὲ Ἀραβίης εἶναι, ἀποδεικνύοιμεν ἂν τούτῳ τῷ λόγῳ χρεώμενοι Αἰγυπτίοισι οὐκ ἐοῦσαν πρότερον χώρην· ἤδη γάρ σφι τό γε Δέλτα, ὡς αὐτοὶ λέγουσι Αἰγύπτιοι καὶ ἐμοὶ δοκέει, ἐστὶ κατάρρυτόν τε καὶ νεωστὶ ὡς λόγῳ εἰπεῖν ἀναπεφηνός. εἰ

1. αὐξομένη *R* ‖ παρωχομένου *d*, παρῳχομένου *z* ‖ εἰς *R* ‖ 2. αἰγυπτίων οἰκέοντες *Rd* ‖ 3. μήτι *C* ‖ γε ὕεταί *C*, γεύσεταί *Rdz* ‖ χώρη] χώρη τὰ ἀπὸ διός *Rdcorr.z* ‖ 4. τε *Rd* ‖ ἐς τὰς om. *Rdz* ‖ 5. ἀπονητότατοι *C* ‖ ἐκ γῆς] ἐκ τῆς *Rd*, ἐκτὸς *z* ‖ 6. ἀπάντων *Rdz* ‖ τῶν om. *C* ‖ 7. ἀναρηγνύντες *AB*, ἀναρηγνῦντες *C* ‖ 8. οἱ ἄλλοι] ὦλλοι *R*, ἄλλοι *dz* ‖ 9. ἐπανελθὼν *dz* ‖ 10. ἄρσηι et ἄρσας *C* ‖ ἀπολείπει *d*, ἀπολείπῃ *z* ‖ 12. καταπατηθῇ τοῖσι *z* ‖ τὸ σπέρμα - 13 ὑσὶ om. *d*[1] ‖ τὸν ἄμητον *d*[2]*z*, τὸ ἄμητον *R* ‖ 13. τοῖσι *z* ‖ 14. τὰ om. *Rdz* ‖ περὶ αἰγύπτου *Rdz* ‖ 16. περσέως *dz* ‖ καλεομένην *Rdz* ‖ 17. αὐτὴν *Rdz* ‖ ταριχίων *ABCP*, ταραγείων *R*, ταριχειῶν *dz* ‖ τῇ δὲ *d*, τῇδε *R*, τῇδε *z* ‖ τεσσαράκοντα *CRdz* ‖ 19. μεσόγεαν *R* ‖ αὐτὴν *Rdz*: αὐτῶν ‖ κερκασώ πόλιος *C* ‖ 23. ἐοῦσιν *B*[1]

τοίνυν σφι χώρη γε μηδεμία ὑπῆρχε, τί περιεργάζοντο δοκέοντες πρῶτοι ἀνθρώπων γεγονέναι; οὐδὲ ἔδεέ σφεας ἐς διάπειραν τῶν παιδίων ἰέναι, τίνα γλῶσσαν πρώτην ἀπήσουσι. ἀλλ' οὔτε Αἰγυπτίους δοκέω ἅμα τῷ Δέλτα τῷ ὑπὸ Ἰώνων καλεομένῳ γενέσθαι αἰεί τε εἶναι ἐξ οὗ ἀνθρώπων γένος ἐγένετο, προϊούσης δὲ τῆς χώρης πολλοὺς μὲν τοὺς ὑπολειπομένους αὐτῶν γίνεσθαι πολλοὺς δὲ τοὺς ὑποκαταβαίνοντας. τὸ δ' ὦν πάλαι αἱ Θῆβαι Αἴγυπτος ἐκαλέετο, τῆς τὸ περίμετρον στάδιοί εἰσι εἴκοσι καὶ ἑκατὸν καὶ ἑξακισχίλιοι. εἰ ὦν ἡμεῖς ὀρθῶς περὶ αὐτῶν γινώσκομεν, Ἴωνες οὐκ εὖ 16
φρονέουσι περὶ Αἰγύπτου· εἰ δὲ ὀρθή ἐστι ἡ γνώμη τῶν Ἰώνων, Ἕλληνάς τε καὶ αὐτοὺς Ἴωνας ἀποδείκνυμι οὐκ ἐπισταμένους λογίζεσθαι, οἳ φασὶ τρία μόρια εἶναι γῆν πᾶσαν, Εὐρώπην τε καὶ Ἀσίην καὶ Λιβύην. τέταρτον γὰρ δή σφεας δεῖ προσλογίζεσθαι Αἰγύπτου τὸ Δέλτα, εἰ μήτε γε ἐστὶ τῆς Ἀσίης μήτε τῆς Λιβύης· οὐ γὰρ δὴ ὁ Νεῖλός γε ἐστὶ κατὰ τοῦτον τὸν λόγον ὁ τὴν Ἀσίην οὐρίζων τῇ Λιβύῃ· τοῦ Δέλτα δὲ τούτου κατὰ τὸ ὀξὺ περιρρήγνυται ὁ Νεῖλος, ὥστε ἐν τῷ μεταξὺ Ἀσίης τε καὶ Λιβύης γίνοιτ' ἄν.

Καὶ τὴν μὲν Ἰώνων γνώμην ἀπίεμεν, ἡμεῖς δὲ ὧδε καὶ 17
περὶ τούτων λέγομεν, Αἴγυπτον μὲν πᾶσαν εἶναι ταύτην τὴν ὑπ' Αἰγυπτίων οἰκεομένην κατά περ Κιλικίην τὴν ὑπὸ Κιλίκων καὶ Ἀσσυρίην τὴν ὑπὸ Ἀσσυρίων, οὔρισμα δὲ Ἀσίῃ καὶ Λιβύῃ οἴδαμεν οὐδὲν ἐὸν ὀρθῷ λόγῳ εἰ μὴ τοὺς Αἰγυπτίων

---

8. (Aristoteles meteor. I 14 p. 351b 34)

1. μὴ δὲ μία *ACR*, μὴ δὲ μιᾶ *d*, μηδεμίη *z* ‖ περιεργάζοντο *d*: περιεργάζονται *Rz*, περιηργάζοντο *AB*t, περιειργάζοντο *B*m *CP* ‖ 2. ἔδει σφέας *L* ‖ 3. ἀπύσουσι (η supra υ) *d*, ἀπύσουσι *z* ‖ 5. ἀεί *AB* ‖ 7. αὐτέων *z* ‖ γενέσθαι Reiz ‖ 10. ὑμεῖς *C* ‖ ὀρθῶς post περὶ αὐτῶν *Apr.C* ‖ αὐτέων *z* ‖ εὐφρονέουσι *C* ‖ 11. ἡ om. *PRd* ‖ τῶν Ἰώνων γνώμη *z* ‖ 13. οἵ φασι *C*: οἵ φασι τὴν γῆν *z* ‖ 14. δὴ σφέας *Rd*2*z*, δεῖ σφεας *Pd*1 ‖ 15. δεῖ] δὴ *B*t, om. *PRdz* ‖ μήτι *CRdz* ‖ 17. οὐρίζων *z* ‖ τῆς Λιβύης Wesseling e codice Remigiano ‖ 18. περιρήγνυται *ABC* ‖ 19. γένοιτ' *ABC* ‖ 20. καὶ] κῃ Reiske ‖ 23. ἀπὸ *PR* ‖ οὔρισμα *z* ‖ 24. οἶδα μὲν *P*, οἴδαμεν *z*

οὔρους. εἰ δὲ τῷ ὑπ' Ἑλλήνων νενομισμένῳ χρησόμεθα, νομιοῦμεν Αἴγυπτον πᾶσαν ἀρξαμένην ἀπὸ Καταδούπων τε καὶ Ἐλεφαντίνης πόλιος δίχα διαιρέεσθαι καὶ ἀμφοτερέων τῶν ἐπωνυμιέων ἔχεσθαι· τὰ μὲν γὰρ αὐτῆς εἶναι τῆς Λιβύης τὰ δὲ τῆς Ἀσίης. ὁ γὰρ δὴ Νεῖλος ἀρξάμενος ἀπὸ τῶν Καταδούπων ῥέει μέσην Αἴγυπτον σχίζων ἐς θάλασσαν. μέχρι μέν νυν Κερκασώρου πόλιος ῥέει εἷς ἐὼν ὁ Νεῖλος, τὸ δὲ ἀπὸ ταύτης τῆς πόλιος σχίζεται τριφασίας ὁδούς. καὶ ἡ μὲν πρὸς ἠῶ τράπεται, τὸ καλέεται Πηλούσιον στόμα, ἡ δὲ ἑτέρη τῶν ὁδῶν πρὸς ἑσπέρην ἔχει· τοῦτο δὲ Κανωβικὸν στόμα κέκληται. ἡ δὲ δὴ ἰθέα τῶν ὁδῶν τῷ Νείλῳ ἐστὶ ἥδε· ἄνωθεν φερόμενος ἐς τὸ ὀξὺ τοῦ Δέλτα ἀπικνέεται, τὸ δὲ ἀπὸ τούτου σχίζων μέσον τὸ Δέλτα ἐς θάλασσαν ἐξίει, οὔτε ἐλαχίστην μοῖραν τοῦ ὕδατος παρεχόμενος ταύτῃ οὔτε ἥκιστα ὀνομαστήν· τὸ καλέεται Σεβεννυτικὸν στόμα. ἔστι δὲ καὶ ἕτερα διφάσια στόματα ἀπὸ τοῦ Σεβεννυτικοῦ ἀποσχισθέντα, φέροντα ἐς θάλασσαν· τοῖσι οὐνόματα κέεται τάδε, τῷ μὲν Σαϊτικὸν αὐτῶν τῷ δὲ Μενδήσιον. τὸ δὲ Βολβίτινον στόμα καὶ τὸ Βουκολικὸν οὐκ ἰθαγενέα στόματά ἐστι ἀλλ' ὀρυκτά.

18 Μαρτυρέει δέ μοι τῇ γνώμῃ, ὅτι τοσαύτη ἐστὶ Αἴγυπτος ὅσην τινὰ ἐγὼ ἀποδείκνυμι τῷ λόγῳ, καὶ τὸ Ἄμμωνος χρηστήριον γενόμενον· τὸ ἐγὼ τῆς ἐμεωυτοῦ γνώμης ὕστερον περὶ Αἴγυπτον ἐπυθόμην. οἱ γὰρ δὴ ἐκ Μαρέης τε πόλιος καὶ Ἄπιος οἰκέοντες Αἰγύπτου τὰ πρόσουρα Λιβύῃ, αὐτοί τε δοκέοντες εἶναι Λίβυες καὶ οὐκ Αἰγύπτιοι καὶ ἀχθόμενοι τῇ

---

5. - 20 Eustathius Dion. 226. — 24. οἱ γὰρ - p. 151, 8 πίνουσι Celsus apud Origenem c. Cels. V 34

1. ὅρους *C*, οὔρους *z* ‖ 3. ἀμφοτέρων *L* ‖ 5. τὰ δὲ τῆς Ἀσίης om. *C* ‖ ἀπὸ *PRdz*. Eust.: ἐκ ‖ 8. ἢ *Pz*, ἥ *Rd* ‖ 9. ἠὼ *C* ‖ τρέπεται *L* ‖ τὸ om. *PRdz* ‖ δ' *AB* ‖ 10. ὅλων *Rdz* ‖ πρὸς - 11 ὁδῶν om. *C*[1] ‖ 11. δὲ om. *d* ‖ ἰθέα *Cdz*: ἰθεῖα ‖ ἐστὶν *ABC*, ἐστιν *Rd*, ἔστι *z* ‖ 12. ἥδε *AB*, ὅδε *d* ‖ 13. ἐξήει *C* ‖ 14. οὔτ' *AB* ‖ μοίρην *z* ‖ ταύτην *AB* ‖ 15. οὐνομαστήν *z* ‖ 18. αὐτέων *z* ‖ 19. ἰθαιγενέα *PR* ‖ 21. μαρτυρεῖ *d* ‖ μου *PRdz* ‖ 22. ὁσήντινα *P*, ὅσην sine τινὰ *ABC* ‖ 23. τῆς ἐμεωυτοῦ γνώμης Reiske: τῇσι ἐμεωυτοῦ γνώμῃσι ‖ 26. ἀχθόμενοι] οὐκ ἀχθόμενοι *ABCP*[m]. an κου ἀχθόμενοι?

περὶ τὰ ἱρὰ θρησκηίῃ, βουλόμενοι θηλέων βοῶν μὴ ἔργεσθαι, ἔπεμψαν ἐς Ἄμμωνα φάμενοι οὐδὲν σφίσι τε καὶ Αἰγυπτίοισι κοινὸν εἶναι· οἰκέειν τε γὰρ ἔξω τοῦ Δέλτα καὶ οὐδὲν ὁμολογέειν αὐτοῖσι, βούλεσθαί τε πάντων σφίσι ἐξεῖναι γεύεσθαι. ὁ δὲ θεός σφεας οὐκ ἔα ποιέειν ταῦτα, φὰς Αἴγυπτον εἶναι ταύτην τὴν ὁ Νεῖλος ἐπιὼν ἄρδει, καὶ Αἰγυπτίους εἶναι τούτους οἳ ἔνερθε Ἐλεφαντίνης πόλιος οἰκέοντες ἀπὸ τοῦ ποταμοῦ τούτου πίνουσι. οὕτω σφι ταῦτα ἐχρήσθη. ἐπέρχεται δὲ ὁ Νεῖλος, ἐπεὰν πληθύῃ, οὐ μοῦνον τὸ Δέλτα ἀλλὰ καὶ τοῦ Λιβυκοῦ τε λεγομένου χωρίου εἶναι καὶ τοῦ Ἀραβίου ἐνιαχῇ καὶ ἐπὶ δύο ἡμερέων ἑκατέρωθι ὁδόν, καὶ πλέον ἔτι τούτου καὶ ἔλασσον.

Τοῦ ποταμοῦ δὲ φύσιος πέρι οὔτε τι τῶν ἱρέων οὔτε 19
ἄλλου οὐδενὸς παραλαβεῖν ἐδυνάσθην. πρόθυμος δὲ ἔα τάδε παρ' αὐτῶν πυθέσθαι, ὅ τι κατέρχεται μὲν ὁ Νεῖλος πληθύων ἀπὸ τροπέων τῶν θερινέων ἀρξάμενος ἐπὶ ἑκατὸν ἡμέρας, πελάσας δὲ ἐς τὸν ἀριθμὸν τουτέων τῶν ἡμερέων ὀπίσω ἀπέρχεται ἀπολείπων τὸ ῥέεθρον, ὥστε βραχὺς τὸν χειμῶνα ἅπαντα διατελέει ἐὼν μέχρι οὗ αὖτις τροπέων τῶν θερινέων. τούτων ὦν πέρι οὐδενὸς οὐδὲν οἷός τε ἐγενόμην παραλαβεῖν [παρὰ] τῶν Αἰγυπτίων, ἱστορέων αὐτοὺς ἥντινα δύναμιν ἔχει ὁ Νεῖλος τὰ ἔμπαλιν πεφυκέναι τῶν ἄλλων ποταμῶν· ταῦτά τε δὴ τὰ λεγόμενα βουλόμενος εἰδέναι ἱστόρεον καὶ ὅ τι αὔρας ἀποπνεούσας μοῦνος πάντων ποταμῶν οὐ παρέχεται.
ἀλλὰ Ἑλλήνων μέν τινες ἐπίσημοι βουλόμενοι γενέσθαι 20

περὶ φύσεως τοῦ ποταμοῦ (*BR*)

1. Bekkeri Anecd. p. 99. — 17. Plinius V 57

1. ἱερὰ Cels. ‖ θρηισκείηι *AB*, θρησκείηι *CP*, θρησκείῃ *dz*. Cels., θρησκίη *R*, θρεσκεία Bekker. An. ‖ βουλόμενοί τε Reiske ‖ θηλέῶν *P* ‖ βωμῶν Cels. ‖ ἔργεσθαι *CPz*: εἴργεσθαι ‖ 2. εἰς Cels. ‖ φάμενοι] εἰργόμενοι Cels. ‖ 3. τε om. Cels. ‖ οὐδὲν *PRdz*: οὐκ ‖ 5. θεός σφεας *CP*: θεὸς σφέας ‖ οὐκ ἔα ante σφέας Cels. ‖ 6. τὴν] ἣν Cels. ‖ 7. ἔνερθεν *PRd*. Cels. ‖ 9. μόνον *L* ‖ 10. τε] τοῦ *d* ‖ χωρίου *ABC*: χώρου ‖ 11. πλέον *ABC*: πλεῦν ‖ 15. αὐτέων *z* ‖ 16. θερινῶν *PRdz* ‖ 17. πέλας *AB* ‖ δ' ἐς τὸν *Pdz*, δὲ τῶν *R* ‖ 19. μέχρις *L* ‖ 20. τουτέων *PRdz* ‖ τ' *z* ‖ 21. παρὰ seiunxi ‖ 23. λελεγμένα *AC* ‖ αὖρας *C* ‖ 24. ἀποπνεούσης *R* ‖ ποταμῶν πάντων *ABC*

σοφίην ἔλεξαν περὶ τοῦ ὕδατος τούτου τριφασίας ὁδούς· τῶν τὰς μὲν δύο τῶν ὁδῶν οὐδ' ἀξιῶ μνησθῆναι εἰ μὴ ὅσον σημῆναι βουλόμενος μοῦνον· τῶν ἡ ἑτέρη μὲν λέγει τοὺς ἐτησίας ἀνέμους εἶναι αἰτίους πληθύειν τὸν ποταμόν, κωλύοντας ἐς θάλασσαν ἐκρέειν τὸν Νεῖλον. πολλάκις δὲ ἐτησίαι μὲν οὔκων ἔπνευσαν, ὁ δὲ Νεῖλος τὠυτὸ ἐργάζεται. πρὸς δέ, εἰ ἐτησίαι αἴτιοι ἦσαν, χρῆν καὶ τοὺς ἄλλους ποταμούς, ὅσοι τοῖσι ἐτησίῃσι ἀντίοι ῥέουσι, ὁμοίως πάσχειν καὶ κατὰ τὰ αὐτὰ τῷ Νείλῳ, καὶ μᾶλλον ἔτι τοσούτῳ ὅσῳ ἐλάσσονες ἐόντες ἀσθενέστερα τὰ ῥεύματα παρέχονται. εἰσὶ δὲ πολλοὶ μὲν ἐν τῇ Συρίῃ ποταμοὶ πολλοὶ δὲ ἐν τῇ Λιβύῃ, οἳ οὐδὲν τοιοῦτο
21 πάσχουσι οἷόν τι καὶ ὁ Νεῖλος. ἡ δ' ἑτέρη ἀνεπιστημονεστέρη μέν ἐστι τῆς λελεγμένης, λόγῳ δὲ εἰπεῖν θωυμασιωτέρη· ἣ λέγει ἀπὸ τοῦ Ὠκεανοῦ ῥέοντα αὐτὸν ταῦτα μηχα-
22 νᾶσθαι, τὸν δὲ Ὠκεανὸν γῆν πέρι πᾶσαν ῥέειν. ἡ δὲ τρίτη τῶν ὁδῶν πολλὸν ἐπιεικεστάτη ἐοῦσα μάλιστα ἔψευσται· λέγει γὰρ δὴ οὐδ' αὕτη οὐδέν, φαμένη τὸν Νεῖλον ῥέειν ἀπὸ τηκομένης χιόνος· ὃς ῥέει μὲν ἐκ Λιβύης διὰ μέσων Αἰθιόπων, ἐκδιδοῖ δὲ ἐς Αἴγυπτον. κῶς ὦν δῆτα ῥέοι ἂν ἀπὸ χιόνος, ἀπὸ τῶν θερμοτάτων ῥέων ἐς τὰ ψυχρότερα τὰ πολλά ἐστι; ἀνδρί γε λογίζεσθαι τοιούτων πέρι οἵῳ τε ἐόντι, ὡς οὐδὲ οἰκὸς ἀπὸ χιόνος μιν ῥέειν, πρῶτον μὲν καὶ μέγιστον μαρτύριον οἱ ἄνεμοι παρέχονται πνέοντες ἀπὸ τῶν χωρέων τουτέων θερμοί· δεύτερον δὲ ὅτι ἄνομβρος ἡ χώρη

περὶ τοῦ Νείλου καὶ τῆς ἀναβάσεως αὐτοῦ καὶ πηγῶν

16. Λέξεις

1. τούτου om. *R* ‖ τῶν] τουτέων? ‖ 2. οὐδ'] οὐκ *ABC* ‖ 3. μόνον *C* ‖ 8. τῇσι *C* ‖ κατὰ ταυτὰ *Pdz*, κατ' ἀυτὰ *R* ‖ 11. τοιοῦτον *Rdz* ‖ 12. ἀνεπιστημοτέρη *Rd* ‖ 13. θωμασιωτέρη *AB* ‖ 15. τὸν δ' *PRdz* ‖ περι *A*, περὶ *Rdz* ‖ 16. πολλῶν *R* ‖ 17. αὕτη correxi: αὐτή ‖ 19. κῶς ὦν] κόσον *Rd* ‖ ῥέει *Cd* ‖ 20. ῥέων ἐς τὰ ψυχρότερα τὰ πολλά ἐστι; ἀνδρί γε correxi: ῥέων ἐς τὰ ψυχρότατα; τῶν τὰ πολλά ἐστι ἀνδρὶ *Pz* (sed haec quidem πολλά ἐστι), ἐς τὰ ψυχρότατα ῥέων; τῶν τὰ πολλά ἐστι ἀνδρὶ *R*, ἐς τὰ ψυχρότερα ῥέων; τῶν τὰ πολλά ἐστι ἀνδρὶ *d*, τόπων ἐς τὰ ψυχρότερα; τῶν τὰ πολλά ἐστι ἀνδρί γε *ABC* ‖ 22. οὐδὲν *C* ‖ οἰκὸς *PR*: εἰκὸς ‖ 24. χωρίων *Rdz*

καὶ ἀκρύσταλλος διατελέει ἐοῦσα, ἐπὶ δὲ χιόνι πεσούσῃ πᾶσα ἀνάγκη ἐστὶ ὗσαι ἐν πέντε ἡμέρῃσι, ὥστε, εἰ ἐχιόνιζε, ὗετο ἂν ταῦτα τὰ χωρία. τρίτα δὲ οἱ ἄνθρωποι ὑπὸ τοῦ καύματος μέλανες ἐόντες· ἰκτῖνοι δὲ καὶ χελιδόνες δι' ἔτεος ἐόντες οὐκ ἀπολείπουσι, γέρανοι δὲ φεύγουσαι τὸν χειμῶνα τὸν ἐν τῇ Σκυθικῇ χώρῃ γινόμενον φοιτέουσι ἐς χειμασίην ἐς τοὺς τόπους τούτους. εἰ τοίνυν ἐχιόνιζε καὶ ὁσονῶν ταύτην τὴν χώρην δι' ἧς τε ῥέει καὶ ἐκ τῆς ἄρχεται ῥέων ὁ Νεῖλος, ἦν ἄν τι τούτων οὐδέν, ὡς ἡ ἀνάγκη ἐλέγχει. ὁ δὲ περὶ τοῦ 23
Ὠκεανοῦ λέξας ἐς ἀφανὲς τὸν μῦθον ἀνενείκας οὐκ ἔχει ἔλεγχον· οὐ γάρ τινα ἔγωγε οἶδα ποταμὸν Ὠκεανὸν ἐόντα, Ὅμηρον δὲ ἤ τινα τῶν πρότερον γενομένων ποιητέων δοκέω τὸ οὔνομα εὑρόντα ἐς ποίησιν ἐσενείκασθαι.

Εἰ δὲ δεῖ μεμψάμενον γνώμας τὰς προκειμένας αὐτὸν 24
περὶ τῶν ἀφανέων γνώμην ἀποδέξασθαι, φράσω δι' ὅ τι μοι δοκέει πληθύεσθαι ὁ Νεῖλος τοῦ θέρεος. τὴν χειμερινὴν ὥρην ἀπελαυνόμενος ὁ ἥλιος ἐκ τῆς ἀρχαίης διεξόδου ὑπὸ τῶν χειμώνων ἔρχεται τῆς Λιβύης τὰ ἄνω. ὡς μέν νυν ἐν ἐλαχίστῳ δηλῶσαι, πᾶν εἴρηται· τῆς γὰρ ἂν ἀγχοτάτω τε ᾖ χώρης οὗτος ὁ θεὸς καὶ κατὰ ἥντινα, ταύτην οἰκὸς διψῆν τε ὑδάτων μάλιστα καὶ τὰ ἐγχώρια ῥεύματα μαραίνεσθαι τῶν ποταμῶν. ὡς δὲ ἐν πλέονι λόγῳ δηλῶσαι, ὧδε ἔχει. διεξιὼν 25
τῆς Λιβύης τὰ ἄνω ὁ ἥλιος τάδε ποιέει. ἅτε διὰ παντὸς τοῦ χρόνου αἰθρίου τε ἐόντος τοῦ ἠέρος τοῦ κατὰ ταῦτα τὰ χωρία

τρόπῳ ποίῳ πληθύνεται ὁ ποταμὸς ἐν τῇ τοῦ θέρους ὥρᾳ (*BR*)

16 sqq. Aristides Aegypt. p. 341. — Hermogenes περὶ ἰδεῶν p. 220. — 22 sqq. Diodorus I 38

2. ὕετ' ἂν *Pz*, ὕε ἂν *R* ‖ 3. τρίτον *z* ‖ 4. ἴκτινοι *C* ‖ 6. γενόμενον *dz* ‖ φοιτέωσι *C*, φοιτῶσι ceteri ‖ 7. ὅσον ὦν *BC*, ὁσωνῶν *d* ‖ 9. ἄν τι *PRdz*: ἂν *AB*, om. *C* ‖ τοιούτων *R*, τοιοῦτον *dz* ‖ 12. ποιητῶν *A* ‖ 13. τούνομα *ABC* ‖ εὑρόντας *C* ‖ ἐς] ἐς τὴν *z* ‖ 14. αὐτῶν *d*, αὐτέων *z* ‖ 16. πληθύνεσθαι *dz* ‖ 18. τὰ *ABC*: ἐς τὰ ‖ 19. ἂν om. *Rdz* ‖ ἀγχοτάτωι *AB* ‖ τε ᾖ correxi: γε ᾖ *P*, γέη *R*, γε η *d*, ἧι *ABC*, γε *z* ‖ 20. καὶ om. *Rd* ‖ εἰκὸς *ABCd*[2]*z* ‖ δίψην *Rdz* ‖ 22. πλείονι *Rd* ‖ 24. ἐόντος om. *ABC* ‖ τοῦ κατὰ] τὸ κατὰ *Rd* ‖ τὰ om. *A*[1]

καὶ ἀλεεινῆς τῆς χώρης ἐούσης καὶ ἀνέμων ψυχρῶν, διεξιὼν ποιέει οἷόν περ καὶ τὸ θέρος ἐώθεε ποιέειν ἰὼν τὸ μέσον τοῦ οὐρανοῦ· ἕλκει γὰρ ἐπ' ἑωυτὸν τὸ ὕδωρ, ἑλκύσας δὲ ἀπωθέει ἐς τὰ ἄνω χωρία, ὑπολαμβάνοντες δὲ οἱ ἄνεμοι καὶ διασκιδνάντες τήκουσι· καὶ εἰσὶ οἰκότως οἱ ἀπὸ ταύτης τῆς χώρης πνέοντες, ὅ τε νότος καὶ ὁ λίψ, ἀνέμων πολλὸν τῶν πάντων ὑετώτατοι. δοκέει δέ μοι οὐδὲ πᾶν τὸ ὕδωρ τὸ ἐπέτειον ἑκάστοτε ἀποπέμπεσθαι τοῦ Νείλου ὁ ἥλιος, ἀλλὰ καὶ ὑπολείπεσθαι περὶ ἑωυτόν. πρηϋνομένου δὲ τοῦ χειμῶνος ἀπέρχεται ὁ ἥλιος ἐς μέσον τὸν οὐρανὸν ὀπίσω, καὶ τὸ ἐνθεῦτεν ἤδη ὁμοίως ἀπὸ πάντων ἕλκει τῶν ποταμῶν. τέως δὲ οἱ μὲν ὀμβρίου ὕδατος συμμισγομένου πολλοῦ αὐτοῖσι, ἅτε ὑομένης τε τῆς χώρης καὶ κεχαραδρωμένης, ῥέουσι μεγάλοι· τοῦ δὲ θέρεος τῶν τε ὄμβρων ἐπιλειπόντων αὐτοὺς καὶ ὑπὸ τοῦ ἡλίου ἑλκόμενοι ἀσθενέες εἰσί. ὁ δὲ Νεῖλος ἐὼν ἄνομβρος, ἑλκόμενος δὲ ὑπὸ τοῦ ἡλίου, μοῦνος ποταμῶν τοῦτον τὸν χρόνον οἰκότως αὐτὸς ἑωυτοῦ ῥέει πολλῷ ὑποδεέστερος ἢ τοῦ θέρεος· τότε μὲν γὰρ μετὰ πάντων τῶν ὑδάτων ἴσον ἕλκεται, τὸν δὲ χειμῶνα μοῦνος πιέζεται. οὕτω τὸν ἥλιον νενόμικα τούτων

26 αἴτιον εἶναι. αἴτιος δὲ ὁ αὐτὸς οὗτος κατὰ γνώμην τὴν ἐμὴν καὶ τὸν ἠέρα ξηρὸν τὸν ταύτῃ εἶναι, διακαίων τὴν διέξοδον ἑωυτοῦ· οὕτω τῆς Λιβύης τὰ ἄνω θέρος αἰεὶ κατέχει. εἰ δὲ ἡ στάσις ἤλλακτο τῶν ὡρέων, καὶ τοῦ οὐρανοῦ τῇ μὲν νῦν ὁ βορέης τε καὶ ὁ χειμὼν ἑστᾶσι, ταύτῃ μὲν τοῦ νότου ἦν ἡ στάσις καὶ τῆς μεσαμβρίης, τῇ δὲ ὁ νότος νῦν ἕστηκε, ταύτῃ δὲ ὁ βορέης, εἰ ταῦτα οὕτω εἶχε, ὁ ἥλιος ἂν ἀπελαυνόμενος

4. ὑπολαμβάνοντες - 5 τήκουσι Lexicon Vindob. p. 183

2. ἔωθε *ABC* ‖ 3. αὐτὸν *C* ‖ ἀπωθεῖ *CRd* ‖ 5. εἰκότως *dz* ‖ 7. ὑετιώτατοι *A*[2]. Schweighaeuser ‖ 8. καὶ om. *R* ‖ ἀπολείπεσθαι *qz* ‖ 10. τοῦ οὐρανοῦ *Rpr.* ‖ 11. μὲν] μὲν τοῦ *PRdz* ‖ 13. τε om. *Rd* ‖ 16. δὲ om. *ABC* ‖ 17. οἰκότως *PR*: εἰκότως ‖ πολλὸν *z* ‖ 18. τῶν om. *Rd* ‖ 19. τούτον *R*, τούτου *dz* ‖ 20. ωὔτὸς *R*, ὡὔτὸς *dz* ‖ 21. τὸν om *Ppr.* *Rdz* ‖ δικαιῶν *Rd* ‖ 22. ἑωυτοῦ correxi: αὐτῶι *ABCPz*, om. *Rd*. αὐτοῦ Stephanus ‖ οὕτω om. *d* ‖ ἀεὶ *AB* ‖ 23. ὀρέων *R*, ὀρέων *d* ‖ μέν νυν *Rd*, μὲν οὖν *C* ‖ 24. ἡ σύστασις *C* ‖ 25. ὁ om. *C* ‖ νῦν ἕστηκε] συνέστηκε *CRd* ‖ 26. οὕτως *PRdz* ‖ ἀπολαυνόμενος *R*

ἐκ μέσου τοῦ οὐρανοῦ ὑπὸ τοῦ χειμῶνος καὶ τοῦ βορέω ἤιε ἂν τὰ ἄνω τῆς Εὐρώπης κατά περ νῦν τῆς Λιβύης ἔρχεται, διεξιόντα δ' ἄν μιν διὰ πάσης Εὐρώπης ἔλπομαι ποιέειν ἂν τὸν Ἴστρον τά περ νῦν ἐργάζεται τὸν Νεῖλον. τῆς αὔρης δὲ 27
πέρι, ὅτι οὐκ ἀποπνέει, τήνδε ἔχω γνώμην, ὡς κάρτα ἀπὸ θερμέων χωρέων οὐκ οἰκός ἐστι οὐδὲν ἀποπνέειν, αὔρη δὲ ἀπὸ ψυχροῦ τινος φιλέει πνέειν.

Ταῦτα μέν νυν ἔστω ὡς ἔστι τε καὶ ὡς ἀρχὴν ἐγένετο· 28
τοῦ δὲ Νείλου τὰς πηγὰς οὔτε Αἰγυπτίων οὔτε Λιβύων οὔτε Ἑλλήνων τῶν ἐμοὶ ἀπικομένων ἐς λόγους οὐδεὶς ὑπέσχετο εἰδέναι, εἰ μὴ ἐν Αἰγύπτῳ ἐν Σάι πόλι ὁ γραμματιστὴς τῶν ἱρῶν χρημάτων τῆς Ἀθηναίης. οὗτος δ' ἔμοιγε παίζειν ἐδόκεε φάμενος εἰδέναι ἀτρεκέως· ἔλεγε δὲ ὧδε, εἶναι δύο ὄρεα ἐς ὀξὺ τὰς κορυφὰς ἀπηγμένα, μεταξὺ Συήνης τε πόλιος κείμενα τῆς Θηβαΐδος καὶ Ἐλεφαντίνης, οὐνόματα δὲ εἶναι τοῖσι ὄρεσι τῷ μὲν Κρῶφι τῷ δὲ Μῶφι· τὰς ὦν δὴ πηγὰς τοῦ Νείλου ἐούσας ἀβύσσους ἐκ τοῦ μέσου τῶν ὀρέων τούτων ῥέειν, καὶ τὸ μὲν ἥμισυ τοῦ ὕδατος ἐπ' Αἰγύπτου ῥέειν καὶ πρὸς βορέην ἄνεμον, τὸ δ' ἕτερον ἥμισυ ἐπ' Αἰθιοπίης τε καὶ νότου. ὡς δὲ ἄβυσσοί εἰσι αἱ πηγαί, ἐς διάπειραν ἔφη τούτου Ψαμμήτιχον Αἰγύπτου βασιλέα ἀπικέσθαι· πολλέων γὰρ αὐτὸν χιλιάδων ὀργυιέων πλεξάμενον κάλον κατεῖναι ταύτῃ καὶ οὐκ ἐξικέσθαι ἐς βυσσόν. οὕτω μὲν δὴ ὁ

• περὶ τῶν τοῦ Νείλου πηγῶν καὶ τοῦ εἰς αὐτὰς ἀνάπλου

---

11 sqq. Aristides Aegypt. p. 343. 344. — Pollux IV 19. — 23. Λέξεις

1. ηἴε *C* ‖ 2. τῆς] τὰ *z* ‖ 3. διεξιὼν *Rd* ‖ δ' ἂν ἡμῖν *Rd*, δέ μιν *z* ‖ ἂν τὸν] αὐτὸν *C* ‖ 5. ἀποπνέει] ἀποπνέει ἀπὸ τοῦ νείλου *Rdz* ‖ 6. θερμῶν *L* ‖ χώρων *Rd* ‖ εἰκός *dz* ‖ 8. ὡς ἀρχὴν] τὴν ἀρχὴν *Rd* ‖ 9. νείλου δὲ *Rd* ‖ οὔτε ἑλλήνων οὔτε λιβύων *Rd* ‖ 11. σάϊ̈ι *C* ‖ πόλι *AB* : πόλει ‖ 12. ἱερῶν *R* ‖ δ'ἔμοιγε *B*, δέ μοιγε *C*, γ' ἔμοιγε *Rd*, δέ μοι *z* ‖ 13. δὲ om. *B*[1] ‖ 14. οὔρεα *CPz* ‖ ἀπηγμένα Bekker : ἀπηγημένα *Rd*, ἀπιγμένα reliqui ‖ συήνης κείμενα πόλιος *Rd* ‖ 15. ὀνόματα *ABR* ‖ 16. οὔρεσι *CPz* ‖ κρωφὶ et μωφὶ *Rd* ‖ 17. οὐρέων *CPz* ‖ 18. τουτέειν *R*, τουτέων *dz* ‖ 21. ψαμμίτιχον *CP* ‖ 22. ὀργυέων *PR* ‖ κάλων *ABC* ‖ 23. ἐξικνέεσθαι *d* ‖ οὗτος *Rd*

γραμματιστής, εἰ ἄρα ταῦτα γινόμενα ἔλεγε, ἀπέφαινε, ὡς ἐμὲ κατανοέειν, δίνας τινὰς ταύτῃ ἐούσας ἰσχυρὰς καὶ παλιρροίην, οἷα δὲ ἐμβάλλοντος τοῦ ὕδατος τοῖσι ὄρεσι, μὴ δύνασθαι κατιεμένην καταπειρητηρίην ἐς βυσσὸν ἰέναι.

29 ἄλλου δὲ οὐδενὸς οὐδὲν ἐδυνάμην πυθέσθαι. ἀλλὰ τοσόνδε μὲν ἄλλο ἐπὶ μακρότατον ἐπυθόμην, μέχρι μὲν Ἐλεφαντίνης πόλιος αὐτόπτης ἐλθών, τὸ δὲ ἀπὸ τούτου ἀκοῇ ἤδη ἱστορέων. ἀπὸ Ἐλεφαντίνης πόλιος ἄνω ἰόντι ἄναντές ἐστι χωρίον· ταύτῃ ὦν δεῖ τὸ πλοῖον διαδήσαντας ἀμφοτέρωθεν κατά περ βοῦν πορεύεσθαι· ἢν δὲ ἀπορραγῇ, τὸ πλοῖον οἴχεται φερόμενον ὑπὸ ἰσχύος τοῦ ῥόου. τὸ δὲ χωρίον τοῦτο ἐστὶ ἐπ᾽ ἡμέρας τέσσερας πλόος, σκολιὸς δὲ ταύτῃ κατά περ ὁ Μαίανδρός ἐστι ὁ Νεῖλος· σχοῖνοι δὲ δυώδεκά εἰσι οὗτοι τοὺς δεῖ τούτῳ τῷ τρόπῳ διεκπλῶσαι. καὶ ἔπειτα ἀπίξεαι ἐς πεδίον λεῖον, ἐν τῷ νῆσον περιρρέει ὁ Νεῖλος· Ταχομψὼ οὔνομα αὐτῇ ἐστι. οἰκέουσι δὲ τὰ ἀπὸ Ἐλεφαντίνης ἄνω Αἰθίοπες ἤδη καὶ τῆς νήσου τὸ ἥμισυ, τὸ δὲ ἥμισυ Αἰγύπτιοι. ἔχεται δὲ τῆς νήσου λίμνη μεγάλη, τὴν πέριξ νομάδες Αἰθίοπες νέμονται· τὴν διεκπλώσας ἐς τοῦ Νείλου τὸ ῥέεθρον ἥξεις, τὸ ἐς τὴν λίμνην ταύτην ἐκδιδοῖ. καὶ ἔπειτα ἀποβὰς παρὰ τὸν ποταμὸν ὁδοιπορίην ποιήσεαι ἡμερέων τεσσεράκοντα· σκόπελοί τε γὰρ ἐν τῷ Νείλῳ ὀξέες ἀνέχουσι καὶ χοιράδες πολλαί εἰσι, δι᾽ ὧν οὐκ οἷά τε ἐστὶ πλέειν. διεξελ-

περὶ Ταχομψὼ τῆς νήσου καὶ τῶν ταύτην τε καὶ περὶ αὐτὴν οἰκούντων

1 sq. Aristides Aegypt. p. 345. — 8. ἀπὸ - ἄνω Longinus περὶ ὕψους 26. — 14. καὶ - 15 λεῖον ibidem. — 15. Stephanus Byz. v. Χομψώ. — 23. Λέξεις. — διεξελθὼν - p. 157, 3 Μερόη Longinus ibidem

1. ἆρα *AB* ‖ γενόμενα *PRdz* ‖ 2. κατανοεῖν *d* ‖ 3. δὲ om. *ABC* ‖ ἐμβάλλοντος *ABCcorr.*: ἐμβαλόντος ‖ οὔρεσι *CPz* ‖ 4. κατὰ πειρητηρίην *d*, κατὰ πειρατηρίην bz ‖ βυθὸν *ABd* ‖ 7. αὐτόπτης - 8 πόλιος om. *B*[1] ‖ δ᾽ *Rdz* ‖ τοῦδε z ‖ ἀκουῆι *AC*, ἀκουῇ *Rz* ‖ 8. ἀπὸ δὲ Long. ‖ πόλεως *d* ‖ 9. δεῖ *P*: δὴ ‖ διαδήσαντες *C*, διαδήσαντα *PRdz* ‖ 10. οἴξεται *PRd*, ἴξεται z ‖ 12. τέσσερας *AB*: τέσσαρας ‖ 14. τῷ om. *ABC* ‖ ἀπῖξαι *B* ‖ 15. ἐν ᾧ *Rd* ‖ Χομψώ Steph., Ταχεμψώ idem p. 609, 15 ‖ 16. οὔνομά ἐστι αὐτῇ *d* ‖ τὰ om. *Rd* ‖ 18. τῆς om. *R* ‖ 19. ἐς] ἐκ *d* ‖ 21. τεσσαράκοντα *CRdz* ‖ 23. τέ ἐστι *L*

θὼν δὲ ἐν τῇσι τεσσεράκοντα ἡμέρῃσι τοῦτο τὸ χωρίον, αὖτις
ἐς ἕτερον πλοῖον ἐσβὰς δυώδεκα ἡμέρας πλεύσεαι, καὶ ἔπειτα
ἥξεις ἐς πόλιν μεγάλην τῇ οὔνομά ἐστι Μερόη· λέγεται δὲ
αὕτη ἡ πόλις εἶναι μητρόπολις τῶν ἄλλων Αἰθιόπων. οἱ
δ' ἐν ταύτῃ Δία θεῶν καὶ Διόνυσον μούνους σέβονται, τού-
τους τε μεγάλως τιμῶσι, καί σφι μαντήιον Διὸς κατέστηκε·
στρατεύονται δὲ ἐπεάν σφεας ὁ θεὸς οὗτος κελεύῃ διὰ θε-
σπισμάτων, καὶ τῇ ἂν κελεύῃ, ἐκεῖσε. ἀπὸ δὲ ταύτης τῆς πό- 30
λιος πλέων ἐν ἴσῳ χρόνῳ ἄλλῳ ἥξεις ἐς τοὺς αὐτομόλους ἐν
ὅσῳ περ ἐξ' Ἐλεφαντίνης ἦλθες ἐς τὴν μητρόπολιν τῶν Αἰθι-
όπων. τοῖσι δὲ αὐτομόλοισι τούτοισι οὔνομά ἐστι Ἀσμάχ,
δύναται δὲ τοῦτο τὸ ἔπος κατὰ τὴν Ἑλλήνων γλῶσσαν
οἱ ἐξ ἀριστερῆς χειρὸς παριστάμενοι βασιλέι. ἀπέστησαν δὲ
αὗται τέσσερες καὶ εἴκοσι μυριάδες Αἰγυπτίων τῶν μαχίμων
ἐς τοὺς Αἰθίοπας τούτους δι' αἰτίην τοιήνδε. ἐπὶ Ψαμ-
μητίχου βασιλέος φυλακαὶ κατέστησαν ἔν τε Ἐλεφαντίνῃ
πόλι πρὸς Αἰθιόπων καὶ ἐν Δάφνῃσι τῇσι Πηλουσίῃσι ἄλλη
πρὸς Ἀραβίων τε καὶ Ἀσσυρίων, καὶ ἐν Μαρέῃ πρὸς Λιβύης
ἄλλη. ἔτι δὲ ἐπ' ἐμεῦ καὶ Περσέων κατὰ ταὐτὰ αἱ φυλακαὶ
ἔχουσι ὡς καὶ ἐπὶ Ψαμμητίχου ἦσαν· καὶ γὰρ ἐν Ἐλεφαν-
τίνῃ Πέρσαι φρουρέουσι καὶ ἐν Δάφνῃσι. τοὺς ὦν δὴ Αἰ-
γυπτίους τρία ἔτεα φρουρήσαντας ἀπέλυε οὐδεὶς τῆς φρουρῆς·
οἱ δὲ βουλευσάμενοι καὶ κοινῷ λόγῳ χρησάμενοι πάντες ἀπὸ

περὶ Μερόης πόλεως καὶ τῶν ἐν αὐτῇ

3. Stephanus Byz v. Μερόη. — 11. τοῖσι - Ἀσμάχ et 13 οἱ - βασιλέι idem v. Αὐτόμολοι. — 17. Eustathius Dion. 916

1. ἐν om. *PRdz* ‖ τεσσαράκοντα *Rdz* ‖ 2. ἐμβὰς *PRdz*. Long. ‖ δύ' ἡμέρας Long. ‖ καὶ om. Long. ‖ 3. ἥξει *C*, ἴξεαι *z* ‖ ᾗ Long. ‖ ὄνομά *R*. Long. ‖ ἐστι om. Long. ‖ 5. ἐν αὐτῆι *C* ‖ θεὸν *R* ‖ 6. κατεστήκεε *C* ‖ 7. δὲ *ABC*: δ' ‖ σφέας *Rdz* ‖ 9. πλέον *d* ‖ 10. τῶν] τὴν *AB* ‖ 11. ἐστι om. Steph. ‖ 12. ἀσχάμ *AB*, ἀσχὰμ *C*, Ἀσμάχην Steph. ‖ 13. χειρὸς] γλώσσης Steph. ‖ βασιλεῖ *ABRd* ‖ 14. τέσσερες *Pz*: τέσσαρες ‖ 15. τοιῆνδε *AB* ‖ ψαμμιτίχου *CP* ‖ 16. βασιλέως *dz* ‖ κατέστασαν *Rdz* ‖ 17. πόλει *CPdz*, πόλιος *R* ‖ ἄλλη Bekker: ἄλλη δὲ *L*. ἄλλη δὴ Eltz ‖ 18. τε om. *ABC* ‖ ἀρραβίων *d* ‖ σύρων *Rd* ‖ μαραίηι *ABC*, μαραι̣ῃ *P* ‖ 20. ψαμμιτίχου *CP* ‖ καὶ γὰρ ἐλεφαντίνην *Rd*

τοῦ Ψαμμητίχου ἀποστάντες ἤισαν ἐς Αἰθιοπίην. Ψαμμήτιχος δὲ πυθόμενος ἐδίωκε· ὡς δὲ κατέλαβε, ἐδέετο πολλὰ λέγων καί σφεας θεοὺς πατρωίους ἀπολιπεῖν οὐκ ἔα καὶ τέκνα καὶ γυναῖκας. τῶν δέ τινα λέγεται δέξαντα τὸ αἰδοῖον εἰπεῖν, ἔνθα ἂν τοῦτο ᾖ, ἔσεσθαι αὐτοῖσι ἐνθαῦτα καὶ τέκνα καὶ γυναῖκας. οὗτοι ἐπείτε ἐς Αἰθιοπίην ἀπίκοντο, διδοῦσι σφέας αὐτοὺς τῷ Αἰθιόπων βασιλέι· ὁ δέ σφεας τῷδε ἀντιδωρέεται. ἦσαν οἱ διάφοροί τινες γεγονότες τῶν Αἰθιόπων· τούτους ἐκέλευε ἐξελόντας τὴν ἐκείνων γῆν οἰκέειν. τούτων δὲ ἐσοικισθέντων ἐς τοὺς Αἰθίοπας ἡμερώτεροι γεγόνασι Αἰθίοπες, ἤθεα μαθόντες Αἰγύπτια.

31 Μέχρι μέν νυν τεσσέρων μηνῶν πλόου καὶ ὁδοῦ γινώσκεται ὁ Νεῖλος πάρεξ τοῦ ἐν Αἰγύπτῳ ῥεύματος· τοσοῦτοι γὰρ συμβαλλομένῳ μῆνες εὑρίσκονται ἀναισιμούμενοι ἐξ Ἐλεφαντίνης πορευομένῳ ἐς τοὺς αὐτομόλους τούτους. ῥέει δὲ ἀπὸ ἑσπέρης τε καὶ ἡλίου δυσμέων. τὸ δὲ ἀπὸ τοῦδε οὐδεὶς ἔχει σαφέως φράσαι· ἔρημος γάρ ἐστι ἡ χώρη αὕτη ὑπὸ καύ-
32 ματος. ἀλλὰ τάδε μὲν ἤκουσα ἀνδρῶν Κυρηναίων φαμένων ἐλθεῖν τε ἐπὶ τὸ Ἄμμωνος χρηστήριον καὶ ἀπικέσθαι ἐς λόγους Ἐτεάρχῳ τῷ Ἀμμωνίων βασιλέι, καί κως ἐκ λόγων ἄλλων ἀπικέσθαι ἐς λέσχην περὶ τοῦ Νείλου, ὡς οὐδεὶς αὐτοῦ οἶδε τὰς πηγάς, καὶ τὸν Ἐτέαρχον φάναι ἐλθεῖν κοτε παρ' αὐτὸν Νασαμῶνας ἄνδρας. τὸ δὲ ἔθνος τοῦτο ἐστὶ μὲν Λιβυκόν, νέμεται δὲ τὴν Σύρτιν τε καὶ τὴν πρὸς ἠῶ χώρην τῆς

περὶ τῶν λεγομένων Αὐτομόλων Αἰθιόπων

---

5. **Aristoteles rhetor. III 16**

1. ψαμμιτίχου *CP* ‖ ψαμμίτιχος *CP* ‖ 3. πατρώιους *ABCP*, πατρώους *Rd*, πατρῴους z ‖ 4. τῶν] τὸν *PRdz* ‖ δείξαντα *L* ‖ 7. αὐτοὺς *P*: αὑτοὺς z, ἑωυτοὺς reliqui ‖ βασιλεῖ *ABd* ‖ ὁ δὲ - 8 Αἰθιόπων om. *Rd* ‖ 12. τεσσάρων *CR* ‖ γιγνώσκεται ὁ γιγνώσκεται *Rd* ‖ 13. τοσοῦτοι Reiske: τοσούτω *Rd*, οὗτοι reliqui ‖ 16. ἑσπερίης *C* ‖ ἡλίου om. *Rd* ‖ 18. τάδε] τὰ *ABC* ‖ 19. τε om. *C* ‖ λόγους] λόγους περὶ τοῦ νείλου *ABC* ‖ 20. ἀμμωνίω̆ *A* ‖ βασιλεῖ *ABd* ‖ 23. αὐτῶν *B* ‖ νασαμῶνας *dz*: νασαμώνας *R*, νασάμωνας reliqui ‖ 24. ἕω *ABC*

Σύρτιος οὐκ ἐπὶ πολλόν. ἀπικομένους δὲ τοὺς Νασαμῶνας καὶ εἰρωτεομένους εἴ τι ἔχουσι πλέον λέγειν περὶ τῶν ἐρήμων τῆς Λιβύης, φάναι παρὰ σφίσι γενέσθαι ἀνδρῶν δυναστέων παῖδας ὑβριστάς, τοὺς ἄλλα τε μηχανᾶσθαι ἀνδρωθέντας περισσὰ καὶ δὴ καὶ ἀποκληρῶσαι πέντε ἑωυτῶν ὀψομένους τὰ ἔρημα τῆς Λιβύης, καὶ εἴ τι πλέον ἴδοιεν τῶν τὰ μακρότατα ἰδομένων. τῆς γὰρ Λιβύης τὰ μὲν κατὰ τὴν βορηίην θάλασσαν ἀπ' Αἰγύπτου ἀρξάμενοι μέχρι Σολόεντος ἄκρης, ἣ τελευτᾷ τῆς Λιβύης, παρήκουσι παρὰ πᾶσαν Λίβυες καὶ Λιβύων ἔθνεα πολλά, πλὴν ὅσον Ἕλληνες καὶ Φοίνικες ἔχουσι· τὰ δὲ ὑπὲρ θαλάσσης τε καὶ τῶν ἐπὶ θάλασσαν κατηκόντων ἀνθρώπων, τὰ κατύπερθε θηριώδης ἐστὶ ἡ Λιβύη· τὰ δὲ κατύπερθε τῆς θηριώδεος ψάμμος τε ἐστὶ καὶ ἄνυδρος δεινῶς καὶ ἔρημος πάντων. εἶπαι ὦν τοὺς νεηνίας ἀποπεμπομένους ὑπὸ τῶν ἡλίκων, ὕδατί τε καὶ σιτίοισι εὖ ἐξηρτυμένους, ἰέναι τὰ πρῶτα μὲν διὰ τῆς οἰκεομένης, ταύτην δὲ διεξελθόντας ἐς τὴν θηριώδεα ἀπικέσθαι, ἐκ δὲ ταύτης τὴν ἔρημον διεξιέναι, τὴν ὁδὸν ποιευμένους πρὸς ζέφυρον ἄνεμον, διεξελθόντας δὲ χῶρον πολλὸν ψαμμώδεα καὶ ἐν πολλῇσι ἡμέρῃσι ἰδεῖν δή κοτε δένδρεα ἐν πεδίῳ πεφυκότα, καί σφεας προσελθόντας ἅπτεσθαι τοῦ ἐπεόντος ἐπὶ τῶν δενδρέων καρποῦ, ἁπτομένοισι δέ σφι ἐπελθεῖν ἄνδρας σμικρούς, μετρίων ἐλάσσονας ἀνδρῶν, λαβόντας δὲ ἄγειν σφέας· φωνῆς δὲ οὔτε τι τῆς ἐκείνων τοὺς Νασαμῶνας γινώσκειν οὔτε τοὺς ἄγοντας τῶν Νασαμώνων· ἄγειν τε δὴ αὐτοὺς δι' ἑλέων μεγίστων, καὶ διεξελθόντας

περὶ τῶν τῆς Λιβύης ἐρήμων

---

1. νασάμωνας *ABC* ‖ 2. εἰρωτωμένους *Rd*, ἐρωτωμένους *AB*, εἰρωτεωμένους *Pz*, ἠρωτεωμένους *C* ‖ 3. τῆς om. *z* ‖ φᾶναι *ABPd* ‖ παρά σφισι *C* ‖ 5. δὴ καὶ] δὴ *C* ‖ αὐτῶν *R* ‖ 6. τὰ om. *PRdz* ‖ 8. ἡ τελευτᾶι *A*, ἣ τελευτᾶι *B*, ἣ τελευτᾶι *C*, ἣ τελευτᾶ *R*. ᾗ τελευτᾷ τὰ Reiske, ᾗ τελευταὶ τῆς Wesseling, ἣ τελευταίη Schweighaeuser ‖ 11. ὃ *PRdz* ‖ ἐπὶ] ὑπὲρ *ABC* ‖ 12. 13. κατύπερθεν *R* ‖ τέ ἐστι *L* ‖ 14. εἶπαι scripsi: ἐπεὶ *L*. εἰπεῖν Reiske ut videtur. 'possis etiam ἐκεῖ vel ἐκείνους' Bekker ‖ 15. ὕδασι *ABC* ‖ ἐξηρτημένους *CRd* ‖ 22. σφισι *ABC* ‖ μικροὺς *L* ‖ 24. νασάμωνας *AB*, νασσάμωνας *C*, νασαμόνας *R* ‖ ἀσσαμώνων *C*, νασαμόνων *R* ‖ 25. δὴ om. *PRdz* ‖ ἐλέων *Rd*

ταῦτα ἀπικέσθαι ἐς πόλιν ἐν τῇ πάντας εἶναι τοῖσι ἄγουσι
τὸ μέγαθος ἴσους, χρῶμα δὲ μέλανας. παρὰ δὲ τὴν πόλιν
ῥέειν ποταμὸν μέγαν, ῥέειν δὲ ἀπὸ ἑσπέρης αὐτὸν πρὸς ἥλιον
33 ἀνατέλλοντα, φαίνεσθαι δὲ ἐν αὐτῷ κροκοδείλους. ὁ μὲν δὴ
τοῦ Ἀμμωνίου Ἐτεάρχου λόγος ἐς τοῦτό μοι δεδηλώσθω,
πλὴν ὅτι ἀπονοστῆσαί τε ἔφασκε τοὺς Νασαμῶνας, ὡς οἱ
Κυρηναῖοι ἔλεγον, καὶ ἐς τοὺς οὗτοι ἀπίκοντο ἀνθρώπους,
γόητας εἶναι ἅπαντας. τὸν δὲ δὴ ποταμὸν τοῦτον τὸν παραρ-
ρέοντα καὶ Ἐτέαρχος συνεβάλλετο εἶναι Νεῖλον καὶ δὴ καὶ
ὁ λόγος οὕτω αἱρέει. ῥέει γὰρ ἐκ Λιβύης ὁ Νεῖλος καὶ μέσην
τάμνων Λιβύην· καὶ ὡς ἐγὼ συμβάλλομαι τοῖσι ἐμφανέσι
τὰ μὴ γινωσκόμενα τεκμαιρόμενος, τῷ Ἴστρῳ ἐκ τῶν ἴσων
μέτρων ὁρμᾶται. Ἴστρος τε γὰρ ποταμὸς ἀρξάμενος ἐκ
Κελτῶν καὶ Πυρήνης πόλιος ῥέει μέσην σχίζων τὴν Εὐρώ-
πην· οἱ δὲ Κελτοί εἰσι ἔξω Ἡρακλέων στηλέων, ὁμουρέουσι
δὲ Κυνησίοισι, οἳ ἔσχατοι πρὸς δυσμέων οἰκέουσι τῶν ἐν τῇ
Εὐρώπῃ κατοικημένων. τελευτᾷ δὲ ὁ Ἴστρος ἐς θάλασσαν
ῥέων τὴν τοῦ Εὐξείνου πόντου διὰ πάσης Εὐρώπης, τῇ
34 Ἰστρίην οἱ Μιλησίων οἰκέουσι ἄποικοι. ὁ μὲν δὴ Ἴστρος,
ῥέει γὰρ δι' οἰκεομένης, πρὸς πολλῶν γινώσκεται, περὶ
δὲ τῶν τοῦ Νείλου πηγέων οὐδεὶς ἔχει λέγειν· ἀοίκητός
τε γὰρ καὶ ἔρημός ἐστι ἡ Λιβύη δι' ἧς ῥέει. περὶ δὲ
τοῦ ῥεύματος αὐτοῦ, ἐπ' ὅσον μακρότατον ἱστορεῦντα ἦν
ἐξικέσθαι, εἴρηται· ἐκδιδοῖ δὲ ἐς Αἴγυπτον. ἡ δὲ Αἴ-

περὶ τοῦ Ἴστρου ποταμοῦ

5. ὁ μὲν - 6 δεδηλώσθω Lexicon Vindob. p. 64. — 11. καὶ ὡς - 12 τεκμαιρόμενος idem p. 170. — 18. Eustathius Dion. 823

2. μέγεθος *B* ‖ 3. ἀπ' *AB* ‖ 6. νασάμωνας *AB*, νασσάμωνας *C* ‖ οἱ om. *ABC* ‖ ἐς οὓς *PRdz* ‖ 8. πάντας *PRdz* ‖ παραρέοντα *ABC* ‖ 9. συνεβάλετο *AB* ‖ τὸν Νεῖλον z ‖ 10. οὕτως *Pz* ‖ ἐρέει C^1 ‖ ὁ Νεῖλος - 11 Λιβύην om. *B* ‖ 11. καὶ om. P^1 ‖ 12. ἴστρωι *C* ut fere ‖ 14. πυρρήνης *Pz*, πειρήνης *d* ‖ 15. ἡρακλέων *Rd*: ἡρακλείων *AB*, ἡρακληΐων *CPz* ‖ 18. ῥέων et διὰ πάσης Εὐρώπης damnabat Valckenaer ‖ Ἰστρίην οἱ] ἰστριηνοὶ *Pdz*, ἰστρινοὶ *R*, Ἰστριανοὶ Eust. ‖ 20. ῥέων C^2 ‖ γὰρ om. *C* ‖ 21. τῶν om. *R* ‖ 22. γάρ ἐστι καὶ ἔρημος *PRdz* ‖ ἐρῆμός *C* ‖ ἡ om. *R* ‖ 24. ἡ δὲ Αἴγυπτος om. *C*

γυπτος τῆς ὀρεινῆς Κιλικίης μάλιστά κῃ ἀντίη κέεται· ἐνθεῦτεν δὲ ἐς Σινώπην τὴν ἐν τῷ Εὐξείνῳ πόντῳ πέντε ἡμερέων ἰθέα ὁδὸς εὐζώνῳ ἀνδρί· ἡ δὲ Σινώπη τῷ Ἴστρῳ ἐκδιδόντι ἐς θάλασσαν ἀντίον κέεται. οὕτω τὸν Νεῖλον δοκέω διὰ πάσης τῆς Λιβύης διεξιόντα ἐξισοῦσθαι τῷ Ἴστρῳ.

Νείλου μέν νυν πέρι τοσαῦτα εἰρήσθω· ἔρχομαι δὲ περὶ 35
Αἰγύπτου μηκυνέων τὸν λόγον, ὅτι πλεῖστα θωυμάσια ἔχει [ἢ ἡ ἄλλη πᾶσα χώρη] καὶ ἔργα λόγου μέζω παρέχεται πρὸς πᾶσαν χώρην· τούτων εἵνεκα πλέω περὶ αὐτῆς εἰρήσεται. Αἰγύπτιοι ἅμα τῷ οὐρανῷ τῷ κατὰ σφέας ἐόντι ἑτεροίῳ καὶ τῷ ποταμῷ φύσιν ἀλλοίην παρεχομένῳ ἢ οἱ ἄλλοι ποταμοί, τὰ πολλὰ πάντα ἔμπαλιν τοῖσι ἄλλοισι ἀνθρώποισι ἐστήσαντο ἤθεά τε καὶ νόμους· ἐν τοῖσι αἱ μὲν γυναῖκες ἀγοράζουσι καὶ καπηλεύουσι, οἱ δὲ ἄνδρες κατ' οἴκους ἐόντες ὑφαίνουσι· ὑφαίνουσι δὲ οἱ μὲν ἄλλοι ἄνω τὴν κρόκην ὠθέοντες, Αἰγύπτιοι δὲ κάτω. τὰ ἄχθεα οἱ μὲν ἄνδρες ἐπὶ τῶν κεφαλέων φορέουσι, αἱ δὲ γυναῖκες ἐπὶ τῶν ὤμων. οὐρέουσι αἱ μὲν γυναῖκες ὀρθαί, οἱ δὲ ἄνδρες κατήμενοι. εὐμαρείῃ χρέωνται ἐν τοῖσι οἴκοισι, ἐσθίουσι δὲ ἔξω ἐν τῇσι ὁδοῖσι, ἐπιλέγοντες ὡς τὰ μὲν αἰσχρὰ ἀναγκαῖα δὲ ἐν ἀποκρύφῳ ἐστὶ ποιέειν χρεόν, τὰ δὲ μὴ αἰσχρὰ ἀναφανδόν. ἱρᾶται γυνὴ μὲν οὐδεμία οὔτε ἔρσενος θεοῦ οὔτε θηλέης, ἄνδρες δὲ πάντων τε καὶ πασέων. τρέφειν τοὺς τοκέας τοῖσι μὲν παισὶ οὐδεμία ἀνάγκη μὴ βουλομένοισι, τῇσι δὲ θυγατράσι πᾶσα ἀνάγκη

περὶ τῶν ἐν Αἰγύπτῳ θαυμασίων καὶ τῶν παρ' Αἰγυπτίοις ἐθῶν

18. Λέξεις. — 19. ἐσθίουσι - 21 ἀναφανδόν Stobaeus floril. XL 74

1. ὀρινῆς *PR* ‖ ἀντίηι *C* ‖ 2. ἐντεῦθεν *C* ‖ πέντε - 2 εὐζώνῳ om. *C* ‖ 3. εὐθεῖα *L* ‖ 4. ἀντίη *sz* ‖ 5. τῆς om. *ABC* ‖ 7. πλεῖστα *ABC*: πλέω ‖ θωμάσια *A*[1]*B* ‖ 8. ἢ - χώρη seclusi ‖ ἡ om. *CPz* ‖ 10. ἑτέροι *R*, ἕτεροι *d* ‖ 11. ἄλλην *C* ‖ 13. νομοὺς *R* ‖ ἀγυράζουσι *C* ‖ 15. δὲ om. *z* ‖ 17. κεφαλαίων *C*[1] ‖ φέρουσι *Cpr*. ‖ 18. καθήμενοι *Rd* ‖ εὐμαρέῃ *L*. gloss., εὐμαρίῃ *z* ‖ 19. τῇσι] τοῖσι *C*, τοῖσιν *Rd* ‖ 21. ποιεῖν *R* ‖ χρεών *Cdz*. Stob. ‖ ἱρὰ τὲ γυνὴ *Rd* ‖ 22. οὐ δὲ μία *A*, οὐδεμίη *Pdz*, οὐδὲ μίη *R* ‖ 23. οὐδεμίη *dz*, οὐδὲ μίη *R* ‖ 24. τῇσι δὲ - p. 162, 1 βουλομένῃσι om. *C* ‖ θυγατρῆσι *Rd*

36 καὶ μὴ βουλομένῃσι. οἱ ἱρέες τῶν θεῶν τῇ μὲν ἄλλῃ κομέουσι, ἐν Αἰγύπτῳ δὲ ξυρῶνται. τοῖσι ἄλλοισι ἀνθρώποισι νόμος ἅμα κήδεϊ κεκάρθαι τὰς κεφαλὰς τοὺς μάλιστα ἱκνέεται, Αἰγύπτιοι δὲ ὑπὸ τοὺς θανάτους ἀνιεῖσι τὰς τρίχας αὔξεσθαι τάς τε ἐν τῇ κεφαλῇ καὶ τῷ γενείῳ, τέως ἐξυρημένοι. τοῖσι μὲν ἄλλοισι ἀνθρώποισι χωρὶς θηρίων ἡ δίαιτα ἀποκέκριται, Αἰγυπτίοισι δὲ ὁμοῦ θηρίοισι ἡ δίαιτά ἐστι. ἀπὸ πυρῶν καὶ κριθέων ὦλλοι ζώουσι, Αἰγυπτίων δὲ τῷ ποιευμένῳ ἀπὸ τούτων τὴν ζόην ὄνειδος μέγιστόν ἐστι, ἀλλὰ ἀπὸ ὀλυρέων ποιεῦνται σιτία, τὰς ζειὰς μετεξέτεροι καλέουσι. φυρῶσι τὸ μὲν σταῖς τοῖσι ποσί, τὸν δὲ πηλὸν τῇσι χερσί, καὶ τὴν κόπρον ἀναιρέονται. τὰ αἰδοῖα ὦλλοι μὲν ἐῶσι ὡς ἐγένοντο, πλὴν ὅσοι ἀπὸ τούτων ἔμαθον, Αἰγύπτιοι δὲ περιτάμνονται. εἵματα τῶν μὲν ἀνδρῶν ἕκαστος ἔχει δύο, τῶν δὲ γυναικῶν ἓν ἑκάστη. τῶν ἱστίων τοὺς κρίκους καὶ τοὺς κάλους οἱ μὲν ἄλλοι ἔξωθεν προσδέουσι, Αἰγύπτιοι δὲ ἔσωθεν. γράμματα γράφουσι καὶ λογίζονται ψήφοισι Ἕλληνες μὲν ἀπὸ τῶν ἀριστερῶν ἐπὶ τὰ δεξιὰ φέροντες τὴν χεῖρα, Αἰγύπτιοι δὲ ἀπὸ τῶν δεξιῶν ἐπὶ τὰ ἀριστερά καὶ ποιεῦντες ταῦτα αὐτοὶ μέν φασι ἐπὶ δεξιὰ ποιέειν, Ἕλληνας δὲ ἐπ' ἀριστερά. διφασίοισι δὲ γράμμασι χρέωνται, καὶ τὰ μὲν αὐτῶν ἱρὰ τὰ δὲ δημοτικὰ καλέεται.

37 Θεοσεβέες δὲ περισσῶς ἐόντες μάλιστα πάντων ἀνθρώπων νόμοισι τοιοῖσιδε χρέωνται. ἐκ χαλκέων ποτηρίων πίνουσι,

ὅτι περιτέμνονται Αἰγύπτιοι   περὶ ἱερέων καὶ θυσιῶν

10. τὰς - καλέουσι Erotianus et Galenus lexic. Hippocr. v. μετεξέτεροι. — Eustathius Il. p. 1206. — 10 sq. Strabo 823. — 24. Athenaeus p. 231

1. ἱερέες *R* ‖ κομόουσιν *R*, κομόωσιν *d* ‖ 2. ξυρῶνται *d*: ξυρῶντε *R*, ξυροῦνται *AB*, ξυρεῦνται *C*2*Pz*, ξηρεῦνται *C*1 ‖ 6. ἡ δίαιτα Schaefer: δίαιτα ‖ 7. πυρέων z ‖ 8. κριθῶν *Rd* ‖ ὦλλοι *P*, ὤ'λλοι z, ἄλλοι *Rd* ‖ 9. ζώην *Apr.C*, ζωὴν *d* ‖ ὀλλυρέων *Rdz* ‖ 10. ζειὰς *Rd*. Erot. Gal. Eust.: ζεὰς 11. σταῖς *Pcorr.*, στᾶς *d* ‖ καὶ τὴν κόπρον ἀναιρέονται om. *P*1*Rd* ‖ 12. ὦλλοι *P*, ὤ'λλοι z, ὤλλοι *R*, ἄλλοι *d* ‖ 19. ποιέοντες *ABC* ‖ 20. ἐπιδέξια *Rd*, ἐπὶ τὰ δεξιὰ z ‖ ἐπαρίστερα *Rd* ‖ 21. δὲ om. *C'* ‖ 24. τοίοισίδε *AB*, τοιοῖσδε reliqui

διασμῶντες ἀνὰ πᾶσαν ἡμέρην, οὐχ ὁ μὲν ὁ δ' οὔ, ἀλλὰ πάντες. εἵματα δὲ λίνεα φορέουσι αἰεὶ νεόπλυτα, ἐπιτηδεύοντες τοῦτο μάλιστα. τά τε αἰδοῖα περιτάμνονται καθαρειότητος εἵνεκεν, προτιμῶντες καθαροὶ εἶναι ἢ εὐπρεπέστεροι. οἱ δὲ ἱρέες ξυρῶνται πᾶν τὸ σῶμα διὰ τρίτης ἡμέρης, ἵνα μήτε φθεὶρ μήτε ἄλλο μυσαρὸν μηδὲν ἐγγίνηταί σφι θεραπεύουσι τοὺς θεούς. ἐσθῆτα δὲ φορέουσι οἱ ἱρέες λινέην μούνην καὶ ὑποδήματα βύβλινα· ἄλλην δέ σφι ἐσθῆτα οὐκ ἔξεστι λαβεῖν οὐδὲ ὑποδήματα ἄλλα. λοῦνται δὲ δὶς τῆς ἡμέρης ἑκάστης ψυχρῷ καὶ δὶς ἑκάστης νυκτός. ἄλλας τε θρησκηίας ἐπιτελέουσι μυρίας ὡς εἰπεῖν λόγῳ. πάσχουσι δὲ καὶ ἀγαθὰ οὐκ ὀλίγα· οὔτε τι γὰρ τῶν οἰκηίων τρίβουσι οὔτε δαπανῶνται, ἀλλὰ καὶ σιτία σφι ἐστὶ ἱρὰ πεσσόμενα, καὶ κρεῶν βοέων καὶ χηνέων πλῆθός τι ἑκάστῳ γίνεται πολλὸν ἡμέρης ἑκάστης, δίδοται δέ σφι καὶ οἶνος ἀμπέλινος· ἰχθύων δὲ οὔ σφι ἔξεστι πάσασθαι. κυάμους δὲ οὔτε τι μάλα σπείρουσι Αἰγύπτιοι ἐν τῇ χώρῃ, τούς τε γενομένους οὔτε τρώγουσι οὔτε ἕψοντες πατέονται· οἱ δὲ δὴ ἱρέες οὐδὲ ὁρέοντες ἀνέχονται, νομίζοντες οὐ καθαρὸν εἶναί μιν ὄσπριον. ἱρᾶται δὲ οὐκ εἷς ἑκάστου τῶν θεῶν ἀλλὰ πολλοί, τῶν εἷς ἐστι ἀρχιερεύς· ἐπεὰν δέ τις ἀποθάνῃ, τούτου ὁ παῖς ἀντικατίσταται.

Τοὺς δὲ βοῦς τοὺς ἔρσενας τοῦ Ἐπάφου εἶναι νομίζουσι, 38
καὶ τούτου εἵνεκα δοκιμάζουσι αὐτοὺς ὧδε. τρίχα ἢν καὶ μίαν ἴδηται ἐπεοῦσαν μέλαιναν, οὐ καθαρὸν εἶναι νομίζει.

13. Λέξεις. — 16. - 18 Plutarchus mor. p. 729

1. διασμέωντες C^1z, διασμέοντες *P* ‖ πᾶσαν] πᾶσαν τὴν *C* ‖ οὐχ *PRdz* ‖ ὃ δ' οὔ *P*, ὃδ' οὔ z ‖ 3. καθαρειότητος *ABP*: καθαριότητος ‖ 4. προτιμέωντες *C* ‖ καθάριοι Bredovius ‖ 5. ξυρεῦνται *CPz* ‖ 6. μήτ' ἄλλο *Rd*, μήτε τι ἄλλο z ‖ ἐγγίνεται (η) *C* ‖ σφισι *ABC* ‖ 9. βαλεῖν *PRd*, βαλέειν z ‖ δὶς] δίς τε *Rd* ‖ 10. ὕδατι ψυχρῷ z ‖ θρηισκείας *AB*, θρησκείας reliqui ‖ 11. μυρίας ἐπιτελέουσι z ‖ τῶι λόγωι *B* ‖ 12. γάρ τι *d* ‖ δαπανέωνται *CPz* ‖ 13. ἔστι z ‖ κρεῶν post χηνέων z ‖ 14. γίγνεται *P* ‖ ἑκάστης ἡμέρης z ‖ 16. τι om. *Rd* ‖ 18. ἕψοντες *Rd* ‖ δατέονται A^2*Rdz* ‖ ἱερέες *C* ‖ 19. καθαρόν μιν εἶναι z ‖ οὐκ *Pz*: οὐχ ‖ 20. ἀρχιερεύς *Rdz* : ἀρχιρεύς *P*, ἀρχιέρεως *ABCcorr.*, ἀρχιερέως *Cpr.* ‖ 21. ὁ om. *Rd* ‖ ἀντικαθίσταται *Rd* ‖ 22. ἐπαφοῦ *C* ‖ 23. ἢν καὶ] ἢν *C* ‖ 24. μίην z ‖ ἐνεοῦσαν *Rd*

δίζηται δὲ ταῦτα ἐπὶ τούτῳ τεταγμένος τῶν τις ἱρέων καὶ ὀρθοῦ ἑστεῶτος τοῦ κτήνεος καὶ ὑπτίου, καὶ τὴν γλῶσσαν ἐξειρύσας, εἰ καθαρὴ τῶν προκειμένων σημηίων, τὰ ἐγὼ ἐν ἄλλῳ λόγῳ ἐρέω· κατορᾷ δὲ καὶ τὰς τρίχας τῆς οὐρῆς εἰ κατὰ φύσιν ἔχει πεφυκυίας. ἢν δὲ τούτων πάντων ᾖ καθαρός, σημαίνεται βύβλῳ περὶ τὰ κέρεα εἱλίσσων καὶ ἔπειτα γῆν σημαντρίδα ἐπιπλάσας ἐπιβάλλει τὸν δακτύλιον, καὶ οὕτω ἀπάγουσι. ἀσήμαντον δὲ θύσαντι θάνατος ἡ ζημίη
39 ἐπικέεται. δοκιμάζεται μέν νυν τὸ κτῆνος τρόπῳ τοιῷδε, θυσίη δέ σφι ἥδε κατέστηκε. ἀγαγόντες τὸ σεσημασμένον κτῆνος πρὸς τὸν βωμὸν ὅκου ἂν θύωσι, πῦρ ἀνακαίουσι, ἔπειτα δὲ ἐπ' αὐτοῦ οἶνον κατὰ τοῦ ἱρηίου ἐπισπείσαντες καὶ ἐπικαλέσαντες τὸν θεὸν σφάζουσι, σφάξαντες δὲ ἀποτάμνουσι τὴν κεφαλήν. σῶμα μὲν δὴ τοῦ κτήνεος δείρουσι, κεφαλῇ δὲ κείνῃ πολλὰ καταρησάμενοι φέρουσι, τοῖσι μὲν ἂν ᾖ ἀγορὴ καὶ Ἕλληνές σφι ἔωσι ἐπδήμιοι ἔμποροι, οἱ δὲ φέροντες ἐς τὴν ἀγορὴν ἀπ' ὧν ἔδοντο, τοῖσι δὲ ἂν μὴ παρέωσι Ἕλληνες, οἱ δ' ἐκβάλλουσι ἐς τὸν ποταμόν· καταρῶνται δὲ τάδε λέγοντες τῇσι κεφαλῇσι, εἴ τι μέλλοι ἢ σφίσι τοῖσι θύουσι ἢ Αἰγύπτῳ τῇ συναπάσῃ κακὸν γενέσθαι, ἐς κεφαλὴν ταύτην τραπέσθαι. κατὰ μέν νυν τὰς κεφαλὰς τῶν θυομένων κτηνέων καὶ τὴν ἐπίσπεισιν τοῦ οἴνου πάντες Αἰγύπτιοι νόμοισι τοῖσι αὐτοῖσι χρέωνται ὁμοίως ἐς πάντα τὰ ἱρά, καὶ ἀπὸ τούτου τοῦ νόμου οὐδὲ ἄλλου οὐδενὸς ἐμψύχου κεφαλῆς γεύσε-
40 ται Αἰγυπτίων οὐδείς. ἡ δὲ δὴ ἐξαίρεσις τῶν ἱρῶν καὶ ἡ

---

17. Ioannes Gramm. de dial. f. 241r Ald.

1. δίζεται z ‖ ἐπὶ τοῦτο *Rz* ‖ 2. ἐστῶτος *d* ‖ 5. τουτέων z ‖ 6. εἰλίσσων *C*, ἐλίσσων *Pdz*, ἐλίσσων *R* ‖ 8. ἡ] καὶ ἡ *C* ‖ ζημία *Rd* ‖ 10. ἧδε *AB* ‖ κατεστήκεε *d* ‖ 11. οἴκου *C* ‖ θύσωσι *PRz* ‖ πῦρ ἀνακαίουσι Bekker: πυρὴν καίουσι ‖ 12. δὲ om. *Rd* ‖ ἐπει σπείσαντες *C* ‖ 13. ἀποτέμνουσι *d* ‖ 14. δὴ om. *ABC* ‖ δέρουσι *Rd* ‖ 15. δὲ κείνη *R*, δ' ἐκείνηι *Pd*, δ' ἐκείνου *sz* ‖ καταρησόμενοι *Rd*, κατηρασάμενοι z ‖ ἦν *d* ‖ ἀγορὴ — 17 τὴν om. *R* ‖ 16. σφισι *ABC* ‖ ἑῶσιν *d* ‖ ἐπιδήμιοι *ABC*: ἐπίδημοι ‖ οἵδε *sz* ‖ 17. δ' *Rd* ‖ παρεῶσιν *Rd* ‖ 18. οἵδ' *Rz* ‖ καταρέωνται *C*, καταρέονται *Pz* ‖ 19. μέλλει *Rd* ‖ ἢ σφίσι z: ἢ σφι *R*, ἢ σφισι ceteri ‖ 20. ταύτης *C* ‖ 21. κατὰ om. *R* ‖ 22. ἐπίπασιν *d* ‖ 24. οὐδὲ ἄλλου om. *Rd* ‖ 25. καὶ om. *C*

καῦσις ἄλλη περὶ ἄλλο ἱρόν σφι κατέστηκε· τὴν δ᾽ ὦν μεγίστην τε δαίμονα ἥγηνται εἶναι καὶ μεγίστην οἱ ὀρτὴν ἀνάγουσι, ταύτην ἔρχομαι ἐρέων .... ἐπεὰν ἀποδείρωσι τὸν βοῦν, κατευξάμενοι κοιλίην μὲν κείνην πᾶσαν ἐξ ὦν εἷλον, σπλάγχνα δὲ αὐτοῦ λείπουσι ἐν τῷ σώματι καὶ τὴν πιμελήν, σκέλεα δὲ ἀποτάμνουσι καὶ τὴν ὀσφὺν ἄκρην καὶ τοὺς ὤμους τε καὶ τὸν τράχηλον. ταῦτα δὲ ποιήσαντες τὸ ἄλλο σῶμα τοῦ βοὸς πιμπλᾶσι ἄρτων καθαρῶν καὶ μέλιτος καὶ ἀσταφίδος καὶ σύκων καὶ λιβανωτοῦ καὶ σμύρνης καὶ τῶν ἄλλων θυωμάτων, πλήσαντες δὲ τούτων καταγίζουσι, ἔλαιον ἄφθονον καταχέοντες· προνηστεύσαντες δὲ θύουσι, καιομένων δὲ τῶν ἱρῶν τύπτονται πάντες, ἐπεὰν δὲ ἀποτύψωνται, δαῖτα προτίθενται τὰ ἐλίποντο τῶν ἱρῶν.

41 τοὺς μέν νυν καθαροὺς βοῦς τοὺς ἔρσενας καὶ τοὺς μόσχους οἱ πάντες Αἰγύπτιοι θύουσι, τὰς δὲ θηλέας οὔ σφι ἔξεστι θύειν, ἀλλὰ ἱραί εἰσι τῆς Ἴσιος· τὸ γὰρ τῆς Ἴσιος ἄγαλμα ἐὸν γυναικήιον βούκερών ἐστι, κατά περ Ἕλληνες τὴν Ἰοῦν γράφουσι, καὶ τὰς βοῦς τὰς θηλέας Αἰγύπτιοι πάντες ὁμοίως σέβονται προβάτων πάντων μάλιστα μακρῷ· τῶν εἵνεκα οὔτε ἀνὴρ Αἰγύπτιος οὔτε γυνὴ ἄνδρα Ἕλληνα φιλήσειε ἂν τῷ στόματι, οὐδὲ μαχαίρῃ ἀνδρὸς Ἕλληνος χρήσεται οὐδὲ ὀβελοῖσι οὐδὲ λέβητι, οὐδὲ κρέως καθαροῦ βοὸς διατετμημένου Ἑλληνικῇ μαχαίρῃ γεύσεται. θάπτουσι δὲ τοὺς ἀποθνήσκοντας βοῦς τρόπον τόνδε. τὰς μὲν θηλέας ἐς τὸν ποταμὸν ἀπιεῖσι, τοὺς δὲ ἔρσενας κατορύσσουσι ἕκαστοι ἐν τοῖσι προαστείοισι, τὸ κέρας τὸ ἕτερον ἢ καὶ

---

9. λιβανωτοῦ - θυωμάτων Thomas M. p. 183. — 12. (Hesychius v. ἀποτύψωνται). — 13. τοὺς μέν - 17 γράφουσι Athenagoras legat. 24

1. ὦν] ὡς *Rd* ‖ 2. ἥγηνται] ἄγειν τε *C* ‖ ὀρτὴν ἄγουσι ταύτῃ *C* ‖ 3. lacunam indicavi ‖ ἐπεὰν ἀποδείρωσι τὸν βοῦν κατευξάμενοι *ABC*: ἐπὴν προμνηστεύσωσι τῇσι καὶ ἐπὴν κατεύξωνται θύουσι τὸν βοῦν. καὶ ἀποδείραντες *P*, item fere *R* (ἐπ᾽ ἣν — τῇσϊ — ἐπ᾽ ἣν — τὰν βῶν) *d* (τῇσι - τὰν βῶν) *z* (τὴν βῶν) ‖ ἀποδείρουσι *C* ‖ 4. ἐξ ὧν *Rd*, ἔξω *z* ‖ 6. ὀσφῦν *ABP* ‖ 8. καθαρὸν *CR* ‖ ἀστάφιδος *C* ‖ 10. ἔλεον *C* ‖ 11. καταχέαντες *Rd* ‖ 12. ἀποτύψονται *R* ‖ 13. βοῦς τοὺς ἄρσενας *R*. Athen., ἔρσενας τῶν βοῶν *z* ‖ 16. τὸ γὰρ et Ἴσιος om. Athen. ‖ 17. οἱ Ἕλληνες Athen. ‖ Ἰοῦν] βοῦν *C* ‖ 19. οὔτε *ABC*: οὔτ᾽ ‖ 20. φιλήσειεν *ABC* ‖ 21. οὐδὲ *ABC*: οὐδ᾽ ‖ 22. γεύσεται] χρήσεται *Rd* ‖ 23. τοιόνδε *z* ‖ 24. ἀπιᾶσι *L* ‖ ἄρσενας *R* §

ἀμφότερα ὑπερέχοντα σημηίου εἵνεκεν· ἐπεὰν δὲ σαπῇ καὶ προσίῃ ὁ τεταγμένος χρόνος, ἀπικνέεται ἐς ἑκάστην πόλιν βᾶρις ἐκ τῆς Προσωπίτιδος καλεομένης νήσου. ἡ δ' ἔστι μὲν ἐν τῷ Δέλτα, περίμετρον δὲ αὐτῆς εἰσὶ σχοῖνοι ἐννέα. ἐν ταύτῃ ὦν τῇ Προσωπίτιδι νήσῳ ἔνεισι μὲν καὶ ἄλλαι πόλιες συχναί, ἐκ τῆς δὲ αἱ βάριες παραγίνονται ἀναιρησόμεναι τὰ ὀστέα τῶν βοῶν, οὔνομα τῇ πόλι Ἀτάρβηχις, ἐν δ' αὐτῇ Ἀφροδίτης ἱρὸν ἅγιον ἵδρυται. ἐκ ταύτης τῆς πόλιος πλανῶνται πολλοὶ ἄλλοι ἐς ἄλλας πόλις, ἀνορύξαντες δὲ τὰ ὀστέα ἀπάγουσι καὶ θάπτουσι ἐς ἕνα χῶρον πάντες. κατὰ ταὐτὰ δὲ τοῖσι βουσὶ καὶ τἆλλα κτήνεα θάπτουσι ἀποθνήσκοντα· καὶ γὰρ περὶ ταῦτα οὕτω σφι νενομοθέτηται· κτείνουσι γὰρ δὴ οὐδὲ ταῦτα.

42 Ὅσοι μὲν δὴ Διὸς Θηβαιέος ἵδρυνται ἱρὸν ἢ νομοῦ τοῦ Θηβαίου εἰσί, οὗτοι μέν νυν πάντες ὀίων ἀπεχόμενοι αἶγας θύουσι. θεοὺς γὰρ δὴ οὐ τοὺς αὐτοὺς ἅπαντες ὁμοίως Αἰγύπτιοι σέβονται, πλὴν Ἴσιός τε καὶ Ὀσίριος, τὸν δὴ Διόνυσον εἶναι λέγουσι· τούτους δὲ ὁμοίως ἅπαντες σέβονται. ὅσοι δὲ τοῦ Μένδητος ἔκτηνται ἱρὸν ἢ νομοῦ τοῦ Μενδησίου εἰσί, οὗτοι δὲ αἰγῶν ἀπεχόμενοι ὄις θύουσι. Θηβαῖοι μέν νυν καὶ ὅσοι διὰ τούτους ὀίων ἀπέχονται, διὰ τάδε λέγουσι τὸν νόμον τόνδε σφίσι τεθῆναι. Ἡρακλέα θελῆσαι πάντως ἰδέσθαι τὸν Δία καὶ τὸν οὐκ ἐθέλειν ὀφθῆναι ὑπ' αὐτοῦ· τέλος δέ, ἐπείτε λιπαρέειν τὸν Ἡρακλέα, τὸν Δία μηχανήσασθαι κριὸν ἐκδεί-

περὶ τῆς Προσωπίτιδος νήσου καὶ τῶν ἐν αὐτῇ — διὰ τί Αἰγυπτίων μόνοι Θηβαῖοι ὀίων ἀπέχονται

---

3. Λέξεις. — 17. Λέξεις

1. εἵνεκεν *ABC*: εἵνεκα ‖ 3. βᾶρις *ABC*: βάρις ‖ καλευμένης *AB* ‖ ἣδ' ἔστι *B* ‖ 4. περίμετρος *PRd*, περίμετροι *z* ‖ ὃ *ABC* ‖ 5. ὦν] δὴ ὦν *z* ‖ πόλις *PR*, πόλεις *d* ‖ 6. βάρις *L* ‖ 7. πόλει *Cdz* ‖ 8. ἅγιον om. *d* ‖ πλανέωνται *C*, πλανέονται *Pz* ‖ 9. πόλεις *C*, πόλιας *Rdz* ‖ 10. ἐς ἓν χωρίον *Rd* ‖ 11. ταῦτα *d* ‖ δὲ om. *R* ‖ τἄλλα *Rd* ‖ κτήνεα] κτήνεα ἅπαντα *z* ‖ 14. θηβαίου *ABC* ‖ ἵδρυται *C* ‖ νόμου *CR* ‖ 15. νυν om. *PRdz* ‖ ὀϊῶν *Apr.*, οἰῶν *B*, ὀιῶν *C* ‖ 17. ὀσίριδος *ABC* ‖ 18. σέβονται ante ὁμοίως *Rd* ‖ δὲ] μὲν δὴ *z* ‖ 19. νόμου *C* ‖ 21. τούτου *R*, τούτων *d* ‖ οἰῶν *AB*, ὀιῶν *C* ‖ 22. σφίσι *s*: σφι ‖ 23. δὲ om. *z* ‖ 24. μηχανήσασθαι· *P*. μηχανήσασθαι τάδε. Herold

ραντα προέχεσθαί τε τὴν κεφαλὴν ἀποταμόντα τοῦ κριοῦ, καὶ ἐνδύντα τὸ νάκος οὕτω οἱ ἑωυτὸν ἐπιδέξαι. ἀπὸ τούτου κριοπρόσωπον τοῦ Διὸς τὤγαλμα ποιεῦσι Αἰγύπτιοι, ἀπὸ δὲ Αἰγυπτίων Ἀμμώνιοι . . , ἐόντες Αἰγυπτίων τε καὶ Αἰθιόπων ἄποικοι καὶ φωνὴν μεταξὺ ἀμφοτέρων νομίζοντες. δοκέειν δέ μοι, καὶ τὸ οὔνομα Ἀμμώνιοι ἀπὸ τοῦδε σφίσι τὴν ἐπωνυμίην ἐποιήσαντο· Ἀμοῦν γὰρ Αἰγύπτιοι καλέουσι τὸν Δία. τοὺς δὲ κριοὺς οὐ θύουσι Θηβαῖοι, ἀλλ' εἰσί σφι ἱροὶ διὰ τοῦτο. μιῇ δὲ ἡμέρῃ τοῦ ἐνιαυτοῦ, ἐν ὁρτῇ τοῦ Διός, κριὸν ἕνα κατακόψαντες καὶ ἀποδείραντες κατὰ τὠυτὸ ἐνδύουσι τὤγαλμα τοῦ Διός, καὶ ἔπειτα ἄλλο ἄγαλμα Ἡρακλέος προσάγουσι πρὸς αὐτό. ταῦτα δὲ ποιήσαντες τύπτονται οἱ περὶ τὸ ἱρὸν ἅπαντες τὸν κριὸν καὶ ἔπειτα ἐν ἱρῇ θήκῃ θάπτουσι αὐτόν.

Ἡρακλέος δὲ πέρι τόνδε τὸν λόγον ἤκουσα, ὅτι εἴη τῶν 43
δυώδεκα θεῶν· τοῦ ἑτέρου δὲ πέρι Ἡρακλέος, τὸν Ἕλληνες οἴδασι, οὐδαμῇ Αἰγύπτου ἐδυνάσθην ἀκοῦσαι. καὶ μὴν ὅτι γε οὐ παρ' Ἑλλήνων ἔλαβον τὸ οὔνομα Αἰγύπτιοι τοῦ Ἡρακλέος, ἀλλὰ Ἕλληνες μᾶλλον παρ' Αἰγυπτίων καὶ Ἑλλήνων οὗτοι οἱ θέμενοι τῷ Ἀμφιτρύωνος γόνῳ τοὔνομα Ἡρακλέα, πολλά μοι καὶ ἄλλα τεκμήριά ἐστι τοῦτο οὕτω ἔχειν, ἐν δὲ καὶ τόδε, ὅτι τε τοῦ Ἡρακλέος τούτου οἱ γονέες ἀμφότεροι ἦσαν Ἀμφιτρύων καὶ Ἀλκμήνη γεγονότες τὸ ἀνέκαθεν ἀπ' Αἰγύπτου, καὶ διότι Αἰγύπτιοι οὔτε Ποσειδέωνος οὔτε Διοσ-

ὅτι Αἰγύπτιοι Ἀμοῦν καλοῦσι τὸν Δία ἐξ οὗ Ἀμμώνιοι λέγονται (*BR*) περὶ Ἡρακλέους

---

2 sq. Eustathius Dion. 211. — 7. ibidem

1. προσχέσθαι *Ppr.*, προεκθέσθαι *Rdz* ‖ 2. οἷ *C* ‖ ἑαυτὸν *A* ‖ ἐπιδεῖξαι *PRdz*, ἀποδέξεται *C* ‖ 3. τὤγαλμα τοῦ διὸς *PRdz* ‖ 4. indicavi lacunam ‖ 6. δ' ἐμοί *Pz* ‖ τοὔνομα *Pz* ‖ τοῦδε σφίσι correxi: τοῦδέ σφι ‖ 7. ἀμοῦν *ABC*. Eustathii codices aliquot: ἀμμοῦν ‖ καλοῦσι *C* ‖ 9. ὀρτῆι *AC* ‖ κριὸν om. *C* ‖ 10. κατὰ ταῦτα *Rd* ‖ 11. ἄγαλμα ἄλλο *Rd* ‖ ἡρακλέους *ABC* ‖ 12. οἱ om. *C* ‖ 13. πάντες *Rd* ‖ 15. τὸν om. *Rd* ‖ ὅτι] ὡς *PRdz* ‖ 16. δυόδεκα *B* ‖ 18. τοὔνομα *z* ‖ τοῦ ἡρακλέος αἰγύπτιοι *PRdz* ‖ 19. ἀλλ' *ABC* ‖ 20. τοὔνομα *ABC*: οὔνομα ‖ 21. ἓν δὲ codices, ἓν δὲ δὴ *z* ‖ 24. διοσκόρου *R*

κούρων τὰ οὐνόματά φασι εἰδέναι, οὐδέ σφι θεοὶ οὗτοι ἐν τοῖσι ἄλλοισι θεοῖσι ἀποδεδέχαται. καὶ μὴν εἴ γε παρ' Ἑλλήνων ἔλαβον οὔνομά τευ δαίμονος, τούτων οὐκ ἥκιστα ἀλλὰ μάλιστα ἔμελλον μνήμην ἕξειν, εἴ περ καὶ τότε ναυτιλίῃσι ἐχρέωντο καὶ ἦσαν Ἑλλήνων τινὲς ναυτίλοι, ὡς ἔλπομαί τε καὶ ἐμὴ γνώμη αἱρέει· ὥστε τούτων ἂν καὶ μᾶλλον τῶν θεῶν τὰ οὐνόματα ἐξεπιστέατο Αἰγύπτιοι ἢ τοῦ Ἡρακλέος. ἀλλά τις ἀρχαῖός ἐστι θεὸς Αἰγυπτίοισι Ἡρακλέης· ὡς δὲ αὐτοὶ λέγουσι, ἔτεά ἐστι ἑπτακισχίλια καὶ μύρια ἐς Ἄμασιν βασιλεύσαντα, ἐπείτε ἐκ τῶν ὀκτὼ θεῶν οἱ δυώδεκα θεοὶ
44 ἐγένοντο τῶν Ἡρακλέα ἕνα νομίζουσι. καὶ θέλων δὲ τούτων πέρι σαφές τι εἰδέναι ἐξ ὧν οἷόν τε ἦν, ἔπλευσα καὶ ἐς Τύρον τῆς Φοινίκης, πυνθανόμενος αὐτόθι εἶναι ἱρὸν Ἡρακλέος ἅγιον. καὶ εἶδον πλουσίως κατεσκευασμένον ἄλλοισί τε πολλοῖσι ἀναθήμασι, καὶ ἐν αὐτῷ ἦσαν στῆλαι δύο, ἡ μὲν χρυσοῦ ἀπέφθου, ἡ δὲ σμαράγδου λίθου λάμποντος τὰς νύκτας μέγαθος. ἐς λόγους δὲ ἐλθὼν τοῖσι ἱρεῦσι τοῦ θεοῦ εἰρόμην ὁκόσος χρόνος εἴη ἐξ οὗ σφι τὸ ἱρὸν ἵδρυται. εὗρον δὲ οὐδὲ τούτους τοῖσι Ἕλλησι συμφερομένους· ἔφασαν γὰρ ἅμα Τύρῳ οἰκιζομένῃ καὶ τὸ ἱρὸν τοῦ θεοῦ ἱδρυθῆναι, εἶναι δὲ ἔτεα ἀπ' οὗ Τύρον οἰκέουσι τριηκόσια καὶ δισχίλια. εἶδον δὲ ἐν τῇ Τύρῳ καὶ ἄλλο ἱρὸν Ἡρακλέος ἐπωνυμίην ἔχοντος Θασίου εἶναι. ἀπικόμην δὲ καὶ ἐς Θάσον, ἐν τῇ εὗρον ἱρὸν Ἡρακλέος ὑπὸ Φοινίκων ἱδρυμένον, οἳ κατ' Εὐρώπης ζήτησιν ἐκπλώσαντες Θάσον ἔκτισαν· καὶ ταῦτα καὶ πέντε γενεῇσι ἀνδρῶν πρότερά ἐστι ἢ τὸν Ἀμφιτρύωνος Ἡρακλέα ἐν τῇ

περὶ τῶν ἐν Φοινίκῃ καὶ ἐν ἄλλαις πόλεσιν Ἡρακλέους ἱερῶν

---

15. στῆλαι - 16 νύκτας Eustathius Dion. 911. — 23. - 25 (ibidem 517)

3. τοὔνομα τοῦ *d* ‖ οὐκ om. *A*¹*B*¹*C* ‖ 4. ναυτιλίοισιν *d* ‖ 6. ἐμῆι γνώμηι *C* ‖ τουτέων *z* ‖ 7. ἐξεπιστέαντο *Rd* ‖ 8. ἐστὶν ἀρχαῖος *Rd* ‖ 10. δυόδεκα *B*, δώδεκα *Rd* ‖ 11. τῶν] τὸν *P*, om. *R* ‖ 14. εἶδον *C*: ἴδον ‖ 16. μαράγδου *BPcorr.R* ‖ 17. ἱερεῦσι *R* ‖ ἠρόμην *C* ‖ 20. ἱδρυνθῆναι *CPz* ‖ 21. ἀφ' οὗ *L* ‖ ἴδον *ABPR* ‖ 23. ἀπικόμενος *z* ‖ ἐν τῇ om. *z* ‖ 25. καὶ πέντε] πέντε *PRdz*

Ἑλλάδι γενέσθαι. τὰ μέν νυν ἱστορημένα δηλοῖ σαφέως παλαιὸν θεὸν Ἡρακλέα ἐόντα· καὶ δοκέουσι δέ μοι οὗτοι ὀρθότατα Ἑλλήνων ποιέειν, οἳ διξὰ Ἡράκλεια ἱδρυσάμενοι ἔκτηνται, καὶ τῷ μὲν ὡς ἀθανάτῳ Ὀλυμπίῳ δὲ ἐπωνυμίην θύουσι, τῷ δὲ ἑτέρῳ ὡς ἥρωι ἐναγίζουσι. λέγουσι δὲ πολλὰ 45
καὶ ἄλλα ἀνεπισκέπτως οἱ Ἕλληνες, εὐήθης δὲ αὐτῶν καὶ ὅδε ὁ μῦθός ἐστι τὸν περὶ τοῦ Ἡρακλέος λέγουσι, ὡς αὐτὸν ἀπικόμενον ἐς Αἴγυπτον στέψαντες οἱ Αἰγύπτιοι ὑπὸ πομπῆς ἐξῆγον ὡς θύσοντες τῷ Διί· τὸν δὲ τέως μὲν ἡσυχίην ἔχειν, ἐπεὶ δὲ αὐτοῦ πρὸς τῷ βωμῷ κατάρχοντο, ἐς ἀλκὴν τραπόμενον πάντας σφέας καταφονεῦσαι. ἐμοὶ μέν νυν δοκέουσι ταῦτα λέγοντες τῆς Αἰγυπτίων φύσιος καὶ τῶν νόμων πάμπαν ἀπείρως ἔχειν οἱ Ἕλληνες· τοῖσι γὰρ οὐδὲ κτήνεα ὁσίη θύειν ἐστὶ χωρὶς ὑῶν καὶ ἐρσένων βοῶν καὶ μόσχων, ὅσοι ἂν καθαροὶ ἔωσι, καὶ χηνῶν, κῶς ἂν οὗτοι ἀνθρώπους θύοιεν; ἔτι δὲ ἕνα ἐόντα τὸν Ἡρακλέα καὶ ἔτι ἄνθρωπον, ὡς δή φασι, κῶς φύσιν ἔχει πολλὰς μυριάδας φονεῦσαι; καὶ περὶ μὲν τούτων τοσαῦτα ἡμῖν εἰποῦσι καὶ παρὰ τῶν θεῶν καὶ παρὰ τῶν ἡρώων εὐμενείη εἴη.

Τὰς δὲ δὴ αἶγας καὶ τοὺς τράγους τῶνδε εἵνεκα οὐ θύουσι 46
Αἰγυπτίων οἱ εἰρημένοι. τὸν Πᾶνα τῶν ὀκτὼ θεῶν λογίζονται εἶναι οἱ Μενδήσιοι, τοὺς δὲ ὀκτὼ θεοὺς τούτους προτέρους τῶν δυώδεκα θεῶν φασι γενέσθαι. γράφουσί τε δὴ καὶ γλύφουσι οἱ ζωγράφοι καὶ οἱ ἀγαλματοποιοὶ τοῦ Πανὸς τὤγαλμα κατά περ Ἕλληνες αἰγοπρόσωπον καὶ τραγοσκελέα,

περὶ Πανός

---

5. Plutarchus mor. p. 857

2. θεὸν] θεὸν τὸν z ‖ 3. ἡρακλέα *ABC* ‖ 5. δ' ἑτέρῳ *Pdz* ‖ ἥρῳ *C* ‖ 6. αὐτέων z ‖ 7. μισθός ἐστι *R* ‖ 10. αὐτοὶ *Rd* ‖ βομῶι *B* ‖ 11. πάντάς σφεας *BP* ‖ 14. υἱῶν *d*, ὀιῶν *C*. ὀΐων coni. Valckenaer ‖ ὅσοι ἐὰν *AB*, καὶ ὅσοι ἐὰν *C* ‖ 15. χηνέων z ‖ 16. ὄντα *ABC* ‖ δὲ φασὶ *d* ‖ 17. ἔχειν *ABC* ‖ 19. εὐμενέα *R*, εὐμένεα *d*, εὐμένεια reliqui ‖ 23. δυόδεκα *B* ‖ γράφουσι δὲ δὴ *PRz* ‖ 24. καὶ γλύφουσι om. *C* ‖ καὶ οἱ ἀγαλματοποιοὶ om. *AB*[1]*C* ‖ 25. τὤγαλμα post Ἕλληνες z

ταῦτα ἀπικέσθαι ἐς πόλιν ἐν τῇ πάντας εἶναι τοῖσι ἄγουσι τὸ μέγαθος ἴσους, χρῶμα δὲ μέλανας. παρὰ δὲ τὴν πόλιν ῥέειν ποταμὸν μέγαν, ῥέειν δὲ ἀπὸ ἑσπέρης αὐτὸν πρὸς ἥλιον
33 ἀνατέλλοντα, φαίνεσθαι δὲ ἐν αὐτῷ κροκοδείλους. ὁ μὲν δὴ τοῦ Ἀμμωνίου Ἐτεάρχου λόγος ἐς τοῦτό μοι δεδηλώσθω, πλὴν ὅτι ἀπονοστῆσαί τε ἔφασκε τοὺς Νασαμῶνας, ὡς οἱ Κυρηναῖοι ἔλεγον, καὶ ἐς τοὺς οὗτοι ἀπίκοντο ἀνθρώπους, γόητας εἶναι ἅπαντας. τὸν δὲ δὴ ποταμὸν τοῦτον τὸν παραρρέοντα καὶ Ἐτέαρχος συνεβάλλετο εἶναι Νεῖλον καὶ δὴ καὶ ὁ λόγος οὕτω αἱρέει. ῥέει γὰρ ἐκ Λιβύης ὁ Νεῖλος καὶ μέσην τάμνων Λιβύην· καὶ ὡς ἐγὼ συμβάλλομαι τοῖσι ἐμφανέσι τὰ μὴ γινωσκόμενα τεκμαιρόμενος, τῷ Ἴστρῳ ἐκ τῶν ἴσων μέτρων ὁρμᾶται. Ἴστρος τε γὰρ ποταμὸς ἀρξάμενος ἐκ Κελτῶν καὶ Πυρήνης πόλιος ῥέει μέσην σχίζων τὴν Εὐρώπην· οἱ δὲ Κελτοί εἰσι ἔξω Ἡρακλέων στηλέων, ὁμουρέουσι δὲ Κυνησίοισι, οἳ ἔσχατοι πρὸς δυσμέων οἰκέουσι τῶν ἐν τῇ Εὐρώπῃ κατοικημένων. τελευτᾷ δὲ ὁ Ἴστρος ἐς θάλασσαν ῥέων τὴν τοῦ Εὐξείνου πόντου διὰ πάσης Εὐρώπης, τῇ
34 Ἰστρίην οἱ Μιλησίων οἰκέουσι ἄποικοι. ὁ μὲν δὴ Ἴστρος, ῥέει γὰρ δι' οἰκεομένης, πρὸς πολλῶν γινώσκεται, περὶ δὲ τῶν τοῦ Νείλου πηγέων οὐδεὶς ἔχει λέγειν· ἀοίκητός τε γὰρ καὶ ἔρημός ἐστι ἡ Λιβύη δι' ἧς ῥέει. περὶ δὲ τοῦ ῥεύματος αὐτοῦ, ἐπ' ὅσον μακρότατον ἱστορεῦντα ἦν ἐξικέσθαι, εἴρηται· ἐκδιδοῖ δὲ ἐς Αἴγυπτον. ἡ δὲ Αἴ-

περὶ τοῦ Ἴστρου ποταμοῦ

---

5. ὁ μὲν - 6 δεδηλώσθω Lexicon Vindob. p. 64. — 11. καὶ ὡς - 12 τεκμαιρόμενος idem p. 170. — 18. Eustathius Dion. 823

2. μέγεθος *B* ‖ 3. ἀπ' *AB* ‖ 6. νασάμωνας *AB*, νασσάμωνας *C* ‖ οἱ om. *ABC* ‖ ἐς οὓς *PRdz* ‖ 8. πάντας *PRdz* ‖ παραρέοντα *ABC* ‖ 9. συνεβάλετο *AB* ‖ τὸν Νεῖλον *z* ‖ 10. οὕτως *Pz* ‖ ἐρέει *C*[1] ‖ ὁ Νεῖλος - 11 Λιβύην om. *B* ‖ 11. καὶ om. *P*[t] ‖ 12. ἴστρωι *C* ut fere ‖ 14. πυρρήνης *Pz*, πειρήνης *d* ‖ 15. ἡρακλέων *Rd*: ἡρακλείων *AB*, ἡρακληΐων *CPz* ‖ 18. ῥέων et διὰ πάσης Εὐρώπης damnabat Valckenaer ‖ Ἰστρίην οἱ] ἰστριηνοὶ *Pdz*, ἰστρινοὶ *R*, Ἰστριανοὶ Eust. ‖ 20. ῥέων *C*[2] ‖ γὰρ om. *C* ‖ 21. τῶν om. *R* ‖ 22. γάρ ἐστι καὶ ἔρημος *PRdz* ‖ ἐρῆμός *C* ‖ ἡ om. *R* ‖ 24. ἡ δὲ Αἴγυπτος om. *C*

γυπτος τῆς ὀρεινῆς Κιλικίης μάλιστά κῃ ἀντίη κέεται· ἐνθεῦτεν δὲ ἐς Σινώπην τὴν ἐν τῷ Εὐξείνῳ πόντῳ πέντε ἡμερέων ἰθέα ὁδὸς εὐζώνῳ ἀνδρί· ἡ δὲ Σινώπη τῷ Ἴστρῳ ἐκδιδόντι ἐς θάλασσαν ἀντίον κέεται. οὕτω τὸν Νεῖλον δοκέω διὰ πάσης τῆς Λιβύης διεξιόντα ἐξισοῦσθαι τῷ Ἴστρῳ.

Νείλου μέν νυν πέρι τοσαῦτα εἰρήσθω· ἔρχομαι δὲ περὶ 35
Αἰγύπτου μηκυνέων τὸν λόγον, ὅτι πλεῖστα θωυμάσια ἔχει [ἢ ἡ ἄλλη πᾶσα χώρη] καὶ ἔργα λόγου μέζω παρέχεται πρὸς πᾶσαν χώρην· τούτων εἵνεκα πλέω περὶ αὐτῆς εἰρήσεται.

Αἰγύπτιοι ἅμα τῷ οὐρανῷ τῷ κατὰ σφέας ἐόντι ἑτεροίῳ καὶ τῷ ποταμῷ φύσιν ἀλλοίην παρεχομένῳ ἢ οἱ ἄλλοι ποταμοί, τὰ πολλὰ πάντα ἔμπαλιν τοῖσι ἄλλοισι ἀνθρώποισι ἐστήσαντο ἤθεά τε καὶ νόμους· ἐν τοῖσι αἱ μὲν γυναῖκες ἀγοράζουσι καὶ καπηλεύουσι, οἱ δὲ ἄνδρες κατ' οἴκους ἐόντες ὑφαίνουσι· ὑφαίνουσι δὲ οἱ μὲν ἄλλοι ἄνω τὴν κρόκην ὠθέοντες, Αἰγύπτιοι δὲ κάτω. τὰ ἄχθεα οἱ μὲν ἄνδρες ἐπὶ τῶν κεφαλέων φορέουσι, αἱ δὲ γυναῖκες ἐπὶ τῶν ὤμων. οὐρέουσι αἱ μὲν γυναῖκες ὀρθαί, οἱ δὲ ἄνδρες κατήμενοι. εὐμαρείῃ χρέωνται ἐν τοῖσι οἴκοισι, ἐσθίουσι δὲ ἔξω ἐν τῇσι ὁδοῖσι, ἐπιλέγοντες ὡς τὰ μὲν αἰσχρὰ ἀναγκαῖα δὲ ἐν ἀποκρύφῳ ἐστὶ ποιέειν χρεόν, τὰ δὲ μὴ αἰσχρὰ ἀναφανδόν. ἱρᾶται γυνὴ μὲν οὐδεμία οὔτε ἔρσενος θεοῦ οὔτε θηλέης, ἄνδρες δὲ πάντων τε καὶ πασέων. τρέφειν τοὺς τοκέας τοῖσι μὲν παισὶ οὐδεμία ἀνάγκη μὴ βουλομένοισι, τῇσι δὲ θυγατράσι πᾶσα ἀνάγκη

περὶ τῶν ἐν Αἰγύπτῳ θαυμασίων καὶ τῶν παρ' Αἰγυπτίοις ἐθῶν

---

18. Λέξεις. — 19. ἐσθίουσι - 21 ἀναφανδόν Stobaeus floril. XL 74

1. ὀρινῆς *PR* || ἀντίηι *C* || 2. ἐντεῦθεν *C* || πέντε - 2 εὐζώνῳ om. *C* || 3. εὐθεῖα *L* || 4. ἀντίη *sz* || 5. τῆς om. *ABC* || 7. πλεῖστα *ABC*: πλέω || θωμάσια A^1B || 8. ἢ - χώρη seclusi || ἡ om. *CPz* || 10. ἑτέροι *R*, ἕτεροι *d* || 11. ἄλλην *C* || 13. νομούς *R* || ἀγυράζουσι *C* || 15. δὲ om. *z* || 17. κεφαλαίων C^1 || φέρουσι *Cpr.* || 18. καθήμενοι *Rd* || εὐμαρέῃ *L.* gloss., εὐμαρίῃ *z* || 19. τῇσι] τοῖσι *C*, τοῖσιν *Rd* || 21. ποιεῖν *R* || χρεών *Cdz*. Stob. || ἱρὰ τὲ γυνὴ *Rd* || 22. οὐ δὲ μία *A*, οὐδεμίη *Pdz*, οὐδὲ μίη *R* || 23. οὐδεμίη *dz*, οὐδὲ μίη *R* || 24. τῇσι δὲ - p. 162, 1 βουλομένῃσι om. *C* || θυγατρῇσι *Rd*

36 καὶ μὴ βουλομένῃσι. οἱ ἱρέες τῶν θεῶν τῇ μὲν ἄλλῃ κομέουσι, ἐν Αἰγύπτῳ δὲ ξυρῶνται. τοῖσι ἄλλοισι ἀνθρώποισι νόμος ἅμα κήδεϊ κεκάρθαι τὰς κεφαλὰς τοὺς μάλιστα ἱκνέεται, Αἰγύπτιοι δὲ ὑπὸ τοὺς θανάτους ἀνιεῖσι τὰς τρίχας αὔξεσθαι τάς τε ἐν τῇ κεφαλῇ καὶ τῷ γενείῳ, τέως ἐξυρημένοι. τοῖσι μὲν ἄλλοισι ἀνθρώποισι χωρὶς θηρίων ἡ δίαιτα ἀποκέκριται, Αἰγυπτίοισι δὲ ὁμοῦ θηρίοισι ἡ δίαιτά ἐστι. ἀπὸ πυρῶν καὶ κριθέων ὦλλοι ζώουσι, Αἰγυπτίων δὲ τῷ ποιευμένῳ ἀπὸ τούτων τὴν ζόην ὄνειδος μέγιστόν ἐστι, ἀλλὰ ἀπὸ ὀλυρέων ποιεῦνται σιτία, τὰς ζειὰς μετεξέτεροι καλέουσι. φυρῶσι τὸ μὲν σταῖς τοῖσι ποσί, τὸν δὲ πηλὸν τῇσι χερσί, καὶ τὴν κόπρον ἀναιρέονται. τὰ αἰδοῖα ὦλλοι μὲν ἐῶσι ὡς ἐγένοντο, πλὴν ὅσοι ἀπὸ τούτων ἔμαθον, Αἰγύπτιοι δὲ περιτάμνονται. εἵματα τῶν μὲν ἀνδρῶν ἕκαστος ἔχει δύο, τῶν δὲ γυναικῶν ἓν ἑκάστη. τῶν ἱστίων τοὺς κρίκους καὶ τοὺς κάλους οἱ μὲν ἄλλοι ἔξωθεν προσδέουσι, Αἰγύπτιοι δὲ ἔσωθεν. γράμματα γράφουσι καὶ λογίζονται ψήφοισι Ἕλληνες μὲν ἀπὸ τῶν ἀριστερῶν ἐπὶ τὰ δεξιὰ φέροντες τὴν χεῖρα, Αἰγύπτιοι δὲ ἀπὸ τῶν δεξιῶν ἐπὶ τὰ ἀριστερά· καὶ ποιεῦντες ταῦτα αὐτοὶ μέν φασι ἐπὶ δεξιὰ ποιέειν, Ἕλληνας δὲ ἐπ' ἀριστερά. διφασίοισι δὲ γράμμασι χρέωνται, καὶ τὰ μὲν αὐτῶν ἱρὰ τὰ δὲ δημοτικὰ καλέεται.

37 Θεοσεβέες δὲ περισσῶς ἐόντες μάλιστα πάντων ἀνθρώπων νόμοισι τοιοῖσιδε χρέωνται. ἐκ χαλκέων ποτηρίων πίνουσι,

ὅτι περιτέμνονται Αἰγύπτιοι — περὶ ἱερέων καὶ θυσιῶν

10. τὰς - καλέουσι Erotianus et Galenus lexic. Hippocr. v. μετεξέτεροι. — Eustathius Il. p. 1206. — 10 sq. Strabo 823. — 24. Athenaeus p. 231

1. ἱερέες *R* ‖ κομόουσιν *R*, κομόωσιν *d* ‖ 2. ξυρῶνται *d*: ξυρῶντε *R*, ξυροῦνται *AB*, ξυρεῦνται *C²Pz*, ξηρεῦνται *C¹* ‖ 6. ἡ δίαιτα Schaefer: δίαιτα ‖ 7. πυρέων *z* ‖ 8. κριθῶν *Rd* ‖ ὠῦλλοι *P*, ὦ̈λλοι *z*, ἄλλοι *Rd* ‖ 9. ζώην *Apr.C*, ζωὴν *d* ‖ ὀλλυρέων *Rdz* ‖ 10. ζειὰς *Rd*. Erot. Gal. Eust.: ζεὰς ‖ 11. σταὶς *Pcorr.*, στᾶς *d* ‖ καὶ τὴν κόπρον ἀναιρέονται om. *P¹Rd* ‖ 12. ὠῦλλοι *P*, ὦ̈λλοι *z*, ὤλλοι *R*, ἄλλοι *d* ‖ 19. ποιέοντες *ABC* ‖ 20. ἐπιδέξια *Rd*, ἐπὶ τὰ δεξιὰ *z* ‖ ἐπαρίστερα *Rd* ‖ 21. δὲ om. *C'* ‖ 24. τοίοισίδε *AB*, τοιοῖσδε reliqui

διασμῶντες ἀνὰ πᾶσαν ἡμέρην, οὐκ ὁ μὲν ὁ δ' οὔ, ἀλλὰ πάντες. εἵματα δὲ λίνεα φορέουσι αἰεὶ νεόπλυτα, ἐπιτηδεύοντες τοῦτο μάλιστα. τά τε αἰδοῖα περιτάμνονται καθαρειότητος εἵνεκεν, προτιμῶντες καθαροὶ εἶναι ἢ εὐπρεπέστεροι. οἱ δὲ ἱρέες ξυρῶνται πᾶν τὸ σῶμα διὰ τρίτης ἡμέρης, ἵνα μήτε φθεὶρ μήτε ἄλλο μυσαρὸν μηδὲν ἐγγίνηταί σφι θεραπεύουσι τοὺς θεούς. ἐσθῆτα δὲ φορέουσι οἱ ἱρέες λινέην μούνην καὶ ὑποδήματα βύβλινα· ἄλλην δέ σφι ἐσθῆτα οὐκ ἔξεστι λαβεῖν οὐδὲ ὑποδήματα ἄλλα. λοῦνται δὲ δὶς τῆς ἡμέρης ἑκάστης ψυχρῷ καὶ δὶς ἑκάστης νυκτός. ἄλλας τε θρησκηίας ἐπιτελέουσι μυρίας ὡς εἰπεῖν λόγῳ. πάσχουσι δὲ καὶ ἀγαθὰ οὐκ ὀλίγα· οὔτε τι γὰρ τῶν οἰκηίων τρίβουσι οὔτε δαπανῶνται, ἀλλὰ καὶ σιτία σφι ἐστὶ ἱρὰ πεσσόμενα, καὶ κρεῶν βοέων καὶ χηνέων πλῆθός τι ἑκάστῳ γίνεται πολλὸν ἡμέρης ἑκάστης, δίδοται δέ σφι καὶ οἶνος ἀμπέλινος· ἰχθύων δὲ οὔ σφι ἔξεστι πάσασθαι. κυάμους δὲ οὔτε τι μάλα σπείρουσι Αἰγύπτιοι ἐν τῇ χώρῃ, τούς τε γενομένους οὔτε τρώγουσι οὔτε ἕψοντες πατέονται· οἱ δὲ δὴ ἱρέες οὐδὲ ὁρέοντες ἀνέχονται, νομίζοντες οὐ καθαρὸν εἶναί μιν ὄσπριον. ἱρᾶται δὲ οὐκ εἷς ἑκάστου τῶν θεῶν ἀλλὰ πολλοί, τῶν εἷς ἐστι ἀρχιερεύς· ἐπεὰν δέ τις ἀποθάνῃ, τούτου ὁ παῖς ἀντικατίσταται.

Τοὺς δὲ βοῦς τοὺς ἔρσενας τοῦ Ἐπάφου εἶναι νομίζουσι, 38
καὶ τούτου εἵνεκα δοκιμάζουσι αὐτοὺς ὧδε. τρίχα ἢν καὶ μίαν ἴδηται ἐπεοῦσαν μέλαιναν, οὐ καθαρὸν εἶναι νομίζει.

---

13. Λέξεις. — 16. - 18 Plutarchus mor. p. 729

1. διασμέωντες C^1z, διασμέοντες *P* ‖ πᾶσαν] πᾶσαν τὴν *C* ‖ οὐχ *PRdz* ‖ ὃ δ' οὔ *P*, ὃδ' οὔ z ‖ 3. καθαρειότητος *ABP*: καθαριότητος ‖ 4. προτιμέωντες *C* ‖ καθάριοι Bredovius ‖ 5. ξυρεῦνται *CPz* ‖ 6. μήτ' ἄλλο *Rd*, μήτε τι ἄλλο z ‖ ἐγγίνεται (η sup.) *C* ‖ σφισι *ABC* ‖ 9. βαλεῖν *PRd*, βαλέειν z ‖ δὶς] δίς τε *Rd* ‖ 10. ὕδατι ψυχρῷ z ‖ θρηισκείας *AB*, θρησκείας reliqui ‖ 11. μυρίας ἐπιτελέουσι z ‖ τῶι λόγωι *B* ‖ 12. γάρ τι *d* ‖ δαπανέωνται *CPz* ‖ 13. ἔστι z ‖ κρεῶν post χηνέων z ‖ 14. γίγνεται *P* ‖ ἑκάστης ἡμέρης z ‖ 16. τι om. *Rd* ‖ 18. ἕψοντες *Rd* ‖ δατέονται A^2*Rdz* ‖ ἱερέες *C* ‖ 19. καθαρόν μιν εἶναι z ‖ οὐκ *Pz*: οὐχ ‖ 20. ἀρχιερεύς *Rdz* : ἀρχιρεύς *P*, ἀρχιέρεως *ABCcorr.*, ἀρχιερέως *Cpr.* ‖ 21. ὁ om. *Rd* ‖ ἀντικαθίσταται *Rd* ‖ 22. ἐπαφοῦ *C* ‖ 23. ἢν καὶ] ἢν *C* ‖ 24. μίην z ‖ ἐνεοῦσαν *Rd*

δίζηται δὲ ταῦτα ἐπὶ τούτῳ τεταγμένος τῶν τις ἱρέων καὶ
ὀρθοῦ ἑστεῶτος τοῦ κτήνεος καὶ ὑπτίου, καὶ τὴν γλῶσσαν
ἐξειρύσας, εἰ καθαρὴ τῶν προκειμένων σημηίων, τὰ ἐγὼ ἐν
ἄλλῳ λόγῳ ἐρέω· κατορᾷ δὲ καὶ τὰς τρίχας τῆς οὐρῆς εἰ
κατὰ φύσιν ἔχει πεφυκυίας. ἢν δὲ τούτων πάντων ᾖ καθα-
ρός, σημαίνεται βύβλῳ περὶ τὰ κέρεα εἱλίσσων καὶ ἔπειτα
γῆν σημαντρίδα ἐπιπλάσας ἐπιβάλλει τὸν δακτύλιον, καὶ
οὕτω ἀπάγουσι. ἀσήμαντον δὲ θύσαντι θάνατος ἡ ζημίη
39 ἐπικέεται. δοκιμάζεται μέν νυν τὸ κτῆνος τρόπῳ τοιῷδε,
θυσίη δέ σφι ἥδε κατέστηκε. ἀγαγόντες τὸ σεσημασμένον
κτῆνος πρὸς τὸν βωμὸν ὅκου ἂν θύωσι, πῦρ ἀνακαίουσι, ἔπει-
τα δὲ ἐπ᾽ αὐτοῦ οἶνον κατὰ τοῦ ἱρηίου ἐπισπείσαντες καὶ
ἐπικαλέσαντες τὸν θεὸν σφάζουσι, σφάξαντες δὲ ἀποτάμνουσι
τὴν κεφαλήν. σῶμα μὲν δὴ τοῦ κτήνεος δείρουσι, κεφαλῇ
δὲ κείνῃ πολλὰ καταρησάμενοι φέρουσι, τοῖσι μὲν ἂν ᾖ ἀγο-
ρὴ καὶ Ἕλληνές σφι ἔωσι ἐπιδήμιοι ἔμποροι, οἱ δὲ φέροντες
ἐς τὴν ἀγορὴν ἀπ᾽ ὧν ἔδοντο, τοῖσι δὲ ἂν μὴ παρέωσι Ἕλ-
ληνες, οἱ δ᾽ ἐκβάλλουσι ἐς τὸν ποταμόν· καταρῶνται δὲ τάδε
λέγοντες τῇσι κεφαλῇσι, εἴ τι μέλλοι ἢ σφίσι τοῖσι θύουσι ἢ
Αἰγύπτῳ τῇ συναπάσῃ κακὸν γενέσθαι, ἐς κεφαλὴν ταύτην
τραπέσθαι. κατὰ μέν νυν τὰς κεφαλὰς τῶν θυομένων κτη-
νέων καὶ τὴν ἐπίσπεισιν τοῦ οἴνου πάντες Αἰγύπτιοι νόμοισι
τοῖσι αὐτοῖσι χρέωνται ὁμοίως ἐς πάντα τὰ ἱρά, καὶ ἀπὸ τού-
του τοῦ νόμου οὐδὲ ἄλλου οὐδενὸς ἐμψύχου κεφαλῆς γεύσε-
40 ται Αἰγυπτίων οὐδείς. ἡ δὲ δὴ ἐξαίρεσις τῶν ἱρῶν καὶ ἡ

17. Ioannes Gramm. de dial. f. 241r Ald.

1. δίζεται *z* ‖ ἐπὶ τοῦτο *Rz* ‖ 2. ἑστῶτος *d* ‖ 5. τουτέων *z* ‖ 6. εἰλίσσων *C*, ἐλίσσων *Pdz*, ἑλίσσων *R* ‖ 8. ἡ] καὶ ἡ *C* ‖ ζημία *Rd* ‖ 10. ἦδε *AB* ‖ κατεστήκεε *d* ‖ 11. οἴκου *C* ‖ θύσωσι *PKz* ‖ πῦρ ἀνακαίουσι Bekker: πυρὴν καίουσι ‖ 12. δὲ om. *Rd* ‖ ἐπει σπείσαντες *C* ‖ 13. ἀποτέμνουσι *d* ‖ 14. δὴ om. *ABC* ‖ δέρουσι *Rd* ‖ 15. δὲ κείνη *R*, δ᾽ ἐκείνῃ *Pd*, δ᾽ ἐκείνου *sz* ‖ καταρησόμενοι *Rd*, κατηρασάμενοι *z* ‖ ἦν *d* ‖ ἀγορή - 17 τὴν om. *R* ‖ 16. σφισι *ABC* ‖ ἐῶσιν *d* ‖ ἐπιδήμιοι *ABC*: ἐπίδημοι ‖ οἵδε *sz* ‖ 17. δ᾽ *Rd* ‖ παρεῶσιν *Rd* ‖ 18. οἵδ᾽ *Rz* ‖ καταρέωνται *C*, καταρέονται *Pz* ‖ 19. μέλλει *Rd* ‖ ἢ σφίσι *z*: ἢ σφι *R*, ἢ σφισι ceteri ‖ 20. ταύτης *C* ‖ 21. κατὰ om. *R* ‖ 22. ἐπίπασιν *d* ‖ 24. οὐδὲ ἄλλου om. *Rd* ‖ 25. καὶ om. *C*

χαῦσις ἄλλη περὶ ἄλλο ἱρόν σφι κατέστηκε· τὴν δ' ὦν μεγίστην τε δαίμονα ἥγηνται εἶναι καὶ μεγίστην οἱ ὁρτὴν ἀνάγουσι, ταύτην ἔρχομαι ἐρέων .... ἐπεὰν ἀποδείρωσι τὸν βοῦν, κατευξάμενοι κοιλίην μὲν κείνην πᾶσαν ἐξ ὦν εἷλον, σπλάγχνα δὲ αὐτοῦ λείπουσι ἐν τῷ σώματι καὶ τὴν πιμελήν, σκέλεα δὲ ἀποτάμνουσι καὶ τὴν ὀσφὺν ἄκρην καὶ τοὺς ὤμους τε καὶ τὸν τράχηλον. ταῦτα δὲ ποιήσαντες τὸ ἄλλο σῶμα τοῦ βοὸς πιμπλᾶσι ἄρτων καθαρῶν καὶ μέλιτος καὶ ἀσταφίδος καὶ σύκων καὶ λιβανωτοῦ καὶ σμύρνης καὶ τῶν ἄλλων θυωμάτων, πλήσαντες δὲ τούτων καταγίζουσι, ἔλαιον ἄφθονον καταχέοντες· προνηστεύσαντες δὲ θύουσι, καιομένων δὲ τῶν ἱρῶν τύπτονται πάντες, ἐπεὰν δὲ ἀποτύψωνται, δαῖτα προτίθενται τὰ ἐλίποντο τῶν ἱρῶν. τοὺς μέν νυν καθαροὺς βοῦς 41
τοὺς ἔρσενας καὶ τοὺς μόσχους οἱ πάντες Αἰγύπτιοι θύουσι, τὰς δὲ θηλέας οὔ σφι ἔξεστι θύειν, ἀλλὰ ἱραί εἰσι τῆς Ἴσιος· τὸ γὰρ τῆς Ἴσιος ἄγαλμα ἐὸν γυναικήιον βούκερών ἐστι, κατά περ Ἕλληνες τὴν Ἰοῦν γράφουσι, καὶ τὰς βοῦς τὰς θηλέας Αἰγύπτιοι πάντες ὁμοίως σέβονται προβάτων πάντων μάλιστα μακρῷ· τῶν εἵνεκα οὔτε ἀνὴρ Αἰγύπτιος οὔτε γυνὴ ἄνδρα Ἕλληνα φιλήσειε ἂν τῷ στόματι, οὐδὲ μαχαίρῃ ἀνδρὸς Ἕλληνος χρήσεται οὐδὲ ὀβελοῖσι οὐδὲ λέβητι, οὐδὲ κρέως καθαροῦ βοὸς διατετμημένου Ἑλληνικῇ μαχαίρῃ γεύσεται. θάπτουσι δὲ τοὺς ἀποθνήσκοντας βοῦς τρόπον τόνδε. τὰς μὲν θηλέας ἐς τὸν ποταμὸν ἀπιεῖσι, τοὺς δὲ ἔρσενας κατορύσσουσι ἕκαστοι ἐν τοῖσι προαστείοισι, τὸ κέρας τὸ ἕτερον ἢ καὶ

9. λιβανωτοῦ - θυωμάτων Thomas M. p. 183. — 12. (Hesychius v. ἀποτύψωνται). — 13. τοὺς μέν - 17 γράφουσι Athenagoras legat. 24

1. ὦν] ὡς *Rd* ‖ 2. ἥγηνται] ἄγειν τε *C* ‖ ὁρτὴν ἄγουσι ταύτῃ *C* ‖ 3. lacunam indicavi ‖ ἐπεὰν ἀποδείρωσι τὸν βοῦν κατευξάμενοι *ABC*: ἐπὴν προμνηστεύσωσι τῇσι καὶ ἐπὴν κατεύξωνται θύουσι τὸν βοῦν. καὶ ἀποδείραντες *P*, item fere *R* (ἐπ' ἣν — τῇσϊ — ἐπ' ἣν — τὰν βῶν) *d* (τῇσι - τὰν βῶν) *z* (τὴν βῶν) ‖ ἀποδείρουσι *C* ‖ 4. ἐξ ὦν *Rd*, ἔξω *z* ‖ 6. ὀσφῦν *ABP* ‖ 8. καθαρὸν *CR* ‖ ἀστάφιδος *C* ‖ 10. ἔλεον *C* ‖ 11. καταχέαντες *Rd* ‖ 12. ἀποτύψονται *R* ‖ 13. βοῦς τοὺς ἄρσενας *R*. Athen., ἔρσενας τῶν βοῶν *z* ‖ 16. τὸ γὰρ et Ἴσιος om. Athen. ‖ 17. οἱ Ἕλληνες Athen. ‖ Ἰοῦν] βοῦν *C* ‖ 19. οὔτε *ABC*: οὔτ' ‖ 20. φιλήσειεν *ABC* ‖ 21. οὐδὲ *ABC*: οὐδ' ‖ 22. γεύσεται] χρήσεται *Rd* ‖ 23. τοιόνδε *z* ‖ 24. ἀπιᾶσι *L* ‖ ἄρσενας *R* ‖

ἀμφότερα ὑπερέχοντα σημηίου εἵνεκεν· ἐπεὰν δὲ σαπῇ καὶ προσίῃ ὁ τεταγμένος χρόνος, ἀπικνέεται ἐς ἑκάστην πόλιν βᾶρις ἐκ τῆς Προσωπίτιδος καλεομένης νήσου. ἡ δ' ἔστι μὲν ἐν τῷ Δέλτα, περίμετρον δὲ αὐτῆς εἰσὶ σχοῖνοι ἐννέα. ἐν ταύτῃ ὦν τῇ Προσωπίτιδι νήσῳ ἔνεισι μὲν καὶ ἄλλαι πόλιες συχναί, ἐκ τῆς δὲ αἱ βάριες παραγίνονται ἀναιρησόμεναι τὰ ὀστέα τῶν βοῶν, οὔνομα τῇ πόλι Ἀτάρβηχις, ἐν δ' αὐτῇ Ἀφροδίτης ἱρὸν ἅγιον ἵδρυται. ἐκ ταύτης τῆς πόλιος πλανῶνται πολλοὶ ἄλλοι ἐς ἄλλας πόλις, ἀνορύξαντες δὲ τὰ ὀστέα ἀπάγουσι καὶ θάπτουσι ἐς ἕνα χῶρον πάντες. κατὰ ταὐτὰ δὲ τοῖσι βουσὶ καὶ τἆλλα κτήνεα θάπτουσι ἀποθνήσκοντα· καὶ γὰρ περὶ ταῦτα οὕτω σφι νενομοθέτηται· κτείνουσι γὰρ δὴ οὐδὲ ταῦτα.

42 Ὅσοι μὲν δὴ Διὸς Θηβαιέος ἵδρυνται ἱρὸν ἢ νομοῦ τοῦ Θηβαίου εἰσί, οὗτοι μέν νυν πάντες ὀίων ἀπεχόμενοι αἶγας θύουσι. θεοὺς γὰρ δὴ οὐ τοὺς αὐτοὺς ἅπαντες ὁμοίως Αἰγύπτιοι σέβονται, πλὴν Ἴσιός τε καὶ Ὀσίριος, τὸν δὴ Διόνυσον εἶναι λέγουσι· τούτους δὲ ὁμοίως ἅπαντες σέβονται. ὅσοι δὲ τοῦ Μένδητος ἔκτηνται ἱρὸν ἢ νομοῦ τοῦ Μενδησίου εἰσί, οὗτοι δὲ αἰγῶν ἀπεχόμενοι ὄις θύουσι. Θηβαῖοι μέν νυν καὶ ὅσοι διὰ τούτους ὀίων ἀπέχονται, διὰ τάδε λέγουσι τὸν νόμον τόνδε σφίσι τεθῆναι. Ἡρακλέα θελῆσαι πάντως ἰδέσθαι τὸν Δία καὶ τὸν οὐκ ἐθέλειν ὀφθῆναι ὑπ' αὐτοῦ· τέλος δέ, ἐπείτε λιπαρέειν τὸν Ἡρακλέα, τὸν Δία μηχανήσασθαι κριὸν ἐκδεί-

περὶ τῆς Προσωπίτιδος νήσου καὶ τῶν ἐν αὐτῇ διὰ τί Αἰγυπτίων μόνοι Θηβαῖοι ὀίων ἀπέχονται

3. Λέξεις. — 17. Λέξεις

1. εἵνεκεν *ABC*: εἵνεκα ‖ 3. βᾶρις *ABC*: βάρις ‖ καλευμένης *AB* ‖ ἢδ' ἔστι *B* ‖ 4. περίμετρος *PRd*, περίμετροι *z* ‖ δ *ABC* ‖ 5. ὦν] δὴ ὦν *z* ‖ πόλις *PR*, πόλεις *d* ‖ 6. βάρις *L* ‖ 7. πόλει *Cdz* ‖ 8. ἅγιον om. *d* ‖ πλανέωνται *C*, πλανέονται *Pz* ‖ 9. πόλεις *C*, πόλιας *Rdz* ‖ 10. ἐς ἓν χωρίον *Rd* ‖ 11. ταῦτα *d* ‖ δὲ om. *R* ‖ τἄλλα *Rd* ‖ κτήνεα] κτήνεα ἅπαντα *s* ‖ 14. θηβαίου *ABC* ‖ ἵδρυται *C* ‖ νόμου *CR* ‖ 15. νυν om. *PRdz* ‖ ὀϊῶν *Apr.*, οἰῶν *B*, διῶν *C* ‖ 17. ὀσίριδος *ABC* ‖ 18. σέβονται ante ὁμοίως *Rd* ‖ δὲ] μὲν δὴ *z* ‖ 19. νόμου *C* ‖ 21. τούτου *R*, τούτων *d* ‖ οἰῶν *AB*, διῶν *C* ‖ 22. σφίσι *s*: σφι ‖ 23. δὲ om. *z* ‖ 24. μηχανήσασθαι· *P*. μηχανήσασθαι τάδε. Herold

ραντα προέχεσθαί τε τὴν κεφαλὴν ἀποταμόντα τοῦ κριοῦ, καὶ ἐνδύντα τὸ νάκος οὕτω οἱ ἑωυτὸν ἐπιδέξαι. ἀπὸ τούτου κριοπρόσωπον τοῦ Διὸς τὤγαλμα ποιεῦσι Αἰγύπτιοι, ἀπὸ δὲ Αἰγυπτίων Ἀμμώνιοι . . , ἐόντες Αἰγυπτίων τε καὶ Αἰθιόπων ἄποικοι καὶ φωνὴν μεταξὺ ἀμφοτέρων νομίζοντες. δοκέειν δέ μοι, καὶ τὸ οὔνομα Ἀμμώνιοι ἀπὸ τοῦδε σφίσι τὴν ἐπωνυμίην ἐποιήσαντο· Ἀμοῦν γὰρ Αἰγύπτιοι καλέουσι τὸν Δία. τοὺς δὲ κριοὺς οὐ θύουσι Θηβαῖοι, ἀλλ' εἰσί σφι ἱροὶ διὰ τοῦτο. μιῇ δὲ ἡμέρῃ τοῦ ἐνιαυτοῦ, ἐν ὁρτῇ τοῦ Διός, κριὸν ἕνα κατακόψαντες καὶ ἀποδείραντες κατὰ τὠυτὸ ἐνδύουσι τὤγαλμα τοῦ Διός, καὶ ἔπειτα ἄλλο ἄγαλμα Ἡρακλέος προσάγουσι πρὸς αὐτό. ταῦτα δὲ ποιήσαντες τύπτονται οἱ περὶ τὸ ἱρὸν ἅπαντες τὸν κριὸν καὶ ἔπειτα ἐν ἱρῇ θήκῃ θάπτουσι αὐτόν.

Ἡρακλέος δὲ πέρι τόνδε τὸν λόγον ἤκουσα, ὅτι εἴη τῶν 43
δυώδεκα θεῶν· τοῦ ἑτέρου δὲ πέρι Ἡρακλέος, τὸν Ἕλληνες οἴδασι, οὐδαμῇ Αἰγύπτου ἐδυνάσθην ἀκοῦσαι. καὶ μὴν ὅτι γε οὐ παρ' Ἑλλήνων ἔλαβον τὸ οὔνομα Αἰγύπτιοι τοῦ Ἡρακλέος, ἀλλὰ Ἕλληνες μᾶλλον παρ' Αἰγυπτίων καὶ Ἑλλήνων οὗτοι οἱ θέμενοι τῷ Ἀμφιτρύωνος γόνῳ τοὔνομα Ἡρακλέα, πολλά μοι καὶ ἄλλα τεκμήριά ἐστι τοῦτο οὕτω ἔχειν, ἐν δὲ καὶ τόδε, ὅτι τε τοῦ Ἡρακλέος τούτου οἱ γονέες ἀμφότεροι ἦσαν Ἀμφιτρύων καὶ Ἀλκμήνη γεγονότες τὸ ἀνέκαθεν ἀπ' Αἰγύπτου, καὶ διότι Αἰγύπτιοι οὔτε Ποσειδέωνος οὔτε Διοσ-

ὅτι Αἰγύπτιοι Ἀμοῦν καλοῦσι τὸν Δία ἐξ οὗ Ἀμμώνιοι λέγονται (*BR*)
περὶ Ἡρακλέους

---

2 sq. Eustathius Dion. 211. — 7. ibidem

1. προσχέσθαι *Ppr.*, προεχθέσθαι *Rdz* ‖ 2. οἵ *C* ‖ ἑαυτὸν *A* ‖ ἐπιδεῖξαι *PRdz*, ἀποδέξεται *C* ‖ 3. τὤγαλμα τοῦ διὸς *PRdz* ‖ 4. indicavi lacunam ‖ 6. δ' ἐμοί *Pz* ‖ τοὔνομα *Pz* ‖ τοῦδε σφίσι correxi: τοῦδέ σφι ‖ 7. ἀμοῦν *ABC*. Eustathii codices aliquot: ἀμμοῦν ‖ καλοῦσι *C* ‖ 9. ὀρτῆι *AC* ‖ κριὸν om. *C* ‖ 10. κατὰ ταῦτα *Rd* ‖ 11. ἄγαλμα ἄλλο *Rd* ‖ ἡρακλέους *ABC* ‖ 12. οἱ om. *C* ‖ 13. πάντες *Rd* ‖ 15. τὸν om. *Rd* ‖ ὅτι] ὡς *PRdz* ‖ 16. δυόδεκα *B* ‖ 18. τοὔνομα z ‖ τοῦ ἡρακλέος αἰγύπτιοι *PRdz* ‖ 19. ἀλλ' *ABC* ‖ 20. τοὔνομα *ABC*: οὔνομα ‖ 21. ἓν δὲ codices, ἓν δὲ δὴ z ‖ 24. διοσκόρου *R*

κούρων τὰ οὐνόματά φασι εἰδέναι, οὐδέ σφι θεοὶ οὗτοι ἐν τοῖσι ἄλλοισι θεοῖσι ἀποδεδέχαται. καὶ μὴν εἴ γε παρ' Ἑλλήνων ἔλαβον οὔνομά τευ δαίμονος, τούτων οὐκ ἥκιστα ἀλλὰ μάλιστα ἔμελλον μνήμην ἕξειν, εἴ περ καὶ τότε ναυτιλίῃσι ἐχρέωντο καὶ ἦσαν Ἑλλήνων τινὲς ναυτίλοι, ὡς ἔλπομαί τε καὶ ἐμὴ γνώμη αἱρέει· ὥστε τούτων ἂν καὶ μᾶλλον τῶν θεῶν τὰ οὐνόματα ἐξεπιστέατο Αἰγύπτιοι ἢ τοῦ Ἡρακλέος. ἀλλά τις ἀρχαῖός ἐστι θεὸς Αἰγυπτίοισι Ἡρακλέης· ὡς δὲ αὐτοὶ λέγουσι, ἔτεά ἐστι ἑπτακισχίλια καὶ μύρια ἐς Ἄμασιν βασιλεύσαντα, ἐπείτε ἐκ τῶν ὀκτὼ θεῶν οἱ δυώδεκα θεοὶ
44 ἐγένοντο τῶν Ἡρακλέα ἕνα νομίζουσι. καὶ θέλων δὲ τούτων πέρι σαφές τι εἰδέναι ἐξ ὧν οἷόν τε ἦν, ἔπλευσα καὶ ἐς Τύρον τῆς Φοινίκης, πυνθανόμενος αὐτόθι εἶναι ἱρὸν Ἡρακλέος ἅγιον. καὶ εἶδον πλουσίως κατεσκευασμένον ἄλλοισί τε πολλοῖσι ἀναθήμασι, καὶ ἐν αὐτῷ ἦσαν στῆλαι δύο, ἡ μὲν χρυσοῦ ἀπέφθου, ἡ δὲ σμαράγδου λίθου λάμποντος τὰς νύκτας μέγαθος. ἐς λόγους δὲ ἐλθὼν τοῖσι ἱρεῦσι τοῦ θεοῦ εἰρόμην ὁκόσος χρόνος εἴη ἐξ οὗ σφι τὸ ἱρὸν ἵδρυται. εὗρον δὲ οὐδὲ τούτους τοῖσι Ἕλλησι συμφερομένους· ἔφασαν γὰρ ἅμα Τύρῳ οἰκιζομένῃ καὶ τὸ ἱρὸν τοῦ θεοῦ ἱδρυθῆναι, εἶναι δὲ ἔτεα ἀπ' οὗ Τύρον οἰκέουσι τριηκόσια καὶ δισχίλια. εἶδον δὲ ἐν τῇ Τύρῳ καὶ ἄλλο ἱρὸν Ἡρακλέος ἐπωνυμίην ἔχοντος Θασίου εἶναι. ἀπικόμην δὲ καὶ ἐς Θάσον, ἐν τῇ εὗρον ἱρὸν Ἡρακλέος ὑπὸ Φοινίκων ἱδρυμένον, οἳ κατ' Εὐρώπης ζήτησιν ἐκπλώσαντες Θάσον ἔκτισαν· καὶ ταῦτα καὶ πέντε γενεῇσι ἀνδρῶν πρότερά ἐστι ἢ τὸν Ἀμφιτρύωνος Ἡρακλέα ἐν τῇ

περὶ τῶν ἐν Φοινίκῃ καὶ ἐν ἄλλαις πόλεσιν Ἡρακλέους ἱερῶν

---

15. στῆλαι - 16 νύκτας Eustathius] Dion. 911. — 23. - 25 (ibidem 517)

3. τοὔνομα τοῦ *d* ‖ οὐκ om. *A*¹*B*¹*C* ‖ 4. ναυτιλίοισιν *d* ‖ 6. ἐμῆι γνώμηι *C* ‖ τουτέων *z* ‖ 7. ἐξεπιστέαντο *Rd* ‖ 8. ἐστὶν ἀρχαῖος *Rd* ‖ 10. δυόδεκα *B*, δώδεκα *Rd* ‖ 11. τῶν] τὸν *P*, om. *R* ‖ 14. εἶδον *C*: ἴδον ‖ 16. μαράγδου *BPcorr.R* ‖ 17. ἱερεῦσι *R* ‖ ἠρώμην *C* ‖ 20. ἱδρυνθῆναι *CPz* ‖ 21. ἀφ' οὗ *L* ‖ ἴδον *ABPR* ‖ 23. ἀπικόμενος *z* ‖ ἐν τῇ om. *z* ‖ 25. καὶ πέντε] πέντε *PRdz*

῾Ελλάδι γενέσθαι. τὰ μέν νυν ἱστορημένα δηλοῖ σαφέως παλαιὸν θεὸν ῾Ηρακλέα ἐόντα· καὶ δοκέουσι δέ μοι οὗτοι ὀρθότατα ῾Ελλήνων ποιέειν, οἳ διξὰ ῾Ηράκλεια ἱδρυσάμενοι ἔκτηνται, καὶ τῷ μὲν ὡς ἀθανάτῳ ᾿Ολυμπίῳ δὲ ἐπωνυμίην θύουσι, τῷ δὲ ἑτέρῳ ὡς ἥρωι ἐναγίζουσι. λέγουσι δὲ πολλὰ 45 καὶ ἄλλα ἀνεπισκέπτως οἱ ῞Ελληνες, εὐήθης δὲ αὐτῶν καὶ ὅδε ὁ μῦθός ἐστι τὸν περὶ τοῦ ῾Ηρακλέος λέγουσι, ὡς αὐτὸν ἀπικόμενον ἐς Αἴγυπτον στέψαντες οἱ Αἰγύπτιοι ὑπὸ πομπῆς ἐξῆγον ὡς θύσοντες τῷ Διί· τὸν δὲ τέως μὲν ἡσυχίην ἔχειν, ἐπεὶ δὲ αὐτοῦ πρὸς τῷ βωμῷ κατάρχοντο, ἐς ἀλκὴν τραπόμενον πάντας σφέας καταφονεῦσαι. ἐμοὶ μέν νυν δοκέουσι ταῦτα λέγοντες τῆς Αἰγυπτίων φύσιος καὶ τῶν νόμων πάμπαν ἀπείρως ἔχειν οἱ ῞Ελληνες· τοῖσι γὰρ οὐδὲ κτήνεα ὁσίη θύειν ἐστὶ χωρὶς ὑῶν καὶ ἐρσένων βοῶν καὶ μόσχων, ὅσοι ἂν καθαροὶ ἔωσι, καὶ χηνῶν, κῶς ἂν οὗτοι ἀνθρώπους θύοιεν; ἔτι δὲ ἕνα ἐόντα τὸν ῾Ηρακλέα καὶ ἔτι ἄνθρωπον, ὡς δή φασι, κῶς φύσιν ἔχει πολλὰς μυριάδας φονεῦσαι; καὶ περὶ μὲν τούτων τοσαῦτα ἡμῖν εἰποῦσι καὶ παρὰ τῶν θεῶν καὶ παρὰ τῶν ἡρώων εὐμενείη εἴη.

Τὰς δὲ δὴ αἶγας καὶ τοὺς τράγους τῶνδε εἵνεκα οὐ θύουσι 46 Αἰγυπτίων οἱ εἰρημένοι. τὸν Πᾶνα τῶν ὀκτὼ θεῶν λογίζονται εἶναι οἱ Μενδήσιοι, τοὺς δὲ ὀκτὼ θεοὺς τούτους προτέρους τῶν δυώδεκα θεῶν φασι γενέσθαι. γράφουσί τε δὴ καὶ γλύφουσι οἱ ζωγράφοι καὶ οἱ ἀγαλματοποιοὶ τοῦ Πανὸς τὤγαλμα κατά περ ῞Ελληνες αἰγοπρόσωπον καὶ τραγοσκελέα,

περὶ Πανός

---

5. Plutarchus mor. p. 857

2. θεὸν] θεὸν τὸν z ‖ 3. ἡρακλέα *ABC* ‖ 5. δ' ἑτέρῳ *Pdz* ‖ ἥρῳ *C* ‖ 6. αὐτέων z ‖ 7. μισθός ἐστι *R* ‖ 10. αὐτοὶ *Rd* ‖ βομῶι *B* ‖ 11. πάντάς σφεας *BP* ‖ 14. υἱῶν *d*, ὀιῶν *C*. ὀΐων coni. Valckenaer ‖ ὅσοι ἐὰν *AB*, καὶ ὅσοι ἐὰν *C* ‖ 15. χηνέων z ‖ 16. ὄντα *ABC* ‖ δὲ φασὶ *d* ‖ 17. ἔχειν *ABC* ‖ 19. εὐμενέα *R*, εὐμένεα *d*, εὐμένεια reliqui ‖ 23. δυόδεκα *B* ‖ γράφουσι δὲ δὴ *PRz* ‖ 24. καὶ γλύφουσι om. *C* ‖ καὶ οἱ ἀγαλματοποιοὶ om. *AB*[1]*C* ‖ 25. τὤγαλμα post ῞Ελληνες z

οὔτι τοιοῦτον νομίζοντες εἶναί μιν ἀλλὰ ὅμοιον τοῖσι ἄλλοισι θεοῖσι· ὅτευ δὲ εἵνεκα τοιοῦτον γράφουσι αὐτόν, οὔ μοι ἥδιόν ἐστι λέγειν. σέβονται δὲ πάντας τοὺς αἶγας οἱ Μενδήσιοι, καὶ μᾶλλον τοὺς ἔρσενας τῶν θηλέων, καὶ τούτων οἱ αἰπόλοι τιμὰς μέζονας ἔχουσι· ἐκ δὲ τούτων ἕνα μάλιστα, ὅστις ἐπεὰν ἀποθάνῃ, πένθος μέγα παντὶ τῷ Μενδησίῳ νομῷ τίθεται. καλέεται δὲ ὅ τε τράγος καὶ ὁ Πὰν Αἰγυπτιστὶ Μένδης. ἐγένετο δὲ ἐν τῷ νομῷ τούτῳ ἐπ᾿ ἐμεῦ τοῦτο τὸ τέρας· γυναικὶ τράγος ἐμίσγετο ἀναφανδόν. τοῦτο ἐς ἐπίδεξιν ἀνθρώπων ἀπίκετο.

47 Ὗν δὲ Αἰγύπτιοι μιαρὸν ἥγηνται θηρίον εἶναι· καὶ τοῦτο μὲν ἤν τις ψαύσῃ αὐτῶν παριὼν ὑός, αὐτοῖσι τοῖσι ἱματίοισι ἀπ᾿ ὧν ἔβαψε ἑωυτὸν βὰς ἐπὶ τὸν ποταμόν· τοῦτο δὲ οἱ συβῶται ἐόντες Αἰγύπτιοι ἐγγενέες ἐς ἱρὸν οὐδὲν τῶν ἐν Αἰγύπτῳ ἐσέρχονται μοῦνοι πάντων, οὐδέ σφι ἐκδίδοσθαι οὐδεὶς θυγατέρα ἐθέλει οὐδ᾿ ἄγεσθαι ἐξ αὐτῶν, ἀλλ᾿ ἐκδίδονταί τε οἱ συβῶται καὶ ἄγονται ἐξ ἀλλήλων. τοῖσι μέν νυν ἄλλοισι θεοῖσι θύειν ὗς οὐ δικαιεῦσι Αἰγύπτιοι, Σελήνῃ δὲ καὶ Διονύσῳ μούνοισι τοῦ αὐτοῦ χρόνου, τῇ αὐτῇ πανσελήνῳ, τοὺς ὗς θύσαντες πατέονται τῶν κρεῶν. διότι δὲ τοὺς ὗς ἐν μὲν τῇσι ἄλλῃσι ὁρτῇσι ἀπεστυγήκασι ἐν δὲ ταύτῃ θύουσι, ἔστι μὲν λόγος περὶ αὐτοῦ ὑπ᾿ Αἰγυπτίων λεγόμενος, ἐμοὶ μέντοι ἐπισταμένῳ οὐκ εὐπρεπέστερός ἐστι λέγεσθαι. θυσίη δὲ ἥδε τῶν ὑῶν τῇ Σελήνῃ ποιέεται· ἐπεὰν θύσῃ, τὴν οὐρὴν ἄκρην καὶ τὸν σπλῆνα καὶ τὸν ἐπίπλοον συνθεὶς ὁμοῦ κατ᾿ ὦν ἐκάλυψε πάσῃ τοῦ κτήνεος τῇ πιμελῇ τῇ περὶ τὴν νηδὺν γινο-

διὰ τί Μενδήσιοι τραγὸν ἢ αἶγα οὐ θύουσι — διὰ τί συῶν ἀπέχονται Αἰγύπτιοι

1. οὔτι] ὅτι *C* ‖ ἀλλ᾿ *PRdz* ‖ ὁμοῖον *C* ‖ 2. ἕνεκα *ABRd* ‖ τοιοῦτο *C* ‖ 4. θηλεῶν *ABPz* ‖ 5. ἕνα correxi: εἷς ‖ 6. νόμωι *C* ‖ 8. ὃ' *Pdz* ‖ νόμωι *C* ‖ 9. ἀναφαντόν *C* ‖ ἐπίδειξιν *Apr.Cbz* ‖ 11. ἄγηνταί *C* ‖ 12. μὲν] μὴ *R* ‖ 13. ἀπὼν *C*, ἀπιὼν *PtRdz* ‖ ἐπὶ] ἐς *ABC* ‖ 14. εἰς *C* ‖ 15. θυγατέρα οὐδεὶς *PRdz* ‖ 16. αὐτέων *PRdz* ‖ ἐκδιδόαταί *C* ‖ τε om. *z* ‖ 17. ἀγέαται *C* ‖ 20. πατέωνται *C* ‖ δὲ] μὲν *C* ‖ ἐν μὲν *AB*: ἐν ‖ 23. ἧδε *AB* ‖ 24. θύσῃ] θήσει *d* ‖ 25. ἐπίπλον *C*

μένῃ, καὶ ἔπειτα καταγίζει πυρί· τὰ δὲ ἄλλα κρέα σιτέονται
ἐν τῇ πανσελήνῳ ἐν τῇ ἂν τὰ ἱρὰ θύωσι, ἐν ἄλλῃ δὲ ἡμέρῃ
οὐκ ἂν ἔτι γευσαίατο. οἱ δὲ πένητες αὐτῶν ὑπ' ἀσθενείης
βίου σταιτίνας πλάσαντες ὗς καὶ ὀπτήσαντες ταύτας θύουσι.
τῷ δὲ Διονύσῳ τῆς ὁρτῆς τῇ δορπίῃ χοῖρον πρὸ τῶν θυρέων 48
σφάξας ἕκαστος διδοῖ ἀποφέρεσθαι τὸν χοῖρον αὐτῷ τῷ ἀπο-
δομένῳ τῶν συβωτέων. τὴν δὲ ἄλλην ἀνάγουσι ὁρτὴν τῷ
Διονύσῳ οἱ Αἰγύπτιοι πλὴν χορῶν κατὰ ταὐτὰ σχεδὸν πάντα
Ἕλλησι· ἀντὶ δὲ φαλλῶν ἄλλα σφι ἐστὶ ἐξευρημένα ὅσον τε
πηχυαῖα ἀγάλματα νευρόσπαστα, τὰ περιφορέουσι κατὰ κώ-
μας γυναῖκες, νεῦον τὸ αἰδοῖον, οὐ πολλῷ τεῳ ἔλασσον ἐὸν
τοῦ ἄλλου σώματος. προηγέεται δὲ αὐλός, αἱ δὲ ἕπονται
ἀείδουσαι τὸν Διόνυσον. διότι δὲ μέζον τε ἔχει τὸ αἰδοῖον
καὶ κινέει μοῦνον τοῦ σώματος, ἔστι λόγος περὶ αὐτοῦ ἱρὸς
λεγόμενος. ἤδη ὦν δοκέει μοι Μελάμπους ὁ Ἀμυθέωνος 49
τῆς θυσίης ταύτης οὐκ εἶναι ἀδαὴς ἀλλ' ἔμπειρος. Ἕλλησι
γὰρ δὴ Μελάμπους ἐστὶ ὁ ἐξηγησάμενος τοῦ Διονύσου τό τε
οὔνομα καὶ τὴν θυσίην καὶ τὴν πομπὴν τοῦ φαλλοῦ· ἀτρε-
κέως μὲν οὐ πάντα συλλαβὼν τὸν λόγον ἔφηνε, ἀλλ' οἱ ἐπι-
γενόμενοι τούτῳ σοφισταὶ μεζόνως ἐξέφηναν· τὸν δ' ὦν
φαλλὸν τὸν τῷ Διονύσῳ πεμπόμενον Μελάμπους ἐστὶ ὁ κατη-
γησάμενος, καὶ ἀπὸ τούτου μαθόντες ποιεῦσι τὰ ποιεῦσι Ἕλ-
ληνες. ἐγὼ μέν νυν φημὶ Μελάμποδα γενόμενον ἄνδρα σοφὸν
μαντικήν τε ἑωυτῷ συστῆσαι καὶ πυθόμενον ἀπ' Αἰγύπτου
ἄλλα τε πολλὰ ἐσηγήσασθαι Ἕλλησι καὶ τὰ περὶ τὸν Διόνυ-

περὶ τοῦ Διονύσου τῶν ἑορτῶν καὶ τοῦ φαλλοῦ

---

1. κρέα om. *Rd* ‖ 2. πανσελήνηι *C* ‖ ἂν τὰ om. *R* ‖ θύσωσιν *ABC* ‖ 3. ἀσθενίης *P* ‖ 4. βίου σταιτίνας] σταιτίνας P^t, βίου στάιτίνας *C*, βιούς τε τινὰς *Rdz* ‖ 5. ὁρτῆς *ABC* ‖ τῇ] τῆς τῇ *R* ‖ 7. συβοτέων *AB* ‖ 8. οἱ om. *ABC* ‖ χοίρων *Pz*, χαίρων *R*, χέρων *d* ‖ 9. ἀλλά σφισι *ABC* ‖ 11. ταὶ γυναῖκες *z* ‖ τεωι *Acorr.P*: τέῳ ‖ 14. ἱρὸς λεγόμενος] προσλεγόμενος *Rd* ‖ 17. δὴ om. *R* ‖ τὸ οὔνομα *PRd*, τοὔνομα *z* ‖ 19. ἐπιγινόμενοι *ABC* ‖ 20. μειζόνως *d* ‖ 21. ἀπηγησάμενος *PRdz* ‖ 22. ποιέουσι τὰ ποιέουσιν *ABC* ‖ 24. ἀπὸ *AB* ‖ 25. τε ἄλλα *d* ‖ ἀπηγήσασθαι *z*

σον, ὀλίγα αὐτῶν παραλλάξαντα. οὐ γὰρ δὴ συμπεσεῖν γε φήσω τά τε ἐν Αἰγύπτῳ ποιεύμενα τῷ θεῷ καὶ τὰ ἐν τοῖσι Ἕλλησι· ὁμότροπα γὰρ ἂν ἦν τοῖσι Ἕλλησι καὶ οὐ νεωστὶ ἐσηγμένα. οὐ μὲν οὐδὲ φήσω ὅκως Αἰγύπτιοι παρ' Ἑλλήνων ἔλαβον ἢ τοῦτο ἢ ἄλλο κού τι νόμαιον. πυθέσθαι δέ μοι δοκέει μάλιστα Μελάμπους τὰ περὶ τὸν Διόνυσον παρὰ Κάδμου τε τοῦ Τυρίου καὶ τῶν σὺν αὐτῷ ἐκ Φοινίκης ἀπικομένων ἐς τὴν νῦν Βοιωτίην καλεομένην χώρην.

50 Σχεδὸν δὲ καὶ πάντων τὰ οὐνόματα τῶν θεῶν ἐξ Αἰγύπτου ἐλήλυθε ἐς τὴν Ἑλλάδα. διότι μὲν γὰρ ἐκ τῶν βαρβάρων ἥκει, πυνθανόμενος οὕτω εὑρίσκω ἐόν· δοκέω δ' ὦν μάλιστα ἀπ' Αἰγύπτου ἀπῖχθαι. ὅτι γὰρ δὴ μὴ Ποσειδέωνος καὶ Διοσκούρων, ὡς καὶ πρότερόν μοι ταῦτα εἴρηται, καὶ Ἥρης καὶ Ἱστίης καὶ Θέμιος καὶ Χαρίτων καὶ Νηρηίδων, τῶν ἄλλων θεῶν Αἰγυπτίοισι αἰεί κοτε τὰ οὐνόματα ἐστὶ ἐν τῇ χώρῃ. λέγω δὲ τὰ λέγουσι αὐτοὶ Αἰγύπτιοι. τῶν δὲ οὔ φασι θεῶν γινώσκειν τὰ οὐνόματα, οὗτοι δέ μοι δοκέουσι ὑπὸ Πελασγῶν ὀνομασθῆναι, πλὴν Ποσειδέωνος· τοῦτον δὲ τὸν θεὸν παρὰ Λιβύων ἐπύθοντο· οὐδαμοὶ γὰρ ἀπ' ἀρχῆς Ποσειδέωνος οὔνομα ἔκτηνται εἰ μὴ Λίβυες, καὶ τιμῶσι τὸν θεὸν τοῦτον αἰεί. νομίζουσι δ' ὦν Αἰγύπτιοι οὐδ' ἥρωσι

51 οὐδέν. ταῦτα μέν νυν καὶ ἄλλα πρὸς τούτοισι, τὰ ἐγὼ φράσω, Ἕλληνες ἀπ' Αἰγυπτίων νενομίκασι· τοῦ δὲ Ἑρμέω τὰ ἀγάλματα ὀρθὰ ἔχειν τὰ αἰδοῖα ποιεῦντες οὐκ ἀπ' Αἰγυπτίων μεμαθήκασι, ἀλλ' ἀπὸ Πελασγῶν πρῶτοι μὲν Ἑλ-

περὶ τῶν τοῦ Ἑρμοῦ ἀγαλμάτων καὶ περὶ Πελασγῶν καὶ τῶν ἐν Σαμοθράκῃ μυστηρίων

---

19. Eustathius Od. p. 1386

1. παραλλάξαντα *C* ‖ συμπεσέειν *z* ‖ 3. ὁμότροπα - Ἕλλησι om. *B*[1] ‖ ἂν om. *Rdz* ‖ 4. ἐσηγμένα *P*: ἐνηγμένα *R*, ἐσαγμένα *ABC*, ἐσηγημένα *dz* ‖ μὲν *Rd*: μὴν ‖ 6. μάλιστα om. *P*[1]*Rd* ‖ 7. τοῦ τε *C* ‖ τυρίων *Rd* ‖ 9. πάντα *z* ‖ 14. θέμιδος *ABC* ‖ τῶν] καὶ τῶν *PRdz* ‖ 15. οὐνόματα ἐστὶ *P*: οὐνοματά ἐστι ‖ 16. δὲ τὰ] δὴ τὰ *z* ‖ τῶνδε *Rz* ‖ οὐ φασὶ *Cd* ‖ 19. οὐδαμῆ *d*, οὐδαμῇ *z* ‖ ἀπαρχῆς *AB* ‖ 20. ὄνομα *Cd* ‖ ἔκτηνται *Ccorr.Pz*: κέκτηνται ‖ τιμέωσι *CPz* ‖ 21. οὐ δὴ δρῶσιν οὐδέν *Rd* ‖ 23. ὑπ' *qz*

λήνων ἁπάντων Ἀθηναῖοι παραλαβόντες, παρὰ δὲ τούτων ὦλλοι. Ἀθηναίοισι γὰρ ἤδη τηνικαῦτα ἐς Ἕλληνας τελέουσι Πελασγοὶ σύνοικοι ἐγένοντο ἐν τῇ χώρῃ, ὅθεν περ καὶ Ἕλληνες ἤρξαντο νομισθῆναι. ὅστις δὲ τὰ Καβείρων ὄργια μεμύηται, τὰ Σαμοθρήικες ἐπιτελέουσι παραλαβόντες παρὰ Πελασγῶν, οὗτος ὡνὴρ οἶδε τὸ λέγω· τὴν γὰρ Σαμοθρηίκην οἴκεον πρότερον Πελασγοὶ οὗτοι οἵ περ Ἀθηναίοισι σύνοικοι ἐγένοντο, καὶ παρὰ τούτων Σαμοθρήικες τὰ ὄργια παραλαμβάνουσι. ὀρθὰ ὦν ἔχειν τὰ αἰδοῖα τἀγάλματα τοῦ Ἑρμέω Ἀθηναῖοι πρῶτοι Ἑλλήνων μαθόντες παρὰ Πελασγῶν ἐποιήσαντο· οἱ δὲ Πελασγοὶ ἱρόν τινα λόγον περὶ αὐτοῦ ἔλεξαν, τὰ ἐν τοῖσι ἐν Σαμοθρηίκῃ μυστηρίοισι δεδήλωται.

52 ἔθυον δὲ πάντα πρότερον οἱ Πελασγοὶ θεοῖσι ἐπευχόμενοι, ὡς ἐγὼ ἐν Δωδώνῃ οἶδα ἀκούσας, ἐπωνυμίην δὲ οὐδ' οὔνομα ἐποιεῦντο οὐδενὶ αὐτῶν· οὐ γὰρ ἀκηκόεσάν κω. θεοὺς δὲ προσωνόμασάν σφεας ἀπὸ τοῦ τοιούτου, ὅτι κόσμῳ θέντες τὰ πάντα πρήγματα καὶ πάσας νομὰς εἶχον. ἔπειτα δὲ χρόνου πολλοῦ διεξελθόντος ἐπύθοντο ἐκ τῆς Αἰγύπτου ἀπιγμένα τὰ οὐνόματα τῶν θεῶν τῶν ἄλλων, Διονύσου δὲ ὕστερον πολλῷ ἐπύθοντο. καὶ μετὰ χρόνον ἐχρηστηριάζοντο περὶ τῶν οὐνομάτων ἐν Δωδώνῃ· τὸ γὰρ δὴ μαντήιον τοῦτο νενόμισται ἀρχαιότατον τῶν ἐν Ἕλλησι χρηστηρίων εἶναι, καὶ ἦν τὸν χρόνον τοῦτον μοῦνον. ἐπεὶ ὦν ἐχρηστηριάζοντο ἐν τῇ Δω-

περὶ τῶν ὀνομάτων τῶν λεγομένων θεῶν

---

16 sq. Eustathius Il. p. 19. — 21 sq. idem Od. p. 1760

2. ὦλλοι *P*, ὠ̔λλοὶ z, ὦλλοι *R*, ἄλλοι *d* ‖ ἤδη *ABC*: δὴ ‖ 4. ἐσήρξαντο *C* ‖ ὄργια *C* ‖ 5. λαβόντες *qz* ‖ 6. ὡνὴρ *Cz*, ὠ'νὴρ *P*, ὁ ἀνὴρ *d* ‖ τὸ] τὰ z ‖ σαμοθρηΐκην *CPz*: σαμοθρήικην *AB*, σαμοθρήκην *Rd* ‖ 7. τοί, περ z ‖ 8. τὰ ὄργια σαμοθρήικες *AB*, τὰ ὄργια sine σαμοθρήικες *C* ‖ παραλαμβάνουσι - 9 τοῦ om. *C* ‖ 9. τὰ ἀγάλματα *AB* ‖ 10. παρὰ Πελασγῶν μαθόντες z ‖ 12. ἐν τοῖσι] τοῖσι *Rdz* ‖ σαμοθρήικηι *AB*, σαμοθρήκη *d*, σαμοθράκη *R* ‖ 13. δὲ] δὲ καὶ z ‖ 14. ὄνομα *d* ‖ ποιεῦντο *C* ‖ 15. αὐτέων z ‖ ἀκηκόεσάν κοθεν οὓς δὲ *d*, ἀκήκοεν ἄν κοθεν οὓς δὲ *R* ‖ προσονόμασάν *BR* ‖ 16. σφε *d* ‖ τοῦ om. *Apr.* ‖ κοσμωθέντες *R* ‖ 17. ἐπεῖτε *ABC* ‖ 18. διελθόντος *PRdz* ‖ ἐθύοντο *C* ‖ ἀπικόμενα *ABC*, ἀπηγμένα z ‖ 21. νενόμιστο z ‖ 23. οὖν *Rd*

δώνῃ οἱ Πελασγοὶ εἰ ἀνέλωνται τὰ οὐνόματα τὰ ἀπὸ τῶν βαρβάρων ἥκοντα, ἀνεῖλε τὸ μαντήιον χρᾶσθαι. ἀπὸ μὲν δὴ τούτου τοῦ χρόνου ἔθυον τοῖσι οὐνόμασι τῶν θεῶν χρεώμενοι· παρὰ δὲ Πελασγῶν Ἕλληνες ἐξεδέξαντο ὕστερον.
53 ὅθεν δὲ ἐγένοντο ἕκαστος τῶν θεῶν, εἴτε αἰεὶ ἦσαν πάντες, ὁκοῖοί τε τινὲς τὰ εἴδεα, οὐκ ἠπιστέατο μέχρι οὗ πρώην τε καὶ χθὲς ὡς εἰπεῖν λόγῳ. Ἡσίοδον γὰρ καὶ Ὅμηρον ἡλικίην τετρακοσίοισι ἔτεσι δοκέω μευ πρεσβυτέρους γενέσθαι καὶ οὐ πλέοσι· οὗτοι δέ εἰσι οἱ ποιήσαντες θεογονίην Ἕλλησι καὶ τοῖσι θεοῖσι τὰς ἐπωνυμίας δόντες καὶ τιμάς τε καὶ τέχνας διελόντες καὶ εἴδεα αὐτῶν σημήναντες. οἱ δὲ πρότερον ποιηταὶ λεγόμενοι τούτων τῶν ἀνδρῶν γενέσθαι ὕστερον, ἔμοιγε δοκέειν, ἐγένοντο. τούτων τὰ μὲν πρῶτα αἱ Δωδωνίδες ἱρεῖαι λέγουσι, τὰ δὲ ὕστερα τὰ ἐς Ἡσίοδόν τε καὶ Ὅμηρον ἔχοντα ἐγὼ λέγω.

54 Χρηστηρίων δὲ πέρι τοῦ τε ἐν Ἕλλησι καὶ τοῦ ἐν Λιβύῃ τόνδε Αἰγύπτιοι λόγον λέγουσι. ἔφασαν οἱ ἱρέες τοῦ Θηβαιέος Διὸς δύο γυναῖκας ἱρείας ἐκ Θηβέων ἐξαχθῆναι ὑπὸ Φοινίκων, καὶ τὴν μὲν αὐτέων πυθέσθαι ἐς Λιβύην πρηθεῖσαν τὴν δὲ ἐς τοὺς Ἕλληνας, ταύτας δὲ τὰς γυναῖκας εἶναι τὰς ἱδρυσαμένας τὰ μαντήια πρώτας ἐν τοῖσι εἰρημένοισι ἔθνεσι.

ὅτι Ὅμηρος καὶ Ἡσίοδος πρὸ υ̅ ἐτῶν γεγόνασιν τοῦ ἱστορικοῦ   περὶ τοῦ ἐν Δωδώνῃ καὶ ἐν Λιβύῃ χρηστηρίου

---

7. Ἡσίοδον - 13 ἐγένοντο Cyrillus adv. Julian. III p. 76 Spanh. — Ἡσίοδον - 11 σημήναντες Athenagoras legat. 14. — 8. Proclus proleg. in Hesiod. p. 7 Gaisf.

1. ἀνέλονται *z* ‖ τὰ om. *R* ‖ 3. χρώμενοι *R* ‖ 4. ἐδέξαντο *Rdz* ‖ 5. ἔνθεν *ABC* ‖ ἐγένετο *BCz* ‖ εἴτε δ' *ABC* ‖ αἰεὶ *C*: ἀεὶ ‖ 6. πρώην] πρὶν *ABC* ‖ 7. γὰρ] δὲ Cyr. ‖ 8. δοκέομεν πρεσβυτέρους Cyr., δοκέω πρεσβυτέρους ἐμοῦ· Athen. ‖ 9. πλέουσι *A*, πλείοσι Athen. ‖ δ εἰσὶν *ABC* ‖ 10. τε om. Cyr. ‖ 11. ἰδέαν Cyr. ‖ πρότεροῑ *P*, πρότεροι *Rdz* ‖ 13. ἐμοὶ δοκέειν *PRdz* ‖ ἐγένοντο τούτων. τὰ *PRd*, ἐγένοντο τούτων. καὶ τὰ *z* ‖ 14. ἱέρειαι *ABC*, ἱρήϊαι *PRdz* ‖ ὕστερον *PRdz* ‖ τὰς *d* ‖ 16. τοῦ τε] τῶν τε *PRdz* ‖ ἐν Ἕλλησι] ἕλλησι *Apr*. ‖ 17. λόγον ἔχουσι *B*, λέγουσι λόγον *d* ‖ θηβαέος *R* ‖ 18. ἱερείας *ABC*, ἱρηΐας *PRdz* ‖ θηβαίων *CRdz* ‖ 19. αὐτῶν *C* ‖ εἰς *R* ‖ προσθεϊσασαν *C*[1] ‖ 20. εἶναι om. *C* ‖ $\overset{\text{σα}}{\text{ἱδρυμένας}}$ *P*, ἱδρυμένας *Rd*

εἰρομένου δέ μευ ὁκόθεν οὕτω ἀτρεκέως ἐπιστάμενοι λέγουσι, ἔφασαν πρὸς ταῦτα ζήτησιν μεγάλην ἀπὸ σφέων γενέσθαι τῶν γυναικῶν τουτέων, καὶ ἀνευρεῖν μέν σφεας οὐ δυνατοὶ γενέσθαι, πυθέσθαι δὲ ὕστερον ταῦτα περὶ αὐτέων τά περ δὴ ἔλεγον. ταῦτα μέν νυν τῶν ἐν Θήβῃσι ἱρέων ἤκουον, τάδε 55
δὲ Δωδωναίων φασὶ αἱ προμάντιες. δύο πελειάδας μελαίνας ἐκ Θηβέων τῶν Αἰγυπτιέων ἀναπταμένας τὴν μὲν αὐτέων ἐς Λιβύην τὴν δὲ παρὰ σφέας ἀπικέσθαι, ἱζομένην δέ μιν ἐπὶ φηγὸν αὐδάξασθαι φωνῇ ἀνθρωπηίῃ ὡς χρεὸν εἴη μαντήιον αὐτόθι Διὸς γενέσθαι, καὶ αὐτοὺς ὑπολαβεῖν θεῖον εἶναι τὸ ἐπαγγελλόμενον αὐτοῖσι, καί σφεας ἐκ τούτου ποιῆσαι. τὴν δὲ ἐς τοὺς Λίβυας οἰχομένην πελειάδα λέγουσι Ἄμμωνος χρηστήριον κελεῦσαι τοὺς Λίβυας ποιέειν· ἔστι δὲ καὶ τοῦτο Διός. Δωδωναίων δὲ αἱ ἱρεῖαι, τῶν τῇ πρεσβυτάτῃ οὔνομα ἦν Προμένεια, τῇ δὲ μετὰ ταύτην Τιμαρέτη, τῇ δὲ νεωτάτῃ Νικάνδρη, ἔλεγον ταῦτα· συνωμολόγεον δέ σφι καὶ οἱ ἄλλοι Δωδωναῖοι οἱ περὶ τὸ ἱρόν. ἐγὼ δ' ἔχω περὶ αὐτῶν γνώμην τήνδε. εἰ ἀληθέως οἱ Φοίνικες ἐξήγαγον τὰς ἱρὰς γυναῖκας 56
καὶ τὴν μὲν αὐτέων ἐς Λιβύην τὴν δὲ ἐς τὴν Ἑλλάδα ἀπέδοντο, δοκέειν ἐμοί, ἡ γυνὴ αὕτη τῆς νῦν Ἑλλάδος, πρότερον δὲ Πελασγίης καλευμένης τῆς αὐτῆς ταύτης, πρηθῆναι ἐς Θεσπρωτούς, ἔπειτα δουλεύουσα αὐτόθι ἱδρύσασθαι ὑπὸ φηγῷ πεφυκυίῃ Διὸς ἱρόν, ὥσπερ ἦν οἰκὸς ἀμφιπολεύουσαν

αἱ ἐν Δωδώνῃ ἱέρειαι Προμένεια Τιμαρέτη Νικάνδρα

---

6 sqq. Eustathius Od. p. 1760. Theo progymn. p. 220

1. ἠρωμένου *C* ‖ οὔτως *CRd* ‖ 3. σφέας *Rdz* ‖ 5. ἱερέων *R* ‖ τάδε *AB* : τὰ̈ *C*, τὰ *PRdz* ‖ 6. δωδωνέων *R* ‖ 7. θηβαίων *R*, θηβαίων *BCz* ‖ Αἰγυπτίων *z*. Eust. ‖ ἀναπτομένας *ABC* ‖ αὐτῶν *C* ‖ 8. παρά σφεας *C* ‖ 9. ἀνθρωπείηι *P*, ἀνθρωπίη *R*, ἀνθρωπίνῃ *z*. Eust. ‖ χρεὼν *Bcorr*. *Cdz* ‖ 11. ἐπαγγελόμενον *C* ‖ καὶ σφέας *PRdz* ‖ 12. δ' *ABC* ‖ 14. αἱ om. *Rd*. Eust. ‖ ἱέρειαι *ABC*. Eust., ἱρήϊαι *PRdz* ‖ τῶ *R* ‖ 15. μετ' αὐτὴν *PRdz*. Eust. ‖ 16. οἱ om. *PRdz* ‖ 17. αὐτέων *L* ‖ 18. τῆνδε *A* ‖ ἱεράς *R* ‖ 19. αὐτῶν *C* ‖ 20. δοκέει *sv*. Wesseling ‖ 22. θεπρωτοὺς *R* ‖ δουλεύουσαν *Rd* ‖ 23. ἱρὸν διὸς *ABC* ‖ εἰκὸς *dz* ‖ ἀμφιπολεῦσαν *qz*. ἀμφιπολεύσασαν coni. Bekker

ἐν Θήβῃσι ἱρὸν Διός, ἔνθα ἀπίκετο, ἐνθαῦτα μνήμην αὐτοῦ
ἔχειν. ἐκ δὲ τούτου χρηστήριον κατηγήσατο, ἐπείτε συνέ-
λαβε τὴν Ἑλλάδα γλῶσσαν. φάναι δέ οἱ ἀδελφεὴν ἐν Λιβύῃ
πεπρῆσθαι ὑπὸ τῶν αὐτῶν Φοινίκων ὑπ' ὧν καὶ αὐτὴ ἐπρή-
57 θη. πελειάδες δέ μοι δοκέουσι κληθῆναι πρὸς Δωδωναίων
ἐπὶ τοῦδε αἱ γυναῖκες, διότι βάρβαροι ἦσαν, ἐδόκεον δέ σφι
ὁμοίως ὄρνισι φθέγγεσθαι. μετὰ δὲ χρόνον τὴν πελειάδα
ἀνθρωπηίῃ φωνῇ αὐδάξασθαι λέγουσι, ἐπείτε συνετά σφι
ηὔδα ἡ γυνή· ἕως δὲ ἐβαρβάριζε, ὄρνιθος τρόπον ἐδόκεέ σφι
φθέγγεσθαι, ἐπεὶ τέῳ τρόπῳ ἂν πελειάς γε ἀνθρωπηίῃ φωνῇ
φθέγξαιτο; μέλαιναν δὲ λέγοντες εἶναι τὴν πελειάδα σημαί-
58 νουσι ὅτι Αἰγυπτίη ἡ γυνὴ ἦν. ἡ δὲ μαντηίη ἥ τε ἐν Θή-
βῃσι τῇσι Αἰγυπτίῃσι καὶ ἡ ἐν Δωδώνῃ παραπλήσιαι ἀλλή-
λῃσι τυγχάνουσι ἐοῦσαι. ἔστι δὲ καὶ τῶν ἱρῶν ἡ μαντικὴ
ἀπ' Αἰγύπτου ἀπιγμένη. πανηγύριας δὲ ἄρα καὶ πομπὰς καὶ
προσαγωγὰς πρῶτοι ἀνθρώπων Αἰγύπτιοί εἰσι οἱ ποιησάμενοι,
καὶ παρὰ τούτων Ἕλληνες μεμαθήκασι. τεκμήριον δέ μοι
τούτου τόδε· αἱ μὲν γὰρ φαίνονται ἐκ πολλοῦ τευ χρόνου
ποιεύμεναι, αἱ δὲ Ἑλληνικαὶ νεωστὶ ἐποιήθησαν.
59 Πανηγυρίζουσι δὲ Αἰγύπτιοι οὐκ ἅπαξ τοῦ ἐνιαυτοῦ,
πανηγύριας δὲ συχνάς, μάλιστα μὲν καὶ προθυμότατα ἐς
Βούβαστιν πόλιν τῇ Ἀρτέμιδι, δεύτερα δὲ ἐς Βούσιριν πόλιν
τῇ Ἴσι· ἐν ταύτῃ γὰρ δὴ τῇ πόλι ἐστὶ μέγιστον Ἴσιος ἱρόν,

περὶ τῶν παρ' Αἰγυπτίοις πανηγύρεων καὶ πομπῶν . Αἰγύπτου πόλεις Βούβαστος, Βούσιρις, Σάις, Ἡλίου πόλις, Βουτώ, Πάπρημις

5 sqq. Eustathius Od. p. 1760. — 15. Plutarchus mor. p. 857. — 22. Stephanus Byz. v. Βούβαστος. — 23. ἐν ταύτῃ - p. 179, 3 Δημήτηρ (idem v. Βούσιρις)

1. ἔνθαδ' *A* ‖ 3. φᾶναι *ABPd* ‖ 6. διότι - 7 φθέγγεσθαι om. *d* ‖ ἐδόκεε *Pz* ‖ 8. ἀνθρωπείηι *P*, ἀνθρωπίη *Rd*, ἀνθρωπίνῃ *z* ‖ τὰ συνετὰ *z* ‖ 9. ηὖδα *d*, αὖδα *C* ‖ δὲ] δ' *AB*, om. *C* ‖ ἐδόκεέ σφι ante ὄρνιθος *z* ‖ 10. ἂν om. *ABC* ‖ γε om. *PRdz* ‖ ἀνθρωπίῃ *Rd*, ἀνθρωπίνῃ *z* ‖ 13. καὶ ἡ scripsi: καὶ ‖ 14. ἱρέων *ABC* ‖ μαντικῆι *C* ‖ 15. ἀπηγμένη *Apr.R* ‖ πανηγύρεις *ABC* ‖ 18. τευ] τοῦ *C* ‖ 20. οὐχ *AB* ‖ 21. πανηγύρις *AB*, πανηγύρεις *C* ‖ ἐς] τὰ ἐς *Rdz* ‖ 22. βούβαστιν *PRdz*. Steph.: βούβαστον ‖ πόλει *C*, τὴν πόλιν *Rd* ‖ δὲ ἐς scripsi: ἐς ‖ 23. ἴσῃ *Rd* ‖ πόλει *Cd*, πόλεϊ *z* ‖ ἐστὶν *C*, ἔστι *Rdz* ‖ Ἴσιος μέγιστον ἱερόν Steph. ‖ — βουτοως *AB*, βούτοος *R*

ἵδρυται δὲ ἡ πόλις αὕτη τῆς Αἰγύπτου ἐν μέσῳ τῷ Δέλτα·
Ἶσις δέ ἐστι κατὰ τὴν Ἑλλήνων γλῶσσαν Δημήτηρ. τρίτα
δὲ ἐς Σάιν πόλιν τῇ Ἀθηναίῃ πανηγυρίζουσι, τέταρτα δὲ
ἐς Ἡλίου πόλιν τῷ Ἡλίῳ, πέμπτα δὲ ἐς Βουτοῦν πόλιν τῇ
Λητοῖ, ἕκτα δὲ ἐς Πάπρημιν πόλιν τῷ Ἄρεϊ. ἐς μέν νυν 60
Βούβαστιν πόλιν ἐπεὰν κομίζωνται, ποιεῦσι τοιάδε. πλέουσί
τε γὰρ δὴ ἅμα ἄνδρες γυναιξὶ καὶ πολλόν τι πλῆθος ἑκατέ-
ρων ἐν ἑκάστῃ βάρι· αἱ μέν τινες τῶν γυναικῶν κρόταλα
ἔχουσαι κροταλίζουσι, οἱ δὲ αὐλέουσι κατὰ πάντα τὸν πλόον,
αἱ δὲ λοιπαὶ γυναῖκες καὶ ἄνδρες ἀείδουσι καὶ τὰς χεῖρας κρο-
τέουσι. ἐπεὰν δὲ πλέοντες κατά τινα πόλιν ἄλλην γένωνται,
ἐγχρίμψαντες τὴν βᾶριν τῇ γῇ ποιεῦσι τοιάδε. αἱ μέν τινες
τῶν γυναικῶν ποιεῦσι τά περ εἴρηκα, αἱ δὲ τωθάζουσι βοῶ-
σαι τὰς ἐν τῇ πόλι ταύτῃ γυναῖκας, αἱ δὲ ὀρχέονται, αἱ δὲ
ἀνασύρονται ἀνιστάμεναι. ταῦτα παρὰ πᾶσαν πόλιν παρα-
ποταμίην ποιεῦσι· ἐπεὰν δὲ ἀπίκωνται ἐς τὴν Βούβαστιν,
ὁρτάζουσι μεγάλας ἀνάγοντες θυσίας, καὶ οἶνος ἀμπέλινος
ἀναισιμοῦται πλέων ἐν τῇ ὁρτῇ ταύτῃ ἢ ἐν τῷ ἅπαντι ἐνιαυ-
τῷ τῷ ἐπιλοίπῳ. συμφοιτέουσι δέ, ὅ τι ἀνὴρ καὶ γυνή ἐστι
πλὴν παιδίων, καὶ ἐς ἑβδομήκοντα μυριάδας, ὡς οἱ ἐπιχώριοι
λέγουσι. ταῦτα μὲν δὴ ταύτῃ ποιέεται, ἐν δὲ Βουσίρι πόλι 61
ὡς ἀνάγουσι τῇ Ἴσι τὴν ὁρτήν, εἴρηται πρότερόν μοι·
τύπτονται γὰρ δὴ μετὰ τὴν θυσίην πάντες καὶ πᾶσαι, μυ-

περὶ Βουβάστου πόλεως καὶ τοῦ τῆς Ἀρτέμιδος ἱεροῦ — περὶ Βουσίριδος πόλεως καὶ τῆς Ἴσιδος

---

12. Λέξεις. — 17. (Hesychius v. οἶνος ἀμπέλινος). — 21. ἐν δὲ - p. 178, 2 λέγειν Athenagoras legat. 25

1. τῆς om. *R* ‖ ἐν μέσῳ τῆς Αἰγύπτου Steph. ‖ τοῦ Δέλτα *z*, ἐν τῷ Δέλτα Steph. ‖ 2. δ' ἐστὶ κατὰ τὴν τῶν Steph. ‖ ἡ Δημήτηρ Steph. ‖ 3. δὲ *Rd*: δ' ‖ 4. ἡλιούπολιν *Rdz* ‖ πόλει C^1 ‖ 5. πάμπρημιν *C*, πρημιν P^t, πρῆμιν *Rd* ‖ ἄρηϊ AB^t, ἄρει B^m, ἄρῃ *C* ‖ 6. βούβαστον *ABC* ‖ πόλιν] πόλει C^1, om. *Rdz* ‖ τάδε *Pz* ‖ 8. βάρει *C* ‖ 11. γένωνται ἄλλην *C* ‖ 12. ἐχρίψαντες *d*, ἐγχρίψαντες *z*. gloss. ‖ βᾶριν *AB*: βάριν ‖ τάδε *z* ‖ 14. πόλεϊ *z* ‖ bis δὲ *ABC*: δ' ‖ 15. παρὰ ποταμίην *R* ‖ 16. ποιέουσι *AB*, ποιέουσιν *C* ‖ βούβαστον *ABC* ‖ 17. ἑορτάζουσι *AB* ‖ 18. ἀναισιμοῦνται *Cpr*. ‖ πλέον C^2dz ‖ ὁρτῆι *C* ‖ 19. τῷ om. *C* ‖ συμφοιτῶσι *ABRd*, συμφοιτέωσι *CPz* ‖ 21. βουσίρει πόλει *C* ‖ 22. ὁρτὴν *C*, ἑορτὴν Athen. ‖ 23. γὰρ] μὲν γὰρ *ABC*

ριάδες κάρτα πολλαὶ ἀνθρώπων· τὸν δὲ τύπτονται, οὔ μοι ὅσιόν ἐστι λέγειν. ὅσοι δὲ Καρῶν εἰσι ἐν Αἰγύπτῳ οἰκέοντες, οὗτοι δὲ τοσούτῳ ἔτι πλέω ποιεῦσι τούτων ὅσῳ καὶ τὰ μέτωπα κόπτονται μαχαίρῃσι, καὶ τούτῳ εἰσὶ δῆλοι ὅτι εἰσὶ ξεῖνοι
62 καὶ οὐκ Αἰγύπτιοι. ἐς Σάιν δὲ πόλιν ἐπεὰν συλλεχθέωσι, τῇσι θυσίῃσι ἔν τινι νυκτὶ λύχνα καίουσι πάντες πολλὰ ὑπαίθρια περὶ τὰ δώματα κύκλῳ· τὰ δὲ λύχνα ἐστὶ ἐμβάφια ἔμπλεα ἁλὸς καὶ ἐλαίου, ἐπιπολῆς δὲ ἔπεστι αὐτὸ τὸ ἐλλύχνιον, καὶ τοῦτο καίεται παννύχιον, καὶ τῇ ὁρτῇ οὔνομα κέεται λυχνοκαΐη. οἳ δ' ἂν μὴ ἔλθωσι τῶν Αἰγυπτίων ἐς τὴν πανήγυριν ταύτην, φυλάσσοντες τὴν νύκτα τῆς θυσίης καίουσι καὶ αὐτοὶ πάντες τὰ λύχνα, καὶ οὕτω οὐκ ἐν Σάι μούνῃ καίεται ἀλλὰ καὶ ἀνὰ πᾶσαν Αἴγυπτον. ὅτευ δὲ εἵνεκα φῶς ἔλαχε καὶ τιμὴν ἡ νὺξ αὕτη, ἔστι ἱρὸς περὶ αὐτοῦ λόγος
63 λεγόμενος. ἐς δὲ Ἡλίου τε πόλιν καὶ Βουτοῦν θυσίας μούνας ἐπιτελέουσι φοιτέοντες. ἐν δὲ Παπρήμι θυσίας μὲν καὶ ἱρὰ κατά περ καὶ τῇ ἄλλῃ ποιεῦσι· εὖτ' ἂν δὲ γίνηται καταφερὴς ὁ ἥλιος, ὀλίγοι μέν τινες τῶν ἱρέων περὶ τὤγαλμα πεπονέαται, οἱ δὲ πολλοὶ αὐτῶν ξύλων κορύνας ἔχοντες ἑστᾶσι τοῦ ἱροῦ ἐν τῇ ἐσόδῳ, ἄλλοι τε εὐχωλὰς ἐπιτελέοντες πλεῦνες χιλίων ἀνδρῶν, ἕκαστοι ἔχοντες ξύλα καὶ οὗτοι, ἐπὶ τὰ ἕτερα ἁλέες ἑστᾶσι. τὸ δὲ ἄγαλμα ἐὸν ἐν νηῷ μικρῷ ξυλίνῳ κατακεχρυσωμένῳ προεκκομίζουσι τῇ προτεραίῃ ἐς

περὶ τῆς ἐν Σάι πόλει πανηγύρεως περὶ τῶν ἐν Ἡλίου πόλει καὶ Βουτοῖ καὶ Παπρήμι ἑορτῶν

5 sqq. Themistius IV p. 49. — 6. Athenaeus p. 701. Pollux X 115. Photius v. λύχνα. Bekkeri Anecd. p. 106. Eustathius Od. p. 1571. — 8. Pollux VII 178. Phynichus p. 162 Lob. Bekkeri Anecd. p. 95. — 10. Pollux VII 178. — 19. Λέξεις. — 22. Eustathius Il. p. 179

1. τὸν] τῶ *A²Rd*, τῷ z ‖ 3. πλέον *C* ‖ ποιέουσι *PRd* ‖ 5. συλλεχθῶσι *PRdz* ‖ 6. ἔν τινι] ἐν τῇ *PtRdz* ‖ 9. ὁρτῆι *C* ‖ 10. καίεται *d²* ‖ λυχνοκαΐῆ *A*, λυχνοκαΐηι *C*, λυχνοκαΐα *P* ‖ 12. οὕτω] τοῦτο *B* ‖ 13. ὅτου *ABC* ‖ ἕνεκα *Rdz* ‖ 15. τε om. *ABC* ‖ 16. φοιτέωντες *C*, φοιτῶντες *R* ‖ παπρῆμι *Rd* ‖ 17. ποιέουσι *PRdz* ‖ δὲ *Pdz*: δὴ *ABC*, om. *R* ‖ γένηται *Rd* ‖ 18. τὸ ἄγαλμα *ABz* ‖ 19. αὐτέων ἐκ ξύλων *PRdz* ‖ 20. εἰσόδωι *C* ‖ τε *ABC*: δὲ ‖ ἀποτελέοντες *Rd* ‖ 22. ἁλέες om. *C* ‖ 23. προτέρῃ *Rd* ‖ — βουτωοιη *A*, βουτωοι καὶ *B*, βου καὶ *R*

ἄλλο οἴκημα ἱρόν. οἱ μὲν δὴ ὀλίγοι οἱ περὶ τὤγαλμα λελειμμένοι ἕλκουσι τετράκυκλον ἅμαξαν ἄγουσαν τὸν νηόν τε καὶ τὸ ἐν τῷ νηῷ ἐνεὸν ἄγαλμα, οἱ δὲ οὐκ ἐῶσι ἐν τοῖσι προπυλαίοισι ἑστεῶτες ἐσιέναι, οἱ δὲ εὐχωλιμαῖοι τιμωρέοντες τῷ θεῷ παίουσι αὐτοὺς ἀλεξομένους. ἐνθαῦτα μάχη ξύλοισι καρτερὴ γίνεται κεφαλάς τε συναράσσονται, καὶ ὡς ἐγὼ δοκέω πολλοὶ καὶ ἀποθνήσκουσι ἐκ τῶν τρωμάτων· οὐ μέντοι οἵ γε Αἰγύπτιοι ἔφασαν ἀποθνήσκειν οὐδένα. τὴν δὲ πανήγυριν ταύτην ἐκ τοῦδε νομίσαι φασὶ οἱ ἐπιχώριοι. οἰκέειν ἐν τῷ ἱρῷ τούτῳ τοῦ Ἄρεος τὴν μητέρα, καὶ τὸν Ἄρεα ἀπότροφον γενόμενον ἐλθεῖν ἐξανδρωμένον ἐθέλοντα τῇ μητρὶ συμμῖξαι, καὶ τοὺς προπόλους τῆς μητρός, οἷα οὐκ ὀπωπότας αὐτὸν πρότερον, οὐ περιορᾶν παριέναι ἀλλὰ ἀπερύκειν, τὸν δὲ ἐξ ἄλλης πόλιος ἀγαγόμενον ἀνθρώπους τούς τε προπόλους τρηχέως περισπεῖν καὶ ἐσελθεῖν παρὰ τὴν μητέρα. ἀπὸ τούτου τῷ Ἄρεϊ ταύτην τὴν πληγὴν ἐν τῇ ὁρτῇ νενομικέναι φασί.

Καὶ τὸ μὴ μίσγεσθαι γυναιξὶ ἐν ἱροῖσι μηδὲ ἀλούτους 64 ἀπὸ γυναικῶν ἐς ἱρὰ ἐσιέναι οὗτοί εἰσι οἱ πρῶτοι θρησκεύσαντες. οἱ μὲν γὰρ ἄλλοι σχεδὸν πάντες ἄνθρωποι, πλὴν Αἰγυπτίων καὶ Ἑλλήνων, μίσγονται ἐν ἱροῖσι καὶ ἀπὸ γυναικῶν ἀνιστάμενοι ἄλουτοι ἐσέρχονται ἐς ἱρόν, νομίζοντες ἀνθρώπους εἶναι κατά περ τὰ ἄλλα κτήνεα· καὶ γὰρ τὰ ἄλλα κτήνεα ὁρᾶν καὶ ὀρνίθων γένεα ὀχευόμενα ἔν τε τοῖσι νηοῖσι τῶν θεῶν καὶ ἐν τοῖσι τεμένεσι· εἰ ὦν εἶναι τῷ θεῷ τοῦτο μὴ φίλον, οὐκ ἂν οὐδὲ τὰ κτήνεα ποιέειν. οὗτοι μέν νυν τοιαῦτα 65 ἐπιλέγοντες ποιεῦσι ἔμοιγε οὐκ ἀρεστά. Αἰγύπτιοι δὲ θρη-

---

12. Λέξεις

3. τὸ] τῶι C ‖ 4. εὐχολιμαῖοι τιμωρέωντες C ‖ 5. ἀλεξομένους Rd: ἀλεξόμενοι ‖ 8. οἵ τε d, γε οἵ τε z ‖ 11. ἐλθεῖν ἐξανδρωμένον om. A^1 ‖ ἐξανδρωμένων R ‖ ματρὶ z ‖ 12. προπόλλους C, προσπόλους sz ‖ τῆς] καὶ τῆς C ‖ ματρὸς z ‖ 13. ἀλλὰ ABC: ἀλλ' ‖ τὸν δὲ ABC: τόνδ' P, τὸν δ' reliqui ‖ 14. ἀγαγόμενος R ‖ προσπόλους sz ‖ 16. ἄρει ABC ‖ 18. θρησκεύσαντες A ‖ 21. ἀνιστάμενοι ἄλυτοι A^1B^1, ἄλουτοι ἀνιστάμενοι $Ppr.Rd$ ‖ 22. γὰρ τὰ ἄλλα] γὰρ τὰ πάντα $PtRd$ ‖ 23. γένεα] τέλεα Rd ‖ 24. τεμένοισι z ‖ εἶναι] ἦν z ‖ 26. ποιεῦντες ἐπιλέγουσι $PtRdz$ ‖ θρησκεύουσι AB

σκεύουσι περισσῶς τά τε ἄλλα περὶ τὰ ἱρὰ καὶ δὴ καὶ τάδε. ἐοῦσα γὰρ Αἴγυπτος ὅμουρος τῇ Λιβύῃ οὐ μάλα θηριώδης ἐστί· τὰ δὲ ἐόντα σφι ἅπαντα ἱρὰ νενόμισται, καὶ τὰ μὲν σύντροφα αὐτοῖσι τοῖσι ἀνθρώποισι, τὰ δὲ οὔ. τῶν δὲ εἵνεκεν ἀνεῖται τὰ θηρία ἱρὰ εἰ λέγοιμι, καταβαίην ἂν τῷ λόγῳ ἐς τὰ θεῖα πρήγματα, τὰ ἐγὼ φεύγω μάλιστα ἀπηγέεσθαι· τὰ δὲ καὶ εἴρηκα αὐτῶν ἐπιψαύσας, ἀναγκαίῃ καταλαμβανόμενος εἶπον. νόμος δέ ἐστι περὶ τῶν θηρίων ὧδε ἔχων. μελεδωνοὶ ἀποδεδέχαται τῆς τροφῆς χωρὶς ἑκάστων καὶ ἔρσενες καὶ θήλεαι τῶν Αἰγυπτίων, τῶν παῖς παρὰ πατρὸς ἐκδέκεται τὴν τιμήν. οἱ δὲ ἐν τῇσι πόλισι ἕκαστοι εὐχὰς τάσδε σφι ἀποτελέουσι· εὐχόμενοι τῷ θεῷ τοῦ ἂν ᾖ τὸ θηρίον, ξυρῶντες τῶν παιδίων ἢ πᾶσαν τὴν κεφαλὴν ἢ τὸ ἥμισυ ἢ τὸ τρίτον μέρος τῆς κεφαλῆς, ἱστᾶσι σταθμῷ πρὸς ἀργύριον τὰς τρίχας· τὸ δ' ἂν ἑλκύσῃ, τοῦτο τῇ μελεδωνῷ τῶν θηρίων διδοῖ, ἡ δὲ ἀντ' αὐτοῦ τάμνουσα ἰχθῦς παρέχει βορὴν τοῖσι θηρίοισι. τροφὴ μὲν δὴ αὐτοῖσι τοιαύτη ἀποδέδεκται· τὸ δ' ἄν τις τῶν θηρίων τούτων ἀποκτείνῃ, ἢν μὲν ἑκών, θάνατος ἡ ζημίη, ἢν δὲ ἀέκων, ἀποτίνει ζημίην τὴν ἂν οἱ ἱρέες τάξωνται. ὃς δ' ἂν ἶβιν ἢ ἴρηκα ἀποκτείνῃ, ἤν τε ἑκὼν ἤν
66 τε ἀέκων, τεθνάναι ἀνάγκη. πολλῶν δὲ ἐόντων ὁμοτρόφων τοῖσι ἀνθρώποισι θηρίων πολλῷ ἂν ἔτι πλέω ἐγίνετο, εἰ μὴ κατελάμβανε τοὺς αἰελούρους τοιάδε. ἐπεὰν τέκωσι αἱ θήλεαι, οὐκέτι φοιτέουσι παρὰ τοὺς ἔρσενας· οἱ δὲ διζήμενοι

περὶ τῶν ἐν Αἰγύπτῳ ἱερῶν θηρίων   περὶ αἰλούρων

---

8. Λέξεις

2. γὰρ Reiske: δὲ *L*. ἡ Bekker ‖ 3. ἅπαντα ἱρὰ *Pz*: πάντα ἱρὰ *ABC*, ἱρὰ ἅπαντα *Rd* ‖ 4. εἵνεκα *Pz* ‖ 5. τὰ θηρία ἱρὰ supplevi: τὰ ἱρὰ ‖ 7. ἀνάγκηι *AB*, ἀνάγκηι καὶ *C* ‖ 9. ἀποδέχαται *Rd* ‖ 11. πόλησι *C* ‖ ante τάσδε vel etiam post ἀποτελέουσι talia fere e Diodori I 83 supplenda videntur: ὑπὲρ τῶν παιδίων τῶν ἐκ νούσου σωθέντων ‖ τᾶσδέ *A* ‖ 12. ξυροῦντες *CPz* ‖ 15. τόδ' ἂν *P* ‖ τούτω *d* ‖ τῇ] τῶ *Rd* ‖ τῶν om. *z* ‖ 16. ἡ δ' *PRd*, ἦδ' *z* ‖ 17. τὸ δ' ἄν τις] ὅς δ' ἄν τι? ‖ 19. ὁ ἀέκων *d* ‖ ἀποτίνειν *z* ‖ 20. ἶβιν *Rdz* ‖ ἴρηκα *PRz* ‖ 21. δ' ἐόντων *P*, δὲ ὄντων *Rz*, δὲ ὄντων τῶν *d* ‖ 22. πλείω *Rd* ‖ 23. αἰελούρους A^2B^2C: αἰ//λούρους A^1, αἰλούρους reliqui ‖ 24. φοιτῶσι *AB*, φοιτέωσι *C*

μίσγεσθαι αὐτῇσι οὐκ ἔχουσι. πρὸς ὧν ταῦτα σοφίζονται τάδε. ἁρπάζοντες ἀπὸ τῶν θηλέων καὶ ὑπαιρεόμενοι τὰ τέκνα κτείνουσι, κτείναντες μέντοι οὐ πατέονται· αἱ δὲ στερισκόμεναι τῶν τέκνων, ἄλλων δὲ ἐπιθυμέουσαι, οὕτω δὴ ἀπικνέονται παρὰ τοὺς ἔρσενας· φιλότεκνον γὰρ τὸ θηρίον. πυρκαϊῆς δὲ γινομένης θεῖα πρήγματα καταλαμβάνει τοὺς αἰελούρους· οἱ μὲν γὰρ Αἰγύπτιοι διαστάντες φυλακὰς ἔχουσι τῶν αἰελούρων, ἀμελήσαντες σβεννύναι τὸ καιόμενον, οἱ δὲ αἰέλουροι διαδύοντες καὶ ὑπερθρώσκοντες τοὺς ἀνθρώπους ἐσάλλονται ἐς τὸ πῦρ. ταῦτα δὲ γινόμενα πένθεα μεγάλα τοὺς Αἰγυπτίους καταλαμβάνει. ἐν ὁτέοισι δ' ἂν οἰκίοισι αἰέλουρος ἀποθάνῃ ἀπὸ τοῦ αὐτομάτου, οἱ ἐνοικέοντες πάντες ξυρῶνται τὰς ὀφρύας μούνας, παρ' ὁτέοισι δ' ἂν κύων, πᾶν τὸ σῶμα καὶ τὴν κεφαλήν. ἀπάγονται δὲ οἱ αἰέλουροι ἀπο- 67
θανόντες ἐς ἱρὰς στέγας, ἔνθα θάπτονται ταριχευθέντες, ἐν Βουβάστι πόλι· τὰς δὲ κύνας ἐν τῇ ἑωυτῶν ἕκαστοι πόλι θάπτουσι ἐν ἱρῇσι θήκῃσι. ὡς δὲ αὔτως τῇσι κυσὶ οἱ ἰχνευταὶ θάπτονται. τὰς δὲ μυγαλᾶς καὶ τοὺς ἴρηκας ἀπάγουσι ἐς Βουτοῦν πόλιν, τὰς δὲ ἴβις ἐς Ἑρμέω πόλιν. τὰς δὲ ἄρκτους ἐούσας σπανίας καὶ τοὺς λύκους οὐ πολλῷ τεῳ ἐόντας ἀλωπέκων μέζονας αὐτοῦ θάπτουσι τῇ ἂν εὑρεθέωσι κείμενοι.

Τῶν δὲ κροκοδείλων φύσις ἐστὶ τοιήδε. τοὺς χειμεριω- 68

περὶ κυνῶν καὶ μυγαλῶν καὶ ἱεράκων καὶ ἴβεων καὶ ἄρκτων καὶ λύκων καὶ κροκοδείλων

γρ. δα

1. ταῦτα] τὰ *Ppr.Rd* ‖ 2. θηλεῶν *ABPz* ‖ 3. δάτεονται *ABC*, πατέονται *P* ‖ 4. δὴ om. *Ppr.Rd* ‖ 5. γὰρ] δὲ *ABC* ‖ 6. γινομένης *dz*, γιγνομένης *PR*: γενομένης ‖ 7. αἰλούρους *PRdz* ‖ 8. αἰλούρων *PRdz* ‖ 9. αἰέλουροι *Bcorr.C*: αἴλουροι ‖ ὑπερθρώισκοντες *C* ‖ 10. ἅλλονται *ABC* ‖ τούτων δὲ γιγνομένων (s. γινομένων) *PRdz* ‖ 11. τοὺς om. *BR* ‖ ὁτέῃσι et οἰκίῃσι *d*, ὁτέῃσι et οἰκίῃσι *z* ‖ αἴλουρος *PRdz* ‖ 13. ξυροῦνται *ABP*, ξυροῦντες *C*, ξυρέονται *Rz*, ξυρέωνται *d* ‖ ὀφρῦς *Rd* ‖ 14. ἀπαγέαται *C* ‖ αἴλουροι *A*[1]*PRdz* ‖ 16. βουβάστηι *C* ‖ bis πόλει *Cd* ‖ 17. ἱροῖσι *d* ‖ θήβηισι *B*[1], θήβησιν *Rd* ‖ ὡς δὲ αὔτως *ABC*, ὡς δ' αὔτως *PRd*, ὡςαύτως δὲ *z* ‖ 18. μυγάλας *C*, μυγαλὰς *dz* ‖ ἴρηκας *CPRz* ‖ 19. τὰς - πόλιν om. *PtRdz* ‖ 20. σπανίας] ἱρὰς *PRdz* ‖ τεῳ] τε *Ppr.Rd* ‖ 21. ἀλωπεκέων *C* ‖ μείζονας *d* ‖ εὑρεθέωσι *Pz*: εὑρεθῶσι ‖ 23. ἡ φύσις Schaefer ‖ τοιῆδε *AB*

τάτους μῆνας τέσσερας ἐσθίει οὐδέν, ἐὸν δὲ τετράπουν χερσαῖον καὶ λιμναῖόν ἐστι. τίκτει μὲν γὰρ ᾠὰ ἐν γῇ καὶ ἐκλέπει, καὶ τὸ πολλὸν τῆς ἡμέρης διατρίβει ἐν τῷ ξηρῷ, τὴν δὲ νύκτα πᾶσαν ἐν τῷ ποταμῷ· θερμότερον γὰρ δή ἐστι τὸ ὕδωρ τῆς τε αἰθρίης καὶ τῆς δρόσου. πάντων δὲ τῶν ἡμεῖς ἴδμεν θνητῶν τοῦτο ἐξ ἐλαχίστου μέγιστον γίνεται· τὰ μὲν γὰρ ᾠὰ χηνέων οὐ πολλῷ μέζονα τίκτει, καὶ ὁ νεοσσὸς κατὰ λόγον τοῦ ᾠοῦ γίνεται, αὐξανόμενος δὲ γίνεται καὶ ἐς ἑπτακαίδεκα πήχεας καὶ μέζων ἔτι. ἔχει δὲ ὀφθαλμοὺς μὲν ὑός, ὀδόντας δὲ μεγάλους καὶ χαυλιόδοντας κατὰ λόγον τοῦ σώματος. γλῶσσαν δὲ μοῦνον θηρίων οὐκ ἔφυσε. οὐδὲ κινέει τὴν κάτω γνάθον, ἀλλὰ καὶ τοῦτο μοῦνον θηρίων τὴν ἄνω γνάθον προσάγει τῇ κάτω. ἔχει δὲ καὶ ὄνυχας καρτεροὺς καὶ δέρμα λεπιδωτὸν ἄρρηκτον ἐπὶ τοῦ νώτου. τυφλὸν δὲ ἐν ὕδατι, ἐν δὲ τῇ αἰθρίῃ ὀξυδερκέστατον. ἅτε δὴ ὦν ἐν ὕδατι δίαιταν ποιεύμενον, τὸ στόμα ἔνδοθεν φορέει πᾶν μεστὸν βδελλέων. τὰ μὲν δὴ ἄλλα ὄρνεα καὶ θηρία φεύγει μιν, ὁ δὲ τροχίλος εἰρηναῖόν οἱ ἐστὶ ἅτε ὠφελεομένῳ πρὸς αὐτοῦ· ἐπεὰν γὰρ ἐς τὴν γῆν ἐκβῇ ἐκ τοῦ ὕδατος ὁ κροκόδειλος καὶ ἔπειτα χάνῃ (ἔωθε γὰρ τοῦτο ὡς ἐπίπαν ποιέειν πρὸς τὸν ζέφυρον), ἐνθαῦτα ὁ τροχίλος ἐσδύνων ἐς τὸ στόμα αὐτοῦ καταπίνει τὰς βδέλλας· ὁ δὲ ὠφελεύμενος ἥδεται καὶ οὐδὲν

69 σίνεται τὸν τροχίλον. τοῖσι μὲν δὴ τῶν Αἰγυπτίων ἱροί εἰσι οἱ κροκόδειλοι, τοῖσι δὲ οὔ, ἀλλ' ἅτε πολεμίους περιέπουσι· οἱ δὲ περί τε Θήβας καὶ τὴν Μοίριος λίμνην οἰκέοντες κα

περὶ τροχίλου τοῦ ὀρνέου

---

18. Aristoteles ethic. Eud. p. 1236b. — 23. τοῖσι μὲν - 24 περιέπουσι Lexicon Vindob. p. 143

1. τέσσαρας *CRdz* ‖ 2. ὠιᾶ *AB*, ὠεὰ *P*, ᾠὰ reliqui ‖ ἐκλεπεῖ *Rd* ‖ 5. τε om. *ABCd* ‖ 6. ἴσμεν *Rd* ‖ γίγνεται *P* ‖ 7. ὠιὰ *A*: ὠιᾶ *B*, ᾠὰ reliqui ‖ μέζω *PRdz* ‖ 8. ὠοῦ *CRdz* ‖ bis γίγνεται *PRd* ‖ 11. θηρίον *R* ‖ κινέειν τὴν κάτω *C*, κινεῖ τὴν κάτω *P*, τὴν κάτω κινεῖ *Rdz* ‖ 18. τροχῖλος *dz* ‖ εἰρηναῖον οἷ ἐστι *C* ‖ ὠφελευμένω *d*, ὠφελεωμένωι *C* ‖ 19. εἰς *R* ‖ 20. ἐώθεε *Rd* ‖ ὡς τὸ ἐπίπαν *Rd* ‖ 21. τροχῖλος *dz* ‖ εἰς *C* ‖ 22. ὠφελεόμενος *PRz*, ὠφελόμενος *d* ‖ 23. τρόχιλον *A*, τροχῖλον *dz* ‖ 24. ὁ *z* ‖ 25. μύριος *Rd*

κάρτα ἥγηνται αὐτοὺς εἶναι ἱρούς· ἐκ πάντων δὲ ἕνα ἑκάτεροι τρέφουσι κροκόδειλον δεδιδαγμένον εἶναι χειροήθεα, ἀρτήματά τε λίθινα χυτὰ καὶ χρύσεα ἐς τὰ ὦτα ἐνθέντες καὶ ἀμφιδέας περὶ τοὺς ἐμπροσθίους πόδας, καὶ σιτία ἀποτακτὰ διδόντες καὶ ἱρήια, καὶ περιέποντες ὡς κάλλιστα ζῶντας· ἀποθανόντας δὲ θάπτουσι ταριχεύοντες ἐν ἱρῇσι θήκῃσι. οἱ δὲ περὶ Ἐλεφαντίνην πόλιν οἰκέοντες καὶ ἐσθίουσι αὐτοὺς οὐκ ἡγεόμενοι ἱροὺς εἶναι. καλέονται δὲ οὐ κροκόδειλοι ἀλλὰ χάμψαι· κροκοδείλους δὲ Ἴωνες ὠνόμασαν, εἰκάζοντες αὐτῶν τὰ εἴδεα τοῖσι παρὰ σφίσι γινομένοισι κροκοδείλοισι τοῖσι ἐν τῇσι αἱμασιῇσι. ἄγραι δέ σφεων πολλαὶ κατεστᾶσι καὶ παν- 70 τοῖαι· ἣ δ' ὦν ἔμοιγε δοκέει ἀξιωτάτη ἀπηγήσιος εἶναι, ταύτην γράφω. ἐπεὰν νῶτον ὑὸς δελεάσῃ περὶ ἄγκιστρον, μετίει ἐς μέσον τὸν ποταμόν, αὐτὸς δὲ ἐπὶ τοῦ χείλεος τοῦ ποταμοῦ ἔχων δέλφακα ζωὴν ταύτην τύπτει. ἐπακούσας δὲ τῆς φωνῆς ὁ κροκόδειλος ἵεται κατὰ τὴν φωνήν, ἐντυχὼν δὲ τῷ νώτῳ καταπίνει· οἱ δὲ ἕλκουσι. ἐπεὰν δὲ ἐξελκυσθῇ ἐς γῆν, πρῶτον ἁπάντων ὁ θηρευτὴς πηλῷ κατ' ὦν ἔπλασε αὐτοῦ τοὺς ὀφθαλμούς· τοῦτο δὲ ποιήσας κάρτα εὐπετέως τὰ λοιπὰ χειροῦται, μὴ ποιήσας δὲ τοῦτο σὺν πόνῳ.

Οἱ δὲ ἵπποι οἱ ποτάμιοι νομῷ μὲν τῷ Παπρημίτῃ ἱροί 71 εἰσι, τοῖσι δὲ ἄλλοισι Αἰγυπτίοισι οὐκ ἱροί. φύσιν δὲ παρέχονται ἰδέης τοιήνδε· τετράπουν ἐστί, δίχηλον, [ὁπλαὶ βοός], σιμόν, λοφιὴν ἔχον ἵππου, χαυλιόδοντας φαῖνον, οὐρὴν ἵππου

περὶ ἄγρας κροκοδείλων   περὶ ἱπποποτάμων

---

4. Λέξεις. — 13 ἐπεὰν - ἄγκιστρον Lexicon Vindob. p. 45

1. ἄγηνται *C* ‖ 2. ἐκτρέφουσι *z* ‖ 3. λιθωτὰ *Rd* ‖ χρύσινα *C* ‖ ἐσθέντες *P*, ἐσθέντες *Rdz* ‖ 4. προσθίους *ABC* ‖ 5. ζώοντας *C* ‖ 6. ταριχεύσαντες θάπτουσι *PRdz* ‖ ἱροῖσι θήκοισι *d* ‖ 8. οὐ] οἱ *A*[1]*BC* ‖ 9. αὐτοὺς *C* ‖ 11. αὖραι *z* ‖ κατεστέασι *ABC*, κατεστεᾶσι *z* ‖ 12. ἡ δ' *R* ‖ ἐμοὶ *ABC* ‖ εἶναι *Rd* ‖ 13. νῶτος *Rd* ‖ διὸς *C*, συὸς *Pz* ‖ περὶ τὸ Lex. Vindob. ‖ 14. μετήει *C* ‖ δ' *ABC* ‖ 15. ζόην *A*[1]*B* ‖ 16. ἵεται *PRdz* ‖ 17. οἱ δὲ ἕλκουσι om. *P*[t]*Rd* ‖ ἑλκυσθῇ *Ppr.Rd* ‖ 18. θηρευτὴρ *Rd* ‖ ἔπλασσεν *d* ‖ 19. αὐτοὺς *C* ‖ 20. μὴ δὲ ποιήσας *Rd* ‖ 21. νόμωι *C* ‖ παπριημίτηι *ABC* ‖ 23. τοιῆνδε *A* ‖ δίχειλον *C* ‖ ὁπλαὶ βοός seclusi ‖ 24. ἵππου χαυλιόδοντας· φαῖνον οὐρὴν *R*, ἵππου χαυλιόδοντος· φαῖνον οὐρὴν *d*

καὶ φωνήν. μέγαθος ὅσον τε βοῦς ὁ μέγιστος· τὸ δέρμα δ'
αὐτοῦ οὕτω δή τι παχύ ἐστι ὥστε αὔου γενομένου ξυστὰ
ποιέεται ἀκόντια ἐξ αὐτοῦ.
72 Γίνονται δὲ καὶ ἐνύδριες ἐν τῷ ποταμῷ, τὰς ἱρὰς ἥγηνται
εἶναι. νομίζουσι δὲ καὶ τῶν ἰχθύων τὸν καλεύμενον λεπιδω-
τὸν ἱρὸν εἶναι καὶ τὴν ἔγχελυν, ἱροὺς δὲ τούτους τοῦ Νείλου
73 φασὶ εἶναι, καὶ τῶν ὀρνίθων τοὺς χηναλώπεκας. ἔστι δὲ καὶ
ἄλλος ὄρνις ἱρός, τῷ οὔνομα φοῖνιξ. ἐγὼ μέν μιν οὐκ εἶδον
εἰ μὴ ὅσον γραφῇ· καὶ γὰρ δὴ καὶ σπάνιος ἐπιφοιτᾷ σφι, δι'
ἐτέων, ὡς Ἡλιοπολῖται λέγουσι, πεντακοσίων· φοιτᾶν δὲ
τότε φασὶ ἐπεάν οἱ ἀποθάνῃ ὁ πατήρ. ἔστι δέ, εἰ τῇ γραφῇ
παρόμοιος, τοσόσδε καὶ τοιόσδε· τὰ μὲν αὐτοῦ χρυσόκομα
τῶν πτερῶν τὰ δὲ ἐρυθρά· ἐς τὰ μάλιστα αἰετῷ περιήγησιν
ὁμοιότατος καὶ τὸ μέγαθος. τοῦτον δὲ λέγουσι μηχανᾶσθαι
τάδε, ἐμοὶ μὲν οὐ πιστὰ λέγοντες. ἐξ Ἀραβίης ὁρμεόμενον ἐς
τὸ ἱρὸν τοῦ Ἡλίου κομίζειν τὸν πατέρα ἐν σμύρνῃ ἐμπλάσ-
σοντα καὶ θάπτειν ἐν τοῦ Ἡλίου τῷ ἱρῷ· κομίζειν δὲ οὕτω.
πρῶτον τῆς σμύρνης ᾠὸν πλάσσειν ὅσον τε δυνατός ἐστι
φέρειν, μετὰ δὲ πειρᾶσθαι αὐτὸ φορέοντα, ἐπεὰν δὲ ἀπο-
πειρηθῇ, οὕτω δὴ κοιλήναντα τὸ ᾠὸν τὸν πατέρα ἐς αὐτὸ
ἐντιθέναι, σμύρνῃ δὲ ἄλλῃ ἐμπλάσσειν τοῦτο κατ' ὅ τι τοῦ
ᾠοῦ ἐγκοιλήνας ἐνέθηκε τὸν πατέρα, ἐγκειμένου δὲ τοῦ πατρὸς
γίνεσθαι τὠυτὸ βάρος, ἐμπλάσαντα δὲ κομίζειν μιν ἐπ' Αἰ-
γύπτου ἐς τοῦ Ἡλίου τὸ ἱρόν. ταῦτα μὲν τοῦτον τὸν ὄρνιν

περὶ ἰχθύων ἱερῶν καὶ χηναλωπέκων περὶ φοίνικος ὀρνέου

9 sq. Themistius XXXIII p. 367c

1. δ' om. *C* ‖ 2. δὴ παχύ τι *C* ‖ αὔου *P* ‖ 3. ποιέεσθαι *ABC* ‖ 4. γίγνονται *P* ‖ ἐνιδρύες *R*, ἐνίδρυες *d* ‖ ἄγηνται *C* ‖ 5. τῶν *Pdz*: πάντων *ABC*, om. *R* ‖ τὸ *C* ‖ λέπιδοτὸν *R* ‖ 6. ἔχελυν *R* ‖ φασὶ εἶναι τοῦ νείλου *Ppr.*, εἶναι τοῦ Νείλου φασί z ‖ 8. ἴδον *AB*[1] ‖ 9. διὰ *ABC* ‖ 10. ἡλιουπολῖται *CPz* ‖ φοιτᾶιν *Pcorr.*, φοιτῆν *Rd*, φοιτῇν z ‖ 11. ἀποθάνοι *d* ‖ εἰ] ἐν *ABCz*, om. *R* ‖ 13. πτερύγων *Rd* ‖ αἰετῶν *R* ‖ 15. ὁρμεόμενον *P*: ὁρμώμενον *ABRd*, ὁρμεώμενον *Cz* ‖ 18. ᾠὸν *Rdz* ‖ τε om. *PRdz* ‖ δυνατὸς εἶναι *ABC* ‖ 20. ᾠὸν *Rdz* ‖ 21. δὲ om. *Rd* ‖ τοῦτον *d* ‖ κατότι *AC*, καθότι *Rdz* ‖ τοῦ ᾠοῦ *Rz*, om. *d* ‖ 22. ἐκκοιλήνας *ABC* ‖ ἐσκειμένου *ABC* ‖ 23. ἐμπλάσσαντα *ABC* ‖ μιν om. *B*[1]*PRdz*

λέγουσι ποιέειν. εἰσὶ δὲ περὶ Θήβας ἱροὶ ὄφιες, ἀνθρώπων 74
οὐδαμῶς δηλήμονες, οἳ μεγάθεϊ ἐόντες σμικροὶ δύο κέρεα
φορέουσι πεφυκότα ἐξ ἄκρης τῆς κεφαλῆς, τοὺς θάπτουσι
ἀποθανόντας ἐν τῷ ἱρῷ τοῦ Διός· τούτου γάρ σφεας τοῦ θεοῦ
φασι εἶναι ἱρούς. ἔστι δὲ χῶρος τῆς Ἀραβίης κατὰ Βουτοῦν 75
πόλιν μάλιστά κῃ κείμενος, καὶ ἐς τοῦτο τὸ χωρίον ἦλθον πυνθανόμενος περὶ τῶν πτερωτῶν ὀφίων. ἀπικόμενος δὲ εἶδον ὀστέα ὀφίων καὶ ἀκάνθας πλήθεϊ μὲν ἀδύνατα ἀπηγήσασθαι, σωροὶ δὲ ἦσαν ἀκανθέων καὶ μεγάλοι καὶ ὑποδεέστεροι καὶ ἐλάσσονες ἔτι τούτων, πολλοὶ δὲ ἦσαν οὗτοι. ἔστι δὲ ὁ χῶρος οὗτος, ἐν τῷ αἱ ἄκανθαι κατακεχύαται, τοιόσδε τις, ἐσβολὴ ἐξ ὀρέων στεινῶν ἐς πεδίον μέγα· τὸ δὲ πεδίον τοῦτο συνάπτει τῷ Αἰγυπτίῳ πεδίῳ. λόγος δὲ ἐστὶ ἅμα τῷ ἔαρι πτερωτοὺς ὄφις ἐκ τῆς Ἀραβίης πέτεσθαι ἐπ' Αἰγύπτου, τὰς δὲ ἴβις τὰς ὄρνιθας ἀπαντώσας ἐς τὴν ἐσβολὴν ταύτης τῆς χώρης οὐ παριέναι τοὺς ὄφις ἀλλὰ κατακτείνειν. καὶ τὴν ἶβιν διὰ τοῦτο τὸ ἔργον τετιμῆσθαι λέγουσι Ἀράβιοι μεγάλως πρὸς Αἰγυπτίων· ὁμολογέουσι δὲ καὶ Αἰγύπτιοι διὰ ταῦτα
τιμᾶν τὰς ὄρνιθας ταύτας. εἶδος δὲ τῆς μὲν ἴβιος τόδε· 76
μέλαινα δεινῶς πᾶσα, σκέλεα δὲ φορέει γεράνου, πρόσωπον δὲ ἐς τὰ μάλιστα ἐπίγρυπον, μέγαθος ὅσον κρέξ. τῶν μὲν δὴ μελαινέων τῶν μαχομενέων πρὸς τοὺς ὄφις ἥδε ἰδέη, τῶν δ' ἐν ποσὶ μᾶλλον εἱλευμενέων τοῖσι ἀνθρώποισι (διξαὶ γὰρ δή εἰσι ἴβιες) ψιλὴ τὴν κεφαλὴν καὶ τὴν δειρὴν πᾶσαν, λευκὴ

περὶ ἱερῶν ὄφεων περὶ πτερωτῶν ὄφεων καὶ τῶν ἴβεων

21. Λέξεις. — 24. - 186, 1 Theo progymn. p. 242 W.

2. οὐδαμᾶ z ‖ μεγάθει *AB*, μεγάθοι *d* ‖ ὄντες *C* ‖ μικροὶ *L* ‖ 3. φορέουσι] φέροντες *C* ‖ ἀποθανόντας θάπτουσι *PRdz* ‖ 7. περὶ om. *P*[1]*Rd*, γρ. περὶ τῶν ὀφίων *P*[m] ‖ πτερωτῶν om. *ABCq* ‖ ἀπικνεόμενος *d* ‖ 8. εἶδον *Cz*: ἴδον ‖ πλήθει *ABd* ‖ 9. σοροὶ *C* ‖ ἀκανθέων] τῶν θεῶν *ABC*, ὀστέων *A*[3] marg., τῶν ἀκανθέων *B*[3] marg. ‖ 10. ἔτι] ἐπὶ z ‖ 11. ἐν ᾧ *PRdz* ‖ κατακεχύδαται *Ppr.Rd* ‖ τοῖος δέ τις *R* ‖ 12. οὐρέων *Pz*, οὐρεῶν *C* ‖ 13. δ'ἐστὶ *P*, δ'ἔστιν *R* ‖ ἦρι *C* ‖ 14. ὄφεις *C* ‖ 15. δὲ ἴβης *B*[1], δ' ἴβις *Pd*, δ' ἴβης *Rz* ‖ 16. ὄφεις *C* ‖ κτείνειν *B*[1] ‖ 17. ἴβιν *CRdz* ‖ 19. μὲν om. *Cz* ‖ ἴβυος *d* ‖ 22. μαχομενέων *Pz*: μαχομένων ‖ ὄφεις *C* ‖ ἥδε *A*, ἥδ' z ‖ 23. εἰλευμένων *Cd*, εἱλευμένων reliqui ‖ 24. δὴ εἰσὶ *Pz*, δὴ εἰσὶν *Rd* ‖ ἴβυες *d*, αἱ ἴβιες z ‖ ψιλὴν *Rd*, ἡ ψιλὴ *ABC* ‖ λευκὴν *C*

πτεροῖσι πλὴν κεφαλῆς καὶ τοῦ αὐχένος καὶ ἀκρέων τῶν πτερύγων καὶ τοῦ πυγαίου ἄκρου (ταῦτα δὲ τὰ εἶπον πάντα μέλαινά ἐστι δεινῶς), σκέλεα δὲ καὶ πρόσωπον ἐμφερὴς τῇ ἑτέρῃ. τοῦ δὲ ὄφιος ἡ μορφὴ οἵη περ τῶν ὕδρων, πτίλα δὲ οὐ πτερωτὰ φορέει ἀλλὰ τοῖσι τῆς νυκτερίδος πτεροῖσι μάλιστά κῃ ἐμφερέστατα. τοσαῦτα μὲν θηρίων πέρι ἱρῶν εἰρήσθω.

77 Αὐτῶν δὲ δὴ Αἰγυπτίων οἳ μὲν περὶ τὴν σπειρομένην Αἴγυπτον οἰκέουσι, μνήμην ἀνθρώπων πάντων ἐπασκέοντες μάλιστα λογιώτατοί εἰσι μακρῷ τῶν ἐγὼ ἐς διάπειραν ἀπικόμην, τρόπῳ δὲ ζόης τοιῷδε διαχρέωνται. συρμαΐζουσι τρεῖς ἡμέρας ἐπεξῆς μηνὸς ἑκάστου, ἐμέτοισι θηρώμενοι τὴν ὑγιείην καὶ κλύσμασι, νομίζοντες ἀπὸ τῶν τρεφόντων σιτίων πάσας τὰς νούσους τοῖσι ἀνθρώποισι γίνεσθαι. εἰσὶ μὲν γὰρ καὶ ἄλλως Αἰγύπτιοι μετὰ Λίβυας ὑγιηρέστατοι πάντων ἀνθρώπων τῶν ὡρέων ἐμοὶ δοκέειν εἵνεκεν, ὅτι οὐ μεταλλάσσουσι αἱ ὧραι· ἐν γὰρ τῇσι μεταβολῇσι τοῖσι ἀνθρώποισι αἱ νοῦσοι μάλιστα γίνονται τῶν τε ἄλλων πάντων καὶ δὴ καὶ τῶν ὡρέων μάλιστα. ἀρτοφαγέουσι δὲ ἐκ τῶν ὀλυρέων ποιεῦντες ἄρτους, τοὺς ἐκεῖνοι κυλλήστις ὀνομάζουσι. οἴνῳ δὲ ἐκ κριθέων πεποιημένῳ διαχρέωνται· οὐ γάρ σφι εἰσὶ ἐν τῇ χώρῃ ἄμπελοι. ἰχθύων δὲ τοὺς μὲν πρὸς ἥλιον αὐήναντες ὠμοὺς σιτέονται, τοὺς δὲ ἐξ ἅλμης τεταριχευμένους. ὀρνίθων

περὶ τῆς αὐτῶν τῶν Αἰγυπτίων διαίτης καὶ πολιτείας

---

11. Photius v. συρμαία. Λέξεις. — 15. Eustathius Dion. 262. — 20. Athenaeus p. 114c

1. τε καὶ Theo || τοῦ om. *PRdz*. Theo || ἄκρων *L* || 2. τοῦ om. *PRdz* || 3. μέλαινά *C*: μέλενά *R*, μέλανά reliqui || 4. πτιλὰ *R* || 5. τοῖσι] τῇσι *R* || 11. ζωῆς *Rd* || δὴ χρέωνται *Acorr.BC*, δὴ χρέονται *Apr.*, διαχρέονται *P* || 13. ὑγείην *Rd*, ὑγηίην *z* || 14. νόσους *CR* || γίγνεσθαι *P* || 15. ὑγιέστεροι *Rd*. Eust., ὑγιέστατοι *z* || 16. ἀνδρῶν *PRdz*. Eust. || ὡρέων *C* δοκέειν ἐμοὶ εἵνεκα *ABC* || 18. γίνονται μάλιστα *Rd* || τῶν - 19 μάλιστα om. *Rd* || πάντων] εἵνεκα πάντων *z* || 19. ὀλλυρέων *dz*, ἀλλυρέων *R* || 20. κυλλῆστις *C*, κύλληστις *Rd*, κολλήστις *z* || δὲ *ABC*: δ' || 21. διαχρέονται *P* || σφί εἰσι *ABC* || 22. αὐήναντες *P* || 23. δὲ *ABC*: δ'

δὲ τούς τε ὄρτυγας καὶ τὰς νήσσας καὶ τὰ σμικρὰ τῶν ὀρνιθίων ὠμὰ σιτέονται προταριχεύσαντες. τὰ δὲ ἄλλα ὅσα ἢ ὀρνίθων ἢ ἰχθύων σφι ἐστὶ ἐχόμενα, χωρὶς ἢ ὁκόσοι σφι ἱροὶ ἀποδεδέχαται, τοὺς λοιποὺς ὀπτοὺς καὶ ἑφθοὺς σιτέονται. ἐν 78
δὲ τῇσι συνουσίῃσι τοῖσι εὐδαίμοσι αὐτῶν, ἐπεὰν ἀπὸ δείπνου γένωνται, περιφέρει ἀνὴρ νεκρὸν ἐν σορῷ ξύλινον πεποιημένον, μεμιμημένον ἐς τὰ μάλιστα καὶ γραφῇ καὶ ἔργῳ, μέγαθος ὅσον τε [πάντῃ] πηχυαῖον ἢ δίπηχυν, δεικνὺς δὲ ἑκάστῳ τῶν συμποτέων λέγει "ἐς τοῦτον ὁρέων πῖνέ τε καὶ τέρπευ· ἔσεαι γὰρ ἀποθανὼν τοιοῦτος." ταῦτα μὲν παρὰ τὰ συμπόσια ποιεῦσι. πατρίοισι δὲ χρεώμενοι νόμοισι ἄλλον 79
οὐδένα ἐπικτῶνται· τοῖσι ἄλλα τε ἐπάξιά ἐστι νόμιμα, καὶ δὴ καὶ ἄεισμα ἕν ἐστι, Λίνος, ὅσπερ ἔν τε Φοινίκῃ ἀοίδιμός ἐστι καὶ ἐν Κύπρῳ καὶ ἄλλῃ, κατὰ μέντοι ἔθνεα οὔνομα ἔχει, συμφέρεται δὲ ὠυτὸς εἶναι τὸν οἱ Ἕλληνες Λίνον ὀνομάζοντες ἀείδουσι, ὥστε πολλὰ μὲν καὶ ἄλλα ἀποθωυμάζειν με τῶν περὶ Αἴγυπτον ἐόντων, ἐν δὲ δὴ καὶ τὸν Λίνον ὁκόθεν ἔλαβον τὸ οὔνομα· φαίνονται δὲ αἰεί κοτε τοῦτον ἀείδοντες. ἔστι δὲ Αἰγυπτιστὶ ὁ Λίνος καλεύμενος Μανερῶς. ἔφασαν δέ μιν Αἰγύπτιοι τοῦ πρώτου βασιλεύσαντος Αἰγύπτου παῖδα μουνογενέα γενέσθαι, ἀποθανόντα δὲ αὐτὸν ἄνωρον θρήνοισι τούτοισι ὑπὸ Αἰγυπτίων τιμηθῆναι, καὶ ἀοιδήν τε ταύτην

περὶ ᾄσματος Λίνου

15 sqq. Eustathius Il. p. 1164. — Λέξεις

1. νήσας *CRd* ‖ μικρὰ *L* ‖ ὀρνίθων *ABCPcorr.* ‖ 3. ἐστί σφι *PRdz* ‖ 4. ὀπούς καὶ ἐφούς *C* ‖ 5. αὐτέων *PRdz* ‖ 8. πάντῃ seiunxi ‖ δίπηχυ *Pcorr.z*, διπλοῦν *Rd* et *Ppr.* ut videtur ‖ 9. τοῦτο *d* ‖ ὠρέων *C* ‖ τε] τευ *Rd* ‖ 11. χρεώμενο ς *A*[1], χρεώμεν *B*[1], χρεόμενοι *P* ‖ 12. ἐπικτέωνται *Cz*, ἐπικτέονται *P* ‖ τε] τε πολλὰ *z* ‖ ἐπάξια] ἅπαξ ἃ *ABC* ‖ 13. ἕν ἐστι Wesseling: ἔνεστι ‖ λῖνος *Cz*, om. *Rd* ‖ ἔν τε] ἐν τῇ *Rd* ‖ 14. ἄλλῃ] ἐν ἄλλῃ *z* ‖ 15. ωὐτὸς *AB*, ὡὐτὸς *P*, ὡυτὸς reliqui ‖ λῖνον *Rdz* ‖ οὐνομάζοντες *C* ‖ 17. ἐν] ἓν *AB* ‖ λῖνον *Rdz* ‖ ἔλαβε Eust. *z* ‖ 18. τοὔνομα *z* ‖ ἀεί *L* ‖ 19. ὁ om. *Ppr.Rd* ‖ λῖνος *Rdz* ‖ μάνερως *Ppr.d*, μάνερῶς *R*, μανέρως *z* ‖ 20. Αἰγύπτου] αἰγυπτίων *PRdz* ‖ 21. δὲ *ABC*: δ' ‖ ἄωρον *Rd.* Eust. ‖ 22. ὑπὸ *ABC*: ὑπ' ‖ αὐτὴν καὶ μούνην σφίσι *Rd*, ταύτην μούνην εἶναι, καὶ πρώτην σφίσι *z*

80 πρώτην καὶ μούνην σφίσι γενέσθαι. συμφέρονται δὲ καὶ
τόδε ἄλλο Αἰγύπτιοι Ἑλλήνων μούνοισι Λακεδαιμονίοισι· οἱ
νεώτεροι αὐτῶν τοῖσι πρεσβυτέροισι συντυγχάνοντες εἴκουσι
τῆς ὁδοῦ καὶ ἐκτράπονται καὶ ἐπιοῦσι ἐξ ἕδρης ὑπανιστέαται.
τόδε μέντοι ἄλλοισι [Ἑλλήνων] οὐδαμοῖσι συμφέρονται· ἀντὶ
τοῦ προσαγορεύειν ἀλλήλους ἐν τῇσι ὁδοῖσι προσκυνέουσι
81 κατιέντες μέχρι τοῦ γούνατος τὴν χεῖρα. ἐνδεδύκασι δὲ
κιθῶνας λινέους περὶ τὰ σκέλεα θυσανωτούς, τοὺς καλέουσι
καλασίρις· ἐπὶ τούτοισι δὲ εἰρίνεα εἵματα λευκὰ ἐπαναβλη-
δὴν φορέουσι. οὐ μέντοι ἔς γε τὰ ἱρὰ ἐσφέρεται εἰρίνεα οὐδὲ
συγκαταθάπτεταί σφι· οὐ γὰρ ὅσιον. ὁμολογέουσι δὲ ταῦτα
τοῖσι Ὀρφικοῖσι καλεομένοισι καὶ Βακχικοῖσι, ἐοῦσι δὲ Αἰ-
γυπτίοισι καὶ Πυθαγορείοισι· οὐδὲ γὰρ τούτων τῶν ὀργίων
μετέχοντα ὅσιόν ἐστι ἐν εἰρινέοισι εἵμασι θαφθῆναι. ἔστι δὲ
περὶ αὐτῶν ἱρὸς λόγος λεγόμενος.
82 Καὶ τάδε ἄλλα Αἰγυπτίοισί ἐστι ἐξευρημένα, μείς τε καὶ
ἡμέρη ἑκάστη θεῶν ὅτευ ἐστί, καὶ τῇ ἕκαστος ἡμέρῃ γενό-
μενος ὁτέοισι ἐγκυρήσει καὶ ὅκως τελευτήσει καὶ ὁκοῖός τις
ἔσται. καὶ τούτοισι τῶν Ἑλλήνων οἱ ἐν ποιήσι γενόμενοι
ἐχρήσαντο. τέρατά τε πλέω σφι ἀνεύρηται ἢ τοῖσι ἄλλοισι
ἅπασι ἀνθρώποισι· γενομένου γὰρ τέρατος φυλάσσουσι γρα-
φόμενοι τὠποβαῖνον, καὶ ἤν κοτε ὕστερον παραπλήσιον τούτῳ
83 γένηται, κατὰ τὠυτὸ νομίζουσι ἀποβήσεσθαι. μαντικὴ δὲ
αὐτοῖσι ὧδε διακέεται. ἀνθρώπων μὲν οὐδενὶ προσκέεται ἡ

περὶ μηνῶν καὶ ἡμερῶν καὶ ἀστρολογίας — περὶ τεράτων καὶ μαντείων

3 sq. Eustathius Od. p. 1484. Il. p. 176

3. αὐτέων z ‖ 5. ἄλλο H. Stephanus. 'aut ἄλλο legendum aut ἄλλοισι οὐδ', i. e. οὔτε ἄλλοισι οὔτε.' Bekker ‖ Ἑλλήνων seclusi ‖ 6. τοῖσι z ‖ 8. θυσσανωτοὺς z ‖ οὓς L ‖ 11. σφιν ABC ‖ ὁμολογέει Rd ‖ 12. Βακχικοῖσι – Αἰγυπτίοισι om. ABC ‖ 13. πυθαγορίοισι AB^1PR ‖ 14. ἐστι ἐν] ἐστιν R ‖ εἰριναίοισιν C ‖ θαφῆναι (θ supra φ) C, ταφῆναι Rd ‖ 16. μεῖς Rd ‖ 17. ὅτευ] οὔτε C ‖ 18. τέοισι ABC ‖ 19. ποιήσει L ‖ 20. σφιν ABRd ‖ εὕρηται PRdz ‖ 22. τῶιποιβαῖνον C ‖ ἤν] εἴ Rd ‖ 23. τώυτόν C ‖ 24. διακέαται z ‖ προκέεται R

τέχνη, τῶν δὲ θεῶν μετεξετέροισι· καὶ γὰρ Ἡρακλέος μαν-
τήιον αὐτόθι ἐστὶ καὶ Ἀπόλλωνος καὶ Ἀθηναίης καὶ Ἀρτέ-
μιδος καὶ Ἄρεος καὶ Διός, καὶ τό γε μάλιστα ἐν τιμῇ ἄγονται
πάντων τῶν μαντηίων, Λητοῦς ἐν Βουτοῖ πόλι ἐστί. οὐ
μέντοι αἵ γε μαντηίαι σφι κατὰ τὠυτὸ ἑστᾶσι, ἀλλὰ διάφοροί
εἰσι. ἡ δὲ ἰητρικὴ κατὰ τάδε σφι δέδασται· μιῆς νούσου 84
ἕκαστος ἰητρός ἐστι καὶ οὐ πλεόνων. πάντα δ' ἰητρῶν ἐστι
πλέα· οἱ μὲν γὰρ ὀφθαλμῶν ἰητροὶ κατεστᾶσι, οἱ δὲ κεφα-
λῆς, οἱ δὲ ὀδόντων, οἱ δὲ τῶν κατὰ νηδύν, οἱ δὲ τῶν ἀφα-
νέων νούσων.

Θρῆνοι δὲ καὶ ταφαί σφεων εἰσὶ αἵδε. τοῖσι ἂν ἀπογένη- 85
ται ἐκ τῶν οἰκίων ἄνθρωπος τοῦ τις καὶ λόγος ᾖ, τὸ θῆλυ
γένος πᾶν τὸ ἐκ τῶν οἰκίων τούτων κατ' ὧν ἐπλάσατο τὴν
κεφαλὴν πηλῷ ἢ καὶ τὸ πρόσωπον, κἄπειτα ἐν τοῖσι οἰκίοισι
λιποῦσαι τὸν νεκρὸν αὐταὶ ἀνὰ τὴν πόλιν στρωφώμεναι τύ-
πτονται ἐπεζωσμέναι καὶ φαίνουσαι τοὺς μαζούς, σὺν δέ σφι
αἱ προσήκουσαι πᾶσαι, ἑτέρωθεν δὲ οἱ ἄνδρες τύπτονται
ἐπεζωσμένοι καὶ οὗτοι. ἐπεὰν δὲ ταῦτα ποιήσωσι, οὕτω ἐς
τὴν ταρίχευσιν κομίζουσι. εἰσὶ δὲ οἳ ἐπ' αὐτῷ τούτῳ κα- 86
τέαται καὶ τέχνην ἔχουσι ταύτην. οὗτοι, ἐπεάν σφι κομισθῇ
νεκρός, δεικνύουσι τοῖσι κομίσασι παραδείγματα νεκρῶν ξύ-
λινα, τῇ γραφῇ μεμιμημένα . . . , καὶ τὴν μὲν σπουδαιοτάτην
αὐτέων φασὶ εἶναι τοῦ οὐκ ὅσιον ποιεῦμαι τὸ οὔνομα ἐπὶ

περὶ ἰατρῶν   περὶ τῆς τῶν νεκρῶν ταριχείας   περὶ θρήνων καὶ ταφῶν

---

20. ἐπεάν - p. 170, 1 ὀνομάζειν Athenagoras legat. 25. — ἐπεὰν - 21 κομίσασι Thomas M. p. 169

2. ἀθήνης *ABC* ‖ 3. ὅ γε codices, ὅ, τε *z* ‖ 4. Βουτοῖσι *z* ‖ πόλει *C* ‖ 5. μαντήϊαί *ABPz* ‖ 6. νόσου *R* ‖ 8. κατεστεᾶσιν *C*, κατεστέασι ceteri ‖ 9. τῶν κατὰ] κατὰ *ABC* ‖ 11. αἶδε *AB* ‖ 12. οἰκιέων *C*, οἰκηΐων *PRdz* ‖ ἄνθρωπος - 13 οἰκίων om. *B*[1] ‖ 13. οἰκιέων *C*, οἰκηΐων *PRdz* ‖ τουτέων *C* ‖ κατων *B* ‖ 14. ἢ om. *P*[1]*Rdz* ‖ οἰκηΐοισι *z* ‖ 15. αὗται *PRdz* ‖ στροφώμεναι *dz*, στροφόμεναι *R* ‖ 16. ἐπεζωσμέναι *P*, ὑπεζωμέναι *Rd* ‖ 18. ἐπεζωσμένοι *P*, ἐπεζωμένοι *d*, ἐπεζώομενοι *R* ‖ 20. σφισι Athen. ‖ κομισθῆι post νεκρός iterat *C* ‖ 21. ὁ νεκρὸς *z* ‖ δεικνύασι *ABC*. Athen. Thom. ‖ 22. signavi lacunam: exciderunt talia fere τρία ὅσαι περ καὶ ταριχεύσιες κατεστᾶσι ‖ 23. τοῦ] τὸ *Rd* ‖ τὸ om. *Ppr.Rd*. Athen.

τοιούτῳ πρήγματι ὀνομάζειν, τὴν δὲ δευτέρην δεικνύουσι ὑποδεεστέρην τε ταύτης καὶ εὐτελεστέρην, τὴν δὲ τρίτην εὐτελεστάτην· φράσαντες δὲ πυνθάνονται παρ' αὐτῶν κατὰ ἥντινα βούλονταί σφι σκευασθῆναι τὸν νεκρόν. οἱ μὲν δὴ ἐκποδὼν μισθῷ ὁμολογήσαντες ἀπαλλάσσονται, οἱ δὲ ὑπολειπόμενοι ἐν οἰκήμασι ὧδε τὰ σπουδαιότατα ταριχεύουσι. πρῶτα μὲν σκολιῷ σιδήρῳ διὰ τῶν μυξωτήρων ἐξάγουσι τὸν ἐγκέφαλον, τὰ μὲν αὐτοῦ οὕτω ἐξάγοντες, τὰ δὲ ἐγχέοντες φάρμακα· μετὰ δὲ λίθῳ Αἰθιοπικῷ ὀξέι παρασχίσαντες παρὰ τὴν λαπάρην ἐξ ὦν εἷλον τὴν κοιλίην πᾶσαν, ἐκκαθήραντες δὲ αὐτὴν καὶ διηθήσαντες οἴνῳ φοινικηίῳ αὖτις διηθέουσι θυμιήμασι τετριμμένοισι· ἔπειτα τὴν νηδὺν σμύρνης ἀκηράτου τετριμμένης καὶ κασίης καὶ τῶν ἄλλων θυωμάτων, πλὴν λιβανωτοῦ, πλήσαντες συρράπτουσι ὀπίσω. ταῦτα δὲ ποιήσαντες ταριχεύουσι λίτρῳ κρύψαντες ἡμέρας ἑβδομήκοντα· πλεῦνας δὲ τουτέων οὐκ ἔξεστι ταριχεύειν. ἐπεὰν δὲ παρέλθωσι αἱ ἑβδομήκοντα, λούσαντες τὸν νεκρὸν κατειλίσσουσι πᾶν αὐτοῦ τὸ σῶμα σινδόνος βυσσίνης τελαμῶσι κατατετμημένοισι, ὑποχρίοντες τῷ κόμμι, τῷ δὴ ἀντὶ κόλλης τὰ πολλὰ χρέωνται Αἰγύπτιοι. ἐνθεῦτεν δὲ παραδεξάμενοί μιν οἱ προσήκοντες ποιεῦνται ξύλινον τύπον ἀνθρωποειδέα, ποιησάμενοι δὲ ἐσεργνῦσι τὸν νεκρόν, καὶ κατακληίσαντες οὕτω θησαυρίζουσι ἐν οἰκήματι θηκαίῳ, ἱστάντες ὀρθὸν πρὸς τοῖχον.
87 οὕτω μὲν τοὺς τὰ πολυτελέστατα σκευάζουσι νεκρούς,

10. Ioannes Gramm. de dial. f. 241[a] Ald. — 12. σμύρνης - 13 θυωμάτων Eustathius Od. p. 1488. — 19. Bekkeri Anecd. p. 105

1. πράγματι *R* ‖ οὐνομάζειν *C* ‖ δεικνύασι *ABC* ‖ 2. τε - εὐτελεστέρην om. *C* ‖ 3. αὐτέων z ‖ 5. ἐκποδῶν *ABCR* ‖ οἱπολειπόμενοι *C* ‖ 7. μυξητήρων *Rd* ‖ ἐξάγουσιν *AB*, ἐνάγουσι *C* ‖ 8. φάρμακα ἐγχέοντες z ‖ 10. ὧν *Rdz* ‖ 11. διηθήσαντες] θεραπεύσαντες ‖ αὖθις *ABRd* ‖ διηθεύουσι *C* ‖ 12. περιτετριμμένοισι z ‖ σμύρνη *R* ‖ ἀκράτου *Rd* ‖ 13. θυμιημάτων *ABC*, θυμϊωμάτων *R* ‖ 14. συράπτουσιν *C* ‖ 15. νίτρῳ *B*[m] *Rd*, νίτρῳ z ‖ 17. κατειλήσουσι *C* ‖ 18. σουσίνης *R* ‖ 19. κόμι *C*, κόμμιδι Bekk. An. ‖ ταπολλὰ *Pz* ‖ 20. χρέονται *P* ‖ 22. ἐσεργνύουσι *Rd* ‖ κατακλήσαντες *R*, κατακλείσαντες *d* ‖ 23. ἐν οἰκήματι - 24 νεκρούς om. *Rd* ‖ θηβαίωι *C* ‖ ἱστάντες - 24 νεκρούς om. *P*[t]

τοὺς δὲ τὰ μέσα βουλομένους τὴν δὲ πολυτελείην φεύγοντας
σκευάζουσι ὧδε. ἐπεὰν τοὺς κλυστῆρας πλήσωνται τοῦ ἀπὸ
κέδρου ἀλείφατος γινομένου, ἐν ὦν ἔπλησαν τοῦ νεκροῦ τὴν
κοιλίην, οὔτε ἀναταμόντες αὐτὸν οὔτε ἐξελόντες τὴν νηδύν,
κατὰ δὲ τὴν ἕδρην ἐσηθήσαντες καὶ ἐπιλαβόντες τὸ κλύσμα
τῆς ὀπίσω ὁδοῦ ταριχεύουσι τὰς προκειμένας ἡμέρας, τῇ δὲ
τελευταίῃ ἐξιεῖσι ἐς τῆς κοιλίης τὴν κεδρίην τὴν ἐσῆκαν
πρότερον. ἡ δὲ ἔχει τοσαύτην δύναμιν ὥστε ἅμα ἑωυτῇ τὴν
νηδὺν καὶ τὰ σπλάγχνα κατατετηκότα ἐξάγει· τὰς δὲ σάρ-
κας τὸ λίτρον κατατήκει, καὶ δὴ λείπεται τοῦ νεκροῦ τὸ
δέρμα μοῦνον καὶ τὰ ὀστέα. ἐπεὰν δὲ ταῦτα ποιήσωσι, ἀπ'
ὦν ἔδωκαν οὕτω τὸν νεκρόν, οὐδὲν ἔτι πρηγματευθέντες. ἡ 88
δὲ τρίτη ταρίχευσις ἐστὶ ἥδε, ἣ τοὺς χρήμασι ἀσθενεστέρους
σκευάζει· συρμαίῃ διηθήσαντες τὴν κοιλίην ταριχεύουσι τὰς
ἑβδομήκοντα ἡμέρας καὶ ἔπειτα ἀπ' ὦν ἔδωκαν ἀποφέ-
ρεσθαι. τὰς δὲ γυναῖκας τῶν ἐπιφανέων ἀνδρῶν, ἐπεὰν 89
τελευτήσωσι, οὐ παραυτίκα διδοῦσι ταριχεύειν, οὐδὲ ὅσαι ἂν
ἔωσι εὐειδέες κάρτα καὶ λόγου πλεῦνος γυναῖκες· ἀλλ' ἐπεὰν
τριταῖαι ἢ τεταρταῖαι γένωνται, οὕτω παραδιδοῦσι τοῖσι ταρι-
χεύουσι. τοῦτο δὲ ποιεῦσι οὕτω τοῦδε εἵνεκεν, ἵνα μή σφι
οἱ ταριχευταὶ μίσγωνται τῇσι γυναιξί· λαμφθῆναι γάρ τινα
φασὶ μισγόμενον νεκρῷ προσφάτῳ γυναικός, κατειπεῖν δὲ τὸν
ὁμότεχνον. ὃς δ' ἂν ἢ αὐτῶν Αἰγυπτίων ἢ ξείνων ὁμοίως 90
ὑπὸ κροκοδείλου ἁρπασθεὶς ἢ ὑπ' αὐτοῦ τοῦ ποταμοῦ φαί-
νηται τεθνεώς, κατ' ἣν ἂν πόλιν ἐξενειχθῇ, τούτους πᾶσα

---

2. Pollux X 150. — 5. Λέξεις, — 14. Pollux I 247. Photius ac Suidas v. συρμαία

1. τὰ om. *C* ‖ βουλευμένους τὴν δὲ πολυτεληΐην ἐκφεύγοντας *z* ‖ 2. τοὺς om. *PRdz* ‖ [ἀπὸ] ἀπὸ τοῦ *z* ‖ 3. ἐνῶν *C* ‖ τὴν κοιλίην τοῦ νεκροῦ *C*| ‖ 4. ἀνατεμόντες *R* ‖ 5. κατὰ δὲ] κατά τε *ABC* ‖ 7. κέδρην *Rd* ‖ 9. δὲ om. *z* ‖ 10. λίτρον *CP*: νίτρον ‖ δεῖ (η) *C* ‖ 13. ἐστὶν *ABC*, ἔστι *Pz*, ἔστιν *Rd* ‖ ἦδε *A* ‖ ἡ om. *Rd* ‖ 14. τὰς om. *PRdz* ‖ 18. ὦσιν *ABC*, ὦσι reliqui ‖ λόγοι πλεῦνες *Rd* ‖ 20. ποιέουσι *PRdz* ‖ εἵνεκα *PRdz* ‖ 21. λαμφθῆναι *B* ‖ 22. φασι τινὰ *Rd* ‖ κατεῖπαι *Pz*, κατεῖπε *Rd* ‖ 23. ἢ ξείνων] ξείνων *C* ‖ 24. ἁρπασθεὶς *Rd*: ἁρπαχθεὶς ‖ 25. τεθνηὼς *Ppr.Rdz* ‖ ἐξενεχθῆι *ABC*

ἀνάγκη ἐστὶ ταριχεύσαντας αὐτὸν καὶ περιστείλαντας ὡς κάλλιστα θάψαι ἐν ἱρῇσι θήκῃσι· οὐδὲ ψαῦσαι ἔξεστι αὐτοῦ ἄλλον οὐδένα οὔτε τῶν προσηκόντων οὔτε τῶν φίλων, ἀλλά μιν οἱ ἱρέες αὐτοὶ τοῦ Νείλου ἅτε πλέον τι ἢ ἀνθρώπου νεκρὸν χειραπτάζοντες θάπτουσι.

91 Ἑλληνικοῖσι δὲ νομαίοισι φεύγουσι χρᾶσθαι, τὸ δὲ σύμπαν εἰπεῖν, μηδ' ἄλλων μηδαμὰ μηδαμῶν ἀνθρώπων νομαίοισι. οἱ μέν νυν ἄλλοι Αἰγύπτιοι οὕτω τοῦτο φυλάσσουσι, ἔστι δὲ Χέμμις πόλις μεγάλη νομοῦ τοῦ Θηβαϊκοῦ ἐγγὺς Νέης πόλιος· ἐν ταύτῃ τῇ πόλι ἐστὶ Περσέος τοῦ Δανάης ἱρὸν τετράγωνον, πέριξ δὲ αὐτοῦ φοίνικες πεφύκασι. τὰ δὲ πρόπυλα τοῦ ἱροῦ λίθινά ἐστι κάρτα μεγάλα· ἐπὶ δὲ αὐτοῖσι ἀνδριάντες δύο ἑστᾶσι λίθινοι μεγάλοι. ἐν δὲ τῷ περιβεβλημένῳ τούτῳ νηός τε ἔνι καὶ ἄγαλμα ἐν αὐτῷ ἐνέστηκε τοῦ Περσέος. οὗτοι οἱ Χεμμῖται λέγουσι τὸν Περσέα πολλάκις μὲν ἀνὰ τὴν γῆν φαίνεσθαί σφι πολλάκις δὲ ἔσω τοῦ ἱροῦ, σανδάλιόν τε αὐτοῦ πεφορημένον εὑρίσκεσθαι ἐὸν τὸ μέγαθος δίπηχυ, τὸ ἐπεὰν φανῇ, εὐθηνέειν ἅπασαν Αἴγυπτον. ταῦτα μὲν λέγουσι, ποιεῦσι δὲ τάδε Ἑλληνικὰ τῷ Περσέι· ἀγῶνα γυμνικὸν τιθεῖσι διὰ πάσης ἀγωνίης ἔχοντα, παρέχοντες ἄεθλα κτήνεα καὶ χλαίνας καὶ δέρματα. εἰρομένου δέ μευ ὅ τι σφι μούνοισι ἔωθε ὁ Περσεὺς ἐπιφαίνεσθαι καὶ ὅ τι κεχωρίδαται Αἰγυπτίων τῶν ἄλλων ἀγῶνα γυμνικὸν τιθέντες, ἔφασαν τὸν Περσέα ἐκ τῆς ἑωυτῶν πόλιος γεγονέναι· τὸν

περὶ Χέμιδος πόλεως καὶ κατὰ Περσέα καὶ περὶ τοῦ τελουμένου αὐτῷ ἀγῶνος

---

8. ἔστι - 10 πόλιος Stephanus Byz. v. Χέμμις. — 17. Pollux VII 86. — 18. Antonius Monachus (sive qui falso creditur Zonaras) p. 920 Tittm. — 20. (Hesychius v. ἀγωνίης)

2. εἰρῆισι *C* ‖ αὐτῶ *Rd* ‖ 4. αὐτοὶ] αὐτοὶ οἱ *Rdz* ‖ ἄνθρωπον *Rdz* ‖ 6. φεύγουσι - 7 νομαίοισι om. *d* ‖ 7. μηδαμᾶ z, om. *R* ‖ 8. δὲ] καὶ Steph. ‖ 9. χέμις *ABC* ‖ νόμου *C* ‖ Νέης] τῆς Νέας Steph. ‖ 10. πόλει *CR* ‖ ἔστι *Rdz* ‖ 11. αὐτὸ *Rd* ‖ 12. ἐπὶ δὲ - 13 μεγάλοι om. *C* ‖ 14. τοῦ om. *PRdz* ‖ 15. χεμῖται *ABC* ‖ πολλάκι z ‖ 16. πολλάκι z ‖ 18. εὐθυνέειν ἅπασαν τὴν z ‖ 19. τάδε] τὰ *C* ‖ περσεῖ *AB* ‖ 20. ἀγωνίας *Pz* ‖ 21. ἠρομένου *C* ‖ μου *C* ‖ 24. ἑωυτὸν *R*

γὰρ Δαναὸν καὶ τὸν Λυγκέα ἐόντας Χεμμίτας ἐκπλῶσαι ἐς τὴν Ἑλλάδα, ἀπὸ δὲ τούτων γενεηλογέοντες κατέβαινον ἐς τὸν Περσέα. ἀπικόμενον δὲ αὐτὸν ἐς Αἴγυπτον κατ' αἰτίην τὴν καὶ Ἕλληνες λέγουσι, οἴσοντα ἐκ Λιβύης τὴν Γοργοῦς κεφαλήν, ἔφασαν ἐλθεῖν καὶ παρὰ σφέας καὶ ἀναγνῶναι τοὺς συγγενέας πάντας· ἐκμεμαθηκότα δέ μιν ἀπικέσθαι ἐς Αἴγυπτον τὸ τῆς Χέμμιος οὔνομα, πεπυσμένον παρὰ τῆς μητρός· ἀγῶνα δέ οἱ γυμνικὸν αὐτοῦ κελεύσαντος ἐπιτελέειν.

Ταῦτα μὲν πάντα οἱ κατύπερθε τῶν ἑλέων οἰκέοντες 92
Αἰγύπτιοι νομίζουσι· οἱ δὲ δὴ ἐν τοῖσι ἕλεσι κατοικημένοι τοῖσι μὲν αὐτοῖσι νόμοισι χρέωνται τοῖσι καὶ οἱ ἄλλοι Αἰγύπτιοι, καὶ τὰ ἄλλα καὶ γυναικὶ μιῇ ἕκαστος αὐτῶν συνοικέει κατά περ Ἕλληνες, ἀτὰρ πρὸς εὐτελείην τῶν σιτίων τάδε σφι ἄλλα ἐξεύρηται. ἐπεὰν πλήρης γένηται ὁ ποταμὸς καὶ τὰ πεδία πελαγίσῃ, φύεται ἐν τῷ ὕδατι κρίνεα πολλά, τὰ Αἰγύπτιοι καλέουσι λωτόν. ταῦτ' ἐπεὰν δρέψωσι αὐαίνουσι πρὸς ἥλιον καὶ ἔπειτα τὸ ἐκ μέσου τοῦ λωτοῦ, τῇ μήκωνι ἐὸν ἐμφερές, πτίσαντες ποιεῦνται ἐξ αὐτοῦ ἄρτους ὀπτοὺς πυρί. ἔστι δὲ καὶ ἡ ῥίζα τοῦ λωτοῦ τούτου ἐδωδίμη καὶ ἐγγλύσσει ἐπιεικέως, ἐὸν στρογγύλον, μέγαθος κατὰ μῆλον. ἔστι δὲ καὶ ἄλλα κρίνεα ῥόδοισι ἐμφερέα, ἐν τῷ ποταμῷ γινόμενα καὶ ταῦτα, ἐξ ὧν ὁ καρπὸς ἐν ἄλλῃ κάλυκι παραφυομένῃ ἐκ τῆς ῥίζης γίνεται, κηρίῳ σφηκῶν ἰδέην ὁμοιότατον· ἐν τούτῳ τρωκτὰ ὅσον τε πυρὴν ἐλαίης ἐγγίνεται συχνά,

περὶ τῶν ἐν τοῖς ἕλεσιν Αἰγυπτίων

14. ἐπεὰν - 19 ἐδωδίμη Eustathius Od. p. 1616. — 18 sqq. (Theophrastus hist. pl. IV 8 11). — Eustathius Il. p. 481. — 20. (Hesychius v. ἐγγλύσσει)

1. χεμίτας *ABCR* ‖ 2. εἰς *R* ‖ 4. τὴν] ἣν *ABC* ‖ 5. παρά σφεας *C* ‖ 7. πεπυσμένου *C* ‖ 9. οἰκέοντες om. *Rd* ‖ 10. τοῖς *Pz* ‖ Ἕλλησι *R* ‖ κατοικειμένοι *B* ‖ 11. χρέονται *P* ‖ 12. τἄλλα *Pz*, τἆλλα *d* ‖ αὐτέων *z* ‖ 13. εὐτελεΐην *R* ‖ 16. ταῦτα *ABC* ‖ δρέψωνται *z* ‖ 17. μέσω *C*, τοῦ μέσου *z* ‖ τῇ μήκωνι *Rdz*. Eust.: τῷ μήκωνι ‖ 18. ἐμφερέης *C* ‖ πτίσαντες P^{1}*Rd*. Theophr. Eust.: ὀπτήσαντες *ABC*P^{m}*z* ‖ 20. ἐγγλύσει *Cdz* ‖ 22. παραφυομένης *Rd* ‖ 23. ῥίζης] γῆς *Rd* ‖ κηρία *d* ‖ 24. πυρὶν *Bpr*.

τρώγεται δὲ καὶ ἁπαλὰ ταῦτα καὶ αὖα. τὴν δὲ βύβλον τὴν ἐπέτειον γινομένην ἐπεὰν ἀνασπάσωσι ἐκ τῶν ἑλέων, τὰ μὲν ἄνω αὐτῆς ἀποτάμνοντες ἐς ἄλλο τι τράπουσι, τὸ δὲ κάτω λελειμμένον ὅσον τε ἐπὶ πῆχυν τρώγουσι [καὶ πωλέουσι]. οἳ δὲ ἂν καὶ κάρτα βούλωνται χρηστῇ τῇ βύβλῳ χρᾶσθαι, ἐν κλιβάνῳ διαφανέι πνίξαντες οὕτω τρώγουσι. οἱ δέ τινες αὐτῶν ζῶσι ἀπὸ τῶν ἰχθύων μοῦνον, τοὺς ἐπεὰν λάβωσι καὶ ἐξέλωσι τὴν κοιλίην, αὐαίνουσι πρὸς ἥλιον καὶ ἔπειτα αὔους

93 ἐόντας σιτέονται. οἱ δὲ ἰχθύες οἱ ἀγελαῖοι ἐν μὲν τοῖσι ποταμοῖσι οὐ μάλα γίνονται, τρεφόμενοι δὲ ἐν τῇσι λίμνῃσι τοιάδε ποιεῦσι. ἐπεάν σφεας ἐσίῃ οἶστρος κυΐσκεσθαι, ἀγεληδὸν ἐκπλώουσι ἐς θάλασσαν· ἡγέονται δὲ οἱ ἔρσενες ἀπορραίνοντες τοῦ θοροῦ, αἱ δὲ ἑπόμεναι ἀνακάπτουσι καὶ ἐξ αὐτοῦ κυΐσκονται. ἐπεὰν δὲ πλήρεες γένωνται ἐν τῇ θαλάσσῃ, ἀναπλώουσι ὀπίσω ἐς ἤθεα τὰ ἑωυτῶν ἕκαστοι. ἡγέονται μέντοι γε οὐκέτι οἱ αὐτοί, ἀλλὰ τῶν θηλέων γίνεται ἡ ἡγεμονίη· ἡγεύμεναι δὲ ἀγεληδὸν ποιεῦσι οἷόν περ ἐποίευν οἱ ἔρσενες· τῶν γὰρ ᾠῶν ἀπορραίνουσι κατ' ὀλίγους τῶν κέγχρων, οἱ δὲ ἔρσενες καταπίνουσι ἑπόμενοι. εἰσὶ δὲ οἱ κέγχροι οὗτοι ἰχθύες. ἐκ δὲ τῶν περιγινομένων καὶ μὴ καταπινομένων κέγχρων οἱ τρεφόμενοι ἰχθύες γίνονται. οἳ δ' ἂν αὐτῶν ἁλῶσι ἐκπλώοντες ἐς θάλασσαν, φαίνονται τετριμ-

περὶ τῶν ἐν τοῖς ποταμοῖς ἀγελαίων ἰχθύων

6. Athenaeus p. 110[c]. Eustathius Dion. 912. Il. p. 975. — (Hesychius v. πνίξαντες). — 9. (idem v. ἀγελαῖοι ἰχθύες). — 13. Aristoteles de gen. an. III 5 p. 756[b]

1. ταῦτα] καὶ ταῦτα *C* || αὖαν *C* || 2. γιγνομένην *P* || σπάσωσι *P*, σπάσωσιν *R*, σπεύσωσιν *d* || ἐλαίων *C* || 3. ἐς om. *R* || τραποῦσι *AB*, τρέπουσι *d* || 4. τε om. *B* || καὶ πωλέουσι seclusi || οἱ δὲ ἐὰν καὶ *AB*, οἱ δὲ καὶ ἂν *Rd* || 5. βούλωνται κάρτα *Rd* || τῇ om. *Rd* || 6. διαφανεῖ *AB* || 7. μούνων *Pz* || 8. αὔους *P* || 11. ποιέουσι *PRdz* || οἶστρον *PRdz* || 12. ἐκπλώουσι *C* || εἰς *d*, ἐς τὴν *z* || 13. ἀποραίνοντες *ABC* || ἀνακάμπτουσι *d*, ἀναλάμπτουσι *Pz* || 14. γίνωνται *C* || 15. ἀναπλόουσι *C* || 16. θηλεῶν *APz* || γίγνεται *P* || ἡ om. *BR* || 18. ὠῶν *CRdz* || ἀποραίνουσι *ABC* || 19. ἔρνεες *R* || ἐρχόμενοι *PRdz* || 21. γίγνονται *P* || 22. αὐτέων *z* || ἐκπλόοντες *C* || εἰς *R*

μένοι τὰ ἐπ᾽ ἀριστερὰ τῶν κεφαλέων, οἳ δ᾽ ἂν ὀπίσω ἀναπλώοντες, τὰ ἐπὶ δεξιὰ τετρίφαται. πάσχουσι δὲ ταῦτα διὰ τόδε· ἐχόμενοι τῆς γῆς ἐπ᾽ ἀριστερὰ καταπλώουσι ἐς θάλασσαν, καὶ ἀναπλώοντες ὀπίσω τῆς αὐτῆς ἀντέχονται, ἐγχριμπτόμενοι καὶ ψαύοντες ὡς μάλιστα, ἵνα δὴ μὴ ἁμάρτοιεν τῆς ὁδοῦ διὰ τὸν ῥόον. ἐπεὰν δὲ πληθύεσθαι ἄρχηται ὁ Νεῖλος, τά τε κοῖλα τῆς γῆς καὶ τὰ τέλματα τὰ παρὰ τὸν ποταμὸν πρῶτα ἄρχεται πίμπλασθαι διηθέοντος τοῦ ὕδατος ἐκ τοῦ ποταμοῦ· καὶ αὐτίκα τε πλέα γίνεται ταῦτα καὶ παραχρῆμα ἰχθύων σμικρῶν πίμπλαται πάντα. κόθεν δὲ οἰκὸς αὐτοὺς γίνεσθαι, ἐγώ μοι δοκέω κατανοέειν τοῦτο. τοῦ προτέρου ἔτεος ἐπεὰν ἀπολίπῃ ὁ Νεῖλος, οἱ ἰχθύες ἐντεκόντες ᾠὰ ἐς τὴν ἰλὺν ἅμα τῷ ἐσχάτῳ ὕδατι ἀπαλλάσσονται· ἐπεὰν δὲ περιελθόντος τοῦ χρόνου πάλιν ἐπέλθῃ τὸ ὕδωρ, ἐκ τῶν ᾠῶν τούτων παραυτίκα γίνονται οἱ ἰχθύες οὗτοι.

Καὶ περὶ μὲν τοὺς ἰχθύας οὕτω ἔχει. ἀλείφατι δὲ 94
χρέωνται Αἰγυπτίων οἱ περὶ τὰ ἕλεα οἰκέοντες ἀπὸ τῶν σιλλικυπρίων τοῦ καρποῦ, τὸ καλεῦσι μὲν Αἰγύπτιοι κίκι, ποιεῦσι δὲ ὧδε. παρὰ τὰ χείλεα τῶν τε ποταμῶν καὶ τῶν λιμνέων σπείρουσι τὰ σιλλικύπρια ταῦτα, τὰ ἐν Ἕλλησι αὐτόματα ἄγρια φύεται. ταῦτα ἐν τῇ Αἰγύπτῳ σπειρόμενα καρπὸν φέρει πολλὸν μὲν δυσώδεα δέ· τοῦτον ἐπεὰν συλλέξωνται, οἱ μὲν κόψαντες ἀπιποῦσι, οἱ δὲ καὶ φρύξαντες ἀπέψουσι, καὶ τὸ ἀπορρέον ἀπ᾽ αὐτοῦ συγκομίζονται. ἔστι δὲ πῖον καὶ οὐδὲν ἧσσον τοῦ ἐλαίου τῷ λύχνῳ προσηνές, ὀδμὴν δὲ βαρέαν παρέχεται. πρὸς δὲ τοὺς κώνωπας ἀφθόνους ἐόντας τάδε σφι 95

---

1. κεφαλαίων *Rd* ‖ οἱ δ᾽ *A* ‖ ἀναπλώοντες *C* ‖ 3. καταπλώουσιν *C* ‖ 4. ἐγχριπτόμενοι *R*, ἐγριπτόμενοι *d* ‖ 5. δὴ om. *ABC* ‖ ἁμάρτοιαν *d*, ἁμάρτιαν *R* ‖ 6. πλήθεσθαι *Rd* ‖ 7. τὰ παρὰ] παρὰ *Rd* ‖ 8. πίπλασθαι *A* ‖ 9. τε om. *d* ‖ πλέα] πελάγια *C* ‖ 10. κόθεν δὲ] ὅθεν δεύτερον *Rd* ‖ εἰκὸς *ABsz* ‖ 11. κατανοεῖν *PRdz* ‖ 12. ᾠὰ *Rdz* ‖ 13. ἰλὺν] ὕλην *d*, λύμνην *R* ‖ ἀπαλάσσονται *Apr.C* ‖ 14. ᾠῶν *C*, ᾠῶν *Rdz* ‖ 15. γίγνονται *P* ‖ οὗτοι om. *ABC* ‖ 16. τοὺς ἰχθύας *PRd*: τοὺς ἰχθῦς *ABC*, τῶν ἰχθύων *z* ‖ οὕτως *Rd* ‖ 17. χρέονται. *P* ‖ αἰγύπτιοι *Rd* ‖ 18. καλέουσι *C* ‖ τῆκι *ABC*, τῆκι *Pcorr.* ‖ 19. τὰ om. *ABC* ‖ λιμναίων *C* ‖ 20. τὰ] τὰ γὰρ *CPz* ‖ 23. ἀπιποῦσι *Rd*: ἀπεϊποῦσι *B*, ἀπειποῦσι *APz*, ἀπειποῦσιν *C* ‖ 24. ἀπορέον *C* ‖ ἀπ᾽ om. *PRdz* ‖ συγκομίζουσιν *Rd* ‖ 25. βαρεῖαν *ABC*

ἐστὶ μεμηχανημένα. τοὺς μὲν τὰ ἄνω τῶν ἑλέων οἰκέοντας οἱ πύργοι ὠφελέουσι, ἐς τοὺς ἀναβαίνοντες κοιμῶνται· οἱ γὰρ κώνωπες ὑπὸ τῶν ἀνέμων οὐκ οἷοί τε εἰσὶ ὑψοῦ πέτεσθαι. τοῖσι δὲ περὶ τὰ ἕλεα οἰκέουσι τάδε ἀντὶ τῶν πύργων ἄλλα μεμηχάνηται. πᾶς ἀνὴρ αὐτῶν ἀμφίβληστρον ἔκτηται, τῷ τῆς μὲν ἡμέρης ἰχθῦς ἀγρεύει, τὴν δὲ νύκτα τάδε αὐτῷ χρᾶται· ἐν τῇ ἀναπαύεται κοίτῃ, περὶ ταύτην ἵστησι τὸ ἀμφίβληστρον καὶ ἔπειτα ἐνδὺς ὑπ' αὐτὸ κατεύδει. οἱ δὲ κώνωπες, ἢν μὲν ἐν ἱματίῳ ἐνειλιξάμενος εὕδῃ ἢ σινδόνι, διὰ τούτων δάκνουσι, διὰ δὲ τοῦ δικτύου οὐδὲ πειρῶνται ἀρχήν.

96 Τὰ δὲ δὴ πλοῖά σφι, τοῖσι φορτηγέουσι, ἐστὶ ἐκ τῆς ἀκάνθης ποιεύμενα, τῆς ἡ μορφὴ μέν ἐστι ὁμοιοτάτη τῷ Κυρηναίῳ λωτῷ τὸ δὲ δάκρυον κόμμι ἐστί. ἐκ ταύτης ὦν τῆς ἀκάνθης κοψάμενοι ξύλα ὅσον τε διπήχεα πλινθηδὸν συντιθεῖσι ναυπηγεύμενοι τρόπον τοιόνδε. περὶ γόμφους πυκνοὺς καὶ μακροὺς περιείρουσι τὰ διπήχεα ξύλα· ἐπεὰν δὲ τῷ τρόπῳ τούτῳ ναυπηγήσωνται, ζυγὰ ἐπιπολῆς τείνουσι αὐτῶν. νομεῦσι δὲ οὐδὲν χρέωνται· ἔσωθεν δὲ τὰς ἁρμονίας ἐν ὦν ἐπάκτωσαν τῇ βύβλῳ. πηδάλιον δὲ ἓν ποιεῦνται, καὶ τοῦτο διὰ τῆς τρόπιος διαβύνεται. ἱστῷ δὲ ἀκανθίνῳ χρέωνται, ἱστίοισι δὲ βυβλίνοισι. ταῦτα τὰ πλοῖα ἀνὰ μὲν τὸν ποταμὸν οὐ δύναται πλέειν, ἢν μὴ λαμπρὸς ἄνεμος ἐπέχῃ, ἐκ γῆς δὲ παρέλκεται. κατὰ ῥόον δὲ κομίζεται ὧδε. ἔστι ἐκ μυρίκης πεποιημένη θύρη, κατερραμμένη ῥιπεϊ καλάμων, καὶ λίθος τετρημένος διτάλαντος μάλιστά κῃ σταθμόν.

---

19. (Hesychius v. ἐπάκτωσαν). Eustathius Od. p. 1532. — 24. Λέξεις

1. ἐλαίων *C* || 2. ὠφελοῦσιν *R* || ἐς οὓς *L* || κοιμέωνται *C*, κοιμέονται *Pz* || τε εἰσὶ *Pz* : τέ εἰσι || 5. αὐτέων *z* || κέκτηται *ABC* || τὸ *Rd* || 6. ἡμέρης μὲν *Pz* || τάδε om. *PRdz* || 7. χρᾶται ἐν et κοίτῃ· περὶ *Pz* || 8. αὐτῷ *z* || καθεύδει *L* || 9. ἐνελιξάμενος *ABC*, ἑλιξάμενος reliqui || εὕδει *C* || 10. δεικτύου τοῦτ *B* || 12. μὲν ἔστι *P* || 13. λόγωι, τῶι δὲ *C* || 15. τοιοῦ τοιόνδε *R*, τοιόνδε *d* || 17. τῷ om. *z* || τούτων *R* || ἐπὶ πολῆς *R*, ἐπὶ πολλῆς *C* || τίνουσι A^1B || 18. χρέονται *P* || 19. ἐνῶ *B*, ἐν ὧν *z* || ἓν] εὖ *Rd* || 21. χρέονται *P* || 22. δύνανται *ABC* || 23. καταρρόον *AB* || κομίζονται *C* || 24. κατερραγμένη *C* || ῥίπει *AB*, ῥιπὶ *Rd* || καλάμω *Rd* || 25. τετρημένος *Acorr.Pz* : τετριμμένος *Apr BCd*, τετρήμμένος *R* || διτάλαντος *A*, διὰ τάλαντος *C*

τούτων τὴν μὲν θύρην δεδεμένην κάλῳ ἔμπροσθε τοῦ πλοίου ἀπίει ἐπιφέρεσθαι, τὸν δὲ λίθον ἄλλῳ κάλῳ ὄπισθε. ἡ μὲν δὴ θύρη τοῦ ῥόου ἐμπίπτοντος χωρέει ταχέως καὶ ἕλκει τὴν βᾶριν (τοῦτο γὰρ δὴ οὔνομά ἐστι τοῖσι πλοίοισι τούτοισι), ὁ δὲ λίθος ὄπισθε ἐπελκόμενος καὶ ἐὼν ἐν βυσσῷ κατιθύνει τὸν πλόον. ἔστι δέ σφι τὰ πλοῖα ταῦτα πλήθεϊ πολλά, καὶ ἄγει ἔνια πολλὰς χιλιάδας ταλάντων.

Ἐπεὰν δὲ ἐπέλθῃ ὁ Νεῖλος τὴν χώρην, αἱ πόλιες μοῦναι 97
φαίνονται ὑπερέχουσαι, μάλιστά κῃ ἐμφερέες τῇσι ἐν τῷ Αἰγαίῳ πόντῳ νήσοισι· τὰ μὲν γὰρ ἄλλα τῆς Αἰγύπτου πέλαγος γίνεται, αἱ δὲ πόλιες μοῦναι ὑπερέχουσι. πορθμεύονται ὦν, ἐπεὰν τοῦτο γένηται, οὐκέτι κατὰ τὰ ῥέεθρα τοῦ ποταμοῦ ἀλλὰ διὰ μέσου τοῦ πεδίου. ἐς μέν γε Μέμφιν ἐκ Ναυκράτιος ἀναπλώοντι παρ' αὐτὰς τὰς πυραμίδας γίνεται ὁ πλόος· ἔστι δὲ οὐδ' οὗτος, ἀλλὰ παρὰ τὸ ὀξὺ τοῦ Δέλτα καὶ παρὰ Κερκάσωρον πόλιν· ἐς δὲ Ναύκρατιν ἀπὸ θαλάσσης καὶ Κανώβου διὰ πεδίου πλέων ἥξεις κατ' Ἄνθυλλάν τε
πόλιν καὶ τὴν Ἀρχάνδρου καλευμένην. τουτέων δὲ ἡ μὲν 98
Ἄνθυλλα ἐοῦσα λογίμη πόλις ἐς ὑποδήματα ἐξαίρετος δίδοται τοῦ αἰεὶ βασιλεύοντος Αἰγύπτου τῇ γυναικί (τοῦτο δὲ γίνεται ἐξ ὅσου ὑπὸ Πέρσῃσί ἐστι Αἴγυπτος), ἡ δὲ ἑτέρη πόλις δοκέει μοι τὸ οὔνομα ἔχειν ἀπὸ τοῦ Δαναοῦ γαμβροῦ Ἀρχάνδρου τοῦ Φθίου τοῦ Ἀχαιοῦ· καλέεται γὰρ δὴ Ἀρχάνδρου πόλις. εἴη δ' ἂν καὶ ἄλλος τις Ἄρχανδρος, οὐ μέντοι γε Αἰγύπτιον τὸ οὔνομα.

---

18. τουτέων - 19 ἐξαίρετος Stephanus Byz. v. Ἄνθυλλα. — 19. Pollux II 122. — 23. Stephanus Byz. v. Ἀρχάνδρου πόλις

1. ἔμπροσθεν *Rd* ‖ 2. ὄπισθεν *R* ‖ 3. χωρεῖ *C* ‖ 4. βάριν *L* ‖ 5. ὄπισθε *z*: ὄπισθεν ‖ ἑλκόμενος *ABC* ‖ 6. πλήθει *AB* ‖ 8. δ' *Rd* ‖ πόλις *PRz*, πόλεις *d* ‖ 10. κόλπωι *Pz* ‖ 11. γίγνεται *P* ‖ ὑπερέχουσαι πορθμεύονται· ὧν ἐπεὰν *Rd* ‖ 12. τὰ om. *ABC* ‖ 14. ἀναπλόοντι *C* ‖ πυραμῖδας *ABC* ‖ γίγνεται *P* ‖ 15. οὐκ *Rd* ‖ οὗτος] οὗτος ὁ ἐωθώς? ‖ 17. κανόβου *R* ‖ ἀνθυλάν *C* ‖ 18. τὴν om. *Rd* ‖ κελευομένην *C* ‖ 19. ἐξαιρέτως Steph. ‖ 20. ἀεὶ *AB* ‖ 21. γίγνεται *P* ‖ ἐξόσου *ABd* ‖ ὃ *Pdz* ‖ 23. τοῦ Ἀχαιοῦ - Ἀρχάνδρου om. *B*[1] ‖ γὰρ om. *R*

99 Μέχρι μὲν τούτου ὄψις τε ἐμὴ καὶ γνώμη καὶ ἱστορίη ταῦτα λέγουσά ἐστι, τὸ δὲ ἀπὸ τοῦδε Αἰγυπτίους ἔρχομαι λόγους ἐρέων κατὰ τὰ ἤκουον· προσέσται δέ τι καὶ αὐτοῖσι καὶ τῆς ἐμῆς ὄψιος.

Τὸν Μῖνα πρῶτον βασιλεύσαντα Αἰγύπτου οἱ ἱρέες ἔλεγον τοῦτο μὲν ἀπογεφυρῶσαι τὴν Μέμφιν. τὸν γὰρ ποταμὸν πάντα ῥέειν παρὰ τὸ ὄρος τὸ ψάμμινον πρὸς Λιβύης, τὸν δὲ Μῖνα ἄνωθεν, ὅσον τε ἑκατὸν σταδίους ἀπὸ Μέμφιος, τὸν πρὸς μεσαμβρίης ἀγκῶνα προσχώσαντα τὸ μὲν ἀρχαῖον ῥέεθρον ἀποξηρῆναι, τὸν δὲ ποταμὸν ὀχετεῦσαι τὸ μέσον τῶν ὀρέων ῥέειν. ἔτι δὲ καὶ νῦν ὑπὸ Περσέων ὁ ἀγκὼν οὗτος τοῦ Νείλου ὡς ἀπεργμένος ῥέῃ ἐν φυλακῇσι μεγάλῃσι ἔχεται, φρασσόμενος ἀνὰ πᾶν ἔτος· εἰ γὰρ ἐθελήσει ῥήξας ὑπερβῆναι ὁ ποταμὸς ταύτῃ, κίνδυνος πάσῃ Μέμφι κατακλυσθῆναί ἐστι. ὡς δὲ τῷ Μῖνι τούτῳ τῷ πρώτῳ γενομένῳ βασιλέι χέρσον γεγονέναι τὸ ἀπεργμένον, τοῦτο μὲν ἐν αὐτῷ πόλιν κτίσαι ταύτην ἥτις νῦν Μέμφις καλέεται· ἔστι γὰρ καὶ ἡ Μέμφις ἐν τῷ στεινῷ τῆς Αἰγύπτου· ἔξωθεν δὲ αὐτῆς περιορύξαι λίμνην ἐκ τοῦ ποταμοῦ πρὸς βορέην τε καὶ πρὸς ἑσπέρην (τὸ γὰρ πρὸς τὴν ἠῶ αὐτὸς ὁ Νεῖλος ἀπέργει), τοῦτο δὲ τοῦ Ἡφαίστου τὸ ἱρὸν ἱδρύσασθαι ἐν αὐτῇ, ἐὸν
100 μέγα τε καὶ ἀξιαπηγητότατον. μετὰ δὲ τοῦτον κατέλεγον οἱ ἱρέες ἐκ βύβλου ἄλλων βασιλέων τριηκοσίων καὶ τριήκοντα

περὶ τοῦ Μῖνος τοῦ πρώτου βασιλέως Αἰγύπτου καὶ ὅτι αὐτὸς ἔκτισε Μέμφιν   ὅτι τλ γεγόνασι βασιλεῖς ἐν Αἰγύπτῳ

22. (Bekkeri Anecd. p. 413. (Hesychius v. ἀξιαπηγητότατον). — 23 sqq. Iosephus archaeol. VIII 6 2

1. ἐμοὶ *z* || 3. τὰ om. *dz* || δέ τι καὶ αὐτοῖσι *Rd*: δέ τι καὶ αὐτοῖσι τί *P* δέ τοι καὶ αὐτοῖσι τί *qz*, δὲ αὐτοῖσί τι *ABC* || 5. μῆνα *Rz* || τὸν πρῶτο, *Rd* || 6. τοῦτον *Pz* || τὴν *Rdz*: καὶ τὴν || 7. πάντα] πάλαι? || ῥέει *C*ν ψίμμινον *Rd*, ψάμμιον *P*, Ψάμμιον *z* || 8. μῆνα *Rz* || τὸν om. *Rd* 9. μεσημβρίης *ABC* || 10. ἀποξηράναι *Cdz*, ἀποξηρᾶναι reliqui || 11. οὐρέων *CPz* || 12. ὃς *d* || ἀπεργόμενος *Acorr.BC*, ἀπερχόμενος *Apr.* || ῥέῃ correxi: ῥέει || 13. φρασόμενος *C* || ἐθελήσοι *z* || 15. ὡς δὲ τῷ] τῷ δὲ *Rd* || μῖνι *ABPm*: μινὶ *Ccorr.Ptd*, μηνὶ *Cpr.z*, μ(η)ινὶ *R* || 16. βασιλεῖ *AB* || ἐν om. *ABC* || 19. πρὸς ἑσπέρην] ἑσπέρην *z* || 20. ἠῶ *C* || 23. βίβλου *PR*, βύβλων *z* || καὶ] τε καὶ *Pz*

οὐνόματα. ἐν τοσαύτῃσι γενεῇσι ἀνθρώπων ὀκτωκαίδεκα μὲν Αἰθίοπες ἦσαν, μία δὲ γυνὴ ἐπιχωρίη, οἱ δὲ ἄλλοι ἄνδρες Αἰγύπτιοι. τῇ δὲ γυναικὶ οὔνομα ἦν, ἥτις ἐβασίλευσε, τό περ τῇ Βαβυλωνίῃ, Νίτωκρις· τὴν ἔλεγον τιμωρέουσαν ἀδελφεῷ, τὸν Αἰγύπτιοι βασιλεύοντά σφεων ἀπέκτειναν, ἀποκτείναντες δὲ οὕτω ἐκείνῃ ἀπέδοσαν τὴν βασιληίην, τούτῳ τιμωρέουσαν πολλοὺς Αἰγυπτίων διαφθεῖραι δόλῳ. ποιησαμένην γάρ μιν οἴκημα περίμηκες ὑπόγαιον καινοῦν τῷ λόγῳ, νόῳ δὲ ἄλλα μηχανᾶσθαι· καλέσασαν δέ μιν Αἰγυπτίων τοὺς μάλιστα μεταιτίους τοῦ φόνου ᾔδεε, πολλοὺς ἱστιᾶν, δαινυμένοισι δὲ ἐπεῖναι τὸν ποταμὸν δι' αὐλῶνος κρυπτοῦ μεγάλου. ταύτης μὲν πέρι τοσαῦτα ἔλεγον, πλὴν ὅτι αὐτήν μιν, ὡς τοῦτο ἐξέργαστο, ῥίψαι ἐς οἴκημα σποδοῦ πλέον, ὅκως ἀτιμώρητος γένηται. τῶν δὲ ἄλλων βασιλέων οὐ γὰρ ἔλεγον οὐδεμίαν 101
ἔργων ἀπόδεξιν καὶ οὐδὲν εἶναι λαμπρότητος, πλὴν ἑνὸς τοῦ ἐσχάτου αὐτῶν Μοίριος· τοῦτον δὲ ἀποδέξασθαι μνημόσυνα τοῦ Ἡφαίστου τὰ πρὸς βορέην ἄνεμον τετραμμένα προπύλαια, λίμνην τε ὀρύξαι, τῆς ἡ περίοδος ὅσων ἐστὶ σταδίων ὕστερον δηλώσω, πυραμίδας τε ἐν αὐτῇ οἰκοδομῆσαι, τῶν τοῦ μεγάθεος πέρι ὁμοῦ αὐτῇ τῇ λίμνῃ ἐπιμνήσομαι. τοῦτον μὲν τοσαῦτα ἀποδέξασθαι, τῶν δὲ ἄλλων οὐδένα οὐδέν.

Παραμειψάμενος ὦν τούτους τοῦ ἐπὶ τούτοισι γενομένου 102
βασιλέος, τῷ οὔνομα ἦν Σέσωστρις, τούτου μνήμην ποιήσομαι· τὸν ἔλεγον οἱ ἱρέες πρῶτον μὲν πλοίοισι μακροῖσι

περὶ Νιτώκριδος τῆς Αἰγυπτίας   περὶ Μοίριδος   περὶ Σεσώστριδος Αἰγυπτίων βασιλέως

8. Λέξεις

1. οὐνόματα ἐν et ἀνθρώπων· ὀκτωκαίδεκα *P* ‖ γενεῇσι] δὲ γενεῆσι *Rd* ‖ 2. μίη z ‖ 3. τῇ περ z ‖ 4. τῇ] ἐν τῆι *ABC* ‖ νίτοκρις *d*, Νίκαυλις Ios. 5. βασιλεύσαντά σφεων *Rd* ‖ 7. δόλωι διαφθεῖραι *ABC* ‖ 8. ὑπόγαιον *R* ‖ καὶ νοῦν *Rd* ‖ 9. καλέεσαν *Rd*, καλέουσαν z ‖ δέ] γάρ? ‖ 10. ἤϊδε *Rd* ‖ ἑστιᾶν *L* ‖ 12. αὐτήν *C* ‖ μὲν z ‖ 13. ῥῖψαι *AB* ‖ 14. οὐδεμίην z ‖ 15. ἔργων om. *R* ‖ καὶ scripsi: κατ' ‖ 16. μύριος *Rd* ‖ 17. βορῆν *ABC* ‖ προπύλεα z ‖ 18. περίμετρος *qz* ‖ 19. πυραμῖδας *ABC* ‖ 21. δ' *ABC* ‖ 23. βασιλέως *Cd* ‖ ἔην z ‖ 24. ἔλεγον om. *Rd* ‖ πλόοισι *P*

99 Μέχρι μὲν τούτου ὄψις τε ἐμὴ καὶ γνώμη καὶ ἱστορίη ταῦτα λέγουσά ἐστι, τὸ δὲ ἀπὸ τοῦδε Αἰγυπτίους ἔρχομαι λόγους ἐρέων κατὰ τὰ ἤκουον· προσέσται δέ τι καὶ αὐτοῖσι καὶ τῆς ἐμῆς ὄψιος.

Τὸν Μῖνα πρῶτον βασιλεύσαντα Αἰγύπτου οἱ ἱρέες ἔλεγον τοῦτο μὲν ἀπογεφυρῶσαι τὴν Μέμφιν. τὸν γὰρ ποταμὸν πάντα ῥέειν παρὰ τὸ ὄρος τὸ ψάμμινον πρὸς Λιβύης, τὸν δὲ Μῖνα ἄνωθεν, ὅσον τε ἑκατὸν σταδίους ἀπὸ Μέμφιος, τὸν πρὸς μεσαμβρίης ἀγκῶνα προσχώσαντα τὸ μὲν ἀρχαῖον ῥέεθρον ἀποξηρῆναι, τὸν δὲ ποταμὸν ὀχετεῦσαι τὸ μέσον τῶν ὀρέων ῥέειν. ἔτι δὲ καὶ νῦν ὑπὸ Περσέων ὁ ἀγκὼν οὗτος τοῦ Νείλου ὡς ἀπεργμένος ῥέῃ ἐν φυλακῇσι μεγάλῃσι ἔχεται, φρασσόμενος ἀνὰ πᾶν ἔτος· εἰ γὰρ ἐθελήσει ῥήξας ὑπερβῆναι ὁ ποταμὸς ταύτῃ, κίνδυνος πάσῃ Μέμφι κατακλυσθῆναί ἐστι. ὡς δὲ τῷ Μῖνι τούτῳ τῷ πρώτῳ γενομένῳ βασιλέι χέρσον γεγονέναι τὸ ἀπεργμένον, τοῦτο μὲν ἐν αὐτῷ πόλιν κτίσαι ταύτην ἥτις νῦν Μέμφις καλέεται· ἔστι γὰρ καὶ ἡ Μέμφις ἐν τῷ στεινῷ τῆς Αἰγύπτου· ἔξωθεν δὲ αὐτῆς περιορύξαι λίμνην ἐκ τοῦ ποταμοῦ πρὸς βορέην τε καὶ πρὸς ἑσπέρην (τὸ γὰρ πρὸς τὴν ἠῶ αὐτὸς ὁ Νεῖλος ἀπέργει), τοῦτο δὲ τοῦ Ἡφαίστου τὸ ἱρὸν ἱδρύσασθαι ἐν αὐτῇ, ἐὸν
100 μέγα τε καὶ ἀξιαπηγητότατον. μετὰ δὲ τοῦτον κατέλεγον οἱ ἱρέες ἐκ βύβλου ἄλλων βασιλέων τριηκοσίων καὶ τριήκοντα

περὶ τοῦ Μῖνος τοῦ πρώτου βασιλέως Αἰγύπτου καὶ ὅτι αὐτὸς ἔκτισε Μέμφιν

ὅτι τλ̄ γεγόνασι βασιλεῖς ἐν Αἰγύπτῳ

22. (Bekkeri Anecd. p. 413. (Hesychius v. ἀξιαπηγητότατον). — 23 sqq. Iosephus archaeol. VIII 6 2

1. ἐμοὶ *z* ‖ 3. τὰ om. *dz* ‖ δέ τι καὶ αὐτοῖσι *Rd*: δέ τι καὶ αὐτοῖσι τί *P* δέ τοι καὶ αὐτοῖσι τί *qz*, δὲ αὐτοῖσί τι *ABC* ‖ 5. μῆνα *Rz* ‖ τὸν πρῶτο, *Rd* ‖ 6. τοῦτον *Pz* ‖ τὴν *Rdz*: καὶ τὴν ‖ 7. πάντα] πάλαι? ‖ ῥέει *Cv* ψίμμινον *Rd*, ψάμμιον *P*, Ψάμμιον *z* ‖ 8. μῆνα *Rz* ‖ τὸν om. *Rd* 9. μεσημβρίης *ABC* ‖ 10. ἀποξηράναι *Cdz*, ἀποξηρᾶναι reliqui ‖ 11. οὐρέων *CPz* ‖ 12. ὃς *d* ‖ ἀπεργόμενος *Acorr.BC*, ἀπερχόμενος *Apr.* ‖ ῥέῃ correxi: ῥέει ‖ 13. φρασόμενος *C* ‖ ἐθελήσοι *z* ‖ 15. ὡς δὲ τῷ] τῷ δὲ *Rd* ‖ μῖνι *ABPm*: μινὶ *Ccorr.Ptd*, μηνὶ *Cpr.z*, μινὶ (η) *R* ‖ 16. βασιλεῖ *AB* ‖ ἐν om. *ABC* ‖ 19. πρὸς ἑσπέρην] ἑσπέρην *z* ‖ 20. ἠῶ *C* ‖ 23. βίβλου *PR*, βύβλων *z* ‖ καὶ] τε καὶ *Pz*

οὐνόματα. ἐν τοσαύτῃσι γενεῇσι ἀνθρώπων ὀκτωκαίδεκα μὲν Αἰθίοπες ἦσαν, μία δὲ γυνὴ ἐπιχωρίη, οἱ δὲ ἄλλοι ἄνδρες Αἰγύπτιοι. τῇ δὲ γυναικὶ οὔνομα ἦν, ἥτις ἐβασίλευσε, τό περ τῇ Βαβυλωνίῃ, Νίτωκρις· τὴν ἔλεγον τιμωρέουσαν ἀδελφεῷ, τὸν Αἰγύπτιοι βασιλεύοντά σφεων ἀπέκτειναν, ἀποκτείναντες δὲ οὕτω ἐκείνῃ ἀπέδοσαν τὴν βασιληίην, τούτῳ τιμωρέουσαν πολλοὺς Αἰγυπτίων διαφθεῖραι δόλῳ. ποιησαμένην γάρ μιν οἴκημα περίμηκες ὑπόγαιον καινοῦν τῷ λόγῳ, νόῳ δὲ ἄλλα μηχανᾶσθαι· καλέσασαν δέ μιν Αἰγυπτίων τοὺς μάλιστα μεταιτίους τοῦ φόνου ᾔδεε, πολλοὺς ἱστιᾶν, δαινυμένοισι δὲ ἐπεῖναι τὸν ποταμὸν δι' αὐλῶνος κρυπτοῦ μεγάλου. ταύτης μὲν πέρι τοσαῦτα ἔλεγον, πλὴν ὅτι αὐτήν μιν, ὡς τοῦτο ἐξέργαστο, ῥίψαι ἐς οἴκημα σποδοῦ πλέον, ὅκως ἀτιμώρητος γένηται. τῶν δὲ ἄλλων βασιλέων οὐ γὰρ ἔλεγον οὐδεμίαν 101 ἔργων ἀπόδεξιν καὶ οὐδὲν εἶναι λαμπρότητος, πλὴν ἑνὸς τοῦ ἐσχάτου αὐτῶν Μοίριος· τοῦτον δὲ ἀποδέξασθαι μνημόσυνα τοῦ Ἡφαίστου τὰ πρὸς βορέην ἄνεμον τετραμμένα προπύλαια, λίμνην τε ὀρύξαι, τῆς ἡ περίοδος ὅσων ἐστὶ σταδίων ὕστερον δηλώσω, πυραμίδας τε ἐν αὐτῇ οἰκοδομῆσαι, τῶν τοῦ μεγάθεος πέρι ὁμοῦ αὐτῇ τῇ λίμνῃ ἐπιμνήσομαι. τοῦτον μὲν τοσαῦτα ἀποδέξασθαι, τῶν δὲ ἄλλων οὐδένα οὐδέν.

Παραμειψάμενος ὦν τούτους τοῦ ἐπὶ τούτοισι γενομένου 102 βασιλέος, τῷ οὔνομα ἦν Σέσωστρις, τούτου μνήμην ποιήσομαι· τὸν ἔλεγον οἱ ἱρέες πρῶτον μὲν πλοίοισι μακροῖσι

περὶ Νιτώκριδος τῆς Αἰγυπτίας — περὶ Μοίριδος — περὶ Σεσώστριδος Αἰγυπτίων βασιλέως

8. Λέξεις

1. οὐνόματα ἐν et ἀνθρώπων· ὀκτωκαίδεκα *P* ‖ γενεῇσι] δὲ γενεῇσι *Rd* ‖ 2. μίη *z* ‖ 3. τῇ περ *z* ‖ 4. τῇ] ἐν τῆι *ABC* ‖ νίτοκρις *d*, Νίκαυλις Ios.

5. βασιλεύσαντά σφεων *Rd* ‖ 7. δόλωι διαφθεῖραι *ABC* ‖ 8. ὑπόγαιον (ε) *R* ‖ καὶ νοῦν *Rd* ‖ 9. καλέεσαν *Rd*, καλέουσαν *z* ‖ δέ] γάρ? ‖ 10. ἤιδε *Rd* ‖ ἑστιᾶν *L* ‖ 12. αὐτήν *C* ‖ μὲν *z* ‖ 13. ῥῖψαι *AB* ‖ 14. οὐδεμίην *z* ‖ 15. ἔργων om. *R* ‖ καὶ scripsi: κατ' ‖ 16. μύριος *Rd* ‖ 17. βορῆν *ABC* ‖ προπύλεα *z* ‖ 18. περίμετρος *qz* ‖ 19. πυραμῖδας *ABC* ‖ 21. ὁ *ABC* ‖ 23. βασιλέως *Cd* ‖ ἐὴν *z* ‖ 24. ἔλεγον om. *Rd* ‖ πλόοισι *P*

ὁρμηθέντα ἐκ τοῦ Ἀραβίου κόλπου τοὺς παρὰ τὴν Ἐρυθρὴν θάλασσαν κατοικημένους καταστρέφεσθαι, ἐς ὃ πλέοντά μιν πρόσω ἀπικέσθαι ἐς θάλασσαν οὐκέτι πλωτὴν ὑπὸ βραχέων. ἐνθεῦτεν δὲ ὡς ὀπίσω ἀπίκετο ἐς Αἴγυπτον, κατὰ τῶν ἱρέων τὴν φάτιν, στρατιὴν πολλὴν τῶν . . λαβὼν ἤλαυνε διὰ τῆς ἠπείρου, πᾶν ἔθνος τὸ ἐμποδὼν καταστρεφόμενος. ὁτέοισι μέν νυν αὐτῶν ἀλκίμοισι ἐνετύγχανε καὶ δεινῶς γλιχομένοισι περὶ τῆς ἐλευθερίης, τούτοισι μὲν στήλας ἐνίστη ἐς τὰς χώρας διὰ γραμμάτων λεγούσας τό τε ἑωυτοῦ οὔνομα καὶ τῆς πάτρης, καὶ ὡς δυνάμι τῇ ἑωυτοῦ κατεστρέψατό σφεας· ὅτεων δὲ ἀμαχητὶ καὶ εὐπετέως παρέλαβε τὰς πόλιας, τούτοισι δὲ ἐνέγραφε ἐν τῇσι στήλῃσι κατὰ ταὐτὰ καὶ τοῖσι ἀνδρηίοισι τῶν ἐθνέων γενομένοισι, καὶ δὴ καὶ αἰδοῖα γυναικὸς προσενέγραφε, δῆλα βουλόμενος ποιέειν ὡς εἴησαν ἀνάλ-
103 χιδες. ταῦτα δὲ ποιέων διεξήιε τὴν ἤπειρον, ἐς ὃ ἐκ τῆς Ἀσίης ἐς τὴν Εὐρώπην διαβὰς τούς τε Σκύθας κατεστρέψατο καὶ τοὺς Θρήικας. ἐς τούτους δέ μοι δοκέει καὶ προσώτατα ἀπικέσθαι ὁ Αἰγύπτιος στρατός· ἐν μὲν γὰρ τῇ τούτων χώρῃ φαίνονται σταθεῖσαι αἱ στῆλαι, τὸ δὲ προσωτέρω τούτων οὐκέτι. ἐνθεῦτεν δὲ ἐπιστρέψας ὀπίσω ἤιε, καὶ ἐπείτε ἐγίνετο ἐπὶ Φάσι ποταμῷ, οὐκ ἔχω τὸ ἐνθεῦτεν ἀτρεκέως εἰπεῖν εἴτε αὐτὸς ὁ βασιλεὺς Σέσωστρις ἀποδασάμενος τῆς ἑωυτοῦ στρατιῆς μόριον ὅσον δὴ αὐτοῦ κατέλιπε τῆς χώρης οἰκήτορας, εἴτε τῶν τινες στρατιωτέων τῇ πλάνῃ αὐτοῦ ἀχθεσθέντες

---

6 sqq. Schol. Apollon. Rhod. δ 272. — 11 sqq. Iosephus archaeol. VIII 10 3. Eustathius Il. p. 668

1. παρὰ] περὶ *z* ‖ 2. ἐσὸ *A* ‖ 3. μηκέτι *qz* ‖ 4. τῶν] τὸν *R* ‖ 5. πολλὴν στρατιὴν *ABC* ‖ τῶν] τῶν. *Pz*, om. *Ccorr.Rd* ‖ lacunam quam indicavi expleverim ἦρχε ‖ 6. ἐμποδῶν *ABC*, ἐμποδὸν *R* ‖ 7. αὐτῶν *P*: αὐτῶι *C*, αὐτέων reliqui ‖ καὶ om. *Ppr.Rd* ‖ 8. ἀνίστη *sz* ‖ 10. δυνάμι *ABpr.*: δυνάμει ‖ σφέας *PRdz* ‖ 11. ὅτεων *A*: καὶ τέων *C*, ὀτέων reliqui ‖ πόλις *Pz*, πόλεις *Rd* ‖ 12. κατὰ ταῦτα *AB*. 'immo τά τε αὐτά.' Bekker ‖ 13. ἀνδριῆσι *d* ‖ 14. προσενέγραψε *Rd*, προσανέγραφε *z* ‖ ἦσαν *PRdz*. Eust. ‖ 15. δὴ *z* ‖ ἐσὸ *AB* ‖ 17. καὶ] καὶ οὐ A^2PRdz ‖ 19. τῷ *R* ‖ προσωτέρωι *ABC* ‖ 20. ἐγένετο *CPz* ‖ 21. φάσει B^2R ‖ ἀτρεκέως τὸ ἐνθεῦτεν *Rd* 22. αὐτοῦ om. P^tRdz ‖ 23. καταλείπει *ABC* ‖ 24. ἀχθέντες *Rd*

περὶ Φᾶσιν ποταμὸν κατέμειναν. φαίνονται μὲν γὰρ ἐόντες 104
οἱ Κόλχοι Αἰγύπτιοι, νοήσας δὲ πρότερον αὐτὸς ἢ ἀκούσας ἄλλων λέγω. ὡς δέ μοι ἐν φροντίδι ἐγένετο, εἰρόμην ἀμφοτέρους, καὶ μᾶλλον οἱ Κόλχοι ἐμεμνέατο τῶν Αἰγυπτίων ἢ οἱ Αἰγύπτιοι τῶν Κόλχων· νομίζειν δ' ἔφασαν οἱ Αἰγύπτιοι τῆς Σεσώστριος στρατιῆς εἶναι τοὺς Κόλχους. αὐτὸς δὲ εἴκασα τῇδε καὶ ὅτι μελάγχροές εἰσι καὶ οὐλότριχες. καὶ τοῦτο μὲν ἐς οὐδὲν ἀνήκει· εἰσὶ γὰρ καὶ ἕτεροι τοιοῦτοι· ἀλλὰ τοῖσιδε καὶ μᾶλλον, ὅτι μοῦνοι πάντων ἀνθρώπων Κόλχοι καὶ Αἰγύπτιοι καὶ Αἰθίοπες περιτάμνονται ἀπ' ἀρχῆς τὰ αἰδοῖα. Φοίνικες δὲ καὶ Σύροι οἱ ἐν τῇ Παλαιστίνῃ καὶ αὐτοὶ ὁμολογέουσι παρ' Αἰγυπτίων μεμαθηκέναι, Σύριοι δὲ οἱ περὶ Θερμώδοντα καὶ Παρθένιον ποταμὸν καὶ Μάκρωνες οἱ τούτοισι ἀστυγείτονες ἐόντες ἀπὸ Κόλχων φασὶ νεωστὶ μεμαθηκέναι. οὗτοι γάρ εἰσι οἱ περιταμνόμενοι ἀνθρώπων μοῦνοι, καὶ οὗτοι Αἰγυπτίοισι φαίνονται ποιεῦντες κατὰ ταὐτά. αὐτῶν δὲ Αἰγυπτίων καὶ Αἰθιόπων οὐκ ἔχω εἰπεῖν, ὁκότεροι παρὰ τῶν ἑτέρων ἐξέμαθον· ἀρχαῖον γὰρ δή τι φαίνεται ἐόν. ὡς δὲ ἐπιμισγόμενοι Αἰγύπτῳ ἐξέμαθον, μέγα μοι καὶ τόδε τεκμήριον γίνεται· Φοινίκων ὁκόσοι τῇ Ἑλλάδι ἐπιμίσγονται, οὐκέτι Αἰγυπτίους μιμέονται κατὰ τὰ αἰδοῖα, ἀλλὰ τῶν ἐπιγινομένων οὐ περιτάμνουσι τὰ αἰδοῖα. φέρε νῦν καὶ ἄλλο 105

ὅτι οἱ περὶ Φᾶσιν Κόλχοι Αἰγύπτιοί εἰσιν ἄνωθεν τίνες τῶν ἐθνῶν περιτέμνονται

1 sq. Theo progymn. p. 189 W. — 7. Pollux II 23. Eustathius Od. p. 1864. — 9. μοῦνοι - 18 ἐξέμαθον Iosephus in Apion. I 22. — 11. Φοίνικες - 12 μεμαθηκέναι Iosephus archaeol. VIII 10 3. — 12. - 14 Eustathius Dion. 772. — 13. Schol. Apollon. Rhod. α 1024

1. φάσιν *CRdz* ‖ 2. οἱ om. *Rd*. Theo ‖ 3. ἐγίνετο *d* ‖ εἰρόμην *Rd*: ἠρόμην ‖ 5. δὲ *C* ‖ οἱ om. *PRdz* ‖ 6. σεσώστριδος *d* ‖ 7. μελάχροές *B* ‖ 8. ἀφήκει *Rd* ‖ 9. τοῖσι δὲ *Rd*, τοῖσδε *CP*, τοῖσι δὴ *z* ‖ καὶ om. *PRdz* ‖ οὗτι *R* ‖ ἀνθρώπων om. Ios. ‖ 10. περιτάμνουσιν *C* ‖ 11. σύριοι *PRdz* ‖ οὗτοι Ios. ‖ 12. οἱ περὶ] ὑπὲρ *C* ‖ 13. ποταμὸν καὶ παρθένιον *Rd*. Eust. ‖ μάκρωνες *C* ‖ 15. ἀνθρώπων οἱ περιταμνόμενοι *Rd* ‖ μόνοι *C* ‖ 16. αἰγύπτιοι *Rd* ‖ κατὰ τὰ αὐτὰ *d*, κατὰ αὐτὰ *R* ‖ 18. τι om. *Rd* ‖ 19. ὁ *PRdz* ‖ αἰγύπτων *C* ‖ 20. μαρτύριον *P*[t]*Rdz* ‖ 22. τὰ om. *Rd* ‖ νυν *BR*, δὴ *Pz*

εἴπω περὶ τῶν Κόλχων, ὡς Αἰγυπτίοισι προσφερέες εἰσί. λίνον μοῦνοι οὗτοί τε καὶ Αἰγύπτιοι ἐργάζονται κατὰ ταὐτά, καὶ ἡ ζόη πᾶσα καὶ ἡ γλῶσσα ἐμφερής ἐστι ἀλλήλοισι. λίνον δὲ τὸ μὲν Κολχικὸν ὑπὸ Ἑλλήνων Σαρδωνικὸν κέκληται, τὸ μέντοι ἀπ' Αἰγύπτου ἀπικνεύμενον καλέεται Αἰγύπτιον.

106 αἱ δὲ στῆλαι τὰς ἵστα κατὰ τὰς χώρας ὁ Αἰγύπτου βασιλεὺς Σέσωστρις, αἱ μὲν πλεῦνες οὐκέτι φαίνονται περιεοῦσαι, ἐν δὲ τῇ Παλαιστίνῃ Συρίῃ αὐτὸς ὥρων ἐούσας καὶ τὰ γράμματα τὰ εἰρημένα ἐνεόντα καὶ γυναικὸς αἰδοῖα. εἰσὶ δὲ καὶ περὶ Ἰωνίην δύο τύποι ἐν πέτρῃσι ἐγκεκολαμμένοι τούτου τοῦ ἀνδρός, τῇ τε ἐκ τῆς Ἐφεσίης ἐς Φώκαιαν ἔρχονται καὶ τῇ ἐκ Σαρδίων ἐς Σμύρνην. ἑκατέρωθι δὲ ἀνὴρ ἐγγέγλυπται μέγαθος πέμπτης σπιθαμῆς, τῇ μὲν δεξιῇ χειρὶ ἔχων αἰχμὴν τῇ δὲ ἀριστερῇ τόξα, καὶ τὴν ἄλλην σκευὴν ὡσαύτως· καὶ γὰρ Αἰγυπτίην καὶ Αἰθιοπίδα ἔχει· ἐκ δὲ τοῦ ὤμου ἐς τὸν ἕτερον ὦμον διὰ τῶν στηθέων γράμματα ἱρὰ Αἰγύπτια διήκει ἐγκεκολαμμένα, λέγοντα τάδε. "ἐγὼ τήνδε τὴν χώρην ὤμοισι τοῖσι ἐμοῖσι ἐκτησάμην." ὅστις δὲ καὶ ὁκόθεν ἐστί, ἐνθαῦτα μὲν οὐ δηλοῖ, ἑτέρωθι δὲ δεδήλωκε. τὰ δὴ καὶ μετεξέτεροι τῶν θεησαμένων Μέμνονος εἰκόνα εἰκάζουσί μιν εἶναι, πολλὸν τῆς ἀληθείης ἀπολελειμμένοι.

107 Τοῦτον δὴ τὸν Αἰγύπτιον Σέσωστριν ἀναχωρέοντα καὶ ἀνάγοντα πολλοὺς ἀνθρώπους τῶν ἐθνέων τῶν τὰς χώρας κατεστρέψατο, ἔλεγον οἱ ἱρέες, ἐπείτε ἐγίνετο ἀνακομιζόμενος ἐν Δάφνῃσι τῇσι Πηλουσίῃσι, τὸν ἀδελφεὸν ἑωυτοῦ, τῷ ἐπέτρεψε ὁ Σέσωστρις τὴν Αἴγυπτον, τοῦτον ἐπὶ ξείνια αὐτὸν

---

4. Pollux V 26. — 13. Priscianus de fig. num. 17

1. προσφορέες *C* ‖ 2. λίνων *P* ‖ κατὰ] καὶ κατὰ *ABC* ‖ τὰ αὐτὰ *Rd* ‖ 3. ζώη (ο supra) *C*, ζώη *R*, ζωὴ *d* ‖ πᾶσι *d* ‖ ἀλλήλῃσι *PRd* ‖ 4. σαρδονικὸν *Rdz*. Pollux ‖ 5. ἀπικνεόμενον *Rd* ‖ 6. τὰς δὲ στήλας *Rd* ‖ ἵστη *R* ‖ κατὰ χώρας *P*, κατὰ χώραν *z* ‖ 8. ὥρων *ACP*: ὦρον *B*, ὁρῶν *Rd*, ὤρεων *z* ‖ 11. φώκαι ἀνέρχονται *R*, Φώκαιαν κατέρχονται *z* ‖ 12. ἑκατέρωθεν *sz* ‖ 13. χερὶ *z* ‖ 14. τόξον *z* ‖ κατασκευὴν *Rd* ‖ 15. αἰθιοπίην *d* ‖ 17. τῆνδε *A* ‖ 19. τὰ δὴ] καίτοι ἤδη? ‖ 20. θειησαμένων *Rd* ‖ πολὺ *L* ‖ 21. ἀληθηΐης *z* ‖ 23. πολλέας *z* ‖ 24. ἐγένετο *Rz* ‖ 25. αὐτοῦ *PRdz* ‖ 26. ὁ om. *PRdz*

καλέσαντα καὶ πρὸς αὐτῷ τοὺς παῖδας περινῆσαι ἔξωθεν τὴν οἰκίην ὕλῃ, περινήσαντα δὲ ὑποπρῆσαι. τὸν δὲ ὡς μαθεῖν τοῦτο, αὐτίκα συμβουλεύεσθαι τῇ γυναικί· καὶ γὰρ δὴ καὶ τὴν γυναῖκα αὐτὸν ἅμα ἄγεσθαι· τὴν δέ οἱ συμβουλεῦσαι τῶν παίδων ἐόντων ἓξ τοὺς δύο ἐπὶ τὴν πυρὴν ἐκτείναντα γεφυρῶσαι τὸ καιόμενον, αὐτοὺς δὲ ἐπ' ἐκείνων ἐπιβαίνοντας ἐκσώζεσθαι. ταῦτα ποιῆσαι τὸν Σέσωστριν, καὶ δύο μὲν τῶν παίδων κατακαῆναι τρόπῳ τοιούτῳ, τοὺς δὲ λοιποὺς ἀποσωθῆναι ἅμα τῷ πατρί. νοστήσας δὲ ὁ Σέσωστρις ἐς τὴν 108 Αἴγυπτον καὶ τισάμενος τὸν ἀδελφεόν, τῷ μὲν ὁμίλῳ τὸν ἐπηγάγετο τῶν τὰς χώρας κατεστρέψατο, τούτῳ μὲν τάδε ἐχρήσατο. τούς τέ οἱ λίθους τοὺς ἐπὶ τούτου τοῦ βασιλέος κομισθέντας ἐς τοῦ Ἡφαίστου τὸ ἱρόν, ἐόντας μεγάθεϊ περιμήκεας, οὗτοι ἦσαν οἱ ἑλκύσαντες, καὶ τὰς διώρυχας τὰς νῦν ἐούσας ἐν Αἰγύπτῳ πάσας οὗτοι ἀναγκαζόμενοι ὤρυσσον, ἐποίευν τε οὐκ ἑκόντες Αἴγυπτον, τὸ πρὶν ἐοῦσαν ἱππασίμην καὶ ἁμαξευομένην πᾶσαν, ἐνδεᾶ τούτων. ἀπὸ γὰρ τούτου τοῦ χρόνου Αἴγυπτος ἐοῦσα πεδιὰς πᾶσα ἄνιππος καὶ ἀναμάξευτος γέγονε· αἴτιαι δὲ τούτων αἱ διώρυχες γεγόνασι ἐοῦσαι πολλαὶ καὶ παντοίους τρόπους ἔχουσαι. κατέταμνε δὲ τοῦδε εἵνεκα τὴν χώρην ὁ βασιλεύς· ὅσοι τῶν Αἰγυπτίων μὴ ἐπὶ τῷ ποταμῷ ἔκτηντο τὰς πόλις ἀλλ' ἀναμέσους, οὗτοι, ὅκως τε ἀπίοι ὁ ποταμός, σπανίζοντες ὑδάτων πλατυτέροισι ἐχρέωντο τοῖσι πόμασι, ἐκ φρεάτων χρεώμενοι. τούτων μὲν 109 δὴ εἵνεκα κατετμήθη ἡ Αἴγυπτος. κατανεῖμαι δὲ τὴν χώρην

---

18. Pollux III 96

1. περινηῆσαι et 2 περινηήσαντα *PRdz* ‖ 2. ὕλην *R* ‖ 5. τοὺς] τὰς *R* ‖ ἐκτείνοντα *R* ‖ 6. κεόμενον *Rd* ‖ δὲ *CRd*: δ' ‖ 7. καὶ δύο – 9 Σέσωστρις om. *C* ‖ 8. τρόπῳ κατακαῆναι *d* ‖ τοιῷιδε *Pz* ‖ 11. τοῦτο *C* ‖ 12. βασιλέως *AB*[1]*d* ‖ 13. μεγάθει *ABd* ‖ 15. ὤρυξαν *PRdz* ‖ 16. ἐποίεον *PRdz* ‖ ἱππασίην *Rd* ‖ 18. ἅπασα πεδιὰς *AB*, πᾶσα πεδιὰς *C* ‖ 19. γέγονεν *ABC* ‖ γεγόνασιν *AB* ‖ 20. ἰοῦσαι *d* ‖ 21. τοῦ δὲ *C* ‖ 22. ἔκτηνται *C* ‖ τὰς om. *Ppr.z* ‖ πόλεις *Cd* ‖ ἀνὰ μέσους *R* ‖ 24. ἐχρέοντο *PR* ‖ πόμασι *B*[2]*z*: πόμασι (ω supra) *R*, πόματι *P*, πώμασι *AB*, πώμασιν *C* ‖ χρεόμενοι *P*, ἀρυόμενοι G. Dindorf ‖ 25. δὴ om. *Rd* ‖ ἡ om. *ABCd*

Αἰγυπτίοισι. ἅπασι τοῦτον ἔλεγον τὸν βασιλέα, κλῆρον ἴσον ἑκάστῳ τετράγωνον διδόντα, καὶ ἀπὸ τούτου τὰς προσόδους ποιήσασθαι, ἐπιτάξαντα ἀποφορὴν ἐπιτελέειν κατ' ἐνιαυτόν. εἰ δέ τινος τοῦ κλήρου ὁ ποταμός τι παρέλοιτο, ἐλθὼν ἂν πρὸς αὐτὸν ἐσήμαινε τὸ γεγενημένον· ὁ δὲ ἔπεμπε τοὺς ἐπισκεψομένους καὶ ἀναμετρήσοντας ὅσῳ ἐλάσσων ὁ χῶρος γέγονε, ὅκως τοῦ λοιποῦ κατὰ λόγον τῆς τεταγμένης ἀποφορῆς τελέοι. δοκέει δέ μοι ἐνθεῦτεν γεωμετρίη εὑρεθεῖσα ἐς τὴν Ἑλλάδα ἐπανελθεῖν· πόλον μὲν γὰρ καὶ γνώμονα καὶ τὰ δυώδεκα μέρεα τῆς ἡμέρης παρὰ Βαβυλωνίων ἔμαθον οἱ Ἕλληνες.

110 Βασιλεὺς μὲν δὴ οὗτος μοῦνος Αἰγύπτιος Αἰθιοπίης ἦρξε, μνημόσυνα δὲ ἐλίπετο πρὸ τοῦ Ἡφαιστείου ἀνδριάντας λιθίνους, δύο μὲν τριήκοντα πηχέων, ἑωυτόν τε καὶ τὴν γυναῖκα, τοὺς δὲ παῖδας ἐόντας τέσσερας εἴκοσι πηχέων ἕκαστον· τῶν δὴ ὁ ἱρεὺς τοῦ Ἡφαίστου χρόνῳ μετέπειτα πολλῷ Δαρεῖον τὸν Πέρσην οὐ περιεῖδε ἱστάντα ἔμπροσθε ἀνδριάντα, φὰς οὔ οἱ πεποιῆσθαι ἔργα οἷά περ Σεσώστρι τῷ Αἰγυπτίῳ· Σέσωστριν μὲν γὰρ ἄλλα τε καταστρέψασθαι ἔθνεα οὐκ ἐλάσσω ἐκείνου καὶ δὴ καὶ Σκύθας, Δαρεῖον δὲ οὐ δυνασθῆναι Σκύθας ἑλεῖν· οὔκων δίκαιον εἶναι ἱστάναι ἔμπροσθε τῶν ἐκείνου ἀναθημάτων μὴ οὐκ ὑπερβαλλόμενον τοῖσι ἔργοισι. Δαρεῖον μέν νυν λέγουσι πρὸς ταῦτα συγγνώμην ποιήσασθαι.

111 Σεσώστριος δὲ τελευτήσαντος ἐκδέξασθαι ἔλεγον τὴν

---

3. Λέξεις. — 9 sq. Eustathius Dion. 988

1. ἴσον *B*, ὅσον *C* ‖ 3. ἀποτελέειν *ACd*[1] ‖ 4. τι om. *Ppr.Rd* ‖ 7. γέγονεν *ABC*, γεγονέναι *Rd* ‖ 8. δέ om. *Rd* ‖ 10. μέρη *AB* ‖ οἱ om. *z* ‖ 12. μὲν δὴ *ABCPcorr.z*: δὴ *Ppr.*, δὲ *Rd* ‖ οὗτος] οὗτος δὴ *PRdz* ‖ 13. ἡφαιστίου *AB*[1]*C* ‖ 14. τριάκοντα *ABC* ‖ πήχεων *Pdz* ‖ 15. τέσσαρας *Cdz* ‖ πήχεων *P* ‖ 16. δὴ] δὲ δὴ *Rdz* ‖ 17. περιεῖδε *B*[2]*Cz*: περιῖδε ‖ ἔμπροσθε *AB*: ἔμπροσθεν ‖ 18. οὔ οἱ] οὐ *Rd* ‖ σέσωστρι *R*, σεσώστριϊ *z* ‖ 19. σέσωστρις *Rd* ‖ ἔρνεα *R* ‖ ἐλάσσων *d* ‖ 20. Δαρεῖον - 21 Σκύθας om. *PtRd* ‖ 21. ἱστάναι] om. *d*, στάναι *z* 'non peius ἑστάναι.' Bekker ‖ ἔμπροσθεν *PRdz* ‖ τῶν] τοῦ *C* ‖ 22. ὑπερβαλόμενον *d* ‖ τοῖσι ἐκείνου ἔργοισι *z* ‖ 24. ἔλεγον om. *d*

βασιληίην τὸν παῖδα αὐτοῦ Φερῶν, τὸν ἀποδέξασθαι μὲν οὐδεμίαν στρατηίην, συνενειχθῆναι δέ οἱ τυφλὸν γενέσθαι διὰ τοιόνδε πρῆγμα. τοῦ ποταμοῦ κατελθόντος μέγιστα δὴ τότε ἐπ' ὀκτωκαίδεκα πήχεας, ὡς ὑπερέβαλε τὰς ἀρούρας, πνεύματος ἐμπεσόντος κυματίης ὁ ποταμὸς ἐγένετο· τὸν δὲ βασιλέα λέγουσι τοῦτον ἀτασθαλίῃ χρησάμενον, λαβόντα αἰχμὴν βαλεῖν ἐς μέσας τὰς δίνας τοῦ ποταμοῦ, μετὰ δὲ αὐτίκα καμόντα αὐτὸν τοὺς ὀφθαλμοὺς τυφλωθῆναι. δέκα μὲν δὴ ἔτεα εἶναί μιν τυφλόν, ἑνδεκάτῳ δὲ ἔτεϊ ἀπικέσθαι οἱ μαντήιον ἐκ Βουτοῦς πόλιος ὡς ἐξήκει τέ οἱ ὁ χρόνος τῆς ζημίης καὶ ἀναβλέψει γυναικὸς οὔρῳ νιψάμενος τοὺς ὀφθαλμούς, ἥτις παρὰ τὸν ἑωυτῆς ἄνδρα μοῦνον πεφοίτηκε, ἄλλων ἀνδρῶν ἐοῦσα ἄπειρος. καὶ τὸν πρώτης τῆς ἑωυτοῦ γυναικὸς πειρᾶσθαι, μετὰ δέ, ὡς οὐκ ἀνέβλεπε, ἐπεξῆς πασέων πειρᾶσθαι· ἀναβλέψαντα δὲ συναγαγεῖν τὰς γυναῖκας τῶν ἐπειρήθη, πλὴν ἢ τῆς τῷ οὔρῳ νιψάμενος ἀνέβλεψε, ἐς μίαν πόλιν, ἣ νῦν καλέεται Ἐρυθρὴ βῶλος· ἐς ταύτην συναλίσαντα ὑποπρῆσαι πάσας σὺν αὐτῇ τῇ πόλι. τῆς δὲ νιψάμενος τῷ οὔρῳ ἀνέβλεψε, ταύτην δὲ εἶχε αὐτὸς γυναῖκα. ἀναθήματα δὲ ἀποφυγὼν τὴν πάθην τῶν ὀφθαλμῶν ἄλλα τε ἀνὰ τὰ ἱρὰ πάντα τὰ λόγιμα ἀνέθηκε καὶ τοῦ γε λόγον μάλιστα ἄξιόν ἐστι ἔχειν, ἐς τοῦ Ἡλίου τὸ ἱρὸν ἀξιοθέητα ἀνέθηκε ἔργα, ὀβελοὺς δύο λιθίνους, ἐξ ἑνὸς ἐόντας ἑκάτερον λίθου, μῆκος μὲν ἑκάτερον πηχέων ἑκατόν, εὖρος δὲ ὀκτὼ πηχέων.

Τούτου δὲ ἐκδέξασθαι τὴν βασιληίην ἔλεγον ἄνδρα 112

περὶ Φερῶνος τοῦ Σεσώστριδος παιδὸς βασιλέως Αἰγύπτου

---

5. Eustathius Il. p. 827. Od. p. 1538. — 17. Stephanus Byz. v. Ἐρυθρὰ βῶλος. — 25. - p. 206, 3 Eustathius Od. p. 1500

1. αὐτοῦ z ‖ φερῶν *AB*: φερων *C*, φέρων *P*, φέρωνα *Rdz* ‖ οὐδὲ μίην *Rd*, οὐδεμίην z ‖ 2. στρατιὴν *Rd* ‖ 7. βαλέειν *L* ‖ 9. ἐν δεκάτῳ *R* ‖ ἔτει *ABd* ‖ 14. μετὰ - πειρᾶσθαι om. *C* ‖ ἀνέβλεψε *PRdz* ‖ 16. μίην z ‖ 17. συναυλίσαντας *R*, συναυλήσαντα *d* ‖ 18. πόλει *C* ‖ 21. καὶ τοῦ - 22 ἀνέθηκε om. *B*[1] ‖ 22. σχεῖν *Rd* ‖ 23. ἐόντα *ABC* ‖ 24. πήχεων *Pz* ‖ πήχεων *P*, om. z

Μεμφίτην, τῷ κατὰ τὴν Ἑλλήνων γλῶσσαν οὔνομα Πρωτέα εἶναι· τοῦ νῦν τέμενός ἐστι ἐν Μέμφι κάρτα καλόν τε καὶ εὖ ἐσκευασμένον, τοῦ Ἡφαιστείου πρὸς νότον ἄνεμον κείμενον. περιοικέουσι δὲ τὸ τέμενος τοῦτο Φοίνικες Τύριοι, καλέεται δὲ ὁ χῶρος οὗτος ὁ συνάπας Τυρίων στρατόπεδον. ἔστι δὲ ἐν τῷ τεμένεϊ τοῦ Πρωτέος ἱρὸν τὸ καλέεται ξείνης Ἀφροδίτης· συμβάλλομαι δὲ τοῦτο τὸ ἱρὸν εἶναι Ἑλένης τῆς Τυνδάρεω, καὶ τὸν λόγον ἀκηκοὼς ὡς διαιτήθη Ἑλένη παρὰ Πρωτέι, καὶ δὴ καὶ ὅτι ξείνης Ἀφροδίτης ἐπώνυμόν ἐστι· ὅσα γὰρ ἄλλα Ἀφροδίτης ἱρά ἐστι, οὐδαμῶς ξείνης ἐπικα-
113 λέεται. ἔλεγον δέ μοι οἱ ἱρέες ἱστορέοντι τὰ περὶ Ἑλένην γενέσθαι ὧδε. Ἀλέξανδρον ἁρπάσαντα Ἑλένην ἐκ Σπάρτης ἀποπλέειν ἐς τὴν ἑωυτοῦ· καί μιν, ὡς ἐγένετο ἐν τῷ Αἰγαίῳ, ἐξῶσται ἄνεμοι ἐκβάλλουσι ἐς τὸ Αἰγύπτιον πέλαγος, ἐνθεῦτεν δέ (οὐ γὰρ ἀνίει τὰ πνεύματα) ἀπικνέεται ἐς Αἴγυπτον καὶ Αἰγύπτου ἐς τὸ νῦν Κανωβικὸν καλεύμενον στόμα τοῦ Νείλου καὶ ἐς Ταριχείας. ἦν δὲ ἐπὶ τῆς ἠιόνος, τὸ καὶ νῦν ἐστι, Ἡρακλέος ἱρόν, ἐς τὸ ἢν καταφυγὼν οἰκέτης ὁτευῶν ἀνθρώπων ἐπιβάληται στίγματα ἱρά, ἑωυτὸν διδοὺς τῷ θεῷ, οὐκ ἔξεστι τούτου ἅψασθαι. ὁ νόμος οὗτος διατελέει ἐὼν ὅμοιος τὸ μέχρι ἐμεῦ ἀπ᾽ ἀρχῆς. τοῦ ὦν δὴ Ἀλεξάνδρου ἀπιστέαται θεράποντες πυθόμενοι τὸν περὶ τὸ ἱρὸν ἔχοντα νόμον, ἱκέται δὲ ἱζόμενοι τοῦ θεοῦ κατηγόρεον τοῦ Ἀλεξάνδρου, βουλόμενοι βλάπτειν αὐτόν, πάντα λόγον ἐξηγεόμενοι ὡς εἶχε περὶ τὴν Ἑλένην τε καὶ τὴν ἐς Μενέλεων ἀδικίην.

περὶ Πρωτέως βασιλέως Αἰγύπτου καὶ περὶ Ἀλεξάνδρου καὶ Ἑλένης

---

1. ἑλλήνων *PRdz*. Eust.: τῶν ἑλλήνων ‖ 3. ἡφαιστίου *C*, Ἡφαιστηΐου z ‖ 5. δ᾽ *AB* ‖ 7. συμβάλλομαι - 9 Ἀφροδίτης om. *R* ‖ δὲ om. *d* ‖ τυνδάρεως *C* ‖ 8. ἐδιαιτήθη *d* ‖ 9. πρωτεῖ *AB* ‖ ἐπώνυμόν - Ἀφροδίτης om. *C* ‖ ἐπωνύμιόν *AB* ‖ 9. ἄλλης *PRd*, ἄλλῃ ἄλλης *qz* ‖ οὐδαμᾶ z ‖ ξείνη *R* ‖ 14. Αἰγυπτίων z ‖ 15. ἀνήει *C* ‖ 16. νῦν om. *Ppr.Rd* ‖ καλεόμενον *C* ‖ 17. Ταριχέας G. Dindorf ‖ κιόνος *Rd* ‖ τὸ] ὁ *A*, ὃ reliqui ‖ 18. ὀτευῶν Bekker: ὅτεωι vel ὅτεω ‖ 19. ἐπιβέβληται *C*, ἐπιλάβηται *Rd* ‖ ἑαυτὸν *Rd* ‖ 20. οὔτως *R* ‖ 21. ὁμοῖος *CP*, ὁμοίως z ‖ τὸ μέχρι *Rd*: μέχρις z, μέχρι reliqui ‖ ἀπαρχῆς *Rd*: τὸ ἀπαρχῆς *AB*, τὸ ἀπαρχῆς (ὦ) *C*, τῶι ἀπ᾽ ἀρχῆς *Pz* ‖ 22. ἀπιστέαται - 23 Ἀλεξάνδρου om. *R* ‖ 23. ἑζόμενοι z ‖ 25. μενέλαον *R*

κατηγόρεον δὲ ταῦτα πρός τε τοὺς ἱρέας καὶ τὸν τοῦ στόματος
τούτου φύλακον, τῷ οὔνομα ἦν Θῶνις. ἀκούσας δὲ τούτων 114
ὁ Θῶνις πέμπει τὴν ταχίστην ἐς Μέμφιν παρὰ Πρωτέα ἀγγε-
λίην λέγουσαν τάδε. "ἥκει ξεῖνος γένος μὲν Τευκρός, ἔργον
δὲ ἀνόσιον ἐν τῇ Ἑλλάδι ἐξεργασμένος· ξείνου γὰρ τοῦ ἑωυ-
τοῦ ἐξαπατήσας τὴν γυναῖκα αὐτήν τε ταύτην ἄγων ἥκει καὶ
πολλὰ κάρτα χρήματα, ὑπὸ ἀνέμων ἐς γῆν τὴν σὴν ἀπε-
νειχθείς. κότερα δῆτα τοῦτον ἐῶμεν ἀσινέα ἐκπλέειν ἢ
ἀπελώμεθα τὰ ἔχων ἦλθε;" ἀντιπέμπει πρὸς ταῦτα ὁ Πρω-
τεὺς λέγοντα τάδε. "ἄνδρα τοῦτον, ὅστις κοτέ ἐστι ἀνόσια
ἐξεργασμένος ξεῖνον τὸν ἑωυτοῦ, συλλαβόντες ἀπάγετε παρ'
ἐμέ, ἵνα εἰδέω ὅ τι κοτὲ καὶ λέξει." ἀκούσας δὲ ταῦτα ὁ Θῶ- 115
νις συλλαμβάνει τὸν Ἀλέξανδρον καὶ τὰς νέας αὐτοῦ κατίσχει,
μετὰ δὲ αὐτόν τε τοῦτον ἀνήγαγε ἐς Μέμφιν καὶ τὴν
Ἑλένην τε καὶ τὰ χρήματα, πρὸς δὲ καὶ τοὺς ἱκέτας. ἀνα-
κομισθέντων δὲ πάντων, εἰρώτα τὸν Ἀλέξανδρον ὁ Πρωτεὺς
τίς εἴη καὶ ὁκόθεν πλέοι. ὁ δέ οἱ καὶ τὸ γένος κατέλεξε καὶ
τῆς πάτρης εἶπε τὸ οὔνομα, καὶ δὴ καὶ τὸν πλόον ἀπηγήσατο
ὁκόθεν πλέοι. μετὰ δὲ ὁ Πρωτεὺς εἰρώτα αὐτὸν ὁκόθεν τὴν
Ἑλένην λάβοι· πλανωμένου δὲ τοῦ Ἀλεξάνδρου ἐν τῷ λόγῳ
καὶ οὐ λέγοντος τὴν ἀληθείην, ἤλεγχον οἱ γενόμενοι ἱκέται,
ἐξηγεύμενοι πάντα λόγον τοῦ ἀδικήματος. τέλος δὲ δή σφι
λόγον τόνδε ἐκφαίνει ὁ Πρωτεύς, λέγων ὅτι "ἐγὼ εἰ μὴ περὶ
πολλοῦ ἡγεύμην μηδένα ξείνων κτείνειν, ὅσοι ὑπ' ἀνέμων ἤδη
ἀπολαμφθέντες ἦλθον ἐς χώρην τὴν ἐμήν, ἐγὼ ἄν σε ὑπὲρ
τοῦ Ἕλληνος ἐτισάμην, ὅς, ὦ κάκιστε ἀνδρῶν, ξεινίων τυχὼν

---

1 sqq. Eustathius Od. p. 1493. 1500

4. λέγουσα C^1 ‖ τεῦκρος *dz* ‖ 5. ἐργασμένος *Pz*, ἐργασάμενος *Rd* ‖ 6. αὐτήν γε *d* ‖ 7. τὴν σὴν *PRdz*: ταύτην ‖ ἀπενεχθείς *R* ‖ 8. δῆτα] δὴ ταῦτα *C* ‖ 9. ἀφελόμεθα *R*, ἀφελώμεθα ceteri ‖ προτεὺς *R* ‖ 10. λέγοντας *R*, λέγω *d* ‖ ἀνόστον *C* ‖ 11. ἐργασμένος *ABC* ‖ ἀπάγεται *C* ‖ 12. εἰδῶ codices, ἰδῶ *z* ‖ ὅ τι] τί *Pdz* ‖ τοῦτο *PRdz* ‖ 13. αὐτοῦ *z* ‖ 14. ἀνῆγε *Pz*, ἀνῆγεν *Rd* ‖ 15. οἰκέτας *d* ‖ 16. ἠρώτα *CPz* ‖ προτεὺς *R* ‖ 17. τις] τίς τε *z*. ‖ πλέει *z* ‖ 18. τὸ ὄνομα *C*, τοὔνομα *z* ‖ 19. ἠρώτα *CPz* ‖ 21. ἀληθηΐην *z* ‖ 22. δὴ om. *PRdz* ‖ 23. ἐκφαίνων *d* ‖ ἐγὼ om. *z* ‖ 24. δὴ *Ppr.Rd* ‖ 25. ἀπολαμφθέντες *B*, ἀπολαφθέντες *d* ‖ ἂν] γὰρ *R* ‖ 26. ἕλενος *C* ‖ ὅς ὦ] ὅσον *Rd*

ἔργον ἀνοσιώτατον ἐργάσαο· παρὰ τοῦ σεωυτοῦ ξείνου τὴν γυναῖκα ἦλθες. καὶ μάλα ταῦτά τοι οὐκ ἤρκεσε, ἀλλ᾽ ἀναπτερώσας αὐτὴν οἴχεαι ἔχων ἐκκλέψας. καὶ οὐδὲ ταῦτά τοι μοῦνα ἤρκεσε, ἀλλὰ καὶ οἰκία τοῦ ξείνου κεραΐσας ἥκεις. νῦν ὦν ἐπειδὴ περὶ πολλοῦ ἥγημαι μὴ ξεινοκτονέειν, γυναῖκα μὲν ταύτην καὶ τὰ χρήματα οὔ τοι προήσω ἀπάγεσθαι, ἀλλ᾽ αὐτὰ ἐγὼ τῷ Ἕλληνι ξείνῳ φυλάξω, ἐς ὃ ἂν αὐτὸς ἐλθὼν ἐκεῖνος ἀπαγαγέσθαι ἐθέλῃ· αὐτὸν δέ σε καὶ τοὺς σοὺς συμπλόους τριῶν ἡμερέων προαγορεύω ἐκ τῆς ἐμῆς γῆς ἐς ἄλλην τινὰ μετορμίζεσθαι, εἰ δὲ μή, ἅτε πολεμίους περιέψεσθαι."

116 Ἑλένης μὲν ταύτην ἄπιξιν παρὰ Πρωτέα ἔλεγον οἱ ἱρέες γενέσθαι· δοκέει δέ μοι καὶ Ὅμηρος τὸν λόγον τοῦτον πυθέσθαι· ἀλλ᾽ οὐ γὰρ ὁμοίως ἐς τὴν ἐποποιίην εὐπρεπὴς ἦν τῷ ἑτέρῳ τῷ περ ἐχρήσατο, ἑκὼν μετῆκε αὐτόν, δηλώσας ὡς καὶ τοῦτον ἐπίσταιτο τὸν λόγον· δῆλον δὲ κατά περ ἐποίησε ἐν Ἰλιάδι (καὶ οὐδαμῇ ἄλλῃ ἀνεπόδισε ἑωυτόν) πλάνην τὴν Ἀλεξάνδρου, ὡς ἀπηνείχθη ἄγων Ἑλένην τῇ τε δὴ ἄλλῃ πλαζόμενος καὶ ὡς ἐς Σιδῶνα τῆς Φοινίκης ἀπίκετο. ἐπιμέμνηται δὲ αὐτοῦ ἐν Διομήδεος ἀριστηίῃ· λέγει δὲ τὰ ἔπεα ὧδε.

ἔνθ᾽ ἔσαν οἱ πέπλοι παμποίκιλοι, ἔργα γυναικῶν
Σιδονίων, τὰς αὐτὸς Ἀλέξανδρος θεοειδὴς
ἤγαγε Σιδονίηθεν, ἐπιπλὼς εὐρέα πόντον,
τὴν ὁδὸν ἣν Ἑλένην περ ἀνήγαγεν εὐπατέρειαν.

---

4. Eustathius Il. p. 364. — 5. Pollux III 58

1. ἀνόσιον *Rd* ‖ ξείνου om. *d*[1] ‖ 2. ἦλθες] ἔχων ἦλθες *Rd*, τὴν ἣν ἔχων ἦλθες *z* ‖ ταῦτά τοι οὐκ ἤρκεσε] οὐκ ἤρκεσέ σοι τὸ συγγενέσθαι αὐτῇ *sz* ‖ 3. οἴχεται *R*, οἴχου *sz* ‖ ἐκκλέψας om. *P*[1]*Rdz* ‖ 4 οἰκία] τὰ οἰκία *Rd*. Eust. ‖ ξένου *C* ‖ 5. ἄγημαι *C* ‖ ξεινοκτενέειν *R* ‖ 6. οὔτοι *Az*, οὗτοι *R*, οὔτι *d*, οὐ *C* ‖ ἀλλὰ ταυτὰ *C* ‖ 7. ἐσὸ *AB* ‖ ἐὰν *ABC* ‖ ἐκεῖνος ἐλθὼν *ABC* ‖ 8. θέλῃ *Rd* ‖ δὲ σὲ *L* ‖ 9. ἡμερῶν *C* ‖ 10. ἐς om. *Rd* ‖ μετεωρίζεσθαι *Rd* ‖ 15. ἑκὼν scripsi: ἐσὸ *A*, ἐς ὃ ceteri ‖ μεθῆκεν *d* ‖ αὐτὸν *A* ‖ 16. ὡς om. *d* ‖ ἐπίσταται *A*, ἐπίσταται *C* ‖ δῆλον δὲ, κατάπερ Reiz: δῆλον δέ· κατὰ γὰρ *L*. δῆλον δέ, κατὰ παρεποίησε Bekker ‖ 17. ἐν om. *d* ‖ 18. ἀπηνέχθη *B*, ἀπενείχθη *C* ‖ 20. ἀριστείῃ *L* ‖ 21. ὧιδε *P*, οὕτω *ABC* ‖ 23. ἃς *ABC* ‖ 24. ἐπιπλῶς *d*

[ἐπιμέμνηται δὲ καὶ ἐν Ὀδυσσείῃ ἐν τοῖσιδε τοῖσι ἔπεσι.

τοῖα Διὸς θυγάτηρ ἔχε φάρμακα μητιόεντα,
ἐσθλά, τά οἱ Πολύδαμνα πόρεν Θῶνος παράκοιτις
Αἰγυπτίη, τῇ πλεῖστα φέρει ζείδωρος ἄρουρα
φάρμακα, πολλὰ μὲν ἐσθλὰ μεμιγμένα, πολλὰ δὲ λυγρά.

καὶ τάδε ἕτερα πρὸς Τηλέμαχον Μενέλεως λέγει.

Αἰγύπτῳ μ' ἔτι δεῦρο θεοὶ μεμαῶτα νέεσθαι
ἔσχον, ἐπεὶ οὔ σφιν ἔρεξα τεληέσσας ἑκατόμβας.]

ἐν τούτοισι τοῖσι ἔπεσι δηλοῖ ὅτι ἠπίστατο τὴν ἐς Αἴγυπτον Ἀλεξάνδρου πλάνην· ὁμουρέει γὰρ ἡ Συρίη Αἰγύπτῳ, οἱ δὲ Φοίνικες, τῶν ἐστι ἡ Σιδών, ἐν τῇ Συρίῃ οἰκέουσι. κατὰ 117
ταῦτα δὲ τὰ ἔπεα καὶ τόδε [τὸ χωρίον] οὐκ ἥκιστα ἀλλὰ μάλιστα δηλοῖ ὅτι οὐκ Ὁμήρου τὰ Κύπρια ἔπεά ἐστι ἀλλ' ἄλλου τινός. ἐν μὲν γὰρ τοῖσι Κυπρίοισι εἴρηται ὡς τριταῖος ἐκ Σπάρτης Ἀλέξανδρος ἀπίκετο ἐς τὸ Ἴλιον ἄγων Ἑλένην, εὐαέι τε πνεύματι χρησάμενος καὶ θαλάσσῃ λείῃ· ἐν δὲ Ἰλιάδι λέγει ὡς ἐπλάζετο ἄγων αὐτήν.

Ὅμηρος μέν νυν καὶ τὰ Κύπρια ἔπεα χαιρέτω. εἰρομένου 118
δέ μευ τοὺς ἱρέας εἰ μάταιον λόγον λέγουσι οἱ Ἕλληνες τὰ περὶ Ἴλιον γενέσθαι ἢ οὔ, ἔφασαν πρὸς ταῦτα τάδε, ἱστορίῃσι φάμενοι εἰδέναι παρ' αὐτοῦ Μενέλεω. ἐλθεῖν μὲν γὰρ μετὰ τὴν Ἑλένης ἁρπαγὴν ἐς τὴν Τευκρίδα γῆν Ἑλλήνων στρατιὴν πολλὴν βοηθεῦσαν Μενέλεῳ, ἐκβᾶσαν δὲ ἐς γῆν καὶ ἱδρυθεῖσαν τὴν στρατιὴν πέμπειν ἐς τὸ Ἴλιον ἀγγέλους, σὺν δέ σφι ἰέναι καὶ αὐτὸν Μενέλεων· τοὺς δ' ἐπείτε ἐσελθεῖν ἐς τὸ τεῖχος, ἀπαιτέειν Ἑλένην τε καὶ τὰ χρήματα τά οἱ

---

14. ὡς - 16 λείῃ (Eustathius Il. p. 643)

1. ἐπιμέμνηται - 8 ἑκατόμβας seclusit Schaefer || τοῖσιδε *A*: τοῖσδε? || 3. πολυδάμνα *Pdz* || θωνὸς *Rd* || 5. ἐσθλὰ om. *R* || 6. μενέλεος *AB*¹, Μενέλαος *z* || 7. δ' ἔτι *d* || 8. ἴσχον *ABC* || σφιν ἔρξα *C*, σφι ῥέξα *Rd* || τεληέσας *R*, τελευτήσας *C* || 9. ἠπιστέατο *d* || 10. ὁμουρέη *z* || 11. ἡ om. *z* || 12. τὸ χωρίον seclusit Valckenaer || 13. δῆλον idem || ἀλλὰ *ABC* || 15. Ἀλέξανδρος ἐκ Σπάρτης *z* || τὴν Ἑλένην, εὐαγέϊ *z* || 16. τε om. *ABC* || 17. αὐτὴν ἄγων *Rd* || 18. ἠρομένου *C* || 19. ἱρεὺς *C* || 20. γενέσθαι] λέγουσι γενέσθαι? || 21. μὲν om. *ABC* || 22. γῆν *Rd*: τὴν || 25. ἰέναι *C* || δ' om. *Rd* || 26. οἱ om. *PRdz*

οἴχετο κλέψας Ἀλέξανδρος, τῶν τε ἀδικημάτων δίκας αἰτέειν· τοὺς δὲ Τευκροὺς τὸν αὐτὸν λόγον λέγειν τότε καὶ μετέπειτα, καὶ ὀμνύντας καὶ ἀνωμοτί, μὴ μὲν ἔχειν Ἑλένην μηδὲ τὰ ἐπικαλεύμενα χρήματα, ἀλλ' εἶναι αὐτὰ πάντα ἐν Αἰγύπτῳ, καὶ οὐκ ἂν δικαίως αὐτοὶ δίκας ὑπέχειν τῶν Πρωτεὺς ὁ Αἰγύπτιος βασιλεὺς ἔχει. οἱ δὲ Ἕλληνες καταγελᾶσθαι δοκέοντες ὑπ' αὐτῶν οὕτω δὴ ἐπολιόρκεον, ἐς ὃ ἐξεῖλον· ἑλοῦσι δὲ τὸ τεῖχος ὡς οὐκ ἐφαίνετο ἡ Ἑλένη, ἀλλὰ τὸν αὐτὸν λόγον τῷ προτέρῳ ἐπυνθάνοντο, οὕτω δὴ πιστεύσαντες τῷ λόγῳ τῷ πρώτῳ οἱ Ἕλληνες αὐτὸν Μενέλεων ἀποστέλλουσι παρὰ
119 Πρωτέα. ἀπικόμενος δὲ ὁ Μενέλεως ἐς τὴν Αἴγυπτον καὶ ἀναπλώσας ἐς τὴν Μέμφιν, εἴπας τὴν ἀληθείην τῶν πρηγμάτων, καὶ ξεινίων ἤντησε μεγάλων καὶ Ἑλένην ἀπαθέα κακῶν ἀπέλαβε, πρὸς δὲ καὶ τὰ ἑωυτοῦ χρήματα πάντα. τυχὼν μέντοι τούτων ἐγένετο Μενέλεως ἀνὴρ ἄδικος ἐς Αἰγυπτίους. ἀποπλέειν γὰρ ὁρμημένον αὐτὸν ἴσχον ἀπλοῖαι· ἐπειδὴ δὲ τοῦτο ἐπὶ πολλὸν τοιοῦτον ἦν, ἐπιτεχνᾶται πρῆγμα οὐκ ὅσιον· λαβὼν γὰρ δύο παιδία ἀνδρῶν ἐπιχωρίων ἔντομά σφεα ἐποίησε. μετὰ δὲ ὡς ἐπάιστος ἐγένετο τοῦτο ἐργασμένος, μισηθείς τε καὶ διωκόμενος οἴχετο φεύγων τῇσι νηυσὶ ἐπὶ Λιβύης· τὸ ἐνθεῦτεν δὲ ὅκου ἔτι ἐτράπετο οὐκ εἶχον εἰπεῖν Αἰγύπτιοι. τούτων δὲ τὰ μὲν ἱστορίῃσι ἔφασαν ἐπίστασθαι, τὰ δὲ παρ' ἑωυτοῖσι γενόμενα ἀτρεκέως ἐπιστάμενοι λέγειν.

120 Ταῦτα μὲν Αἰγυπτίων οἱ ἱρέες ἔλεγον· ἐγὼ δὲ τῷ λόγῳ τῷ περὶ Ἑλένης λεχθέντι καὶ αὐτὸς προστίθεμαι, τάδε ἐπιλεγόμενος, εἰ ἦν Ἑλένη ἐν Ἰλίῳ, ἀποδοθῆναι ἂν αὐτὴν τοῖσι

3. (Bekkeri Anecd. p. 20). — 14. - 20 Plutarchus mor. p. 857

2. τεύκρους *dz* ‖ 3. ἀνωμοτεῖ *C*, ἀνωμωτί *d* ‖ μὴ δὲν ἔχειν *C* ‖ 5. τῶν Struve: ἃ ‖ προτεὺς *R* ‖ 7. ἐσὸ *A* ‖ 8. ἡ om. *ABC* ‖ 12. ἀληθηΐην *z* ‖ 16. ὁρμημένον *Apr.B*[1]: ὡρμημένον ‖ ἴσχον ἄπλοιαι *L* ‖ 17. τοῦτο ἐπὶ] τὸ *Rd* ‖ ἐπιτεχνᾶται γὰρ πρῆγμα οὐκούσιον *R* ‖ 18. ἐγχωρίων *Rd* ‖ 19. ἐργασάμενος *C*, εἰργασμένος *Rd* ‖ μισωθείς τε *Ppr.*, μισωθεὶς δὲ *R*, μισωθεὶς *d* ‖ 20. ὤιχετο *P*, ὤχετο *Rd* ‖ ἐπὶ] ἰθὺ ἐπὶ Plut. ‖ 21. ὅκου ἐτράπετο οὐκέτι *Pz*, ὅκου ἐτράπετο ἔτι οὐκ *Rd* ‖ 23. ἑαυτοῖσι *AB* ‖ 25. ἀχθέντι *CP*[m] ‖ 26. ἂν om. *Ppr.Rd*

Ἕλλησι ἤτοι ἑκόντος γε ἢ ἀέκοντος Ἀλεξάνδρου. οὐ γὰρ δὴ οὕτω γε φρενοβλαβὴς ἦν ὁ Πρίαμος οὐδὲ οἱ ἄλλοι οἱ προσήκοντες αὐτῷ, ὥστε τοῖσι σφετέροισι σώμασι καὶ τοῖσι τέκνοισι καὶ τῇ πόλι κινδυνεύειν ἐβούλοντο, ὅκως Ἀλέξανδρος Ἑλένῃ συνοικέῃ. εἰ δέ τοι καὶ ἐν τοῖσι πρώτοισι χρόνοισι ταῦτα ἐγίνωσκον, ἐπεὶ πολλοὶ μὲν τῶν ἄλλων Τρώων, ὁκότε συμμίσγοιεν τοῖσι Ἕλλησι, ἀπώλλυντο, αὐτοῦ δὲ Πριάμου οὐκ ἔστι ὅτε οὐ δύο ἢ τρεῖς ἢ καὶ ἔτι πλέους τῶν παίδων μάχης γινομένης ἀπέθνησκον, εἰ χρή τι τοῖσι ἐποποιοῖσι χρεώμενον λέγειν, τούτων δὲ τοιούτων συμβαινόντων ἐγὼ μὲν ἔλπομαι, εἰ καὶ αὐτὸς Πρίαμος συνοίκεε Ἑλένῃ, ἀποδοῦναι ἂν αὐτὴν τοῖσι Ἀχαιοῖσι, μέλλοντά γε δὴ τῶν παρεόντων κακῶν ἀπαλλαγήσεσθαι. οὐ μὲν οὐδὲ ἡ βασιληίη ἐς Ἀλέξανδρον περιήιε, ὥστε γέροντος Πριάμου ἐόντος ἐπ' ἐκείνῳ τὰ πρήγματα εἶναι, ἀλλὰ Ἕκτωρ καὶ πρεσβύτερος καὶ ἀνὴρ ἐκείνου μᾶλλον ἐὼν ἔμελλε αὐτὴν Πριάμου ἀποθανόντος παραλάμψεσθαι, τὸν οὐ προσῆκε ἀδικέοντι τῷ ἀδελφεῷ ἐπιτράπειν, καὶ ταῦτα μεγάλων κακῶν δι' αὐτὸν συμβαινόντων ἰδίῃ τε αὐτῷ καὶ τοῖσι ἄλλοισι πᾶσι Τρωσί. ἀλλ' οὐ γὰρ εἶχον Ἑλένην ἀποδοῦναι, οὐδὲ λέγουσι αὐτοῖσι τὴν ἀληθείην ἐπίστευον οἱ Ἕλληνες, ὡς μὲν ἐγὼ γνώμην ἀποφαίνομαι, τοῦ δαιμονίου παρασκευάζοντος ὅκως πανωλεθρίῃ ἀπολόμενοι καταφανὲς τοῦτο τοῖσι ἀνθρώποισι ποιήσωσι, ὡς τῶν μεγάλων ἀδικημάτων μεγάλαι εἰσὶ καὶ αἱ τιμωρίαι παρὰ τῶν θεῶν. καὶ ταῦτα μὲν τῇ ἐμοὶ δοκέει εἴρηται.

---

1 sqq. Eustathius Il. p. 397. Od. p. 1500

1. ἀκόντος *C*, ἑκόντος ceteri ‖ 2. οἱ ἄλλοι Bekker: ἄλλοι ‖ 4. τῇ om. *ABC* ‖ πόλει *ABC* ‖ 5. τοι] τι *CRd* ‖ 6. ἐγίγνωσκον *R* ‖ 7. ἀπώλυντο *Cd*, ἀπώλλοντο *z* ‖ 8. οὐ] ἢ *ABC* ‖ καὶ om. *C* ‖ πλείους *L* ‖ 9. γενομένης *ABC* ‖ τι om. *qz* ‖ 10. χρεόμενον *P* ‖ 11. οἴκεεν *Rd* ‖ 12. ἂν om. *Rd* ‖ 13. ἀπαλλαγήσασθαι *z* ‖ 14. ὑπ' *Rd* ‖ 15. πράγματα *C* ‖ ἀλλὰ] ἀλλὰ καὶ *Rd* ‖ καὶ - 16 ἀνὴρ om. *AB¹C* ‖ 16. γ' ἐὼν *z* ‖ ἔμελεν *C* ‖ 17. παραλάμψασθαι *C*, παραλάψεσθαι *d* ‖ 18. ἐπιτρέπειν *L* ‖ 19. τε] τε καὶ *ABCPcorr.* ‖ 20. ἀληθηΐην *z* ‖ 23. ποιήσωνται *z* ‖ 25. ἐμοὶ om. *Rd*

121 Πρωτέος δὲ ἐκδέξασθαι τὴν βασιληίην Ῥαμψίνιτον ἔλεγον, ὃς μνημόσυνα ἐλίπετο τὰ προπύλαια τὰ πρὸς ἑσπέρην τετραμμένα τοῦ Ἡφαιστείου, ἀντίους δὲ τῶν προπυλαίων ἔστησε ἀνδριάντας δύο, ἐόντας τὸ μέγαθος πέντε καὶ εἴκοσι πηχέων, τῶν Αἰγύπτιοι τὸν μὲν πρὸς βορέω ἑστεῶτα καλέουσι θέρος, τὸν δὲ πρὸς νότον χειμῶνα· καὶ τὸν μὲν καλέουσι θέρος, τοῦτον μὲν προσκυνέουσί τε καὶ εὖ ποιέουσι, τὸν δὲ
a) χειμῶνα καλεόμενον τὰ ἔμπαλιν τούτων ἔρδουσι. πλοῦτον δὲ τούτῳ τῷ βασιλέι γενέσθαι ἀργύρου μέγαν, τὸν οὐδένα τῶν ὕστερον ἐπιτραφέντων βασιλέων δύνασθαι ὑπερβαλέσθαι οὐδ' ἐγγὺς ἐλθεῖν. βουλόμενον δὲ αὐτὸν ἐν ἀσφαλείῃ τὰ χρήματα θησαυρίζειν οἰκοδομέεσθαι οἴκημα λίθινον, τοῦ τῶν τοίχων ἕνα ἐς τὸ ἔξω μέρος τῆς οἰκίης ἔχειν. τὸν δὲ ἐργαζόμενον ἐπιβουλεύοντα τάδε μηχανᾶσθαι· τῶν λίθων παρασκευάσασθαι ἕνα ἐξαιρετὸν εἶναι ἐκ τοῦ τοίχου ῥηιδίως καὶ ὑπὸ δύο ἀνδρῶν καὶ ὑπὸ ἑνός. ὡς δὲ ἐπετελέσθη τὸ οἴκημα, τὸν μὲν βασιλέα θησαυρίσαι τὰ χρήματα ἐν αὐτῷ· χρόνου δὲ περιιόντος τὸν οἰκοδόμον περὶ τελευτὴν τοῦ βίου ἐόντα ἀνακαλέσασθαι τοὺς παῖδας (εἶναι γὰρ αὐτῷ δύο), τούτοισι δὲ ἀπηγήσασθαι ὡς ἐκείνων προορέων, ὅκως βίον ἄφθονον ἔχωσι, τεχνάσαιτο οἰκοδομέων τὸν θησαυρὸν τοῦ βασιλέος· σαφέως δὲ αὐτοῖσι πάντα ἐξηγησάμενον τὰ περὶ τὴν ἐξαίρεσιν τοῦ λίθου δοῦναι τὰ μέτρα αὐτοῦ, λέγοντα ὡς ταῦτα διαφυλάσσοντες ταμίαι τῶν βασιλέος χρημάτων ἔσονται. καὶ τὸν μὲν

περὶ Ῥαμψινίτου βασιλέως Αἰγύπτου καὶ τοῦ θησαυροῦ καὶ τῶν κλεπτῶν

---

20. ὡς - ἔχωσι Lexicon Vindob. p. 150. — 22. Eustathius Il. p. 119

3. ἡφαιστίου *ABC* ‖ 4. ἐείκοσι z ‖ 5. πήχεων *BP* ‖ βορέην z ‖ 6. τὸν δὲ - 7 θέρος om. *B*[1]*Pz* ‖ καὶ τὸν - 8 χειμῶνα om. *Rd* ‖ 7. ποιέουσαι *C*, ποιεῦσι z ‖ τὸν δὲ πρὸς νότον χειμῶνα καλεύμενον *Pz* ‖ 8. ἑρδουσι *A*, ἕρδουσι *BR*: ἔρδουσι *CPdz* ‖ 9. βασιλεῖ *ABd* ‖ 10. ἔτι γραφέντων *Rd*, ἐπιγραφέντων z ‖ 11. ἀσφαληίῃ z ‖ 15. ἐξαίρετον z ‖ 16. ὑπ' *PRdz* ‖ 17. βασιλῆα z ‖ περιόντος *Apr.C* ‖ 19. δὲ] γὰρ *C*, om. *Rd* ‖ 20. προορῶν *ABRd* ‖ ἔχουσι *C* ‖ 21. οἰκοδομῶν *ABC* ‖ βασιλέως *CRd*, βασιλῆος z ‖ σαφέος *R* ‖ 22. δ' *PRdz* ‖ 24. βασιλέως *ABd*, βασιλῆος z

τελευτῆσαι τὸν βίον, τοὺς δὲ παῖδας αὐτοῦ οὐκ ἐς μακρὴν ἔργου ἔχεσθαι, ἐπελθόντας δὲ ἐπὶ τὰ βασιλήια νυκτὸς καὶ τὸν λίθον ἐπὶ τῷ οἰκοδομήματι ἀνευρόντας ῥηιδίως μεταχειρίσασθαι καὶ τῶν χρημάτων πολλὰ ἐξενείκασθαι. ὡς δὲ β) τυχεῖν τὸν βασιλέα ἀνοίξαντα τὸ οἴκημα, θωυμάσαι ἰδόντα τῶν χρημάτων καταδεᾶ τὰ ἀγγήια, οὐκ ἔχειν δὲ ὅντινα ἐπαιτιᾶται τῶν τε σημάντρων ἐόντων σόων καὶ τοῦ οἰκήματος κεκληιμένου. ὡς δὲ αὐτῷ καὶ δὶς καὶ τρὶς ἀνοίξαντι αἰεὶ ἐλάσσω φαίνεσθαι τὰ χρήματα (τοὺς γὰρ κλέπτας οὐκ ἀνιέναι κεραΐζοντας), ποιῆσαί μιν τάδε· πάγας προστάξαι ἐργάσασθαι καὶ ταύτας περὶ τὰ ἀγγήια ἐν τοῖσι τὰ χρήματα ἐνῆν στῆσαι. τῶν δὲ φωρῶν ὥσπερ ἐν τῷ πρὸ τοῦ χρόνῳ ἐλθόντων καὶ ἐνδύντος τοῦ ἑτέρου αὐτῶν, ἐπεὶ πρὸς τὸ ἄγγος προσῆλθε, ἰθέως τῇ πάγῃ ἐνέχεσθαι. ὡς δὲ γνῶναι αὐτὸν ἐν οἵῳ κακῷ ἦν, ἰθέως καλέειν τὸν ἀδελφεὸν καὶ δηλοῦν αὐτῷ τὰ παρεόντα, καὶ κελεύειν τὴν ταχίστην ἐσδύντα ἀποταμεῖν αὐτοῦ τὴν κεφαλήν, ὅκως μὴ αὐτὸς ὀφθεὶς καὶ γνωρισθεὶς ὃς εἴη προσαπολέσῃ κἀκεῖνον. τῷ δὲ δόξαι εὖ λέγειν, καὶ ποιῆσαί μιν πεισθέντα ταῦτα, καὶ καταρμόσαντα τὸν λίθον ἀπιέναι ἐπ' οἴκου, φέροντα τὴν κεφαλὴν τοῦ ἀδελφεοῦ. ὡς δὲ ἡμέρη γ) ἐγένετο, ἐσελθόντα τὸν βασιλέα ἐς τὸ οἴκημα ἐκπεπλῆχθαι ὁρέοντα τὸ σῶμα τοῦ φωρὸς ἐν τῇ πάγῃ ἄνευ τῆς κεφαλῆς ἐόν, τὸ δὲ οἴκημα ἀσινὲς καὶ οὔτε ἔσοδον οὔτε ἔκδυσιν οὐδεμίαν ἔχον. ἀπορεύμενον δέ μιν τάδε ποιῆσαι· τοῦ φωρὸς τὸν νέκυν κατὰ τοῦ τείχεος καταχρεμάσαι, φυλάκους δὲ αὐτοῦ καταστήσαντα ἐντείλασθαί σφι, τὸν ἂν ἴδωνται ἀποκλαύσαντα

---

10. Eustathius Il. p. 364

1. εἰς *C* ‖ μακρὸν *ABCPcorr.* ‖ 2. ἐλθόντας *Rd* ‖ 3. ἐνευρόντας *Rd* ‖ 5. βασιλῆα *z* ‖ θωμάσαι *Rd* ‖ 6. ἀπαιτιᾶται *Rd* ‖ 7. σόων *AB*[1]: σώων ‖ 8. κεκλειμένου *ABC*, κεκλεισμένου *PRd*, κατακεκλεισμένου *z* ‖ δὲ] δὲ καὶ *R* ‖ αἰεὶ om. *ABC* ‖ 11. ταῦτα *R* ‖ 11. οἷσι *Ppr.Rd* ‖ 13. ἐσδύντος *Rd*: ἐνδύντος ‖ 14. εὐθέως *qz* ‖ ἔχεσθαι *Rd* ‖ ἑωϋτὸν *z* ‖ 16. κελεύει *R* ‖ ἐσδύντα] om. *B*[1], ἐλθόντα *d* ‖ ἀποτάμνειν *PRdz* ‖ 17. προσαπολέσει *d* ‖ 18. κἀκεῖνον *ABC*: καὶ ἐκεῖνον ‖ 20. φέροντα] ἀπάγοντα *PRdz* ‖ 21. βασιλῆα *z* ‖ 22. ὁρέοντα *Pz*: ὁρῶντα *ABRd*, ὁρέωντα *C* ‖ 23. ἀσινὲς] ἀσινὲς ἐὸν *z* ‖ οὐδεμίην *z* ‖ 24. ἔχοντα πορεύμενον *Rd* ‖ 26. καταστῆσαι ἐντείλασθαί τε *Rd* ‖ σφισι *ABC*

ἢ κατοικτισάμενον, συλλαβόντας ἄγειν πρὸς ἑωυτόν. ἀνακρεμαμένου δὲ τοῦ νέκυος τὴν μητέρα δεινῶς φέρειν, λόγους δὲ πρὸς τὸν περιεόντα παῖδα ποιευμένην προστάσσειν αὐτῷ, ὅτεῳ τρόπῳ δύναται, μηχανᾶσθαι ὅκως τὸ σῶμα τοῦ ἀδελφεοῦ καταλύσας κομιεῖ· εἰ δὲ τούτων ἀμελήσει, διαπειλέειν αὐτὴν ὡς ἐλθοῦσα πρὸς τὸν βασιλέα μηνύσει αὐτὸν ἔχοντα
δ) τὰ χρήματα. ὡς δὲ χαλεπῶς ἐλαμβάνετο ἡ μήτηρ τοῦ περιεόντος παιδὸς καὶ πολλὰ πρὸς αὐτὴν λέγων οὐκ ἔπειθε, ἐπιτεχνήσασθαι τοιάδε μιν. ὄνους κατασκευασάμενον καὶ ἀσκοὺς πλήσαντα οἴνου ἐπιθεῖναι ἐπὶ τῶν ὄνων καὶ ἔπειτα ἐλαύνειν αὐτούς. ὡς δὲ κατὰ τοὺς φυλάσσοντας ἦν τὸν κρεμάμενον νέκυν, ἐπισπάσαντα τῶν ἀσκῶν δύο ἢ τρεῖς ποδεῶνας αὐτὸν λύειν ἀπαμμένους· ὡς δὲ ἔρρεε ὁ οἶνος, τὴν κεφαλήν μιν κόπτεσθαι μεγάλα βοῶντα ὡς οὐκ ἔχοντα πρὸς ὁκοῖον τῶν ὄνων πρῶτον τράπηται. τοὺς δὲ φυλάκους ὡς ἰδεῖν πολλὸν ῥέοντα τὸν οἶνον, συντρέχειν ἐς τὴν ὁδὸν ἀγγήια ἔχοντας, καὶ τὸν ἐκκεχυμένον οἶνον συγκομίζειν ἐν κέρδεϊ ποιευμένους· τὸν δὲ διαλοιδορέεσθαι πᾶσι ὀργὴν προσποιεύμενον, παραμυθευμένων δὲ αὐτὸν τῶν φυλάκων χρόνῳ πρηΰνεσθαι προσποιέεσθαι καὶ ὑπίεσθαι τῆς ὀργῆς, τέλος δὲ ἐξελάσαι αὐτὸν τοὺς ὄνους ἐκ τῆς ὁδοῦ καὶ κατασκευάζειν. ὡς δὲ λόγους τε πλέους ἐγγίνεσθαι καί τινα καὶ σκῶψαί μιν καὶ ἐς γέλωτα προαγαγέσθαι, ἐπιδοῦναι αὐτοῖσι τῶν ἀσκῶν ἕνα· τοὺς δὲ αὐτοῦ ὥσπερ εἶχον κατακλιθέντας πίνειν δια-

---

1. ἀνακρεμαμένου - 2 φέρειν Lexicon Vindob. p. 45. — 7. ὡς δὲ - 8 παιδὸς ibidem p. 118. — 12. τῶν ἀσκῶν - ποδεῶνας ibidem p. 146. — 13. τὴν κεφαλὴν - 14 βοῶντα ibidem p. 114

1. αὐτόν *Rd* ‖ 2. δεινῶς φέρειν] ἰδεῖν *d* ‖ 3. περιιόντα *C* ‖ 4. μηχανήσασθαι *Rd* ‖ ὅπως *ABC* ‖ 5. κομίσῃ *Ppr.Rd* ‖ ἀπειλέειν *Rd* ‖ 6. αὐτὸν *d*, αὐτῷ *z* ‖ βασιλῆα *z* ‖ 7. τὰ] τὰς *A*, om. *C* ‖ ἐπελαμβάνετο *z* ‖ 9. ἐπιτεχνίσασθαι *C* ‖ 11. ἦν] ἦν ἴσον *Rd*, ἦν ἴσον *z* ‖ 13. ἀφαμμένους *ABC* 14. μεγάλως Lex. Vind. ‖ 15. πρῶτον τῶν ὄνων *Rd* ‖ φύλας *R*, φύλακας *d* ‖ 16. πολὺν *L* ‖ συντρέχειν - 17 οἶνον om. *C* ‖ 17. οἶνον om. *Rd* κέρδει *AB* ‖ 20. ὑπίσχεσθαι *Rdz* ‖ 22. πλείους *L* ‖ ἐγγίγνεσθαι *P* ‖ 23. καὶ ἐς] ἐς καὶ *R*, ὡς καὶ *d* ‖ προσαγαγεῖν *Rd*, προσαγαγέσθαι *z* ‖ ἐπιδοῦναί σφι τὸν ἀσκῶν ἕνα αὐτοῖσι *z* ‖ τὸν ἀσκὸν *Bpr*.

νοέεσθαι, καὶ ἐκεῖνον παραλαμβάνειν καὶ κελεύειν μετ' ἑωυτῶν μείναντα συμπίνειν· τὸν δὲ πεισθῆναί τε δὴ καὶ καταμεῖναι. ὡς δέ μιν παρὰ τὴν πόσιν φιλοφρόνως ἠσπάζοντο, ἐπιδοῦναι αὐτοῖσι καὶ ἄλλον τῶν ἀσκῶν· δαψιλέι δὲ τῷ ποτῷ χρησαμένους τοὺς φυλάκους ὑπερμεθυσθῆναι καὶ κρατηθέντας ὑπὸ τοῦ ὕπνου αὐτοῦ ἔνθα περ ἔπινον κατακοιμηθῆναι. τὸν δέ, ὡς πρόσω ἦν τῆς νυκτός, τό τε σῶμα τοῦ ἀδελφεοῦ καταλῦσαι καὶ τῶν φυλάκων ἐπὶ λύμῃ πάντων ξυρῆσαι τὰς δεξιὰς παρηίδας, ἐπιθέντα δὲ τὸν νέκυν ἐπὶ τοὺς ὄνους ἀπελαύνειν ἐπ' οἴκου, ἐπιτελέσαντα τῇ μητρὶ τὰ προσταχθέντα. τὸν δὲ βασιλέα, ὡς αὐτῷ ἀπηγγέλθη τοῦ φωρὸς ὁ νέκυς ἐκκε- e) κλεμμένος, δεινὰ ποιέειν· πάντως δὲ βουλόμενον εὑρεθῆναι ὅστις κοτὲ εἴη ὁ ταῦτα μηχανεόμενος, ποιῆσαί μιν τάδε, ἐμοὶ μὲν οὐ πιστά. τὴν θυγατέρα τὴν ἑωυτοῦ κατίσαι ἐπ' οἰκήματος, ἐντειλάμενον πάντας τε ὁμοίως προσδέκεσθαι, καὶ πρὶν συγγενέσθαι, ἀναγκάζειν λέγειν αὐτῇ ὅ τι δὴ ἐν τῷ βίῳ ἔργασται αὐτῷ σοφώτατον καὶ ἀνοσιώτατον· ὃς δ' ἂν ἀπηγήσηται τὰ περὶ τὸν φῶρα γεγενημένα, τοῦτον συλλαμβάνειν καὶ μὴ ἀπιέναι ἔξω. ὡς δὲ τὴν παῖδα ποιέειν τὰ ἐκ τοῦ πατρὸς προσταχθέντα, τὸν φῶρα πυθόμενον τῶν εἵνεκα ταῦτα ἐπρήσσετο, βουληθέντα πολυτροπίῃ τοῦ βασιλέος περιγενέσθαι ποιέειν τάδε. νεκροῦ προσφάτου ἀποταμόντα ἐν τῷ ὤμῳ τὴν χεῖρα ἰέναι αὐτὸν ἔχοντα αὐτὴν ὑπὸ τῷ ἱματίῳ· ἐσελθόντα δὲ ὡς τοῦ βασιλέος τὴν θυγατέρα καὶ εἰρωτεόμενον τά περ καὶ οἱ ἄλλοι, ἀπηγήσασθαι ὡς ἀνοσιώτατον μὲν εἴη ἐργασμένος ὅτε τοῦ ἀδελφεοῦ ἐν τῷ θησαυρῷ τοῦ βασιλέος ὑπὸ πάγης ἁλόντος ἀποτάμοι τὴν κεφαλήν, σοφώτατον δὲ

---

2. δὴ] δεῖ *R* ‖ 3. φιλοφρόνως om. *Rd* ‖ ἠσπάζοντο ἐπιδοῦναι om. *A*[1] ‖ 4. δαψιλεῖ *ABd* ‖ 6. ἐπίπονον *C* ‖ κοιμηθῆναι *Rd* ‖ 8. κατεκλῦσαι *R* ‖ πάντων om. *Rd* ‖ 9. παρηϊὰς *R*, παρειὰς *d* ‖ 11. ἀπηγγέλη *Rd* ‖ ἐγκεκλεμμένος *z* ‖ 13. μηχανώμενος *L* ‖ 14. τὴν] τὴν δε *A*, τὴν δὲ *CPcorr.* ‖ κατῖσαι *A*, κτίσαι *C*, καθίσαι *Rd* ‖ 15. τε om. *d* ‖ 17. ἔργασθαι *z* ‖ ἀπηγήσεται *Rd* ‖ 21. βασιλέως *CRd*, βασιλῆος *z* ‖ 23. τὴν χεῖρα ἐν τῷ ὤμῳ *Pz* ‖ ἐσελθεῖν *Rd* ‖ 24. ὡς] ἐς *CPz* ‖ βασιλέως *d*, βασιλῆος *z* ‖ ἠρωτώμενον *C*, εἰρωτώμενον ceteri ‖ 25. μὲν om. *Rd* ‖ 26. βασιλέως *d*, βασιλῆος *z*

ὅτι τοὺς φυλάκους καταμεθύσας καταλύσειε τοῦ ἀδελφεοῦ κρεμάμενον τὸν νέκυν. τὴν δὲ ὡς ἤκουσε ἅπτεσθαι αὐτοῦ. τὸν δὲ φῶρα ἐν τῷ σκότεϊ προτεῖναι αὐτῇ τοῦ νεκροῦ τὴν χεῖρα· τὴν δὲ ἐπιλαβομένην ἔχειν, νομίζουσαν αὐτοῦ ἐκείνου τῆς χειρὸς ἀντέχεσθαι· τὸν δὲ φῶρα προέμενον αὐτῇ
ζ) οἴχεσθαι διὰ θυρέων φεύγοντα. ὡς δὲ καὶ ταῦτα ἐς τὸν βασιλέα ἀνηνείχθη, ἐκπεπλῆχθαι μὲν ἐπὶ τῇ πολυφροσύνῃ τε καὶ τόλμῃ τοῦ ἀνθρώπου, τέλος δὲ διαπέμποντα ἐς πάσας τὰς πόλις ἐπαγγέλλεσθαι ἀδείην τε διδόντα καὶ μεγάλα ὑποδεκόμενον ἐλθόντι ἐς ὄψιν τὴν ἑωυτοῦ. τὸν δὲ φῶρα πιστεύσαντα ἐλθεῖν πρὸς αὐτόν, Ῥαμψίνιτον δὲ μεγάλως θωυμάσαι, καί οἱ τὴν θυγατέρα ταύτην συνοικίσαι ὡς πλεῖστα ἐπισταμένῳ ἀνθρώπων· Αἰγυπτίους μὲν γὰρ τῶν ἄλλων προκεκρίσθαι, ἐκεῖνον δὲ Αἰγυπτίων.

122 Μετὰ δὲ ταῦτα ἔλεγον τοῦτον τὸν βασιλέα ζωὸν καταβῆναι κάτω ἐς τὸν οἱ Ἕλληνες Ἅιδην νομίζουσι εἶναι, καὶ κεῖθι συγκυβεύειν τῇ Δήμητρι, καὶ τὰ μὲν νικᾶν αὐτὴν τὰ δὲ ἑσσοῦσθαι ὑπ᾽ αὐτῆς, καί μιν πάλιν ἀπικέσθαι δῶρον ἔχοντα παρ᾽ αὐτῆς χειρόμακτρον χρύσεον. ἀπὸ δὲ τῆς Ῥαμψινίτου καταβάσιος, ὡς πάλιν ἀπίκετο, ὁρτὴν δὴ ἀνάγειν Αἰγυπτίους ἔφασαν, τὴν καὶ ἐγὼ οἶδα ἔτι καὶ ἐς ἐμὲ ἐπιτελέοντας αὐτούς· οὐ μέντοι εἴ γε διὰ ταῦτα ὁρτάζουσι ἔχω λέγειν. φᾶρος δὲ αὐτημερὸν ἐξυφήναντες οἱ ἱρέες κατ᾽ ὧν ἔδησαν ἑνὸς ἑωυτῶν μίτρῃ τοὺς ὀφθαλμούς, ἀγαγόντες δέ μιν ἔχοντα τὸ φᾶρος ἐς ὁδὸν φέρουσαν ἐς ἱρὸν Δήμητρος αὐτοὶ ἀπαλλάσσονται ὀπίσω·

15. μετὰ - 19 χρύσεον Athenaeus p. 410

1. φύλακας *d* ‖ καταλύσει *Rd* ‖ 2. κρεμαμένου *ABC* ‖ 3. σκότει *ABd* ‖ 4. δ᾽ *ABC* ‖ 7. ἀνηνείχθη *A*: ἀνηνέχθη *B*, ἀνενείχθη *CPz*, ἀνηνεῖχθαι *Rd* ‖ μὲν om. *Rd* ‖ τε om. *C* ‖ 8. τἀνθρώπου *PRdz* ‖ 9. πόλις *AP*: πόλεις *BC*, πόλιας *Rd* ‖ ἄδειαν *L* ‖ 11. θαυμάσαι *d* ‖ 12. οἱ καὶ *Rd* ‖ 15. ζωιὸν *ABCP* ‖ 16. ἄιδην *AB*: ἀΐδην *CP*, ἅδην *Rd*, ἀΐδην *z* ‖ εἶναι om. Athen. ‖ καικεῖθι *A*, καὶ κεῖθι *B*: κακεῖθι *C*, κἀκεῖθι *P*, καὶ ἐκεῖθι *Rd*, κᾀκεῖθι *z* ‖ 17. συγκειβεύειν *R* ‖ 18. ἰσοῦσθαι *d*. Athen. ‖ καὶ μὴν Athen. ‖ ἀπικέσθαι] ἄνω ἀπικέσθαι *Rd*, ἀναφικέσθαι Athen. ‖ 19. χειρώμακτρον *ABC* ‖ 20. ὀρτὴν *AC* ‖ 22. οὐ μὲν *Rd* ‖ εἴ γε *A*[1]*BRd*: εἴτε δι ἄλλό τι εἴτε *Pz*, οἴτε δι᾽ ἄλλ᾽ ὅτι εἴτε *C*, εἴτε δι᾽ ἄλλο ὅτι εἴτε *A*[2] ‖ ὀρτάζουσι *C*, ἑορτάζουσι *Rd* ‖ 23. ἐξυφάναντες *Rd* ‖ ἑωυτῶν scripsi: αὐτῶν ‖ 24. μιν om. *Rd* ‖ 25. ἱρὸν om. *R*

τὸν δὲ ἱρέα τοῦτον καταδεδεμένον τοὺς ὀφθαλμοὺς λέγουσι
ὑπὸ δύο λύκων ἄγεσθαι ἐς τὸ ἱρὸν τῆς Δήμητρος ἀπέχον τῆς
πόλιος εἴκοσι σταδίους, καὶ αὖτις ὀπίσω ἐκ τοῦ ἱροῦ ἀπάγειν
μιν τοὺς λύκους ἐς τὠυτὸ χωρίον. τοῖσι μέν νυν ὑπ' Αἰ- 123
γυπτίων λεγομένοισι χράσθω ὅτεῳ τὰ τοιαῦτα πιθανά ἐστι·
ἐμοὶ δὲ παρὰ πάντα τὸν λόγον ὑποκέεται ὅτι τὰ λεγόμενα
ὑπ' ἑκάστων ἀκοῇ γράφω. ἀρχηγετεύειν δὲ τῶν κάτω Αἰ-
γύπτιοι λέγουσι Δήμητρα καὶ Διόνυσον. πρῶτοι δὲ καὶ τόνδε
τὸν λόγον Αἰγύπτιοί εἰσι οἱ εἰπόντες, ὡς ἀνθρώπου ψυχὴ
ἀθάνατός ἐστι, τοῦ σώματος δὲ καταφθίνοντος ἐς ἄλλο ζῷον
αἰεὶ γινόμενον ἐσδύεται, ἐπεὰν δὲ πάντα περιέλθῃ τὰ χερσαῖα
καὶ τὰ θαλάσσια καὶ τὰ πετεινά, αὖτις ἐς ἀνθρώπου σῶμα
γινόμενον ἐσδύνει, τὴν περιήλυσιν δὲ αὐτῇ γίνεσθαι ἐν τρισ-
χιλίοισι ἔτεσι. τούτῳ τῷ λόγῳ εἰσὶ οἳ Ἑλλήνων ἐχρήσαντο,
οἱ μὲν πρότερον οἱ δὲ ὕστερον, ὡς ἰδίῳ ἑωυτῶν ἐόντι· τῶν
ἐγὼ εἰδὼς τὰ οὐνόματα οὐ γράφω.

Μέχρι μέν νυν Ῥαμψινίτου βασιλέος εἶναι ἐν Αἰγύπτῳ 124
πᾶσαν εὐνομίην ἔλεγον καὶ εὐθηνέειν Αἴγυπτον μεγάλως,
μετὰ δὲ τοῦτον βασιλεύσαντά σφεων Χέοπα ἐς πᾶσαν κακό-
τητα ἐλάσαι. κατακληίσαντα γάρ μιν πάντα τὰ ἱρὰ πρῶτα
μέν σφεας θυσιέων τουτέων ἀπέρξαι, μετὰ δὲ ἐργάζεσθαι
ἑωυτῷ κελεύειν πάντας Αἰγυπτίους. τοῖσι μὲν δὴ ἀποδεδέχθαι
ἐκ τῶν λιθοτομιέων τῶν ἐν τῷ Ἀραβίῳ ὄρεϊ, ἐκ τουτέων

ὅτι πρῶτοι Αἰγύπτιοι τὴν ψυχὴν ἀθάνατον καὶ μετεμψύχωσιν ἐδόξασαν
περὶ Χέοπος βασιλέως Αἰγύπτου καὶ τῆς γενομένης παρ' αὐτοῦ ὁδοστρωσίας καὶ τῆς πυραμίδος

---

8. πρῶτοι – 15 ὕστερον Stobaeus eclog. phys. I 41 12

1. δ' *Pdz* ‖ ἱερέα *Cpr*. ‖ 3. πόλεος ἐείκοσι *z* ‖ 6. τὸν om. *A*[1] ‖ ὑπόκειται *L* ‖ ὅτι om. *Rd* ‖ 7. ὑπὲρ *Rd* ‖ 8. δήμητραν *dz* ‖ 9. εἰσι om. *B*[1] ‖ οἱ om. *CPz* ‖ 10. ἀθάνατόν Stob. ‖ τοῦ δὲ σώματος Stob. ‖ ζῶον *PRdz* ‖ 11. ἐπὰν Stob. ‖ περιέλθῃ πάντα *z* ‖ 12. πετεινὰ *C*, πτηνὰ *Pz* ‖ 13. γενόμενον Stob. ‖ εἰσδύνει *C*, ἐσδύνειν *Rz*. Stob. ‖ περιείλησιν *z* ‖ αὐτὴ *C*, αὐτῇ *z* ‖ 15. πρότεροι *C* ‖ δεύτερον *Rd* ‖ 17. βασιλέως *B*, βασιλῆος *z* ‖ 18. εὐθυνέειν *sz* ‖ 19. βασιλεύοντα σφέων *Rd* ‖ 20. κατακλήσαντα *R*, καταβλήσαντα *C* ‖ 21. μὲν σφέας *R* ‖ τουτέων om. *R* ‖ ἀπάρξαι *Rd* ‖ 22. ἑωυτοῦ *R* ‖ 23. λιθομέων *A*[1]*B* ‖ ἀρραβίῳ *d* ‖ οὐρεϊ *CPz*, ὄρει reliqui

ἕλκειν λίθους μέχρι τοῦ Νείλου· διαπεραιωθέντας δὲ τὸν ποταμὸν πλοίοισι τοὺς λίθους ἑτέροισι ἔταξε ἐκδέκεσθαι καὶ πρὸς τὸ Λιβυκὸν καλεύμενον ὄρος, πρὸς τοῦτο ἕλκειν. ἐργάζοντο δὲ κατὰ δέκα μυριάδας ἀνθρώπων αἰεὶ τὴν τρίμηνον ἑκάστην. χρόνον δὲ ἐγγενέσθαι τριβομένῳ τῷ λεῷ δέκα ἔτεα μὲν τῆς ὁδοῦ κατ' ἣν εἷλκον τοὺς λίθους, τὴν ἔδειμαν ἔργον ἐὸν οὐ πολλῷ τεῳ ἔλασσον τῆς πυραμίδος, ὡς ἐμοὶ δοκέειν· τῆς μὲν γὰρ μῆκος εἰσὶ πέντε στάδιοι, εὖρος δὲ δέκα ὀργυιαί, ὕψος δέ, τῇ ὑψηλοτάτη ἐστὶ αὐτὴ ἑωυτῆς, ὀκτὼ ὀργυιαί, λίθου τε ξεστοῦ καὶ ζῴων ἐγγεγλυμμένων· ταύτης τε δὴ τὰ δέκα ἔτεα γενέσθαι καὶ τῶν ἐπὶ τοῦ λόφου ἐπ' οὗ ἑστᾶσι αἱ πυραμίδες, τῶν ὑπὸ γῆν οἰκημάτων, τὰς ἐποιέετο θήκας ἑωυτῷ ἐν νήσῳ, διώρυχα τοῦ Νείλου ἐσαγαγών. τῇ δὲ πυραμίδι αὐτῇ χρόνον γενέσθαι εἴκοσι ἔτεα ποιευμένῃ, τῆς ἐστι πανταχῇ μέτωπον ἕκαστον ὀκτὼ πλέθρα ἐούσης τετραγώνου καὶ ὕψος ἴσον, λίθου δὲ ξεστοῦ τε καὶ ἁρμοσμένου τὰ μά-
125 λιστα· οὐδεὶς τῶν λίθων τριήκοντα ποδῶν ἐλάσσων. ἐποιήθη δὲ ὧδε αὕτη ἡ πυραμίς, ἀναβαθμῶν τρόπον, τὰς μετεξέτεροι κρόσσας οἱ δὲ βωμίδας ὀνομάζουσι. τοιαύτην τὸ πρῶτον ἐπείτε ἐποίησαν αὐτήν, ἤειρον τοὺς ἐπιλοίπους λίθους μηχανῇσι ξύλων βραχέων πεποιημένῃσι, χαμᾶθεν μὲν ἐπὶ τὸν πρῶτον στοῖχον τῶν ἀναβαθμῶν ἀείροντες· ὅκως δὲ ἀνίοι ὁ λίθος ἐπ' αὐτόν, ἐς ἑτέρην μηχανὴν ἐτίθετο ἑστεῶσαν ἐπὶ τοῦ πρώτου στοίχου, ἀπὸ τούτου δὲ ἐπὶ τὸν δεύτερον εἵλκετο στοῖχον ἐπ' ἄλλης μηχανῆς· ὅσοι γὰρ δὴ στοῖχοι ἦσαν τῶν ἀναβαθμῶν, τοσαῦται καὶ μηχαναὶ ἦσαν, εἴτε καὶ τὴν αὐτὴν

---

3. ἐργάζοντο *B²Pz*: ἠργάζοντο *AB¹*, εἰργάζοντο *Rd*, εἰργάζοντο *C* 4. ἀεὶ *d* ‖ 5. γενέσθαι *C*, ἐπιγενέσθαι *Rd* ‖ λαῷ *Pcorr.Rz*, ἄλλοι *B*, ἄλλῳ *ACPpr.d* ‖ 6. μὲν ἔτεα *z* ‖ ἤιλκον *AB¹*, εἵλκυντο *R* ‖ 7. πυραμῖδος *AB* ‖ τεωι *AP*: τέῳ ‖ 8. τῆς μὲν γὰρ μῆκος μὲν *P*, τῆς γὰρ μῆκος μὲν *Rd* ‖ ἐστι *z* ‖ ὀργυῖαι *Rd* ‖ 9. αὐτῇ *R* ‖ ὀργυῖαι *Rd* ‖ 10. τε] δὲ *R* ‖ ζώων *PRdz* ‖ ταύτης Reiz: ταύτηι *ABPz*, ταύτῃ *CRd* ‖ τε] δὲ *Rz* ‖ 11. ἐπ' οὗ *z*: ἐφ' οὗ ‖ 12. πυραμῖδες *ABC* ut fere ‖ 13. εἰσαγαγὼν *C* ‖ 15. πανταχῆ *z* ‖ 16. ἶσον *B* ‖ 17. τριάκοντα *d* ‖ 19. κρώσας *R*, κρώσσας *dz* ‖ 20. ἐπείτ' *AB* ‖ ἤειρον *R* ‖ 21. χαμόθεν *dz*, χαμάθεν reliqui ‖ 22. δὲ] τε *C* ‖ ἀνίη *d*, ἂν εἴη *R* ‖ 23. εἰς *z* ‖ 24. δ' ἂν ἐπὶ *R* ‖ ἤλκετο *AB¹*, ἕλκετο *C* ‖ 26. καὶ αἱ μηχαναὶ *CPz*

μηχανὴν ἐοῦσαν μίαν τε καὶ εὐβάστακτον μετεφόρεον ἐπὶ στοῖχον ἕκαστον, ὅκως τὸν λίθον ἐξέλοιεν· λελέχθω γὰρ ἡμῖν ἐπ' ἀμφότερα, κατά περ λέγεται. ἐξεποιήθη δ' ὦν τὰ ἀνώτατα αὐτῆς πρῶτα, μετὰ δὲ τὰ ἐχόμενα τούτων ἐξεποίευν, τελευταῖα δὲ αὐτῆς τὰ ἐπίγαια καὶ τὰ κατωτάτω ἐξεποίησαν. σεσήμανται δὲ διὰ γραμμάτων Αἰγυπτίων ἐν τῇ πυραμίδι ὅσα ἔς τε συρμαίην καὶ κρόμμυα καὶ σκόροδα ἀναισιμώθη τοῖσι ἐργαζομένοισι· καὶ ὡς ἐμὲ εὖ μεμνῆσθαι τὰ ὁ ἑρμηνεύς μοι ἐπιλεγόμενος τὰ γράμματα ἔφη, ἑξακόσια καὶ χίλια τάλαντα ἀργυρίου τετελέσθαι. εἰ δ' ἔστι οὕτω ἔχοντα ταῦτα, κόσα οἰκὸς ἄλλα δεδαπανῆσθαί ἐστι ἔς τε σίδηρον τῷ ἐργάζοντο, καὶ σιτία καὶ ἐσθῆτα τοῖσι ἐργαζομένοισι; ὁκότε χρόνον μὲν οἰκοδόμεον τὰ ἔργα τὸν εἰρημένον, ἄλλον δέ, ὡς ἐγὼ δοκέω, ἐν τῷ τοὺς λίθους ἔταμνον καὶ ἦγον καὶ τὸ ὑπὸ γῆν ὄρυγμα ἐργάζοντο, οὐκ ὀλίγον χρόνον. ἐς τοῦτο δὲ ἐλθεῖν 126
Χέοπα κακότητος ὥστε χρημάτων δεόμενον τὴν θυγατέρα τὴν ἑωυτοῦ κατίσαντα ἐπ' οἰκήματος προστάξαι πρήσσεσθαι ἀργύριον ὁκόσον δή τι· οὐ γὰρ δὴ τοῦτό γε ἔλεγον. τὴν δὲ τά τε ὑπὸ τοῦ πατρὸς ταχθέντα πρήσσεσθαι, ἰδίῃ δὲ καὶ αὐτὴν διανοηθῆναι μνημήιον καταλιπέσθαι, καὶ τοῦ ἐσιόντος πρὸς αὐτὴν ἑκάστου δέεσθαι ὅκως ἂν αὐτῇ ἕνα λίθον ἐν τοῖσι ἔργοισι δωρέοιτο. ἐκ τούτων δὲ τῶν λίθων ἔφασαν τὴν πυραμίδα οἰκοδομηθῆναι τὴν ἐν μέσῳ τῶν τριῶν ἑστηκυῖαν, ἔμπροσθε τῆς μεγάλης πυραμίδος, τῆς ἐστι τὸ κῶλον ἕκαστον ὅλου καὶ ἡμίσεος πλέθρου. βασιλεῦσαι δὲ τὸν Χέοπα τοῦτον 127
Αἰγύπτιοι ἔλεγον πεντήκοντα ἔτεα, τελευτήσαντος δὲ τούτου

περὶ τῆς Χέοπος θυγατρὸς καὶ ἧς κατεσκεύασεν πυραμίδος

---

7. Λέξεις

1. μίην *dz* ‖ 2. γὰρ om. *ABR* ‖ 3. καθάπερ *R* ‖ 4. ἐχόμενα Bekker: ἑπόμενα ‖ 5. ἐπίγαια *R* ‖ κατωτάτωι *AB* ‖ 10. οὕτως *L* ‖ 11. εἰκὸς *L* ‖ ἠργάζοντο *AB*[1], εἰργάζοντο *Rd* ‖ 14. ἄγον *CPz* ‖ 15. ἠργάζοντο *AB*[1], εἰργάζοντο *Rd* ‖ 16. χρημάτων δεόμενον post ἑωυτοῦ *z* ‖ 17. κτίσαντα *C*, καθίσαντα *R* ‖ 17. 19. πρήσεσθαι *R* ‖ 20. μνημόσυνον *qz* ‖ 22. δωροῖτο *Rd* ‖ 21. ἔμπροσθεν *PRdz* ‖ ἐστι] ἐς *C*, om. *z* ‖ 26. λέγουσι *qz*

οἴχετο κλέψας Ἀλέξανδρος, τῶν τε ἀδικημάτων δίκας αἰτέειν· τοὺς δὲ Τευκροὺς τὸν αὐτὸν λόγον λέγειν τότε καὶ μετέπειτα, καὶ ὀμνύντας καὶ ἀνωμοτί, μὴ μὲν ἔχειν Ἑλένην μηδὲ τὰ ἐπικαλεύμενα χρήματα, ἀλλ' εἶναι αὐτὰ πάντα ἐν Αἰγύπτῳ, καὶ οὐκ ἂν δικαίως αὐτοὶ δίκας ὑπέχειν τῶν Πρωτεὺς ὁ Αἰγύπτιος βασιλεὺς ἔχει. οἱ δὲ Ἕλληνες καταγελᾶσθαι δοκέοντες ὑπ' αὐτῶν οὕτω δὴ ἐπολιόρκεον, ἐς ὃ ἐξεῖλον· ἑλοῦσι δὲ τὸ τεῖχος ὡς οὐκ ἐφαίνετο ἡ Ἑλένη, ἀλλὰ τὸν αὐτὸν λόγον τῷ προτέρῳ ἐπυνθάνοντο, οὕτω δὴ πιστεύσαντες τῷ λόγῳ τῷ πρώτῳ οἱ Ἕλληνες αὐτὸν Μενέλεων ἀποστέλλουσι παρὰ

119 Πρωτέα. ἀπικόμενος δὲ ὁ Μενέλεως ἐς τὴν Αἴγυπτον καὶ ἀναπλώσας ἐς τὴν Μέμφιν, εἴπας τὴν ἀληθείην τῶν πρηγμάτων, καὶ ξεινίων ἤντησε μεγάλων καὶ Ἑλένην ἀπαθέα κακῶν ἀπέλαβε, πρὸς δὲ καὶ τὰ ἑωυτοῦ χρήματα πάντα. τυχὼν μέντοι τούτων ἐγένετο Μενέλεως ἀνὴρ ἄδικος ἐς Αἰγυπτίους. ἀποπλέειν γὰρ ὁρμημένον αὐτὸν ἴσχον ἀπλοῖαι· ἐπειδὴ δὲ τοῦτο ἐπὶ πολλὸν τοιοῦτον ἦν, ἐπιτεχνᾶται πρῆγμα οὐκ ὅσιον· λαβὼν γὰρ δύο παιδία ἀνδρῶν ἐπιχωρίων ἔντομά σφεα ἐποίησε. μετὰ δὲ ὡς ἐπάιστος ἐγένετο τοῦτο ἐργασμένος, μισηθείς τε καὶ διωκόμενος οἴχετο φεύγων τῇσι νηυσὶ ἐπὶ Λιβύης· τὸ ἐνθεῦτεν δὲ ὅκου ἔτι ἐτράπετο οὐκ εἶχον εἰπεῖν Αἰγύπτιοι. τούτων δὲ τὰ μὲν ἱστορίῃσι ἔφασαν ἐπίστασθαι, τὰ δὲ παρ' ἑωυτοῖσι γενόμενα ἀτρεκέως ἐπιστάμενοι λέγειν.

120 Ταῦτα μὲν Αἰγυπτίων οἱ ἱρέες ἔλεγον· ἐγὼ δὲ τῷ λόγῳ τῷ περὶ Ἑλένης λεχθέντι καὶ αὐτὸς προστίθεμαι, τάδε ἐπιλεγόμενος, εἰ ἦν Ἑλένη ἐν Ἰλίῳ, ἀποδοθῆναι ἂν αὐτὴν τοῖσι

---

3. (Bekkeri Anecd. p. 20). — 14. - 20 Plutarchus mor. p. 857

2. τεύκρους *dz* ‖ 3. ἀνωμοτεῖ *C*, ἀνωμωτί *d* ‖ μὴ δὲν ἔχειν *C* ‖ 5. τῶν Struve: ἃ ‖ προτεὺς *R* ‖ 7. ἐσὸ *A* ‖ 8. ἡ om. *ABC* ‖ 12. ἀληθηΐην *z* ‖ 16. ὀρμημένον *Apr.B*[1]: ὡρμημένον ‖ ἴσχον ἄπλοιαι *L* ‖ 17. τοῦτο ἐπὶ] τὸ *Rd* ‖ ἐπιτεχνᾶται γὰρ πρῆγμα οὐκούσιον *R* ‖ 18. ἐγχωρίων *Rd* ‖ 19. ἐργασάμενος *C*, εἰργασμένος *Rd* ‖ μισωθείς τε *Ppr.*, μισωθεὶς δὲ *R*, μισωθεὶς *d* ‖ 20. ὤιχετο *P*, ὤχετο *Rd* ‖ ἐπὶ] ἰθὺ ἐπὶ Plut. ‖ 21. ὅκου ἐτράπετο οὐκέτι *Pz*, ὅκου ἐτράπετο ἔτι οὐκ *Rd* ‖ 23. ἑαυτοῖσι *AB* ‖ 25. ἀχθέντι *CP*[m] ‖ 26. ἂν om. *Ppr.Rd*

Ἕλλησι ἤτοι ἑκόντος γε ἢ ἀέκοντος Ἀλεξάνδρου. οὐ γὰρ δὴ οὕτω γε φρενοβλαβὴς ἦν ὁ Πρίαμος οὐδὲ οἱ ἄλλοι οἱ προσήκοντες αὐτῷ, ὥστε τοῖσι σφετέροισι σώμασι καὶ τοῖσι τέκνοισι καὶ τῇ πόλι κινδυνεύειν ἐβούλοντο, ὅκως Ἀλέξανδρος Ἑλένῃ συνοικέῃ. εἰ δέ τοι καὶ ἐν τοῖσι πρώτοισι χρόνοισι ταῦτα ἐγίνωσκον, ἐπεὶ πολλοὶ μὲν τῶν ἄλλων Τρώων, ὁκότε συμμίσγοιεν τοῖσι Ἕλλησι, ἀπώλλυντο, αὐτοῦ δὲ Πριάμου οὐκ ἔστι ὅτε οὐ δύο ἢ τρεῖς ἢ καὶ ἔτι πλέους τῶν παίδων μάχης γινομένης ἀπέθνησκον, εἰ χρή τι τοῖσι ἐποποιοῖσι χρεώμενον λέγειν, τούτων δὲ τοιούτων συμβαινόντων ἐγὼ μὲν ἔλπομαι, εἰ καὶ αὐτὸς Πρίαμος συνοίκεε Ἑλένῃ, ἀποδοῦναι ἂν αὐτὴν τοῖσι Ἀχαιοῖσι, μέλλοντά γε δὴ τῶν παρεόντων κακῶν ἀπαλλαγήσεσθαι. οὐ μὲν οὐδὲ ἡ βασιληίη ἐς Ἀλέξανδρον περιήιε, ὥστε γέροντος Πριάμου ἐόντος ἐπ' ἐκείνῳ τὰ πρήγματα εἶναι, ἀλλὰ Ἕκτωρ καὶ πρεσβύτερος καὶ ἀνὴρ ἐκείνου μᾶλλον ἐὼν ἔμελλε αὐτὴν Πριάμου ἀποθανόντος παραλάμψεσθαι, τὸν οὐ προσῆκε ἀδικέοντι τῷ ἀδελφεῷ ἐπιτράπειν, καὶ ταῦτα μεγάλων κακῶν δι' αὐτὸν συμβαινόντων ἰδίῃ τε αὐτῷ καὶ τοῖσι ἄλλοισι πᾶσι Τρωσί. ἀλλ' οὐ γὰρ εἶχον Ἑλένην ἀποδοῦναι, οὐδὲ λέγουσι αὐτοῖσι τὴν ἀληθείην ἐπίστευον οἱ Ἕλληνες, ὡς μὲν ἐγὼ γνώμην ἀποφαίνομαι, τοῦ δαιμονίου παρασκευάζοντος ὅκως πανωλεθρίῃ ἀπολόμενοι καταφανὲς τοῦτο τοῖσι ἀνθρώποισι ποιήσωσι, ὡς τῶν μεγάλων ἀδικημάτων μεγάλαι εἰσὶ καὶ αἱ τιμωρίαι παρὰ τῶν θεῶν. καὶ ταῦτα μὲν τῇ ἐμοὶ δοκέει εἴρηται.

---

1 sqq. Eustathius Il. p. 397. Od. p. 1500

1. ἀκόντος *C*, ἄκοντος ceteri ‖ 2. οἱ ἄλλοι Bekker: ἄλλοι ‖ 4. τῇ om. *ABC* ‖ πόλει *ABC* ‖ 5. τοι] τι *CRd* ‖ 6. ἐγίγνωσκον *R* ‖ 7. ἀπώλυντο *Cd*, ἀπώλλοντο *z* ‖ 8. οὐ] ἢ *ABC* ‖ καὶ om. *C* ‖ πλείους *L* ‖ 9. γενομένης *ABC* ‖ τι om. *qz* ‖ 10. χρεόμενον *P* ‖ 11. οἴκεεν *Rd* ‖ 12. ἂν om. *Rd* ‖ 13. ἀπαλλαγήσασθαι *z* ‖ 14. ὑπ' *Rd* ‖ 15. πράγματα *C* ‖ ἀλλὰ] ἀλλὰ καὶ *Rd* ‖ καὶ - 16 ἀνὴρ om. *AB¹C* ‖ 16. γ' ἐὼν *z* ‖ ἔμελεν *C* ‖ 17. παραλάμψασθαι *C*, παραλάψεσθαι *d* ‖ 18. ἐπιτρέπειν *L* ‖ 19. τε] τε καὶ *ABCPcorr*. ‖ 20. ἀληθηίην *z* ‖ 23. ποιήσωνται *z* ‖ 25. ἐμοὶ om. *Rd*

121 Πρωτέος δὲ ἐκδέξασθαι τὴν βασιληίην Ῥαμψίνιτον ἔλεγον, ὃς μνημόσυνα ἐλίπετο τὰ προπύλαια τὰ πρὸς ἑσπέρην τετραμμένα τοῦ Ἡφαιστείου, ἀντίους δὲ τῶν προπυλαίων ἔστησε ἀνδριάντας δύο, ἐόντας τὸ μέγαθος πέντε καὶ εἴκοσι πηχέων, τῶν Αἰγύπτιοι τὸν μὲν πρὸς βορέω ἑστεῶτα καλέουσι θέρος, τὸν δὲ πρὸς νότον χειμῶνα· καὶ τὸν μὲν καλέουσι θέρος, τοῦτον μὲν προσκυνέουσί τε καὶ εὖ ποιέουσι, τὸν δὲ

α) χειμῶνα καλεόμενον τὰ ἔμπαλιν τούτων ἔρδουσι. πλοῦτον δὲ τούτῳ τῷ βασιλέι γενέσθαι ἀργύρου μέγαν, τὸν οὐδένα τῶν ὕστερον ἐπιτραφέντων βασιλέων δύνασθαι ὑπερβαλέσθαι οὐδ' ἐγγὺς ἐλθεῖν. βουλόμενον δὲ αὐτὸν ἐν ἀσφαλείῃ τὰ χρήματα θησαυρίζειν οἰκοδομέεσθαι οἴκημα λίθινον, τοῦ τῶν τοίχων ἕνα ἐς τὸ ἔξω μέρος τῆς οἰκίης ἔχειν. τὸν δὲ ἐργαζόμενον ἐπιβουλεύοντα τάδε μηχανᾶσθαι· τῶν λίθων παρασκευάσασθαι ἕνα ἐξαιρετὸν εἶναι ἐκ τοῦ τοίχου ῥηιδίως καὶ ὑπὸ δύο ἀνδρῶν καὶ ὑπὸ ἑνός. ὡς δὲ ἐπετελέσθη τὸ οἴκημα, τὸν μὲν βασιλέα θησαυρίσαι τὰ χρήματα ἐν αὐτῷ· χρόνου δὲ περιιόντος τὸν οἰκοδόμον περὶ τελευτὴν τοῦ βίου ἐόντα ἀνακαλέσασθαι τοὺς παῖδας (εἶναι γὰρ αὐτῷ δύο), τούτοισι δὲ ἀπηγήσασθαι ὡς ἐκείνων προορέων, ὅκως βίον ἄφθονον ἔχωσι, τεχνάσαιτο οἰκοδομέων τὸν θησαυρὸν τοῦ βασιλέος· σαφέως δὲ αὐτοῖσι πάντα ἐξηγησάμενον τὰ περὶ τὴν ἐξαίρεσιν τοῦ λίθου δοῦναι τὰ μέτρα αὐτοῦ, λέγοντα ὡς ταῦτα διαφυλάσσοντες ταμίαι τῶν βασιλέος χρημάτων ἔσονται. καὶ τὸν μὲν

περὶ Ῥαμψινίτου βασιλέως Αἰγύπτου καὶ τοῦ θησαυροῦ καὶ τῶν κλεπτῶν

---

20. ὡς - ἔχωσι Lexicon Vindob. p. 150. — 22. Eustathius Il. p. 119

3. ἡφαιστίου *ABC* ‖ 4. ἐείκοσι *z* ‖ 5. πήχεων *BP* ‖ βορέην *z* ‖ 6. τὸν δὲ - 7 θέρος om. *B*[1]*Pz* ‖ καὶ τὸν - 8 χειμῶνα om. *Rd* ‖ 7. ποιέουσαι *C*, ποιεῦσι *z* ‖ τὸν δὲ πρὸς νότον χειμῶνα καλεύμενον *Pz* ‖ 8. ἐρδουσι *A*, ἔρδουσι *BR*: ἔρδουσι *CPdz* ‖ 9. βασιλεῖ *ABd* ‖ 10. ἔτι γραφέντων *Rd*, ἐπιγραφέντων *z* ‖ 11. ἀσφαληίῃ *z* ‖ 15. ἐξαίρετον *z* ‖ 16. ὑπ' *PRdz* ‖ 17. βασιλῆα *z* ‖ περιόντος *Apr.C* ‖ 19. δὲ] γὰρ *C*, om. *Rd* ‖ 20. προορῶν *ABRd* ‖ ἔχουσι *C* ‖ 21. οἰκοδομῶν *ABC* ‖ βασιλέως *CRd*, βασιλῆος *z* ‖ σαφέος *R* ‖ 22. δ' *PRdz* ‖ 24. βασιλέως *ABd*, βασιλῆος *z*

τελευτῆσαι τὸν βίον, τοὺς δὲ παῖδας αὐτοῦ οὐκ ἐς μακρὴν ἔργου ἔχεσθαι, ἐπελθόντας δὲ ἐπὶ τὰ βασιλήια νυκτὸς καὶ τὸν λίθον ἐπὶ τῷ οἰκοδομήματι ἀνευρόντας ῥηιδίως μεταχειρίσασθαι καὶ τῶν χρημάτων πολλὰ ἐξενείκασθαι. ὡς δὲ β) τυχεῖν τὸν βασιλέα ἀνοίξαντα τὸ οἴκημα, θωυμάσαι ἰδόντα τῶν χρημάτων καταδεᾶ τὰ ἀγγήια, οὐκ ἔχειν δὲ ὅντινα ἐπαιτιᾶται τῶν τε σημάντρων ἐόντων σόων καὶ τοῦ οἰκήματος κεκλῃιμένου. ὡς δὲ αὐτῷ καὶ δὶς καὶ τρὶς ἀνοίξαντι αἰεὶ ἐλάσσω φαίνεσθαι τὰ χρήματα (τοὺς γὰρ κλέπτας οὐκ ἀνιέναι κεραΐζοντας), ποιῆσαί μιν τάδε· πάγας προστάξαι ἐργάσασθαι καὶ ταύτας περὶ τὰ ἀγγήια ἐν τοῖσι τὰ χρήματα ἐνῆν στῆσαι. τῶν δὲ φωρῶν ὥσπερ ἐν τῷ πρὸ τοῦ χρόνῳ ἐλθόντων καὶ ἐνδύντος τοῦ ἑτέρου αὐτῶν, ἐπεὶ πρὸς τὸ ἄγγος προσῆλθε, ἰθέως τῇ πάγῃ ἐνέχεσθαι. ὡς δὲ γνῶναι αὐτὸν ἐν οἵῳ κακῷ ἦν, ἰθέως καλέειν τὸν ἀδελφεὸν καὶ δηλοῦν αὐτῷ τὰ παρεόντα, καὶ κελεύειν τὴν ταχίστην ἐσδύντα ἀποταμεῖν αὐτοῦ τὴν κεφαλήν, ὅκως μὴ αὐτὸς ὀφθεὶς καὶ γνωρισθεὶς ὃς εἴη προσαπολέσῃ κἀκεῖνον. τῷ δὲ δόξαι εὖ λέγειν, καὶ ποιῆσαί μιν πεισθέντα ταῦτα, καὶ καταρμόσαντα τὸν λίθον ἀπιέναι ἐπ' οἴκου, φέροντα τὴν κεφαλὴν τοῦ ἀδελφεοῦ. ὡς δὲ ἡμέρη γ) ἐγένετο, ἐσελθόντα τὸν βασιλέα ἐς τὸ οἴκημα ἐκπεπλῆχθαι ὁρέοντα τὸ σῶμα τοῦ φωρὸς ἐν τῇ πάγῃ ἄνευ τῆς κεφαλῆς ἐόν, τὸ δὲ οἴκημα ἀσινὲς καὶ οὔτε ἔσοδον οὔτε ἔκδυσιν οὐδεμίαν ἔχον. ἀπορεύμενον δέ μιν τάδε ποιῆσαι· τοῦ φωρὸς τὸν νέκυν κατὰ τοῦ τείχεος κατακρεμάσαι, φυλάκους δὲ αὐτοῦ καταστήσαντα ἐντείλασθαί σφι, τὸν ἂν ἴδωνται ἀποκλαύσαντα

10. Eustathius Il. p. 364

1. εἰς *C* ‖ μακρὸν *ABCPcorr.* ‖ 2. ἐλθόντας *Rd* ‖ 3. ἐνευρόντας *Rd* ‖ 5. βασιλῆα z ‖ θωμάσαι *Rd* ‖ 6. ἀπαιτιᾶται *Rd* ‖ 7. σόων *AB*[1]: σώων ‖ 8. κεκλειμένου *ABC*, κεκλεισμένου *PRd*, κατακεκλεισμένου z ‖ δὲ] δὲ καὶ *R* ‖ αἰεὶ om. *ABC* ‖ 11. ταῦτα *R* ‖ 11. οἷσι *Ppr.Rd* ‖ 13. ἐσδύντος *Rd*: ἐνδύντος ‖ 14. εὐθέως *qz* ‖ ἔχεσθαι *Rd* ‖ ἑωϋτὸν z ‖ 16. κελεύει *R* ‖ ἐσδύντα] om. *B*[1], ἐλθόντα *d* ‖ ἀποτάμνειν *PRdz* ‖ 17. προσαπολέσει *d* ‖ 18. κἀκεῖνον *ABC*: καὶ ἐκεῖνον ‖ 20. φέροντα] ἀπάγοντα *PRdz* ‖ 21. βασιλῆα z ‖ 22. ὁρέοντα *Pz*: ὁρῶντα *ABRd*, ὁρέωντα *C* ‖ 23. ἀσινὲς] ἀσινὲς ἐὸν z ‖ οὐδεμίην z ‖ 24. ἔχοντα πορεύμενον *Rd* ‖ 26. καταστῆσαι ἐντείλασθαί τε *Rd* ‖ σφισι *ABC*

ἢ κατοικτισάμενον, συλλαβόντας ἄγειν πρὸς ἑωυτόν. ἀνακρεμαμένου δὲ τοῦ νέκυος τὴν μητέρα δεινῶς φέρειν, λόγους δὲ πρὸς τὸν περιεόντα παῖδα ποιευμένην προστάσσειν αὐτῷ, ὅτεῳ τρόπῳ δύναται, μηχανᾶσθαι ὅκως τὸ σῶμα τοῦ ἀδελφεοῦ καταλύσας κομιεῖ· εἰ δὲ τούτων ἀμελήσει, διαπειλέειν αὐτὴν ὡς ἐλθοῦσα πρὸς τὸν βασιλέα μηνύσει αὐτὸν ἔχοντα
δ) τὰ χρήματα. ὡς δὲ χαλεπῶς ἐλαμβάνετο ἡ μήτηρ τοῦ περιεόντος παιδὸς καὶ πολλὰ πρὸς αὐτὴν λέγων οὐκ ἔπειθε, ἐπιτεχνήσασθαι τοιάδε μιν. ὄνους κατασκευασάμενον καὶ ἀσκοὺς πλήσαντα οἴνου ἐπιθεῖναι ἐπὶ τῶν ὄνων καὶ ἔπειτα ἐλαύνειν αὐτούς. ὡς δὲ κατὰ τοὺς φυλάσσοντας ἦν τὸν κρεμάμενον νέκυν, ἐπισπάσαντα τῶν ἀσκῶν δύο ἢ τρεῖς ποδεῶνας αὐτὸν λύειν ἀπαμμένους· ὡς δὲ ἔρρεε ὁ οἶνος, τὴν κεφαλὴν μιν κόπτεσθαι μεγάλα βοῶντα ὡς οὐκ ἔχοντα πρὸς ὁκοῖον τῶν ὄνων πρῶτον τράπηται. τοὺς δὲ φυλάκους ὡς ἰδεῖν πολλὸν ῥέοντα τὸν οἶνον, συντρέχειν ἐς τὴν ὁδὸν ἀγγήια ἔχοντας, καὶ τὸν ἐκκεχυμένον οἶνον συγκομίζειν ἐν κέρδεϊ ποιευμένους· τὸν δὲ διαλοιδορέεσθαι πᾶσι ὀργὴν προσποιεύμενον, παραμυθευμένων δὲ αὐτὸν τῶν φυλάκων χρόνῳ πρηΰνεσθαι προσποιέεσθαι καὶ ὑπίεσθαι τῆς ὀργῆς, τέλος δὲ ἐξελάσαι αὐτὸν τοὺς ὄνους ἐκ τῆς ὁδοῦ καὶ κατασκευάζειν. ὡς δὲ λόγους τε πλέους ἐγγίνεσθαι καί τινα καὶ σκῶψαί μιν καὶ ἐς γέλωτα προαγαγέσθαι, ἐπιδοῦναι αὐτοῖσι τῶν ἀσκῶν ἕνα· τοὺς δὲ αὐτοῦ ὥσπερ εἶχον κατακλιθέντας πίνειν δια-

---

1. ἀνακρεμαμένου - 2 φέρειν Lexicon Vindob. p. 45. — 7. ὡς δὲ - 8 παιδὸς ibidem p. 118. — 12. τῶν ἀσκῶν - ποδεῶνας ibidem p. 146. — 13. τὴν κεφαλὴν - 14 βοῶντα ibidem p. 114

1. αὐτόν *Rd* ‖ 2. δεινῶς φέρειν] ἰδεῖν *d* ‖ 3. περιιόντα *C* ‖ 4. μηχανήσασθαι *Rd* ‖ ὅπως *ABC* ‖ 5. κομίσῃ *Ppr.Rd* ‖ ἀπειλέειν *Rd* ‖ 6. αὐτὸν *d*, αὐτῷ *z* ‖ βασιλῆα *z* ‖ 7. τὰ] τὰς *A*, om. *C* ‖ ἐπελαμβάνετο *z* ‖ 9. ἐπιτεχνίσασθαι *C* ‖ 11. ἦν] ἦν ἴσον *Rd*, ἦν ἴσον *z* ‖ 13. ἀφαμμένους *ABC* 14. μεγάλως Lex. Vind. ‖ 15. πρῶτον τῶν ὄνων *Rd* ‖ φύλας *R*, φύλακας *d* ‖ 16. πολὺν *L* ‖ συντρέχειν - 17 οἶνον om. *C* ‖ 17. οἶνον om. *Rd* κέρδει *AB* ‖ 20. ὑπίσχεσθαι *Rdz* ‖ 22. πλείους *L* ‖ ἐγγίγνεσθαι *P* ‖ 23. καὶ ἐς] ἐς καὶ *R*, ὡς καὶ *d* ‖ προσαγαγεῖν *Rd*, προσαγαγέσθαι *z* ‖ ἐπιδοῦναί σφι τὸν ἀσκῶν ἕνα αὐτοῖσι *z* ‖ τὸν ἀσκὸν *Bpr*.

νοέεσθαι, καὶ ἐκεῖνον παραλαμβάνειν καὶ κελεύειν μετ᾽ ἑωυτῶν μείναντα συμπίνειν· τὸν δὲ πεισθῆναί τε δὴ καὶ καταμεῖναι. ὡς δέ μιν παρὰ τὴν πόσιν φιλοφρόνως ἠσπάζοντο, ἐπιδοῦναι αὐτοῖσι καὶ ἄλλον τῶν ἀσκῶν· δαψιλέι δὲ τῷ ποτῷ χρησαμένους τοὺς φυλάκους ὑπερμεθυσθῆναι καὶ κρατηθέντας ὑπὸ τοῦ ὕπνου αὐτοῦ ἔνθα περ ἔπινον κατακοιμηθῆναι. τὸν δέ, ὡς πρόσω ἦν τῆς νυκτός, τό τε σῶμα τοῦ ἀδελφεοῦ καταλῦσαι καὶ τῶν φυλάκων ἐπὶ λύμῃ πάντων ξυρῆσαι τὰς δεξιὰς παρηίδας, ἐπιθέντα δὲ τὸν νέκυν ἐπὶ τοὺς ὄνους ἀπελαύνειν ἐπ᾽ οἴκου, ἐπιτελέσαντα τῇ μητρὶ τὰ προσταχθέντα.
τὸν δὲ βασιλέα, ὡς αὐτῷ ἀπηγγέλθη τοῦ φωρὸς ὁ νέκυς ἐκκε- ε)
κλεμμένος, δεινὰ ποιέειν· πάντως δὲ βουλόμενον εὑρεθῆναι ὅστις κοτὲ εἴη ὁ ταῦτα μηχανεόμενος, ποιῆσαί μιν τάδε, ἐμοὶ μὲν οὐ πιστά. τὴν θυγατέρα τὴν ἑωυτοῦ κατίσαι ἐπ᾽ οἰκήματος, ἐντειλάμενον πάντας τε ὁμοίως προσδέκεσθαι, καὶ πρὶν συγγενέσθαι, ἀναγκάζειν λέγειν αὐτῇ ὅ τι δὴ ἐν τῷ βίῳ ἔργασται αὐτῷ σοφώτατον καὶ ἀνοσιώτατον· ὃς δ᾽ ἂν ἀπηγήσηται τὰ περὶ τὸν φῶρα γεγενημένα, τοῦτον συλλαμβάνειν καὶ μὴ ἀπιέναι ἔξω. ὡς δὲ τὴν παῖδα ποιέειν τὰ ἐκ τοῦ πατρὸς προσταχθέντα, τὸν φῶρα πυθόμενον τῶν εἵνεκα ταῦτα ἐπρήσσετο, βουληθέντα πολυτροπίῃ τοῦ βασιλέος περιγενέσθαι ποιέειν τάδε. νεκροῦ προσφάτου ἀποταμόντα ἐν τῷ ὤμῳ τὴν χεῖρα ἰέναι αὐτὸν ἔχοντα αὐτὴν ὑπὸ τῷ ἱματίῳ· ἐσελθόντα δὲ ὡς τοῦ βασιλέος τὴν θυγατέρα καὶ εἰρωτεόμενον τά περ καὶ οἱ ἄλλοι, ἀπηγήσασθαι ὡς ἀνοσιώτατον μὲν εἴη ἐργασμένος ὅτε τοῦ ἀδελφεοῦ ἐν τῷ θησαυρῷ τοῦ βασιλέος ὑπὸ πάγης ἁλόντος ἀποτάμοι τὴν κεφαλήν. σοφώτατον δὲ

2. δὴ] δεῖ *R* ‖ 3. φιλοφρόνως om. *Rd* ‖ ἠσπάζοντο ἐπιδοῦναι om. A^1 ‖ 4. δαψιλεῖ *ABd* ‖ 6. ἐπίπονον *C* ‖ κοιμηθῆναι *Rd* ‖ 8. κατεκλῦσαι *R* ‖ πάντων om. *Rd* ‖ 9. παρηΐὰς *R*, παρειὰς *d* ‖ 11. ἀπηγγέλη *Rd* ‖ ἐγκεκλεμμένος z ‖ 13. μηχανώμενος *L* ‖ 14. τὴν] τὴν δε *A*, τὴν δὲ *CPcorr.* ‖ κατῖσαι *A*, κτίσαι *C*, καθίσαι *Rd* ‖ 15. τε om. *d* ‖ 17. ἔργασθαι z ‖ ἀπηγήσεται *Rd* ‖ 21. βασιλέως *CRd*, βασιλῆος z ‖ 23. τὴν χεῖρα ἐν τῷ ὤμῳ *Pz* ‖ ἐσελθεῖν *Rd* ‖ 24. ὡς] ἐς *CPz* ‖ βασιλέως *d*, βασιλῆος z ‖ ἠρωτώμενον *C*, εἰρωτώμενον ceteri ‖ 25. μὲν om. *Rd* ‖ 26. βασιλέως *d*, βασιλῆος z

ὅτι τοὺς φυλάκους καταμεθύσας καταλύσειε τοῦ ἀδελφεοῦ κρεμάμενον τὸν νέκυν. τὴν δὲ ὡς ἤκουσε ἅπτεσθαι αὐτοῦ. τὸν δὲ φῶρα ἐν τῷ σκότεϊ προτεῖναι αὐτῇ τοῦ νεκροῦ τὴν χεῖρα· τὴν δὲ ἐπιλαβομένην ἔχειν, νομίζουσαν αὐτοῦ ἐκείνου τῆς χειρὸς ἀντέχεσθαι· τὸν δὲ φῶρα προέμενον αὐτῇ
ζ) οἴχεσθαι διὰ θυρέων φεύγοντα. ὡς δὲ καὶ ταῦτα ἐς τὸν βασιλέα ἀνηνείχθη, ἐκπεπλῆχθαι μὲν ἐπὶ τῇ πολυφροσύνῃ τε καὶ τόλμῃ τοῦ ἀνθρώπου, τέλος δὲ διαπέμποντα ἐς πάσας τὰς πόλις ἐπαγγέλλεσθαι ἀδείην τε διδόντα καὶ μεγάλα ὑποδεκόμενον ἐλθόντι ἐς ὄψιν τὴν ἑωυτοῦ. τὸν δὲ φῶρα πιστεύσαντα ἐλθεῖν πρὸς αὐτόν, Ῥαμψίνιτον δὲ μεγάλως θωυμάσαι, καί οἱ τὴν θυγατέρα ταύτην συνοικίσαι ὡς πλεῖστα ἐπισταμένῳ ἀνθρώπων· Αἰγυπτίους μὲν γὰρ τῶν ἄλλων προκεκρίσθαι, ἐκεῖνον δὲ Αἰγυπτίων.

122 Μετὰ δὲ ταῦτα ἔλεγον τοῦτον τὸν βασιλέα ζωὸν καταβῆναι κάτω ἐς τὸν οἱ Ἕλληνες Ἅιδην νομίζουσι εἶναι, καὶ κεῖθι συγκυβεύειν τῇ Δήμητρι, καὶ τὰ μὲν νικᾶν αὐτὴν τὰ δὲ ἑσσοῦσθαι ὑπ᾽ αὐτῆς, καί μιν πάλιν ἀπικέσθαι δῶρον ἔχοντα παρ᾽ αὐτῆς χειρόμακτρον χρύσεον. ἀπὸ δὲ τῆς Ῥαμψινίτου καταβάσιος, ὡς πάλιν ἀπίκετο, ὁρτὴν δὴ ἀνάγειν Αἰγυπτίους ἔφασαν, τὴν καὶ ἐγὼ οἶδα ἔτι καὶ ἐς ἐμὲ ἐπιτελέοντας αὐτούς· οὐ μέντοι εἴ γε διὰ ταῦτα ὁρτάζουσι ἔχω λέγειν. φᾶρος δὲ αὐτημερὸν ἐξυφήναντες οἱ ἱρέες κατ᾽ ὧν ἔδησαν ἑνὸς ἑωυτῶν μίτρῃ τοὺς ὀφθαλμούς, ἀγαγόντες δέ μιν ἔχοντα τὸ φᾶρος ἐς ὁδὸν φέρουσαν ἐς ἱρὸν Δήμητρος αὐτοὶ ἀπαλλάσσονται ὀπίσω·

---

15. μετὰ - 19 χρύσεον Athenaeus p. 410

1. φύλακας *d* ‖ καταλύσει *Rd* ‖ 2. κρεμαμένου *ABC* ‖ 3. σκότει *ABd* ‖ 4. δ᾽ *ABC* ‖ 7. ἀνηνείχθη *A*: ἀνηνέχθη *B*, ἀνενείχθη *CPz*, ἀνηνεῖχθαι *Rd* ‖ μὲν om. *Rd* ‖ τε om. *C* ‖ 8. τἀνθρώπου *PRdz* ‖ 9. πόλις *AP*: πόλεις *BC*, πόλιας *Rd* ‖ ἄδειαν *L* ‖ 11. θαυμάσαι *d* ‖ 12. οἱ καὶ *Rd* ‖ 15. ζωιὸν *ABCP* ‖ 16. ἀιδην *AB*: ἀΐδην *CP*, ᾅδην *Rd*, ἀΐδην *z* ‖ εἶναι om. Athen. ‖ καικεῖθι *A*, καὶ κεῖθι *B*: κακεῖθι *C*, κἀκεῖθι *P*, καὶ ἐκεῖθι *Rd*, κἀκεῖθι *z* ‖ 17. συγκειβεύειν *R* ‖ 18. ἰσοῦσθαι *d*. Athen. ‖ καὶ μὴν Athen. ‖ ἀπικέσθαι] ἄνω ἀπικέσθαι *Rd*, ἀναφικέσθαι Athen. ‖ 19. χειρώμακτρον *ABC* ‖ 20. ὀρτὴν *AC* ‖ 22. οὐ μὲν *Rd* ‖ εἴ γε A^1*BRd*: εἴτε δι ἄλλό τι εἴτε *Pz*, οἴτε δι᾽ ἄλλ᾽ ὅτι εἴτε *C*, εἴτε δι᾽ ἄλλο ὅτι εἴτε A^2 ‖ ὀρτάζουσι *C*, ἑορτάζουσι *Rd* ‖ 23. ἐξυφάναντες *Rd* ‖ ἑωυτῶν scripsi: αὐτῶν ‖ 24. μιν om. *Rd* ‖ 25. ἱρὸν om. *R*

τὸν δὲ ἱρέα τοῦτον καταδεδεμένον τοὺς ὀφθαλμοὺς λέγουσι ὑπὸ δύο λύκων ἄγεσθαι ἐς τὸ ἱρὸν τῆς Δήμητρος ἀπέχον τῆς πόλιος εἴκοσι σταδίους, καὶ αὖτις ὀπίσω ἐκ τοῦ ἱροῦ ἀπάγειν μιν τοὺς λύκους ἐς τὠυτὸ χωρίον. τοῖσι μέν νυν ὑπ' Αἰ- 123
γυπτίων λεγομένοισι χράσθω ὅτεῳ τὰ τοιαῦτα πιθανά ἐστι· ἐμοὶ δὲ παρὰ πάντα τὸν λόγον ὑποκέεται ὅτι τὰ λεγόμενα ὑπ' ἑκάστων ἀκοῇ γράφω. ἀρχηγετεύειν δὲ τῶν κάτω Αἰγύπτιοι λέγουσι Δήμητρα καὶ Διόνυσον. πρῶτοι δὲ καὶ τόνδε τὸν λόγον Αἰγύπτιοί εἰσι οἱ εἰπόντες, ὡς ἀνθρώπου ψυχὴ ἀθάνατός ἐστι, τοῦ σώματος δὲ καταφθίνοντος ἐς ἄλλο ζῷον αἰεὶ γινόμενον ἐσδύεται, ἐπεὰν δὲ πάντα περιέλθῃ τὰ χερσαῖα καὶ τὰ θαλάσσια καὶ τὰ πετεινά, αὖτις ἐς ἀνθρώπου σῶμα γινόμενον ἐσδύνει, τὴν περιήλυσιν δὲ αὐτῇ γίνεσθαι ἐν τρισχιλίοισι ἔτεσι. τούτῳ τῷ λόγῳ εἰσὶ οἳ Ἑλλήνων ἐχρήσαντο, οἱ μὲν πρότερον οἱ δὲ ὕστερον, ὡς ἰδίῳ ἑωυτῶν ἐόντι· τῶν ἐγὼ εἰδὼς τὰ οὐνόματα οὐ γράφω.

Μέχρι μέν νυν Ῥαμψινίτου βασιλέος εἶναι ἐν Αἰγύπτῳ 124
πᾶσαν εὐνομίην ἔλεγον καὶ εὐθηνέειν Αἴγυπτον μεγάλως, μετὰ δὲ τοῦτον βασιλεύσαντά σφεων Χέοπα ἐς πᾶσαν κακότητα ἐλάσαι. κατακληίσαντα γάρ μιν πάντα τὰ ἱρὰ πρῶτα μέν σφεας θυσιέων τουτέων ἀπέρξαι, μετὰ δὲ ἐργάζεσθαι ἑωυτῷ κελεύειν πάντας Αἰγυπτίους. τοῖσι μὲν δὴ ἀποδεδέχθαι ἐκ τῶν λιθοτομιέων τῶν ἐν τῷ Ἀραβίῳ ὄρεϊ, ἐκ τουτέων

ὅτι πρῶτοι Αἰγύπτιοι τὴν ψυχὴν ἀθάνατον καὶ μετεμψύχωσιν ἐδόξασαν
περὶ Χέοπος βασιλέως Αἰγύπτου καὶ τῆς γενομένης παρ' αὐτοῦ ὁδοστρωσίας καὶ τῆς πυραμίδος

---

8. πρῶτοι – 15 ὕστερον Stobaeus eclog. phys. I 41 12

1. δ' *Pdz* ‖ ἱερέα *Cpr.* ‖ 3. πόλεος ἐείκοσι *z* ‖ 6. τὸν om. *A*[1] ‖ ὑπόκειται *L* ‖ ὅτι om. *Rd* ‖ 7. ὑπὲρ *Rd* ‖ 8. δήμητραν *dz* ‖ 9. εἰσι om. *B*[1] ‖ οἱ om. *CPz* ‖ 10. ἀθάνατόν Stob. ‖ τοῦ δὲ σώματος Stob. ‖ ζῶον *PRdz* ‖ 11. ἐπὰν Stob. ‖ περιέλθῃ (η) πάντα *z* ‖ 12. πετεινὰ *C*, πτηνὰ *Pz* ‖ 13. γενόμενον Stob. ‖ εἰσδύνει *C*, ἐσδύνειν *Rz*. Stob. ‖ περιείλησιν *z* ‖ αὐτὴ *C*, αὐτῇ *z* ‖ 15. πρότεροι *C* ‖ δεύτερον *Rd* ‖ 17. βασιλέως *B*, βασιλῆος *z* ‖ 18. εὐθυνέειν *sz* ‖ 19. βασιλεύοντα σφέων *Rd* ‖ 20. κατακλήσαντα *R*, καταβλήσαντα *C* ‖ 21. μὲν σφέας *R* ‖ τουτέων om. *R* ‖ ἀπάρξαι *Rd* ‖ 22. ἑωυτοῦ *R* ‖ 23. λιθομέων *A*[1]*B* ‖ ἀρραβίῳ *d* ‖ οὐρεϊ *CPz*, ὄρει reliqui

ἕλκειν λίθους μέχρι τοῦ Νείλου· διαπεραιωθέντας δὲ τὸν ποταμὸν πλοίοισι τοὺς λίθους ἑτέροισι ἔταξε ἐκδέκεσθαι καὶ πρὸς τὸ Λιβυκὸν καλεύμενον ὄρος, πρὸς τοῦτο ἕλκειν. ἐργάζοντο δὲ κατὰ δέκα μυριάδας ἀνθρώπων αἰεὶ τὴν τρίμηνον ἑκάστην. χρόνον δὲ ἐγγενέσθαι τριβομένῳ τῷ λεῷ δέκα ἔτεα μὲν τῆς ὁδοῦ κατ' ἣν εἷλκον τοὺς λίθους, τὴν ἔδειμαν ἔργον ἐὸν οὐ πολλῷ τεῳ ἔλασσον τῆς πυραμίδος, ὡς ἐμοὶ δοκέειν· τῆς μὲν γὰρ μῆκος εἰσὶ πέντε στάδιοι, εὖρος δὲ δέκα ὀργυιαί, ὕψος δέ, τῇ ὑψηλοτάτη ἐστὶ αὐτὴ ἑωυτῆς, ὀκτὼ ὀργυιαί, λίθου τε ξεστοῦ καὶ ζῴων ἐγγεγλυμμένων· ταύτης τε δὴ τὰ δέκα ἔτεα γενέσθαι καὶ τῶν ἐπὶ τοῦ λόφου ἐπ' οὗ ἑστᾶσι αἱ πυραμίδες, τῶν ὑπὸ γῆν οἰκημάτων, τὰς ἐποιέετο θήκας ἑωυτῷ ἐν νήσῳ, διώρυχα τοῦ Νείλου ἐσαγαγών. τῇ δὲ πυραμίδι αὐτῇ χρόνον γενέσθαι εἴκοσι ἔτεα ποιευμένῃ, τῆς ἐστι πανταχῇ μέτωπον ἕκαστον ὀκτὼ πλέθρα ἐούσης τετραγώνου καὶ ὕψος ἴσον, λίθου δὲ ξεστοῦ τε καὶ ἁρμοσμένου τὰ μά-
125 λιστα· οὐδεὶς τῶν λίθων τριήκοντα ποδῶν ἐλάσσων. ἐποιήθη δὲ ὧδε αὕτη ἡ πυραμίς, ἀναβαθμῶν τρόπον, τὰς μετεξέτεροι κρόσσας οἱ δὲ βωμίδας ὀνομάζουσι. τοιαύτην τὸ πρῶτον ἐπείτε ἐποίησαν αὐτήν, ἤειρον τοὺς ἐπιλοίπους λίθους μηχανῇσι ξύλων βραχέων πεποιημένῃσι, χαμᾶθεν μὲν ἐπὶ τὸν πρῶτον στοῖχον τῶν ἀναβαθμῶν ἀείροντες· ὅκως δὲ ἀνίοι ὁ λίθος ἐπ' αὐτόν, ἐς ἑτέρην μηχανὴν ἐτίθετο ἑστεῶσαν ἐπὶ τοῦ πρώτου στοίχου, ἀπὸ τούτου δὲ ἐπὶ τὸν δεύτερον εἵλκετο στοῖχον ἐπ' ἄλλης μηχανῆς· ὅσοι γὰρ δὴ στοῖχοι ἦσαν τῶν ἀναβαθμῶν, τοσαῦται καὶ μηχαναὶ ἦσαν, εἴτε καὶ τὴν αὐτὴν

---

3. ἐργάζοντο B^2*Pz*: ἠργάζοντο *AB*[1], εἰργάζοντο *Rd*, εἰργάζοντο *C* 4. ἀεὶ *d* ‖ 5. γενέσθαι *C*, ἐπιγενέσθαι *Rd* ‖ λαῷ *Pcorr.Rz*, ἄλλωι *B*, ἄλλῳ *ACPpr.d* ‖ 6. μὲν ἔτεα *z* ‖ ἥιλκον *AB*[1], εἵλκυντο *R* ‖ 7. πυραμῖδος *AB* ‖ τεωι *AP*: τέῳ ‖ 8. τῆς μὲν γὰρ μῆκος μὲν *P*, τῆς γὰρ μῆκος μὲν *Rd* ‖ ἐστι *z* ‖ ὀργυῖαι *Rd* ‖ 9. αὐτῇ *R* ‖ ὀργυῖαι *Rd* ‖ 10. τε] δὲ *R* ‖ ζώων *PRdz* ‖ ταύτης Reiz: ταύτηι *ABPz*, ταύτη *CRd* ‖ τε] δὲ *Rz* ‖ 11. ἐπ' οὗ *z*: ἐφ' οὗ ‖ 12. πυραμῖδες *ABC* ut fere ‖ 13. εἰσαγαγὼν *C* ‖ 15. πανταχῆ *z* ‖ 16. ἶσον *B* ‖ 17. τριάκοντα *d* ‖ 19. κρώσας *R*, κρώσσας *dz* ‖ 20. ἐπείτ' *AB* ‖ ἥειρον *R* ‖ 21. χαμόθεν *dz*, χαμάθεν reliqui ‖ 22. δὲ] τε *C* ‖ ἀνίη *d*, ἂν εἴη *R* ‖ 23. εἰς *z* ‖ 24. δ' ἂν ἐπὶ *R* ‖ ἥλκετο *AB*[1], ἕλκετο *C* ‖ 26. καὶ αἱ μηχαναὶ *CPz*

μηχανὴν ἐοῦσαν μίαν τε καὶ εὐβάστακτον μετεφόρεον ἐπὶ στοῖχον ἕκαστον, ὅκως τὸν λίθον ἐξέλοιεν· λελέχθω γὰρ ἡμῖν ἐπ᾽ ἀμφότερα, κατά περ λέγεται. ἐξεποιήθη δ᾽ ὦν τὰ ἀνώτατα αὐτῆς πρῶτα, μετὰ δὲ τὰ ἐχόμενα τούτων ἐξεποίευν, τελευταῖα δὲ αὐτῆς τὰ ἐπίγαια καὶ τὰ κατωτάτω ἐξεποίησαν. σεσήμανται δὲ διὰ γραμμάτων Αἰγυπτίων ἐν τῇ πυραμίδι ὅσα ἔς τε συρμαίην καὶ κρόμμυα καὶ σκόροδα ἀναισιμώθη τοῖσι ἐργαζομένοισι· καὶ ὡς ἐμὲ εὖ μεμνῆσθαι τὰ ὁ ἑρμηνεύς μοι ἐπιλεγόμενος τὰ γράμματα ἔφη, ἑξακόσια καὶ χίλια τάλαντα ἀργυρίου τετελέσθαι. εἰ δ᾽ ἔστι οὕτω ἔχοντα ταῦτα, κόσα οἰκὸς ἄλλα δεδαπανῆσθαί ἐστι ἔς τε σίδηρον τῷ ἐργάζοντο, καὶ σιτία καὶ ἐσθῆτα τοῖσι ἐργαζομένοισι; ὁκότε χρόνον μὲν οἰκοδόμεον τὰ ἔργα τὸν εἰρημένον, ἄλλον δέ, ὡς ἐγὼ δοκέω, ἐν τῷ τοὺς λίθους ἔταμνον καὶ ἦγον καὶ τὸ ὑπὸ γῆν ὄρυγμα ἐργάζοντο, οὐκ ὀλίγον χρόνον. ἐς τοῦτο δὲ ἐλθεῖν 126
Χέοπα κακότητος ὥστε χρημάτων δεόμενον τὴν θυγατέρα τὴν ἑωυτοῦ κατίσαντα ἐπ᾽ οἰκήματος προστάξαι πρήσσεσθαι ἀργύριον ὁκόσον δή τι· οὐ γὰρ δὴ τοῦτό γε ἔλεγον. τὴν δὲ τά τε ὑπὸ τοῦ πατρὸς ταχθέντα πρήσσεσθαι, ἰδίῃ δὲ καὶ αὐτὴν διανοηθῆναι μνημήιον καταλιπέσθαι, καὶ τοῦ ἐσιόντος πρὸς αὐτὴν ἑκάστου δέεσθαι ὅκως ἂν αὐτῇ ἕνα λίθον ἐν τοῖσι ἔργοισι δωρέοιτο. ἐκ τούτων δὲ τῶν λίθων ἔφασαν τὴν πυραμίδα οἰκοδομηθῆναι τὴν ἐν μέσῳ τῶν τριῶν ἑστηκυῖαν, ἔμπροσθε τῆς μεγάλης πυραμίδος, τῆς ἐστι τὸ κῶλον ἕκαστον ὅλου καὶ ἡμίσεος πλέθρου. βασιλεῦσαι δὲ τὸν Χέοπα τοῦτον 127
Αἰγύπτιοι ἔλεγον πεντήκοντα ἔτεα, τελευτήσαντος δὲ τούτου

περὶ τῆς Χέοπος θυγατρὸς καὶ ἧς κατεσκεύασεν πυραμίδος

---

7. Λέξεις

1. μίην *dz* ‖ 2. γὰρ om. *ABR* ‖ 3. καθάπερ *R* ‖ 4. ἐχόμενα Bekker: ἑπόμενα ‖ 5. ἐπιγαίεια *R* ‖ κατωτάτωι *AB* ‖ 10. οὕτως *L* ‖ 11. εἰκὸς *L* ‖ ἠργάζοντο *AB*[1], εἰργάζοντο *Rd* ‖ 14. ἄγον *CPz* ‖ 15. ἠργάζοντο *AB*[1], εἰργάζοντο *Rd* ‖ 16. χρημάτων δεόμενον post ἑωυτοῦ *z* ‖ 17. κτίσαντα *C*, καθίσαντα *R* ‖ 17. 19. πρήσεσθαι *R* ‖ 20. μνημόσυνον *qz* ‖ 22. δωροῖτο *Rd* ‖ 21. ἔμπροσθεν *PRdz* ‖ ἐστι] ἐς *C*, om. *z* ‖ 26. λέγουσι *qz*

ἐκδέξασθαι τὴν βασιληίην τὸν ἀδελφεὸν αὐτοῦ Χεφρῆνα· καὶ τοῦτον δὲ τῷ αὐτῷ τρόπῳ διαχρᾶσθαι τῷ ἑτέρῳ τά τε ἄλλα καὶ πυραμίδα ποιῆσαι, ἐς μὲν τὰ ἐκείνου μέτρα οὐκ ἀνήκουσαν· ταῦτα γὰρ ὦν καὶ ἡμεῖς ἐμετρήσαμεν· οὔτε γὰρ ὕπεστι οἰκήματα ὑπὸ γῆν, οὔτε ἐκ τοῦ Νείλου διῶρυξ ἥκει ἐς αὐτὴν ὥσπερ ἐς τὴν ἑτέρην ῥέουσα· δι' οἰκοδομημένου δὲ αὐλῶνος ἔσω νῆσον περιρρέειν, ἐν τῇ αὐτὸν λέγουσι κέεσθαι Χέοπα. ὑποδείμας δὲ τὸν πρῶτον δόμον λίθου Αἰθιοπικοῦ ποικίλου, τεσσεράκοντα πόδας ὑποβὰς τῆς ἑτέρης, τὠυτὸ μέγαθος ἐχομένην τῆς μεγάλης οἰκοδόμησε. ἑστᾶσι δὲ ἐπὶ λόφου τοῦ αὐτοῦ ἀμφότεραι, μάλιστα ἐς ἑκατὸν πόδας ὑψηλοῦ. βασιλεῦσαι δὲ ἔλεγον Χεφρῆνα ἓξ καὶ πεντήκοντα ἔτεα.

128 Ταῦτα ἕξ τε καὶ ἑκατὸν λογίζονται ἔτεα, ἐν τοῖσι Αἰγυπτίοισί τε πᾶσαν εἶναι κακότητα καὶ τὰ ἱρὰ χρόνου τοσούτου κατακληισθέντα οὐκ ἀνοιχθῆναι. τούτους ὑπὸ μίσεος οὐ κάρτα θέλουσι Αἰγύπτιοι ὀνομάζειν, ἀλλὰ καὶ τὰς πυραμίδας καλέουσι ποιμένος Φιλίτιος, ὃς τοῦτον τὸν χρόνον ἔνεμε κτήνεα κατὰ ταῦτα τὰ χωρία.

129 Μετὰ δὲ τοῦτον βασιλεῦσαι Αἰγύπτου Μυκερῖνον ἔλεγον Χέοπος παῖδα· τῷ τὰ μὲν τοῦ πατρὸς ἔργα ἀπαδεῖν, τὸν δὲ τά τε ἱρὰ ἀνοῖξαι καὶ τὸν λεὼν τετρυμένον ἐς τὸ ἔσχατον κακοῦ ἀνεῖναι πρὸς ἔργα τε καὶ θυσίας, δίκας δέ σφι πάντων βασιλέων δικαιοτάτας κρίνειν. κατὰ τοῦτο μέν νυν τὸ ἔργον

περὶ Χεφρῆνος βασιλέως καὶ τῆς ὑπ' αὐτοῦ κατασκευασθείσης πυραμίδος περὶ Μυκερίνου βασιλέως καὶ τῆς κατ' αὐτὸν πολιτείας καὶ τοῦ τάφου τῆς θυγατρὸς

8. Bekkeri Anecd. p. 89

1. χεβρῖνα *R* ‖ 4. ὑπέστη *R* ‖ 6. ἐστὶν ἑτέρη *R* ‖ διοικοδομημένου *CRdz* ‖ 7. περιρέειν *AB*, περιρρέει *R* ‖ κεῖσθαι *L* ‖ 8. ὑποδῖμας *R* ‖ 9. τεσσαράκοντα *CRdz* ‖ 10. οἰκοδόμησε H. Stephanus: οἰκοδομῆς ‖ δ' *Rd* ‖ 12. χεβρῆνα *R* ‖ 14. ἱερὰ *B* ‖ 15. κατακληισθέντα *Pdz*: κατακλησθέντα *R*, κατακληϊθέντα *C*, κατακλεισθέντα *AB* ‖ 16. κάρτα] καθὰ, *R* ‖ 17. φιλίτιος *AB*: φιλοίτιος *R*, φιλιτίονος *C*, φιλιτίωνος *Pdz* ‖ 19. μυκερῖν *C* ‖ 20. ἐπάδῖν *R* ‖ 21. λεὼ *A*¹*BR*, λαὸν z ‖ ἐς τὸ om. *R* ‖ 23. βασιλήων z

ἁπάντων ὅσοι ἤδη βασιλέες ἐγένοντο Αἰγυπτίων αἰνέουσι μάλιστα τοῦτον. τά τε ἄλλα γάρ μιν κρίνειν εὖ, καὶ δὴ καὶ τῷ ἐπιμεμφομένῳ ἐκ τῆς δίκης παρ᾽ ἑωυτοῦ διδόντα ἄλλα ἀποπιμπλάναι αὐτοῦ τὸν θυμόν. ἐόντι δὲ ἠπίῳ τῷ Μυκερίνῳ κατὰ τοὺς πολιήτας καὶ ταῦτα ἐπιτηδεύοντι πρῶτον κακῶν ἄρξαι τὴν θυγατέρα ἀποθανοῦσαν αὐτοῦ, τήν μοῦνόν οἱ εἶναι ἐν τοῖσι οἰκίοισι τέκνον. τὸν δὲ ὑπεραλγήσαντά τε τῷ περιεπεπτώκεε πρήγματι, καὶ βουλόμενον περισσότερόν τι τῶν ἄλλων θάψαι τὴν θυγατέρα, ποιήσασθαι βοῦν ξυλίνην κοίλην, καὶ ἔπειτα καταχρυσώσαντά μιν ταύτην ἔσω ἐν αὐτῇ θάψαι ταύτην δὴ τὴν ἀποθανοῦσαν θυγατέρα. αὕτη ὦν ἡ βοῦς γῇ 130
οὐκ ἐκρύφθη, ἀλλ᾽ ἔτι καὶ ἐς ἐμὲ ἦν φανερή, ἐν Σάι μὲν πόλι ἐοῦσα, κειμένη δὲ ἐν τοῖσι βασιληίοισι ἐν οἰκήματι ἠσκημένῳ· θυμιήματα δὲ παρ᾽ αὐτῇ παντοῖα καταγίζουσι ἀνὰ πᾶσαν ἡμέρην, νύκτα δὲ ἑκάστην πάννυχος λύχνος παρακαίεται. ἄγχοῦ δὲ τῆς βοὸς ταύτης ἐν ἄλλῳ οἰκήματι εἰκόνες τῶν παλλακέων τῶν Μυκερίνου ἑστᾶσι, ὡς ἔλεγον οἱ ἐν Σάι πόλι ἱρέες· ἑστᾶσι μὲν γὰρ ξύλινοι κολοσσοί, ἐοῦσαι ἀριθμὸν ὡς εἴκοσι μάλιστά κῃ, γυμναὶ ἐργασμέναι· αἵτινες μέντοι εἰσί, οὐκ ἔχω εἰπεῖν πλὴν ἢ τὰ λεγόμενα. οἱ δέ τινες 131
λέγουσι περὶ τῆς βοὸς ταύτης καὶ τῶν κολοσσῶν τόνδε τὸν λόγον, ὡς Μυκερῖνος ἠράσθη τῆς ἑωυτοῦ θυγατρὸς καὶ ἔπειτα ἐμίγη οἱ ἀεκούσῃ· μετὰ δὲ λέγουσι ὡς ἡ παῖς ἀπήγξατο ὑπὸ ἄχεος, ὁ δέ μιν ἔθαψε ἐν τῇ βοΐ ταύτῃ, ἡ δὲ μήτηρ αὐτῆς τῶν ἀμφιπόλων τῶν προδουσέων τὴν θυγατέρα τῷ πατρὶ ἀπέταμε τὰς χεῖρας, καὶ νῦν τὰς εἰκόνας αὐτέων εἶναι πε-

---

12. Hesychius v. Μυκερίνα

1. βασιλῆες z ‖ ἐγίνοντο d ‖ 2. γάρ μιν ἄλλα z ‖ 5. κακὸν d ‖ 6. αὐτοῦ z ‖ τὴν] τὸ R ‖ οἱ om. R ‖ 7. οἰκείοισι R, οἰκηΐοισι z ‖ 9. ποιήσασθαι - 11 θυγατέρα om. C ‖ 11. ταύτην δὴ om. qz ‖ αὐτὴ R ‖ 12. ἀλλὰ καὶ sine ἔτι Rd ‖ ἐς om. Ppr. ‖ ἐμὲ] μὲν R ‖ 13. πόλει C, πόλεϊ z ‖ δ᾽ Rd ‖ 14. θυμιάματα Rd ‖ αὐτὴν R ‖ 15. παρακέεται CPd ‖ 17. τοῦ μυκερίνου Rd ‖ 18. πόλει C, πόλεϊ z ‖ 19. ἐείκοσι z ‖ ἐργασμέναι] κείμεναι z ‖ 23. ἐμίγη οἷα ἑκούσῃ R ‖ 24. ὁ] οὐ B ‖ 26. αὐτῶν AB

πονθυίας τά περ αἱ ζωαὶ ἔπαθον. ταῦτα δὲ λέγουσι φλυηρέοντες, ὡς ἐγὼ δοκέω, τά τε ἄλλα καὶ δὴ καὶ τὰ περὶ τὰς χεῖρας τῶν κολοσσῶν· ταῦτα γὰρ ὦν καὶ ἡμεῖς ὠρῶμεν ὅτι ὑπὸ χρόνου τὰς χεῖρας ἀποβεβλήκασι, αἳ ἐν ποσὶ αὐτέων
132 ἐφαίνοντο ἐοῦσαι ἔτι καὶ ἐς ἐμέ. ἡ δὲ βοῦς τὰ μὲν ἄλλα κατακέκρυπται φοινικέῳ εἵματι, τὸν αὐχένα δὲ καὶ τὴν κεφαλὴν φαίνει κεχρυσωμένα παχέι κάρτα χρυσῷ· μεταξὺ δὲ τῶν κερέων ὁ τοῦ ἡλίου κύκλος μεμιμημένος ἔπεστι χρύσεος. ἔστι δὲ ἡ βοῦς οὐκ ὀρθὴ ἀλλ' ἐν γούνασι κειμένη, μέγαθος δὲ ὅση περ μεγάλη βοῦς ζωή. ἐκφέρεται δὲ ἐκ τοῦ οἰκήματος ἀνὰ πάντα ἔτεα, ἐπεὰν τύπτωνται Αἰγύπτιοι τὸν οὐκ ὀνομαζόμενον θεὸν ὑπ' ἐμεῦ ἐπὶ τοιούτῳ πρήγματι. τότε ὦν καὶ τὴν βοῦν ἐκφέρουσι ἐς τὸ φῶς· φασὶ γὰρ αὐτὴν δεηθῆναι τοῦ πατρὸς Μυκερίνου ἀποθνήσκουσαν ἐν τῷ ἐνιαυτῷ ἅπαξ μιν τὸν ἥλιον κατιδεῖν.

133 Μετὰ δὲ τῆς θυγατρὸς τὸ πάθος δεύτερα τούτῳ τῷ βασιλέι τάδε γενέσθαι. ἐλθεῖν οἱ μαντήιον ἐκ Βουτοῦς πόλιος ὡς μέλλοι ἓξ ἔτεα μοῦνον βιοὺς τῷ ἑβδόμῳ τελευτήσειν. τὸν δὲ δεινὸν ποιησάμενον πέμψαι ἐς τὸ μαντήιον τῷ θεῷ ὀνείδισμα, ἀντιμεμφόμενον ὅτι ὁ μὲν αὐτοῦ πατὴρ καὶ πάτρως, ἀποκληίσαντες τὰ ἱρὰ καὶ θεῶν οὐ μεμνημένοι ἀλλὰ καὶ τοὺς ἀνθρώπους φθείροντες, ἐβίωσαν χρόνον ἐπὶ πολλόν, αὐτὸς δ' εὐσεβὴς ἐὼν μέλλοι ταχέως οὕτω τελευτήσειν. ἐκ δὲ τοῦ χρηστηρίου αὐτῷ δεύτερα ἐλθεῖν λέγοντα τούτων εἵνεκα καὶ συνταχύνειν αὐτὸν τὸν βίον· οὐ γὰρ ποιῆσαί μιν τὸ χρεὸν ἦν

περὶ τοῦ δοθέντος Μυκερίνῳ περὶ τῆς τελευτῆς χρησμοῦ

1. αἱ om. *z* ‖ ζοαὶ *A*[1]*B* ‖ δὴ *sz* ‖ 3. ὡρῶμεν *AB*: ὁρῶμεν *Rd*, ὡρέωμεν *C*, ὡρέομεν *Pz* ‖ 4. ὑποβεβλήκασι *C* ‖ 5. φαίνονται *R* ‖ καὶ om. *z* ‖ ἐς μέ *R* ‖ 6. καὶ om. *C* ‖ 7. φαίνει] ἔνι *R* ‖ παχεῖ *ABd* ‖ 9. ἔστη *R* ‖ γόνασι *ABC* ‖ 10. ζοὴ *AB*[1] ‖ 11. πάντα] πάντα τὰ *z* ‖ τύπτονται *R* ‖ οἱ αἰγύπτιοι *Rdz* ‖ 12. ἐπ' ἐμεῦ *B*[2]*d* ‖ 13. γὰρ] γὰρ δὴ *Rd* ‖ 16. βασιλεῖ *ABd* ‖ 17. πόλεος *z* ‖ 18. μέλλει *R* ‖ 20. ἀποκληίσαντες *AB*, ἀποκλήσαντες *R* ‖ 22. φθείραντες *R* ‖ 23. εὐσεβέων μέλλοι *Rd* ‖ μέλλει *sz* ‖ 25. αὐτῷ *d*[1]*z* ‖ χρεὼν ἦν codices, χρεὼν εἴη *z*

ποιέειν· δεῖν γὰρ Αἴγυπτον κακοῦσθαι ἐπ' ἔτεα πεντήκοντά τε καὶ ἑκατόν, καὶ τοὺς μὲν δύο τοὺς πρὸ ἐκείνου γενομένους βασιλέας μαθεῖν τοῦτο, κεῖνον δὲ οὔ. ταῦτα ἀκούσαντα τὸν Μυκερῖνον, ὡς κατακεκριμένων ἤδη οἱ τούτων, λύχνα ποιησάμενον πολλά, ὅκως γίνοιτο νύξ, ἀνάψαντα αὐτὰ πίνειν τε καὶ εὐπαθέειν, οὔτε ἡμέρης οὔτε νυκτὸς ἀνιέντα, ἔς τε τὰ ἕλεα καὶ τὰ ἄλσεα πλανώμενον καὶ ἵνα πυνθάνοιτο εἶναι ἐνηβητήρια ἐπιτηδεότατα. ταῦτα δὲ ἐμηχανᾶτο θέλων τὸ μαντήιον ψευδόμενον ἀποδέξαι, ἵνα οἱ δυώδεκα ἔτεα ἀντὶ ἓξ ἐτέων γένηται, αἱ νύκτες ἡμέραι ποιεύμεναι.

Πυραμίδα δὲ οὗτος ἀπελίπετο πολλὸν ἐλάσσω τοῦ πα- 134
τρός, εἴκοσι ποδῶν καταδέουσαν κῶλον ἕκαστον τριῶν πλέθρων, ἐούσης τετραγώνου, λίθου δὲ ἐς τὸ ἥμισυ Αἰθιοπικοῦ· τὴν δὴ μετεξέτεροί φασι Ἑλλήνων Ῥοδώπιος ἑταίρης γυναικὸς εἶναι, οὐκ ὀρθῶς λέγοντες. οὐδὲ ὦν οὐδὲ εἰδότες μοι φαίνονται λέγειν οὗτοι ἥτις ἦν ἡ Ῥοδῶπις· οὐ γὰρ ἄν οἱ πυραμίδα ἀνέθεσαν ποιήσασθαι τοιαύτην, ἐς τὴν ταλάντων χιλιάδες ἀναρίθμητοι ὡς λόγῳ εἰπεῖν ἀναισίμωνται· πρὸς δὲ ὅτι κατὰ Ἄμασιν βασιλεύοντα ἦν ἀκμάζουσα Ῥοδῶπις, ἀλλ' οὐ κατὰ τοῦτον. ἔτεσι γὰρ κάρτα πολλοῖσι ὕστερον τούτων τῶν βασιλέων τῶν τὰς πυραμίδας ταύτας ἦν λιπομένων Ῥοδῶπις, γενεὴν μὲν ἀπὸ Θρηίκης, δούλη δὲ ἦν Ἰάδμονος τοῦ Ἡφαιστοπόλιος ἀνδρὸς Σαμίου, σύνδουλος δὲ Αἰσώπου τοῦ λογοποιοῦ. καὶ γὰρ οὗτος Ἰάδμονος ἐγένετο, ὡς διέδεξε

περὶ τῆς Μυκερίνου πυραμίδος   περὶ Ῥοδώπιδος καὶ Αἰσώπου

---

3 sqq. Athenaeus p. 438. — 4. Photius v. λύχνα. — 8. Λέξεις. — 24. Suidas v. λογοποιός

2. μὲν] μὲν πρότερον τοὺς *z* ‖ τοὺς πρὸ ἐκείνου] τοῦ προκειμένου *R* ‖ 3. τοῦτον *R* ‖ κἀκεῖνον *Rd* ‖ 5. γένοιτο Athen. ‖ 7. νεμόμενον Athen. ‖ 8. ἡβητήρια Athen. ‖ ἐπιτηδεώτατα *Bcorr.Pdz* ‖ 9. ἀποδεῖξαι *ABRd* ‖ 11. δὲ] δὲ καὶ *Rdz* ‖ ἀπελείπετο *d*. 'nonne κατελίπετο?' Bekker ‖ πυραμῖδα *ABC* et infra ‖ 12. ἐείκοσι *z* ‖ καταχέουσαν *C* ‖ 14. φασι om. *d* ‖ 15. μοι om. *R* ‖ 16. ἤτις *A* ‖ ἄν om. *ABCd* ‖ 17. πυραμῖδας *C* ‖ 18. ἀναισιμῶνται *C* ‖ 19. ἄμασιν *CRd* ‖ 20. τουτέων *z* ‖ 21. βασιλήων *z* ‖ λιπομένων *PR*: λειπομένων *C*, λειπομένη *ABdz* ‖ 22. θρήικης *B*, θρήκης *R* ‖ ἰάδμωνος *d* et infra ‖ 24. ἰάδμωνος οὗτος *d*

πονθυίας τά περ αἱ ζωαὶ ἔπαθον. ταῦτα δὲ λέγουσι φλυηρέοντες, ὡς ἐγὼ δοκέω, τά τε ἄλλα καὶ δὴ καὶ τὰ περὶ τὰς χεῖρας τῶν κολοσσῶν· ταῦτα γὰρ ὦν καὶ ἡμεῖς ὡρῶμεν ὅτι ὑπὸ χρόνου τὰς χεῖρας ἀποβεβλήκασι, αἳ ἐν ποσὶ αὐτέων
132 ἐφαίνοντο ἐοῦσαι ἔτι καὶ ἐς ἐμέ. ἡ δὲ βοῦς τὰ μὲν ἄλλα κατακέκρυπται φοινικέῳ εἵματι, τὸν αὐχένα δὲ καὶ τὴν κεφαλὴν φαίνει κεχρυσωμένα παχέι κάρτα χρυσῷ· μεταξὺ δὲ τῶν κερέων ὁ τοῦ ἡλίου κύκλος μεμιμημένος ἔπεστι χρύσεος. ἔστι δὲ ἡ βοῦς οὐκ ὀρθὴ ἀλλ' ἐν γούνασι κειμένη, μέγαθος δὲ ὅση περ μεγάλη βοῦς ζωή. ἐκφέρεται δὲ ἐκ τοῦ οἰκήματος ἀνὰ πάντα ἔτεα, ἐπεὰν τύπτωνται Αἰγύπτιοι τὸν οὐκ ὀνομαζόμενον θεὸν ὑπ' ἐμεῦ ἐπὶ τοιούτῳ πρήγματι. τότε ὦν καὶ τὴν βοῦν ἐκφέρουσι ἐς τὸ φῶς· φασὶ γὰρ αὐτὴν δεηθῆναι τοῦ πατρὸς Μυκερίνου ἀποθνήσκουσαν ἐν τῷ ἐνιαυτῷ ἅπαξ μιν τὸν ἥλιον κατιδεῖν.

133 Μετὰ δὲ τῆς θυγατρὸς τὸ πάθος δεύτερα τούτῳ τῷ βασιλέι τάδε γενέσθαι. ἐλθεῖν οἱ μαντήιον ἐκ Βουτοῦς πόλιος ὡς μέλλοι ἓξ ἔτεα μοῦνον βιοὺς τῷ ἑβδόμῳ τελευτήσειν. τὸν δὲ δεινὸν ποιησάμενον πέμψαι ἐς τὸ μαντήιον τῷ θεῷ ὀνείδισμα, ἀντιμεμφόμενον ὅτι ὁ μὲν αὐτοῦ πατὴρ καὶ πάτρως, ἀποκληίσαντες τὰ ἱρὰ καὶ θεῶν οὐ μεμνημένοι ἀλλὰ καὶ τοὺς ἀνθρώπους φθείροντες, ἐβίωσαν χρόνον ἐπὶ πολλόν, αὐτὸς δ' εὐσεβὴς ἐὼν μέλλοι ταχέως οὕτω τελευτήσειν. ἐκ δὲ τοῦ χρηστηρίου αὐτῷ δεύτερα ἐλθεῖν λέγοντα τούτων εἵνεκα καὶ συνταχύνειν αὐτὸν τὸν βίον· οὐ γὰρ ποιῆσαί μιν τὸ χρεὸν ἦν

περὶ τοῦ δοθέντος Μυκερίνῳ περὶ τῆς τελευτῆς χρησμοῦ

---

1. αἱ om. z || ζοαὶ A^1B || δὴ sz || 3. ὡρῶμεν *AB*: ὁρῶμεν *Rd*, ὡρέωμεν *C*, ὡρέομεν *Pz* || 4. ὑποβεβλήκασι *C* || 5. φαίνονται *R* || καὶ om. z || ἐς μέ *R* || 6. καὶ om. *C* || 7. φαίνει] ἔνι *R* || παχεῖ *ABd* || 9. ἐστὴ *R* || γόνασι *ABC* || 10. ζοὴ AB^1 || 11. πάντα] πάντα τὰ z || τύπτονται *R* || οἱ αἰγύπτιοι *Rdz* || 12. ἐπ' ἐμεῦ B^2d || 13. γὰρ] γὰρ δὴ *Rd* || 16. βασιλεῖ *ABd* || 17. πόλεος z || 18. μέλλει *R* || 20. ἀποκληίσαντες *AB*, ἀποκλήσαντες *R* || 22. φθείραντες *R* || 23. εὐσεβέων μέλλοι *Rd* || μέλλει sz || 25. αὐτῷ d^1z || χρεὼν ἦν codices, χρεὼν εἴη z

ποιέειν· δεῖν γὰρ Αἴγυπτον κακοῦσθαι ἐπ' ἔτεα πεντήκοντά τε καὶ ἑκατόν, καὶ τοὺς μὲν δύο τοὺς πρὸ ἐκείνου γενομένους βασιλέας μαθεῖν τοῦτο, κεῖνον δὲ οὔ. ταῦτα ἀκούσαντα τὸν Μυκερῖνον, ὡς κατακεκριμένων ἤδη οἱ τούτων, λύχνα ποιησάμενον πολλά, ὅκως γίνοιτο νύξ, ἀνάψαντα αὐτὰ πίνειν τε καὶ εὐπαθέειν, οὔτε ἡμέρης οὔτε νυκτὸς ἀνιέντα, ἔς τε τὰ ἕλεα καὶ τὰ ἄλσεα πλανώμενον καὶ ἵνα πυνθάνοιτο εἶναι ἐνηβητήρια ἐπιτηδεότατα. ταῦτα δὲ ἐμηχανᾶτο θέλων τὸ μαντήιον ψευδόμενον ἀποδέξαι, ἵνα οἱ δυώδεκα ἔτεα ἀντὶ ἓξ ἐτέων γένηται, αἱ νύκτες ἡμέραι ποιεύμεναι.

134 Πυραμίδα δὲ οὗτος ἀπελίπετο πολλὸν ἐλάσσω τοῦ πατρός, εἴκοσι ποδῶν καταδέουσαν κῶλον ἕκαστον τριῶν πλέθρων, ἐούσης τετραγώνου, λίθου δὲ ἐς τὸ ἥμισυ Αἰθιοπικοῦ· τὴν δὴ μετεξέτεροί φασι Ἑλλήνων Ῥοδώπιος ἑταίρης γυναικὸς εἶναι, οὐκ ὀρθῶς λέγοντες. οὐδὲ ὦν οὐδὲ εἰδότες μοι φαίνονται λέγειν οὗτοι ἥτις ἦν ἡ Ῥοδῶπις· οὐ γὰρ ἄν οἱ πυραμίδα ἀνέθεσαν ποιήσασθαι τοιαύτην, ἐς τὴν ταλάντων χιλιάδες ἀναρίθμητοι ὡς λόγῳ εἰπεῖν ἀναισίμωνται· πρὸς δὲ ὅτι κατὰ Ἄμασιν βασιλεύοντα ἦν ἀκμάζουσα Ῥοδῶπις, ἀλλ' οὐ κατὰ τοῦτον. ἔτεσι γὰρ κάρτα πολλοῖσι ὕστερον τούτων τῶν βασιλέων τῶν τὰς πυραμίδας ταύτας ἦν λιπομένων Ῥοδῶπις, γενεὴν μὲν ἀπὸ Θρηίκης, δούλη δὲ ἦν Ἰάδμονος τοῦ Ἡφαιστοπόλιος ἀνδρὸς Σαμίου, σύνδουλος δὲ Αἰσώπου τοῦ λογοποιοῦ. καὶ γὰρ οὗτος Ἰάδμονος ἐγένετο, ὡς διέδεξε

περὶ τῆς Μυκερίνου πυραμίδος   περὶ Ῥοδώπιδος καὶ Αἰσώπου

3 sqq. Athenaeus p. 438. — 4. Photius v. λύχνα. — 8. Λέξεις. — 24. Suidas v. λογοποιός

2. μὲν] μὲν πρότερον τοὺς z ‖ τοὺς πρὸ ἐκείνου] τοῦ προκειμένου *R* ‖ 3. τοῦτον *R* ‖ κἀκεῖνον *Rd* ‖ 5. γένοιτο Athen. ‖ 7. νεμόμενον Athen. ‖ 8. ἡβητήρια Athen. ‖ ἐπιτηδεώτατα *Bcorr.Pdz* ‖ 9. ἀποδεῖξαι *ABRd* ‖ 11. δὲ] δὲ καὶ *Rdz* ‖ ἀπελείπετο *d*. 'nonne κατελίπετο?' Bekker ‖ πυραμῖδα *ABC* et infra ‖ 12. ἐείκοσι z ‖ καταχέουσαν *C* ‖ 14. φασι om. *d* ‖ 15. μοι om. *R* ‖ 16. ἦτις *A* ‖ ἄν om. *ABCd* ‖ 17. πυραμῖδας *C* ‖ 18. ἀναισιμῶνται *C* ‖ 19. ἄμασιν *CRd* ‖ 20. τουτέων z ‖ 21. βασιλήων z ‖ λιπομένων *PR*: λειπομένων *C*, λειπομένη *ABdz* ‖ 22. θρήικης *B*, θρήκης *R* ‖ ἰάδμωνος *d* et infra ‖ 24. ἰάδμωνος οὗτος *d*

πονθυίας τά περ αἱ ζωαὶ ἔπαθον. ταῦτα δὲ λέγουσι φλυηρέοντες, ὡς ἐγὼ δοκέω, τά τε ἄλλα καὶ δὴ καὶ τὰ περὶ τὰς χεῖρας τῶν κολοσσῶν· ταῦτα γὰρ ὦν καὶ ἡμεῖς ὡρῶμεν ὅτι ὑπὸ χρόνου τὰς χεῖρας ἀποβεβλήκασι, αἳ ἐν ποσὶ αὐτέων
132 ἐφαίνοντο ἐοῦσαι ἔτι καὶ ἐς ἐμέ. ἡ δὲ βοῦς τὰ μὲν ἄλλα κατακέκρυπται φοινικέῳ εἵματι, τὸν αὐχένα δὲ καὶ τὴν κεφαλὴν φαίνει κεχρυσωμένα παχέι κάρτα χρυσῷ· μεταξὺ δὲ τῶν κερέων ὁ τοῦ ἡλίου κύκλος μεμιμημένος ἔπεστι χρύσεος. ἔστι δὲ ἡ βοῦς οὐκ ὀρθὴ ἀλλ' ἐν γούνασι κειμένη, μέγαθος δὲ ὅση περ μεγάλη βοῦς ζωή. ἐκφέρεται δὲ ἐκ τοῦ οἰκήματος ἀνὰ πάντα ἔτεα, ἐπεὰν τύπτωνται Αἰγύπτιοι τὸν οὐκ ὀνομαζόμενον θεὸν ὑπ' ἐμεῦ ἐπὶ τοιούτῳ πρήγματι. τότε ὦν καὶ τὴν βοῦν ἐκφέρουσι ἐς τὸ φῶς· φασὶ γὰρ αὐτὴν δεηθῆναι τοῦ πατρὸς Μυκερίνου ἀποθνήσκουσαν ἐν τῷ ἐνιαυτῷ ἅπαξ μιν τὸν ἥλιον κατιδεῖν.

133 Μετὰ δὲ τῆς θυγατρὸς τὸ πάθος δεύτερα τούτῳ τῷ βασιλέι τάδε γενέσθαι. ἐλθεῖν οἱ μαντήιον ἐκ Βουτοῦς πόλιος ὡς μέλλοι ἓξ ἔτεα μοῦνον βιοὺς τῷ ἑβδόμῳ τελευτήσειν. τὸν δὲ δεινὸν ποιησάμενον πέμψαι ἐς τὸ μαντήιον τῷ θεῷ ὀνείδισμα, ἀντιμεμφόμενον ὅτι ὁ μὲν αὐτοῦ πατὴρ καὶ πάτρως, ἀποκληίσαντες τὰ ἱρὰ καὶ θεῶν οὐ μεμνημένοι ἀλλὰ καὶ τοὺς ἀνθρώπους φθείροντες, ἐβίωσαν χρόνον ἐπὶ πολλόν, αὐτὸς δ' εὐσεβὴς ἐὼν μέλλοι ταχέως οὕτω τελευτήσειν. ἐκ δὲ τοῦ χρηστηρίου αὐτῷ δεύτερα ἐλθεῖν λέγοντα τούτων εἵνεκα καὶ συνταχύνειν αὐτὸν τὸν βίον· οὐ γὰρ ποιῆσαί μιν τὸ χρεὸν ἦν

περὶ τοῦ δοθέντος Μυκερίνῳ περὶ τῆς τελευτῆς χρησμοῦ

---

1. αἱ om. z ‖ ζοαὶ A^1B ‖ δὴ sz ‖ 3. ὠρῶμεν *AB*: ὁρῶμεν *Rd*, ὠρέωμεν *C*, ὠρέομεν *Pz* ‖ 4. ὑποβεβλήκασι *C* ‖ 5. φαίνονται *R* ‖ καὶ om. z ‖ ἐς μέ *R* ‖ 6. καὶ om. *C* ‖ 7. φαίνει] ἔνι *R* ‖ παχεῖ *ABd* ‖ 9. ἑστῆ *R* ‖ γόνασι *ABC* ‖ 10. ζοὴ AB^1 ‖ 11. πάντα] πάντα τὰ z ‖ τύπτονται *R* ‖ οἱ αἰγύπτιοι *Rdz* ‖ 12. ἐπ' ἐμεῦ B^2d ‖ 13. γάρ] γὰρ δὴ *Rd* ‖ 16. βασιλεῖ *ABd* ‖ 17. πόλεος z ‖ 18. μέλλει *R* ‖ 20. ἀποκλήισαντες *AB*, ἀποκλήσαντες *R* ‖ 22. φθείραντες *R* ‖ 23. εὐσεβέων μέλλοι *Rd* ‖ μέλλει sz ‖ 25. αὐτῷ d^1z ‖ χρεὼν ἦν codices, χρεὼν εἴη z

ποιέειν· δεῖν γὰρ Αἴγυπτον κακοῦσθαι ἐπ' ἔτεα πεντήκοντά τε καὶ ἑκατόν, καὶ τοὺς μὲν δύο τοὺς πρὸ ἐκείνου γενομένους βασιλέας μαθεῖν τοῦτο, κεῖνον δὲ οὔ. ταῦτα ἀκούσαντα τὸν Μυκερῖνον, ὡς κατακεκριμένων ἤδη οἱ τούτων, λύχνα ποιησάμενον πολλά, ὅκως γίνοιτο νύξ, ἀνάψαντα αὐτὰ πίνειν τε καὶ εὐπαθέειν, οὔτε ἡμέρης οὔτε νυκτὸς ἀνιέντα, ἔς τε τὰ ἕλεα καὶ τὰ ἄλσεα πλανώμενον καὶ ἵνα πυνθάνοιτο εἶναι ἐνηβητήρια ἐπιτηδεότατα. ταῦτα δὲ ἐμηχανᾶτο θέλων τὸ μαντήιον ψευδόμενον ἀποδέξαι, ἵνα οἱ δυώδεκα ἔτεα ἀντὶ ἓξ ἐτέων γένηται, αἱ νύκτες ἡμέραι ποιεύμεναι.

Πυραμίδα δὲ οὗτος ἀπελίπετο πολλὸν ἐλάσσω τοῦ πα- 134
τρός, εἴκοσι ποδῶν καταδέουσαν κῶλον ἕκαστον τριῶν πλέθρων, ἐούσης τετραγώνου, λίθου δὲ ἐς τὸ ἥμισυ Αἰθιοπικοῦ· τὴν δὴ μετεξέτεροί φασι Ἑλλήνων Ῥοδώπιος ἑταίρης γυναικὸς εἶναι, οὐκ ὀρθῶς λέγοντες. οὐδὲ ὦν οὐδὲ εἰδότες μοι φαίνονται λέγειν οὗτοι ἥτις ἦν ἡ Ῥοδῶπις· οὐ γὰρ ἄν οἱ πυραμίδα ἀνέθεσαν ποιήσασθαι τοιαύτην, ἐς τὴν ταλάντων χιλιάδες ἀναρίθμητοι ὡς λόγῳ εἰπεῖν ἀναισίμωνται· πρὸς δὲ ὅτι κατὰ Ἄμασιν βασιλεύοντα ἦν ἀκμάζουσα Ῥοδῶπις, ἀλλ' οὐ κατὰ τοῦτον. ἔτεσι γὰρ κάρτα πολλοῖσι ὕστερον τούτων τῶν βασιλέων τῶν τὰς πυραμίδας ταύτας ἦν λιπομένων Ῥοδῶπις, γενεὴν μὲν ἀπὸ Θρηίκης, δούλη δὲ ἦν Ἰάδμονος τοῦ Ἡφαιστοπόλιος ἀνδρὸς Σαμίου, σύνδουλος δὲ Αἰσώπου τοῦ λογοποιοῦ. καὶ γὰρ οὗτος Ἰάδμονος ἐγένετο, ὡς διέδεξε

περὶ τῆς Μυκερίνου πυραμίδος   περὶ Ῥοδώπιδος καὶ Αἰσώπου

---

3 sqq. Athenaeus p. 438. — 4. Photius v. λύχνα. — 8. Λέξεις. — 24. Suidas v. λογοποιός

2. μὲν] μὲν πρότερον τοὺς z ‖ τοὺς πρὸ ἐκείνου] τοῦ προκειμένου *R* ‖ 3. τοῦτον *R* ‖ κἀκεῖνον *Rd* ‖ 5. γένοιτο Athen. ‖ 7. νεμόμενον Athen. ‖ 8. ἡβητήρια Athen. ‖ ἐπιτηδεώτατα *Bcorr.Pdz* ‖ 9. ἀποδεῖξαι *ABRd* ‖ 11. δὲ] δὲ καὶ *Rdz* ‖ ἀπελείπετο *d*. 'nonne κατελίπετο?' Bekker ‖ πυραμῖδα *ABC* et infra ‖ 12. ἐείκοσι z ‖ καταχέουσαν *C* ‖ 14. φασι om. *d* ‖ 15. μοι om. *R* ‖ 16. ἥτις *A* ‖ ἄν om. *ABCd* ‖ 17. πυραμῖδας *C* ‖ 18. ἀναισιμῶνται *C* ‖ 19. ἄμασιν *CRd* ‖ 20. τουτέων z ‖ 21. βασιλήων z ‖ λιπομένων *PR*: λειπομένων *C*, λειπομένη *ABdz* ‖ 22. θρήικης *B*, θρήκης *R* ‖ ἰάδμωνος *d* et infra ‖ 24. ἰάδμωνος οὗτος *d*

τῇδε οὐκ ἥκιστα· ἐπείτε γὰρ πολλάκις κηρυσσόντων Δελφῶν ἐκ θεοπροπίου ὃς βούλοιτο ποινὴν τῆς Αἰσώπου ψυχῆς ἀνελέσθαι, ἄλλος μὲν οὐδεὶς ἐφάνη, Ἰάδμονος δὲ παιδὸς παῖς ἄλλος Ἰάδμων ἀνείλετο. οὕτω καὶ Αἴσωπος Ἰάδμονος ἐγένετο.

135 Ῥοδῶπις δὲ ἐς Αἴγυπτον ἀπίκετο Ξάνθεω τοῦ Σαμίου κομίσαντός μιν, ἀπικομένη δὲ κατ' ἐργασίην ἐλύθη χρημάτων μεγάλων ὑπὸ ἀνδρὸς Μυτιληναίου Χαράξου τοῦ Σκαμανδρωνύμου παιδός, ἀδελφεοῦ δὲ Σαπφοῦς τῆς μουσοποιοῦ. οὕτω δὴ ἡ Ῥοδῶπις ἐλευθερώθη, καὶ κατέμεινέ τε ἐν Αἰγύπτῳ καὶ κάρτα ἐπαφρόδιτος γενομένη μεγάλα ἐκτήσατο χρήματα ὡς ἂν εἶναι Ῥοδώπι, ἀτὰρ οὐκ ὥς γε ἐς πυραμίδα τοιαύτην ἐξικέσθαι. τῆς γὰρ τὴν δεκάτην τῶν χρημάτων ἰδέσθαι ἐστὶ ἔτι καὶ ἐς τόδε παντὶ τῷ βουλομένῳ, οὐδὲν δεῖ μεγάλα οἱ χρήματα ἀναθεῖναι. ἐπεθύμησε γὰρ Ῥοδῶπις μνημήιον ἑωυτῆς ἐν τῇ Ἑλλάδι καταλιπέσθαι, ποίημα ποιησαμένη τοῦτο τὸ μὴ τυγχάνοι ἄλλῳ ἐξευρημένον καὶ ἀνακείμενον ἐν ἱρῷ, τοῦτο ἀναθεῖναι ἐς Δελφοὺς μνημόσυνον ἑωυτῆς. τῆς ὦν δεκάτης τῶν χρημάτων ποιησαμένη ὀβελοὺς βουπόρους πολλοὺς σιδηρέους, ὅσον ἐνεχώρεε ἡ δεκάτη οἱ, ἀπέπεμπε ἐς Δελφούς· οἳ καὶ νῦν ἔτι συννενέαται ὄπισθε μὲν τοῦ βωμοῦ τὸν Χῖοι ἀνέθεσαν, ἀντίον δὲ αὐτοῦ τοῦ νηοῦ. φιλέουσι δέ κως ἐν τῇ Ναυκράτι ἐπαφρόδιτοι γίνεσθαι αἱ ἑταῖραι. τοῦτο μὲν γὰρ αὕτη, τῆς πέρι λέγεται ὅδε ὁ λόγος, οὕτω δή τι κλεινὴ ἐγένετο ὡς καὶ οἱ πάντες Ἕλληνες Ῥοδώπιος τὸ οὔνομα ἐξέμαθον· τοῦτο δὲ ὕστερον ταύτης, τῇ οὔνομα ἦν Ἀρχιδίκη, ἀοίδιμος ἀνὰ τὴν Ἑλλάδα ἐγένετο, ἧσσον

---

2. Λέξεις. — 19. Λέξεις. — 22 sqq. Athenaeus p. 596[d]

2. ὡς *C* ‖ 6. μιν om. *ABCd* ‖ δὲ om. *R* ‖ 7. ὑπ' *z* ‖ μιτυληναίου *L* ‖ 9 ἠλευθερώθη *R* ‖ 10. ἐκτίσατο *C* ‖ 11. ὡς *A* ‖ Ῥοδώπι Schaefer: ῥοδώπιν *R*, ῥοδῶπιν ceteri. Ῥοδώπιος Valckenaer, κατὰ Ῥοδῶπιν Reiske ‖ οὔ κως *CPdz* ‖ τυραννίδα *z* ‖ 12. τοιήνδε *R* ‖ 13. ἔστι καὶ ἔτι *R* ‖ δεῖ] δὴ *R* ‖ 15. ἑωυτῆς *Pcorr.R*: αὐτῆς ‖ καταλειπέσθαι *C* ‖ 16. τυγχάνοι correxi: τυγχάνει ‖ 18. ὀβολοὺς *C* ‖ 20. οἱ] οἳ *Cd* ‖ συνενέαται *Cd*, συνέαται *R* ‖ ὄπισθεν *R* ‖ 21. ἀντίοι *R* ‖ 23. ὁ om. *ABd* ‖ 24. οἱ om. *z* ‖ 25. τοὔνομα *z* ‖ 26. κρέσσων *R*

δὲ τῆς ἑτέρης περιλεσχήνευτος. Χάραξος δὲ ὡς λυσάμενος Ῥοδῶπιν ἀπενόστησε ἐς Μυτιλήνην, ἐν μέλεϊ Σαπφὼ πολλὰ κατεκερτόμησέ μιν.

Ῥοδώπιος μέν νυν πέρι πέπαυμαι. μετὰ δὲ Μυκερῖνον 136 γενέσθαι Αἰγύπτου βασιλέα ἔλεγον οἱ ἱρέες Ἄσυχιν, τὸν τὰ πρὸς ἥλιον ἀνίσχοντα ποιῆσαι τῷ Ἡφαίστῳ προπύλαια, ἐόντα πολλῷ τε κάλλιστα καὶ πολλῷ μέγιστα· ἔχει μὲν γὰρ καὶ τὰ πάντα προπύλαια τύπους τε ἐγγεγλυμμένους καὶ ἄλλην ὄψιν οἰκοδομημάτων μυρίην, ἐκεῖνα δὲ καὶ μακρῷ μάλιστα. ἐπὶ τούτου βασιλεύοντος ἔλεγον, ἀμιξίης ἐούσης πολλῆς χρημάτων, γενέσθαι νόμον Αἰγυπτίοισι, ἀποδεικνύντα ἐνέχυρον τοῦ πατρὸς τὸν νέκυν οὕτω λαμβάνειν τὸ χρέος· προστεθῆναι δὲ ἔτι τούτῳ τῷ νόμῳ τόνδε, τὸν διδόντα τὸ χρέος καὶ ἀπάσης κρατέειν τῆς τοῦ λαμβάνοντος θήκης, τῷ δὲ ὑποτιθέντι τοῦτο τὸ ἐνέχυρον τήνδε ἐπεῖναι ζημίην μὴ βουλομένῳ ἀποδοῦναι τὸ χρέος, μηδὲ αὐτῷ ἐκείνῳ τελευτήσαντι εἶναι ταφῆς κυρῆσαι μήτ' ἐν ἐκείνῳ τῷ πατρωίῳ τάφῳ μήτ' ἐν ἄλλῳ μηδενί, μήτε ἄλλον μηδένα τῶν ἑωυτοῦ ἀπογενόμενον θάψαι. ὑπερβαλέσθαι δὲ βουλόμενον τοῦτον τὸν βασιλέα τοὺς πρότερον ἑωυτοῦ βασιλέας γενομένους Αἰγύπτου μνημόσυνον πυραμίδα λιπέσθαι ἐκ πλίνθων ποιήσαντα, ἐν τῇ γράμματα ἐν λίθῳ ἐγκεκολαμμένα τάδε λέγοντά ἐστι. "μή με κατονοσθῇς πρὸς τὰς λιθίνας πυραμίδας· προέχω γὰρ αὐτέων τοσοῦτον ὅσον ὁ Ζεὺς τῶν ἄλλων θεῶν. κοντῷ γὰρ ὑποτύπτοντες ἐς λίμνην, ὅ τι πρόσσχοιτο τοῦ πηλοῦ τῷ κοντῷ, τοῦτο συλλέγοντες πλίνθους εἴρυσαν καί με τρόπῳ τοιούτῳ ἐξεποίησαν."

περὶ Ἀσυχίδος βασιλέως καὶ τῶν ἐπ' αὐτοῦ νόμων καὶ τῆς πυραμίδος

---

1. (Hesychius v. περιλεσχήνευτος)

1. περὶ λέσχην οὗτος *R* ‖ λυσσόμενος *R* ‖ 2. ἐς] ὡς *ABCd* ‖ μιτυλήνην *L* ‖ ἐν om. *R* ‖ μέλει *AB* ‖ 5. ἱρέες] ἱρέες γενέσθαι *z* ‖ 6. ποιῆσαι] ποιῆσαί μιν *R* ‖ 7. τε] τε καὶ *C* ‖ 8. ἐγγεγλυμμένους *R*: εὖ λελεγμένους *C*,
η
εὖ γεγλυμμένους reliqui ‖ 10. ἀμαξίης *R* ‖ 12. προστεθεῖναι *R* ‖ 13. τὸ νόμω τόδε *R* ‖ 15. τῆνδε *A* ‖ μὴ] καὶ μὴ *z* ‖ 16. μήτε *R*, μὴ δὲ ceteri ‖ 17. μήτε *R* bis ‖ πατρώωι vel πατρώω codices, πατρῴῳ *z* ‖ 18. μήτ' *z* ‖ τὸν *d* ‖ 20. ἑαυτοῦ *C* ‖ 22. ἐστι τάδε λέγοντα *R* ‖ κατονοθῇς *CPz*, κατονομασθῇς *R* ‖ 25. προσσχοῖτο *ABd*, προσχοῖτο *CPz*, προσέχοιτο *R*

137 Τοῦτον μὲν τοσαῦτα ἀποδέξασθαι. μετὰ δὲ τοῦτον βασιλεῦσαι ἄνδρα τυφλὸν ἐξ Ἀνύσιος πόλιος, τῷ οὔνομα Ἄνυσιν εἶναι. ἐπὶ τούτου βασιλεύοντος ἐλάσαι ἐπ' Αἴγυπτον χειρὶ πολλῇ Αἰθίοπάς τε καὶ Σαβακῶν τὸν Αἰθιόπων βασιλέα. τὸν μὲν δὴ τυφλὸν τοῦτον οἴχεσθαι φεύγοντα ἐς τὰ ἕλεα, τὸν δὲ Αἰθίοπα βασιλεύειν Αἰγύπτου ἐπ' ἔτεα πεντήκοντα, ἐν τοῖσι αὐτὸν τάδε ἀποδέξασθαι. ὅκως τῶν τις Αἰγυπτίων ἁμάρτοι τι, κτείνειν μὲν αὐτῶν οὐδένα ἐθέλειν, τὸν δὲ κατὰ μέγαθος τοῦ ἀδικήματος ἑκάστῳ δικάζειν ἐπιτάσσοντα χώματα χοῦν πρὸς τῇ ἑωυτῶν πόλι, ὅθεν ἕκαστος ἦν τῶν ἀδικεόντων. καὶ οὕτω ἔτι αἱ πόλιες ἐγένοντο ὑψηλότεραι· τὸ μὲν γὰρ πρῶτον ἐχώσθησαν ὑπὸ τῶν τὰς διώρυχας ὀρυξάντων ἐπὶ Σεσώστριος βασιλέος, δεύτερα δὲ ἐπὶ τοῦ Αἰθίοπος καὶ κάρτα ὑψηλαὶ ἐγένοντο. ὑψηλέων δὲ καὶ ἑτερέων γενομενέων ἐν τῇ Αἰγύπτῳ πολίων, ὡς ἐμοὶ δοκέει, μάλιστα ἡ ἐν Βουβάστι πόλι ἐξεχώσθη, ἐν τῇ καὶ ἱρόν ἐστι Βουβάστιος ἀξιαπηγητότατον· μέζω μὲν γὰρ ἄλλα καὶ πολυδαπανώτερά ἐστι ἱρά, ἡδονῇ δὲ ἰδέσθαι οὐδὲν τούτου μᾶλλον. ἡ δὲ Βούβαστις κατὰ Ἑλ-
138 λάδα γλῶσσαν ἐστὶ Ἄρτεμις. τὸ δ' ἱρὸν αὐτῆς ὧδε ἔχει. πλὴν τῆς ἐσόδου τὸ ἄλλο νῆσός ἐστι· ἐκ γὰρ τοῦ Νείλου διώρυχες ἐσέχουσι οὐ συμμίσγουσαι ἀλλήλῃσι, ἀλλ' ἄχρι τῆς ἐσόδου τοῦ ἱροῦ ἑκατέρη ἐσέχει, ἡ μὲν τῇ περιρρέουσα ἡ δὲ τῇ, εὖρος ἐοῦσα ἑκατέρη ἑκατὸν ποδῶν, δένδρεσι κατάσκιος. τὰ δὲ προπύλαια ὕψος μὲν δέκα ὀργυιέων ἐστί, τύποισι δὲ

περὶ Ἀνύσιδος βασιλέως τυφλοῦ καὶ ὅτι ἐπὶ τούτου Αἰθίοπες ἐκράτησαν Αἰγύπτου περὶ τοῦ ἐν Βουβάστῳ ἱεροῦ τῆς Ἀρτέμιδος

---

9. Suidas v. χώματα. Bachmanni Anecd. I p. 418 sive Crameri Anecd. Paris. IV 176. — 24 sq. Eustathius Od. p. 1569

2. πόλεος z ‖ 3. ἐπ'] ἐς *PRz* ‖ 4. αἰθιοπά *Rz* ‖ σάβάκων *R* ‖ τῶν *Rz* ‖ 5. ἕλεα *BR* ‖ 7. ἁμάρτη *C* ‖ 8. τι om. *Ppr.R* ‖ αὐτὸν *R* ‖ 9. ἑκάστου *ABCd* ‖ δικάζοντα ἐπιτάσσειν *C*[2] ‖ 10. πόλι z: πόλει ‖ οἰκεόντων *R* ‖ 12. ἐχώθησαν *P* ‖ 13. καὶ om. *qz* ‖ 14. ἑτέρων *L* ‖ γενομένων *P*[t]*R*, τασσομένων *P*[m] cum reliquis ‖ 15. πολήων z ‖ ἡ ἐν] μὲν *ABCd* ‖ πόλει *C*, πόλις *PRz* ‖ 17. γάρ, ἀλλὰ καὶ *R*, γὰρ καὶ ἄλλα, καὶ z ‖ ἡδονή *R*: ἡδονῇ ‖ 18. δ' *Rz* ‖ κατ' z ‖ 19. δὲ *Cd* ‖ 21. συμμίσγονται *C* ‖ 22. περιρέουσα *AB*

ἐξαπήχεσι ἐσκευάδαται ἀξίοισι λόγου. ἐὸν δ' ἐν μέσῃ τῇ
πόλι τὸ ἱρὸν κατορᾶται πάντοθεν περιιόντι· ἅτε γὰρ τῆς
πόλιος μὲν ἐκκεχωσμένης ὑψοῦ, τοῦ δ' ἱροῦ οὐ κεκινημένου
ὡς ἀρχῆθεν ἐποιήθη, ἔσοπτόν ἐστι. περιθέει δὲ αὐτὸ αἱμασιὴ
ἐγγεγλυμμένη τύποισι, ἔστι δὲ ἔσωθεν ἄλσος δενδρέων μεγί-
στων πεφυτευμένον περὶ νηὸν μέγαν, ἐν τῷ δὴ τὤγαλμα ἔνι·
εὖρος δὲ καὶ μῆκος τοῦ ἱροῦ πάντῃ σταδίου ἐστί. κατὰ μὲν
δὴ τὴν ἔσοδον ἐστρωμένη ἐστὶ ὁδὸς λίθου ἐπὶ σταδίους τρεῖς
μάλιστά κῃ, διὰ τῆς ἀγορῆς φέρουσα ἐς τὸ πρὸς ἠῶ, εὖρος
δὲ ὡς τεσσέρων πλέθρων· τῇ δὲ καὶ τῇ τῆς ὁδοῦ δένδρεα
οὐρανομήκεα πέφυκε· φέρει δὲ ἐς Ἑρμέω ἱρόν. τὸ μὲν δὴ
ἱρὸν τοῦτο οὕτω ἔχει. τέλος δὲ τῆς ἀπαλλαγῆς τοῦ Αἰθίοπος 139
ὧδε ἔλεγον γενέσθαι. ὄψιν ἐν τῷ ὕπνῳ τοιήνδε ἰδόντα αὐτὸν
οἴχεσθαι φεύγοντα· ἐδόκεέ οἱ ἄνδρα ἐπιστάντα συμβουλεύειν
τοὺς ἱρέας τοὺς ἐν Αἰγύπτῳ συλλέξαντα πάντας μέσους δια-
ταμεῖν. ἰδόντα δὲ τὴν ὄψιν ταύτην λέγειν αὐτὸν ὡς πρόφα-
σίν οἱ δοκέοι ταύτην τοὺς θεοὺς προδεικνύναι, ἵνα ἀσεβήσας
περὶ τὰ ἱρὰ κακόν τι πρὸς θεῶν ἢ πρὸς ἀνθρώπων λάβοι·
οὔκων ποιήσειν ταῦτα, ἀλλὰ γάρ οἱ ἐξεληλυθέναι τὸν χρόνον,
ὁκόσον κεχρῆσθαι ἄρξαντα Αἰγύπτου ἐκχωρήσειν. ἐν γὰρ τῇ
Αἰθιοπίῃ ἐόντι αὐτῷ τὰ μαντήια, τοῖσι χρέωνται Αἰθίοπες,
ἀνεῖλε ὡς δέοι αὐτὸν Αἰγύπτου βασιλεῦσαι ἔτεα πεντήκοντα.
ὡς ὦν ὁ χρόνος οὗτος ἐξήιε καὶ αὐτὸν ἡ ὄψις τοῦ ἐνυπνίου
ἐπετάρασσε, ἑκὼν ἀπαλλάσσετο ἐκ τῆς Αἰγύπτου ὁ Σαβακῶς.

Ὡς δ' ἄρα οἴχεσθαι τὸν Αἰθίοπα ἐξ Αἰγύπτου, αὖτις τὸν 140
τυφλὸν ἄρχειν ἐκ τῶν ἑλέων ἀπικόμενον, ἔνθα πεντήκοντα
ἔτεα νῆσον χώσας σποδῷ τε καὶ γῇ οἴκεε. ὅκως γάρ οἱ φοι-

2. πόλει *Cd* ‖ 3. πόλεος *z* ‖ ἐγκεχωσμένης *R*, ἐκκεχυμένης *z* ‖ 4. ἔσο-προν *C*, ἔσοπτρόν *z* ‖ δὲ] δ' *Pz*, om. *CR* ‖ 5. τύποις *R* ‖ 6. πεφυτευμένων *PRz* ‖ 8. ὁδὸς λίθου ἐστὶν *R* ‖ 9. ἠῶ *C* ‖ 10. τεσσάρων *C* ‖ πλέθρεων *d* ‖ τῇδε καὶ τῇδε τῆς *d* ‖ 11. δὲ *R*: δ' ‖ ἐς om. *ABCd* ‖ ἑρμαίου *d* ‖ 12. οὕτω *Pz*: οὕτως ‖ 13. τοιῆνδε *A* ‖ 15. διαταμέειν *ABd*, διαταμεύειν *C* ‖ 17. δοκέειν *ABCd* ‖ παρδεικνῦναι *R*, παραδεικνῦναι *d* ‖ ἵν' *d* ‖ 19. ποιήσει *C* ‖ 20. ὅσον *R* ‖ ἄρχοντα *Ppr.R* ‖ ἐκχωρέειν *qz* ‖ 21. χρέονται *P* ‖ 22. ὡς δέοι] ὁ θεός οἱ *R* ‖ 24. σαβάκος *R* ‖ 26. ἄρχειν om. *C* ‖ 27. φυτᾶν *C*

τᾶν σῖτον ἄγοντας Αἰγυπτίων ὡς ἑκάστοισι προστετάχθαι σιγῇ τοῦ Αἰθίοπος, ἐς τὴν δωρεὴν κελεύειν σφέας καὶ σποδὸν κομίζειν. ταύτην τὴν νῆσον οὐδεὶς πρότερον ἐδυνάσθη Ἀμυρταίου ἐξευρεῖν, ἀλλὰ ἔτεα ἐπὶ πλέω ἢ ἑπτακόσια οὐκ οἷοί τε ἦσαν αὐτὴν ἀνευρεῖν οἱ πρότεροι γενόμενοι βασιλέες Ἀμυρταίου οὔνομα δὲ ταύτῃ τῇ νήσῳ Ἐλβώ, μέγαθος δ' ἐστὶ πάντῃ δέκα σταδίων.

141 Μετὰ δὲ τοῦτον βασιλεῦσαι τὸν ἱρέα τοῦ Ἡφαίστου, τῷ οὔνομα εἶναι Σεθῶν· τὸν ἐν ἀλογίῃσι ἔχειν παραχρησάμενον τῶν μαχίμων Αἰγυπτίων ὡς οὐδὲν δεησόμενον αὐτῶν, ἄλλα τε δὴ ἄτιμα ποιεῦντα ἐς αὐτούς, καί σφεας ἀπελέσθαι τὰς ἀρούρας, τοῖσι ἐπὶ τῶν προτέρων βασιλέων δεδόσθαι ἐξαιρέτους ἑκάστῳ δυώδεκα ἀρούρας. μετὰ δὲ ἐπ' Αἴγυπτον ἐλαύνειν στρατὸν μέγαν Σαναχάριβον βασιλέα Ἀραβίων τε καὶ Ἀσσυρίων. οὔκων δὴ ἐθέλειν τοὺς μαχίμους τῶν Αἰγυπτίων βοηθέειν· τὸν δ' ἱρέα ἐς ἀπορίην ἀπειλημένον ἐσελθόντα ἐς τὸ μέγαρον πρὸς τὤγαλμα ἀποδύρεσθαι οἷα κινδυνεύει παθεῖν· ὀλοφυρόμενον δ' ἄρα μιν ἐπελθεῖν ὕπνον, καί οἱ δόξαι ἐν τῇ ὄψι ἐπιστάντα τὸν θεὸν θαρσύνειν ὡς οὐδὲν πείσεται ἄχαρι ἀντιάζων τὸν Ἀραβίων στρατόν· αὐτὸς γάρ οἱ πέμψει τιμωρούς. τούτοισι δή μιν πίσυνον τοῖσι ἐνυπνίοισι, παραλαβόντα Αἰγυπτίων τοὺς βουλομένους οἱ ἕπεσθαι, στρατοπεδεύσασθαι ἐν Πηλουσίῳ (ταύτῃ γάρ εἰσι αἱ ἐσβολαί)· ἕπεσθαι δέ οἱ τῶν μαχίμων μὲν οὐδένα ἀνδρῶν, καπήλους δὲ καὶ χειρώνακτας καὶ ἀγοραίους ἀνθρώπους. ἐνθαῦτα

περὶ Σεθωνος βασιλέως καὶ τοῦ πρὸς Ἀραβίους αὐτοῦ πολέμου

---

2. σιγῇ - 3 κομίζειν Thomas M. p. 346. — 6. Stephanus Byz. v. Ἐλβώ. — 12. Eustathius Il. p. 210. — 14 sqq. Iosephus archaeol. X 1, 4

4. ἀμαρταίου *R* || 5. βασιλῆες *z* || 6. ἐλχώ *d* || δ' ἔστι *R*, δέ ἐστι *d*, ἐστὶ *qz* || 9. σεθῶν *AB*: σεθών *CPdz*, σέθων *R* || 10. αὐτὸν *Rd* || 11. καὶ σφέας *R* || 12. τοῖσι] τὰς Reiske || προτέρων] πρόσθεν *R* || βασιλήων *z* || 15. δὲ *R* || 16. ἀπειλημένον Reiske: ἀπειλημμένον || ἐλθόντα *R* || 17. ἀποδύρασθαι *z* || παθέειν *L* || 19. ὄψι *AB*[1]: ὄψει || θρασύνειν *R* || 20. πέμψειν *Rz* || 21. δή μιν] μὲν δὴ *qz* || ἐνυπνίοισι] αἰγυπτίοισι *R* || 22. αἰγυπτίοισι *C*[1] || οἷ *d* || 23. χειρωνάκτας *PR* || ἀγορέους *R*

ἀπικομένους, τοῖσι ἐναντίοισι [αὐτοῖσι] ἐπιχυθέντας νυκτὸς μῦς ἀρουραίους κατὰ μὲν φαγεῖν τοὺς φαρετρεῶνας αὐτῶν κατὰ δὲ τὰ τόξα, πρὸς δὲ τῶν ἀσπίδων τὰ ὄχανα, ὥστε τῇ ὑστεραίῃ φευγόντων σφέων γυμνῶν ὅπλων πεσεῖν πολλούς. καὶ νῦν οὗτος ὁ βασιλεὺς ἕστηκε ἐν τῷ ἱρῷ τοῦ Ἡφαίστου λίθινος, ἔχων ἐπὶ τῆς χειρὸς μῦν, λέγων διὰ γραμμάτων τάδε. "ἐς ἐμέ τις ὁρέων εὐσεβὴς ἔστω."

Ἐς μὲν τοσόνδε τοῦ λόγου Αἰγύπτιοί τε καὶ οἱ ἱρέες 142
ἔλεγον, ἀποδεικνύντες ἀπὸ τοῦ πρώτου βασιλέος ἐς τοῦ Ἡφαίστου τὸν ἱρέα τοῦτον τὸν τελευταῖον βασιλεύσαντα μίαν τε καὶ τεσσεράκοντα καὶ τριηκοσίας ἀνθρώπων γενεὰς γενομένας, καὶ ἐν ταύτῃσι ἀρχιερέας καὶ βασιλέας ἑκατέρους τοσούτους γενομένους. καίτοι τριηκόσιαι μὲν ἀνδρῶν γενεαὶ δυνέαται μύρια ἔτεα· γενεαὶ γὰρ τρεῖς ἀνδρῶν ἑκατὸν ἔτεά ἐστι· μιῆς δὲ καὶ τεσσεράκοντα ἔτι τῶν ἐπιλοίπων γενεέων, αἳ ἐπῆσαν τῇσι τριηκοσίῃσι, ἐστὶ τεσσεράκοντα καὶ τριηκόσια καὶ χίλια ἔτεα. οὕτω ἐν μυρίοισί τε ἔτεσι καὶ χιλίοισι καὶ τριηκοσίοισί τε καὶ τεσσεράκοντα ἔλεγον θεὸν ἀνθρωποειδέα οὐδένα γενέσθαι· οὐ μέντοι οὐδὲ πρότερον οὐδὲ ὕστερον ἐν τοῖσι ὑπολοίποισι Αἰγύπτου βασιλεῦσι γενομένοισι ἔλεγον οὐδὲν τοιοῦτο. ἐν τοίνυν τούτῳ τῷ χρόνῳ τετράκις ἔλεγον

ὅτι ἐπὶ τμα γενεὰς ἐβασιλεύετο ὑπὸ ἱερέων Αἴγυπτος   ὅτι τμα γενεαὶ ἔτη ποιοῦσι ἄατμ   περὶ τοῦ τὴν ἥλιον ἐκ τῶν ἐναντίων τὰς ἀνατολὰς καὶ τὰς δύσεις ποιήσασθαι

---

1. - 6 Eustathius Il. p. 35. — 3. Λέξεις. — 14. Eustathius Il. p. 95. — 21. τετράκις - p. 230, 1 ἀνατεῖλαι Thomas M. p. 147

1. ἀπικομένου Reiske. Bekker, ἀπικομένοις Schaefer. nisi excidit totus versus: nam Iosephus hinc de obsidione Pelusii refert: πολιορκῶν δὲ (Σεναχήριβος) τὸ Πηλούσιον ἔλυσε τὴν πολιορκίαν ἐξ αἰτίας τοιαύτης ‖ αὐτοῖσι damnavit Reiske ‖ 2. ἀρουριαίους *R* ‖ φαγέειν *L* ‖ αὐτέων z ‖ 3. πρὸς δέ γε Eust. ‖ 4. ὅπλων *PRz*. Eust.: ἀνόπλων ‖ πεσέειν *L* ‖ 5. ἐν om. *R* ‖ 9. βασιλέως *Apr.Bpr.d* ‖ 10. μίην z ‖ 11. τεσσαράκοντα *Rdz* ‖ γενεὰς ante ἀνθρώπων *ABC*, post γενομένας *d* ‖ 12. ἀρχιρέας *PRz* ‖ 13. καίτοι] καὶ *R* ‖ γενεαὶ ἀνδρῶν *R* ‖ 15. τεσσαράκοντα *CRdz* ‖ ἔτι] ἐπὶ *ABCd* ‖ γενεῶν z ‖ 16. τεσσαράκοντα *CRdz* ‖ 17. οὕτως *ABCd* ‖ ἐν bis *A* ‖ καὶ] καὶ πρὸς *R* ‖ 18. τριηκόσιοι *R* ‖ τε om. *C* ‖ τεσσαράκοντα *Rdz* ‖ 19. μέντοι] μὲν *R* ‖ 21. οὐδὲν τοιοῦτον *CPR*, τοιοῦτον οὐδέν z

ἐξ ἠθέων τὸν ἥλιον ἀνατεῖλαι· ἔνθα τε νῦν καταδύεται, ἐνθεῦτεν δὶς ἐπαντεῖλαι, καὶ ἔνθεν νῦν ἀνατέλλει, ἐνθαῦτα δὶς καταδῦναι· καὶ οὐδὲν τῶν κατ' Αἴγυπτον ὑπὸ ταῦτα ἑτεροιωθῆναι, οὔτε τὰ ἐκ τῆς γῆς οὔτε τὰ ἐκ τοῦ ποταμοῦ σφι γινόμενα, οὔτε τὰ ἀμφὶ νούσους οὔτε τὰ κατὰ τοὺς θανάτους.
143 πρότερον δὲ Ἑκαταίῳ τῷ λογοποιῷ ἐν Θήβῃσι γενεηλογήσαντί τε ἑωυτὸν καὶ ἀναδήσαντι τὴν πατριὴν ἐς ἑκκαιδέκατον θεὸν ἐποίησαν οἱ ἱρέες τοῦ Διὸς οἷόν τι καὶ ἐμοὶ οὐ γενεηλογήσαντι ἐμεωυτόν. ἐσαγαγόντες ἐς τὸ μέγαρον ἔσω ἐὸν μέγα ἐξηρίθμεον δεικνύντες κολοσσοὺς ξυλίνους τοσούτους ὅσους περ εἶπον· ἀρχιερεὺς γὰρ ἕκαστος αὐτόθι ἱστᾷ ἐπὶ τῆς ἑωυτοῦ ζόης εἰκόνα ἑωυτοῦ· ἀριθμέοντες ὦν καὶ δεικνύντες οἱ ἱρέες ἐμοὶ ἀπεδείκνυσαν παῖδα πατρὸς ἑωυτῶν ἕκαστον ἐόντα, ἐκ τοῦ ἄγχιστα ἀποθανόντος τῆς εἰκόνος διεξιόντες διὰ πασέων, ἕως οὗ ἀπέδεξαν ἁπάσας αὐτάς. Ἑκαταίῳ δὲ γενεηλογήσαντι ἑωυτὸν καὶ ἀναδήσαντι ἐς ἑκκαιδέκατον θεὸν ἀντεγενεηλόγησαν ἐπὶ τῇ ἀριθμήσι, οὐ δεκόμενοι παρ' αὐτοῦ ἀπὸ θεοῦ γενέσθαι ἄνθρωπον· ἀντεγενεηλόγησαν δὲ ὧδε, φάμενοι ἕκαστον τῶν κολοσσῶν πίρωμιν ἐκ πιρώμιος γεγονέναι, ἐς ὃ τοὺς πέντε καὶ τεσσεράκοντα καὶ τριηκοσίους ἀπέδεξαν κολοσσοὺς [πίρωμιν ἐπονομαζόμενον], καὶ οὔτε ἐς θεὸν οὔτε ἐς ἥρωα ἀνέδησαν αὐτούς. πίρωμις δέ ἐστι κατὰ
144 Ἑλλάδα γλῶσσαν καλὸς κἀγαθός. ἤδη ὦν τῶν αἱ εἰκόνες ἦσαν, τοιούτους ἀπεδείκνυσάν σφεας πάντας ἐόντας, θεῶν δὲ

6. Harpocratio v. λογοποιός. — 19. (Synesius de prov. p. 93). — 23. ἤδη - p. 231, 7 γλῶσσαν Athenagoras legat. 24

1. ἔνθα - 2 ἐπαντεῖλαι om. *R* ‖ 2. ἐπανατεῖλαι Bekker ‖ ἀντέλλει *z* ‖ 3. καταβῆναι *qz* ‖ κατὰ *R* ‖ 4. ἐκ] ἀπὸ *R* ‖ ἐκ] ἀπὸ *R* ‖ 5. γενόμενα *Rd* ‖ 6. θήκῃσι *C* ‖ γενεηλογίσαντι *R* ‖ 7. τε - ἀναδήσαντι om. *R*, τε om. *ABCz* ‖ ἀναδήσαντά τι *C*, ἀναδήσαντί τε ceteri ‖ πατρίην ἐς καιδέκατον *R* ‖ 8. τοῦ Διὸς om. *d* ‖ ἐμοὶ συγγενεηλογήσαντι *z* ‖ 11. ἀρχιρεὺς *Pz* ‖ ἵσταται *ABCd* ‖ 12. ἑαυτοῦ *C* bis ‖ ζωῆς εἰκόνας *d* ‖ 13. ἱερέες *C* ‖ μοι *R* ‖ ἑωυτὸν ἕκαστον *d*, ἕκαστον ἑωϋτὸν *z* ‖ 14. διὰ - 15 αὐτάς om. *ABCd* ‖ 15. ἐς ὃ Struve ‖ 16. ἀναδήσαντι] ἀναδήσαντι ἑωυτὸν *C* ‖ 17. ἀριθμήσει *L* ‖ 19. ἑκάστῳ *R* ‖ πείρωμιν ἐκ πειρώμιδος Synes. ‖ 20. ἐσὸ *A* ‖ τεσσαράκοντα *CRdz* ‖ 20. ἀπηρίθμησαν αὐτοὺς πίρωμιν ἐκ πιρώμιος γενόμενον, καὶ οὔτε *R* ‖ 21. seiunxi πίρωμιν ἐπονομαζόμενον ‖ 22. ἐς om. *R* ‖ δ' ἐστὶ *AB* ‖ κατ' *L* ‖ 24. σφέας *R* ‖ πάντας] αὐτοὺς Athen.

πολλὸν ἀπαλλαγμένους. τὸ δὲ πρότερον τῶν ἀνδρῶν τούτων
θεοὺς εἶναι τοὺς ἐν Αἰγύπτῳ ἄρχοντας, οἰκέοντας ἅμα τοῖσι
ἀνθρώποισι, καὶ τούτων αἰεὶ ἕνα τὸν κρατέοντα εἶναι· ὕστα-
τον δὲ αὐτῆς βασιλεῦσαι Ὧρον τὸν Ὀσίριος παῖδα, τὸν Ἀπόλ-
λωνα Ἕλληνες ὀνομάζουσι· τοῦτον καταπαύσαντα Τυφῶνα
βασιλεῦσαι ὕστατον Αἰγύπτου. Ὄσιρις δέ ἐστι Διόνυσος κατὰ
Ἑλλάδα γλῶσσαν. ἐν Ἕλλησι μέν νυν νεώτατοι τῶν θεῶν 145
νομίζονται εἶναι Ἡρακλέης τε καὶ Διόνυσος καὶ Πάν, παρ'
Αἰγυπτίοισι δὲ Πὰν μὲν ἀρχαιότατος καὶ τῶν ὀκτὼ τῶν πρώ-
των λεγομένων θεῶν, Ἡρακλέης δὲ τῶν δευτέρων τῶν δυώ-
δεκα λεγομένων εἶναι, Διόνυσος δὲ τῶν τρίτων, οἳ ἐκ τῶν
δυώδεκα θεῶν ἐγένοντο. Ἡρακλέι μὲν δὴ ὅσα αὐτοὶ Αἰγύπτιοί
φασι εἶναι ἔτεα ἐς Ἄμασιν βασιλέα, δεδήλωταί μοι πρόσθε·
Πανὶ δὲ ἔτι τούτων πλέονα λέγεται εἶναι, Διονύσῳ δ' ἐλά-
χιστα τούτων, καὶ τούτῳ πεντακισχίλια καὶ μύρια λογίζονται
εἶναι ἐς Ἄμασιν βασιλέα. καὶ ταῦτα Αἰγύπτιοι ἀτρεκέως
φασὶ ἐπίστασθαι, αἰεί τε λογιζόμενοι καὶ αἰεὶ ἀπογραφόμενοι
τὰ ἔτεα. Διονύσῳ μέν νυν τῷ ἐκ Σεμέλης τῆς Κάδμου λεγο-
μένῳ γενέσθαι κατὰ ἑξακόσια ἔτεα καὶ χίλια μάλιστά ἐστι ἐς
ἐμέ, Ἡρακλέι δὲ τῷ Ἀλκμήνης κατὰ εἰνακόσια ἔτεα· Πανὶ
δὲ τῷ ἐκ Πηνελόπης (ἐκ ταύτης γὰρ καὶ Ἑρμέω λέγεται γε-
νέσθαι ὑπὸ Ἑλλήνων ὁ Πάν) ἐλάσσω ἔτεά ἐστι τῶν Τρωι-
κῶν, κατὰ ὀκτακόσια μάλιστα ἐς ἐμέ. τούτων ὦν ἀμφοτέρων 146
πάρεστι χρᾶσθαι τοῖσί τις πείσεται λεγομένοισι μᾶλλον· ἐμοὶ

περὶ τῆς Ὥρου βασιλείας καὶ Ὀσίριδος — περὶ Ἡρακλέους καὶ Πανὸς καὶ Διονύσου ὅτι ἄνθρωποι

---

3. - 6 Eustathius Il. p. 346. — 6. idem p. 629. — 9 sq. Plutarchus mor. p. 857. — Eustathius Od. p. 1435. — Schol. Lucian. p. 180 Jac. — Arrianus anab. II 16. — 21. Eustathius Od. p. 1435

1. ἀπηλλαγμένους *Rd*. Athen. ‖ 2. οἰκέοντας *R*: οὐκέοντας *AB*[1], οὐκ ἐόντας *B*[2]*Pdz*. Athen. ‖ 3. ἀεὶ et ὕστερον Athen. ‖ 4. ωρον *AB*[1], ὧρον *B*[2] ‖ Ὀσίρεως Athen. ‖ 6. κατ' *z* ‖ 8. ἡρακλῆς *L* ‖ 10. θεῶν] θεῶν εἶναι *qz* ‖ ἡρακλῆς *L* ‖ 11. εἶναι om. *qz* ‖ 12. ἡρακλεῖ *AB* ‖ 13. ἄμασιν *C* ‖ πρόσθεν *d* ‖ 14. ἔτη *d* ‖ πλείονα *ABCd* ‖ δὲ *R* ‖ 16. ἄμασιν *C* ‖ 20. Ἡρακλέι - 23 ἐς ἐμέ om. *C*[1] ‖ ἡρακλεῖ *ABR* ‖ ἐννακόσια *R* ‖ ἔτη *d*, om. *PRz* ‖ 21. τῷ ἐκ] τῶ *R* ‖ 23. κατὰ τὰ *AB* ‖ 24. τοῖσι τίς *Pdz*

δ᾽ ὧν ἡ περὶ αὐτῶν γνώμη ἀποδέδεκται. εἰ μὲν γὰρ φανεροί τε ἐγένοντο καὶ κατεγήρασαν καὶ οὗτοι ἐν τῇ Ἑλλάδι, κατά περ Ἡρακλέης ὁ ἐξ Ἀμφιτρύωνος γενόμενος, καὶ δὴ καὶ Διόνυσος ὁ ἐκ Σεμέλης καὶ Πὰν ὁ ἐκ Πηνελόπης γενόμενος, ἔφη ἄν τις καὶ τούτους ἄλλους ἄνδρας γενομένους ἔχειν τὰ ἐκείνων οὐνόματα τῶν προγεγονότων θεῶν. νῦν δὲ Διόνυσόν τε λέγουσι οἱ Ἕλληνες ὡς αὐτίκα γενόμενον ἐς τὸν μηρὸν ἐνερράψατο Ζεὺς καὶ ἤνεικε ἐς Νύσαν τὴν ὑπὲρ Αἰγύπτου ἐοῦσαν ἐν τῇ Αἰθιοπίῃ, καὶ Πανός γε πέρι οὐκ ἔχουσι εἰπεῖν ὅκῃ ἐτράπετο γενόμενος. δῆλά μοι ὦν γέγονε ὅτι ὕστερον ἐπύθοντο οἱ Ἕλληνες τούτων τὰ οὐνόματα ἢ τὰ τῶν ἄλλων θεῶν. ἀπ᾽ οὗ δὲ ἐπύθοντο χρόνου, ἀπὸ τούτου γενεηλογέουσι αὐτῶν τὴν γένεσιν.

147 Ταῦτα μέν νυν αὐτοὶ Αἰγύπτιοι λέγουσι· ὅσα δὲ οἵ τε ἄλλοι ἄνθρωποι καὶ Αἰγύπτιοι λέγουσι ὁμολογέοντες τοῖσι ἄλλοισι κατὰ ταύτην τὴν χώρην γενέσθαι, ταῦτ᾽ ἤδη φράσω· προσέσται δέ τι αὐτοῖσι καὶ τῆς ἐμῆς ὄψιος.

Ἐλευθερωθέντες Αἰγύπτιοι μετὰ τὸν ἱρέα τοῦ Ἡφαίστου βασιλεύσαντα (οὐδένα γὰρ χρόνον οἷοί τε ἦσαν ἄνευ βασιλέος διαιτᾶσθαι) ἐστήσαντο δυώδεκα βασιλέας, ἐς δυώδεκα μοίρας δασάμενοι Αἴγυπτον πᾶσαν. οὗτοι ἐπιγαμίας ποιησάμενοι ἐβασίλευον νόμοισι τοῖσιδε χρεώμενοι, μήτε καταιρέειν ἀλλήλους μήτε πλέον τι δίζησθαι ἔχειν τὸν ἕτερον τοῦ ἑτέρου, εἶναί τε φίλους τὰ μάλιστα· τῶνδε δὲ εἵνεκα τοὺς νόμους

περὶ τοῦ εἰς δώδεκα διαιρεθῆναι τὴν Αἴγυπτον καὶ τὴν βασιλείαν καὶ περὶ ὧν ἔπραξαν

---

8. Eustathius Dion. p. 1153

1. αὐτέων z ‖ 3. ἡρακλέης Rz: ἡρακλῆς ‖ 5. γενομένους ἄνδρας PRz ‖ 8. ἐνερράψατο PR: ἐράψατο A¹BC, ἐρράψατο A²d, ἀνερράψατο s. Eust. ‖ νύσσαν dz. Eust. ‖ 10. δῆλα ὦν μοι ἐγέγονεν R ‖ 13. αὐτέων z ‖ 14. ὅσα — 15 λέγουσι om. d ‖ τε om. ABC ‖ 16. ταῦτα R ‖ 17. αὐτοῖς z ‖ 19. οἷοι R ‖ βασιλέως CPd, βασιλῆος z ‖ 20. ἐς om. R ‖ 22. τοῖσιδε P: τοῖσι δὲ R, τοῖσδε BCdz, τοῖς δὲ A ‖ χρεύμενοι P ‖ 23. δίζεσθαι d ‖ 24. τῶνδε εἵνεκα A, τῶν δὲ εἵνεκα BC, τῶνδε εἵνεκεν d

τούτους ἐποιέοντο, ἰσχυρῶς περιστέλλοντες. ἐκέχρηστό σφι κατ᾽ ἀρχὰς αὐτίκα ἐνισταμένοισι ἐς τὰς τυραννίδας τὸν χαλκέῃ φιάλῃ σπείσαντα αὐτῶν ἐν τῷ ἱρῷ τοῦ Ἡφαίστου, τοῦτον ἁπάσης βασιλεύσειν Αἰγύπτου· ἐς γὰρ δὴ τὰ πάντα ἱρὰ συνελέγοντο. καὶ δή σφι μνημόσυνα ἔδοξε λιπέσθαι κοινῇ, 148 δόξαν δέ σφι ἐποιήσαντο λαβύρινθον, ὀλίγον ὑπὲρ τῆς λίμνης τῆς Μοίριος κατὰ Κροκοδείλων καλεομένην πόλιν μάλιστά κῃ κείμενον· τὸν ἐγὼ ἤδη εἶδον λόγου μέζω. εἰ γάρ τις τὰ ἐξ Ἑλλήνων τείχεά τε καὶ ἔργων ἀπόδεξιν συλλογίσαιτο, ἐλάσσονος πόνου τε ἂν καὶ δαπάνης φανείη ἐόντα τοῦ λαβυρίνθου τούτου. καίτοι ἀξιόλογός γε καὶ ὁ ἐν Ἐφέσῳ ἐστὶ νηὸς καὶ ὁ ἐν Σάμῳ. ἦσαν μέν νυν καὶ αἱ πυραμίδες λόγου μέζονες, καὶ πολλῶν ἑκάστη αὐτέων Ἑλληνικῶν ἔργων καὶ μεγάλων ἀνταξίη· ὁ δὲ δὴ λαβύρινθος καὶ τὰς πυραμίδας ὑπερβάλλει. τοῦ γὰρ δυώδεκα μέν εἰσι αὐλαὶ κατάστεγοι, ἀντίπυλοι ἀλλήλῃσι, ἓξ μὲν πρὸς βορέω ἓξ δὲ πρὸς νότον τετραμμέναι, συνεχέες· τοῖχος δὲ ἔξωθεν ὁ αὐτός σφεας περιέργει. οἰκήματα δ᾽ ἔνεστι διπλᾶ, τὰ μὲν ὑπόγαια τὰ δὲ μετέωρα ἐπ᾽ ἐκείνοισι, τρισχίλια ἀριθμόν, πεντακοσίων καὶ χιλίων ἑκάτερα. τὰ μέν νυν μετέωρα τῶν οἰκημάτων αὐτοί τε ὡρῶμεν διεξιόντες καὶ αὐτοὶ θεησάμενοι λέγομεν, τὰ δὲ αὐτῶν ὑπόγαια λόγοισι ἐπυνθανόμεθα· οἱ γὰρ ἐπεστεῶτες τῶν Αἰγυπτίων δεικνύναι αὐτὰ οὐδαμῶς ἤθελον, φάμενοι θήκας αὐτόθι εἶναι τῶν τε ἀρχὴν τὸν λαβύρινθον τοῦτον οἰκοδομησαμένων βασιλέων καὶ τῶν ἱρῶν κροκοδείλων. οὕτω

περὶ τοῦ κατασκευασθέντος ὑπὸ τῶν δώδεκα βασιλέων λαβυρίνθου

7. Stephanus Byz. v. Κροκοδείλων πόλις

1. ἐποιεῦντο *z*, ἐμοὶ ποιεῦντο *R* ‖ ἰσχυροὺς *R* ‖ ἐκέχρητό *CR* ‖ 2. καταρχὰς *APRz* ‖ 3. ἂν τῶν *R*, αὐτὸν *d*, αὐτέων *z* ‖ ἐν τῷ om. *R* ‖ 4. ἐς] ὡς *R* ‖ 7. μύριος *Rd* ‖ 8. ἴδον *PRz* ‖ 12. νεὼς *R* ‖ πυραμῖδες *ABC* ‖ 14. μεγίστων *Pz* ‖ δὲ om. *d* ‖ 15. τοῦ γὰρ om. *d*[t] ‖ αἱ αὐλαὶ *R* ‖ 16. βορέωι *B*, βορέην *PRz* ‖ 17. αὐτὸς σφέας *R* ‖ 18. ὑπόγαια *R* ‖ 19. ἐπ᾽ ἐκείνοισι — 20 ἑκάτερα om. *d* ‖ ὑπ᾽ ἐκείνοισι *R*, ὑπ᾽ ἐκείνῃσι *sz* ‖ 21. ὁρῶμεν *ABR*, ὁρέωμεν *C*, ὠρέομεν *Pz*, ὠρέωμεν *d* ‖ 22. αὐτέων *z* ‖ ὑπόγαια *R* ‖ 23. αὐτὸν *C* ‖ 24. τὴν λαβύρινθον *d* ‖ τούτων *ABd* ‖ 25. βασιλήων *z*

τῶν μὲν κάτω πέρι οἰκημάτων ἀκοῇ παραλαβόντες λέγομεν, τὰ δὲ ἄνω μέζονα ἀνθρωπηίων ἔργων αὐτοὶ ὡρῶμεν· αἵ τε γὰρ ἔξοδοι διὰ τῶν στεγέων καὶ οἱ ἑλιγμοὶ διὰ τῶν αὐλέων ἐόντες ποικιλώτατοι θῶυμα μυρίον παρείχοντο ἐξ αὐλῆς τε ἐς τὰ οἰκήματα διεξιοῦσι καὶ ἐκ τῶν οἰκημάτων ἐς παστάδας, ἐς στέγας τε ἄλλας ἐκ τῶν παστάδων καὶ ἐς αὐλὰς ἄλλας ἐκ τῶν οἰκημάτων. ὀροφὴ δὲ πάντων τούτων λιθίνη κατά περ οἱ τοῖχοι, οἱ δὲ τοῖχοι τύπων ἐγγεγλυμμένων πλέοι, αὐλὴ δὲ ἑκάστη περίστυλος λίθου λευκοῦ ἁρμοσμένου τὰ μάλιστα. τῆς δὲ γωνίης τελευτῶντος τοῦ λαβυρίνθου ἔχεται πυραμὶς τεσσερακοντόργυιος, ἐν τῇ ζῷα μεγάλα ἐγγέγλυπται· ὁδὸς δ' ἐς αὐτὴν ὑπὸ γῆν πεποίηται.

149 Τοῦ δὲ λαβυρίνθου τούτου ἐόντος τοιούτου, θῶυμα ἔτι μέζον παρέχεται ἡ Μοίριος καλεομένη λίμνη, παρ' ἣν ὁ λαβύρινθος οὗτος οἰκοδόμηται· τῆς τὸ περίμετρον τῆς περιόδου εἰσὶ στάδιοι ἑξακόσιοι καὶ τρισχίλιοι, σχοίνων ἑξήκοντα ἐόντων, ἴσοι καὶ αὐτῆς Αἰγύπτου τὸ παρὰ θάλασσαν. κέεται δὲ μακρὴ ἡ λίμνη πρὸς βορέην τε καὶ νότον, ἐοῦσα βάθος, τῇ βαθυτάτη αὐτὴ ἑωυτῆς, πεντηκοντόργυιος. ὅτι δὲ χειροποίητός ἐστι καὶ ὀρυκτή, αὐτὴ δηλοῖ· ἐν γὰρ μέσῃ τῇ λίμνῃ μάλιστά κῃ ἑστᾶσι δύο πυραμίδες, τοῦ ὕδατος ὑπερέχουσαι πεντήκοντα ὀργυιὰς ἑκατέρη, καὶ τὸ κατ' ὕδατος οἰκοδόμηται ἕτερον τοσοῦτον, καὶ ἐπ' ἀμφοτέρῃσι ἔπεστι κολοσσὸς λίθινος κατήμενος ἐν θρόνῳ. οὕτω αἱ μὲν πυραμίδες εἰσὶ ἑκατὸν

περὶ τῆς Μοίριδος λίμνης

---

3. Choricius Gaz. p. 151 Boiss.

1. περιοικημάτων z || 2. ὡρῶμεν *AB*: ὁρῶμεν *R*, ὡρέωμεν *C*, ὡρέομεν *Pdz* || 3. ἑλιγμοὶ *PRz*. Chor.: εἰλιγμένοι *ACd*, εἰλιγμένοι *B* || 4. ποικιλότατοι *d* || θώϋμα *Rz*, θῶμα *ABd* || παρέχοντο z || 5. ἐς] καὶ *R* || 6. ἐς τέγας *R* || αὐλὰς ἄλλας] αὐλὰς *R* || 7. τούτων πάντων *d* || κατάπερ οἱ τοῖχοι om. *d* || 8. οἱ δὲ τοῖχοι om. *R*, δὲ om. *d* || ἐγγεγλυμένων *C*, γεγλυμμένων *R* || 9. ταμάλιστα *P* || 11. τεσσαρακοντόργυιος *Rdz* || ζώϊα *R*, ζῶα *Cdz* | δὲ *R* || 12. ἐς - 13 τοιούτου om. *R* || 13. θῶμα *d*, θώϋμα z || 14. μύριος *R* || 17. $\overset{\eta}{\text{ἴσοι}}$ *A*, ἶσοι *d* || κεῖται *ABR* || 18. βορῆν *R* || 19. αὐτὴ om. *CPpr.* || 21. πυραμῖδες *ABC* || 22. ὀργυιὰς *R* || 23. τοσοῦτον *CRz*: τοσοῦτο || ἀμφοτέροισι *d* || 24. οὕτω] τούτω *R*

ὀργυιέων, αἱ δ᾽ ἑκατὸν ὀργυιαὶ δίκαιαί εἰσι στάδιον ἑξάπλεθρον, ἑξαπέδου τε τῆς ὀργυιῆς μετρεομένης καὶ τετραπήχεος, τῶν ποδῶν μὲν τετραπαλαίστων ἐόντων, τοῦ δὲ πήχεος ἑξαπαλαίστου. τὸ δὲ ὕδωρ τὸ ἐν τῇ λίμνῃ αὐθιγενὲς μὲν οὐκ ἔστι (ἄνυδρος γὰρ δὴ δεινῶς ἐστι ἡ ταύτῃ), ἐκ τοῦ Νείλου δὲ κατὰ διώρυχα ἐσῆκται, καὶ ἓξ μὲν μῆνας ἔσω ῥέει ἐς τὴν λίμνην, ἓξ δὲ μῆνας ἔξω ἐς τὸν Νεῖλον αὖτις. καὶ ἐπεὰν μὲν ἐκρέῃ ἔξω, ἡ δὲ τότε τοὺς ἓξ μῆνας ἐς τὸ βασιλήιον καταβάλλει ἐπ᾽ ἡμέρην ἑκάστην τάλαντον ἀργυρίου ἐκ τῶν ἰχθύων, ἐπεὰν δὲ ἐσίῃ τὸ ὕδωρ ἐς αὐτήν, εἴκοσι μνέας.
ἔλεγον δὲ οἱ ἐπιχώριοι καὶ ὡς ἐς τὴν Σύρτιν τὴν ἐς Λιβύην 150
ἐκδιδοῖ ἡ λίμνη αὕτη ὑπὸ γῆν, τετραμμένη τὸ πρὸς ἑσπέρην ἐς τὴν μεσόγαιαν παρὰ τὸ ὄρος τὸ ὑπὲρ Μέμφιος. ἐπείτε δὲ τοῦ ὀρύγματος τούτου οὐκ ὥρων τὸν χοῦν οὐδαμοῦ ἐόντα, ἐπιμελὲς γὰρ δή μοι ἦν, εἰρόμην τοὺς ἄγχιστα οἰκέοντας τῆς λίμνης ὅκου εἴη ὁ χοῦς ὁ ἐξορυχθείς. οἱ δὲ ἔφρασάν μοι ἵνα ἐξεφορήθη, καὶ εὐπετέως ἔπειθον· ᾔδεα γὰρ λόγῳ καὶ ἐν Νίνῳ τῇ Ἀσσυρίων πόλι γενόμενον ἕτερον τοιοῦτον. τὰ γὰρ Σαρδαναπάλλου τοῦ Νίνου βασιλέος ἐόντα μεγάλα χρήματα καὶ φυλασσόμενα ἐν θησαυροῖσι καταγαίοισι ἐπενόησαν κλῶπες ἐκφορῆσαι. ἐκ δὴ ὦν τῶν σφετέρων οἰκίων ἀρξάμενοι οἱ κλῶπες ὑπὸ γῆν σταθμεόμενοι ἐς τὰ βασιλήια οἰκία ὤρυσσον, τὸν δὲ χοῦν τὸν ἐκφορεόμενον ἐκ τοῦ ὀρύγματος, ὅκως γένοιτο νύξ, ἐς τὸν Τίγρην ποταμὸν παραρρέοντα τὴν Νίνον

τίνι τρόπῳ οἱ Σαρδαναπάλλου θησαυροὶ ἐπεβουλεύθησαν

1. δὲ *R* ‖ ὀργυιαι *A*, ὀργυῖαι *R* ‖ 2. ἐξαπόδου *CPdz* ‖ τε scripsi: μὲν ‖ ὀργυίης μετρεουμένης *R* ‖ 4. τῇ om. *C* ‖ 5. δὴ om. *R* ‖ δεινῶς ἔστι *AR* ‖ ἡ ταύτῃ Reiske: ταύτῃ ‖ 7. ἔξω *C* ‖ αὖθις *ABRd* ‖ 8. ἔξω ἤδε, *A*, ἔξω, ἤιδε *B*, ἔξω ἤδε· *C*, ἔξω ἤδε, *PRdz* ‖ 11. ἐν λιβύῃ *PRz* ‖ 12. τετρημμένη *C*, τετρημένη *d* ‖ 13. μεσόγαιαν (ε) *R* ‖ 14. ὥρων *AB*: ὅρων *R*, ὥρεων *C*, ὥρεον *Pz*, ὥρεον *d* ‖ 15. εἰρόμην *R*: ἠρόμην ‖ 17. ἐξεφυρήθη *d* ‖ ἤιδε *C*, ἤδε *R* ‖ λόγον *Apr.Cd*, λόγων *Acorr.B* ‖ 18. πόλει *ABCd* ‖ ἕτερόν τι *z* ‖ τοιοῦτο *Pz* ‖ 19. σαρδαναπάλου *Rz* ‖ βασιλῆος *z* ‖ ἐόντα χρήματα μεγάλα *d*, χρήματα ἐόντα μεγάλα *z* ‖ 20. καταγέοισιν *R* ‖ 21. οἰκίων *R*: οἰκιῶν ‖ 22. σταθμεώμενοι *dz* ‖ °ὤρυσσον *R* ‖ 23. δὲ om. *C* ‖ ἐκφερόμενον *PRdz* ‖ ἐκ] τὸν ἐκ *R* ‖ 24. γίνοιτο *R* ‖ τίγρην *ABC*: τίγριν ‖ παραρέοντα *ABCR* ‖ τὴν νῖνον *P*, τὸν νῖνον *d*

ἐξεφόρεον, ἐς δ κατεργάσαντο ὅ τι ἐβούλοντο. τοιοῦτον ἕτερον ἤκουσα καὶ τὸ τῆς ἐν Αἰγύπτῳ λίμνης ὄρυγμα γενέσθαι, πλὴν οὐ νυκτὸς ἀλλὰ μετ' ἡμέρην ποιεύμενον· ὀρύσσοντας γὰρ τὸν χοῦν τοὺς Αἰγυπτίους ἐς τὸν Νεῖλον φορέειν· ὁ δὲ ὑπολαμβάνων ἔμελλε διαχέειν. ἡ μέν νυν λίμνη αὕτη οὕτω λέγεται ὀρυχθῆναι.

151 Τῶν δὲ δυώδεκα βασιλέων δικαιοσύνῃ χρεωμένων, ἀνὰ χρόνον ὡς ἔθυσαν ἐν τῷ ἱρῷ τοῦ Ἡφαίστου, τῇ ὑστάτῃ τῆς ὁρτῆς μελλόντων κατασπείσειν ὁ ἀρχιερεὺς ἐξήνεικέ σφι φιάλας χρυσέας, τῇσί περ ἐώθεσαν σπένδειν, ἁμαρτὼν τοῦ ἀριθμοῦ, ἕνδεκα δυώδεκα ἐοῦσι. ἐνθαῦτα ὡς οὐκ εἶχε φιάλην ὁ ἔσχατος ἑστεὼς αὐτῶν Ψαμμήτιχος, περιελόμενος τὴν κυνέην ἐοῦσαν χαλκέην ὑπέσχε τε καὶ ἔσπενδε. κυνέας δὲ καὶ οἱ ἄλλοι ἅπαντες ἐφόρεόν τε βασιλέες καὶ ἐτύγχανον τότε ἔχοντες. Ψαμμήτιχος μέν νυν οὐδενὶ δολερῷ νόῳ χρεώμενος ὑπέσχε τὴν κυνέην· οἱ δὲ ἐν φρενὶ λαβόντες τό τε ποιηθὲν ἐκ Ψαμμητίχου καὶ τὸ χρηστήριον ὅ τι ἐκέχρηστό σφι, τὸν χαλκέῃ σπείσαντα αὐτῶν φιάλῃ τοῦτον βασιλέα ἔσεσθαι μοῦνον Αἰγύπτου, ἀναμνησθέντες τοῦ χρησμοῦ κτεῖναι μὲν οὐκ ἐδικαίωσαν Ψαμμήτιχον, ὡς ἀνεύρισκον βασανίζοντες ἐξ οὐδεμιῆς προνοίης αὐτὸν ποιήσαντα, ἐς δὲ τὰ ἕλεα ἔδοξέ σφι διῶξαι ψιλώσαντας τὰ πλεῖστα τῆς δυνάμιος, ἐκ δὲ τῶν ἑλέων
152 ὁρμεόμενον μὴ ἐπιμίσγεσθαι τῇ ἄλλῃ Αἰγύπτῳ. τὸν δὲ Ψαμμήτιχον τοῦτον πρότερον φεύγοντα τὸν Αἰθίοπα Σαβακῶν, ὅς οἱ τὸν πατέρα Νεκῶν ἀπέκτεινε, τοῦτον φεύγοντα

περὶ τοῦ σπεῖσαι Ψαμμήτιχον τῇ χαλκέῃ κυνέῃ

---

1. ἐσὸ *AB* ‖ 3. μετημέρην *P* ‖ 5. αὐτὴ *R* ‖ 7. βασιλήων *z* ‖ χρεομένων *P* ‖ 9. εορτῆς *AB*, ὀρτῆς *C* ‖ ἀρχιρεὺς *Pz* ‖ ἐξήνει καὶ *R*, ἐξένεικέ *CPz* ‖ 12. αὐτέων *z* ‖ ψαμμίτιχος *CPz* itemque eidem infra ‖ 13. ὑπέσχετο καὶ *R* ‖ δὲ] γὰρ *z* ‖ 14. πάντες *CPdz* ‖ τε om. *R*. Reiske ‖ βασιλῆες *z* ‖ 15. δέ νυν *qz* ‖ 16. ἐν om. *R* ‖ 17. ὅ τι οὐ κέχρητό σφι *R* ‖ 18. βασιλῆα *z* ‖ 21. προνοίης] αἰτίας *R* ‖ ἔλεα *CR* ‖ 22. δυνάμεος *z* ‖ ἐλαίων (ε suprascr.) *C* ‖ 23. ὁρμεόμενον *P*: ὁρμώμενον *ABR*, ὁρμεώμενον *Cdz* ‖ 24. φεύγοντα om. *R* ‖ σάβακῶν (ο suprascr.) *R* ‖ 25. νεκῶν *A*² marg.: νέκων *R*, ἐκῶν *Apr.*, ἐκὼν *Acorr.BCPdz*

τότε ἐς Συρίην, ὡς ἀπαλλάχθη ἐκ τῆς ὄψιος τοῦ ὀνείρου ὁ Αἰθίοψ, κατήγαγον Αἰγυπτίων οὗτοι οἳ ἐκ νομοῦ τοῦ Σαΐτεώ εἰσι. μετὰ δὲ βασιλεύοντα τὸ δεύτερον πρὸς τῶν ἕνδεκα βασιλέων καταλαμβάνει μιν διὰ τὴν κυνέην φεύγειν ἐς τὰ ἕλεα. ἐπιστάμενος ὦν ὡς περιυβρισμένος εἴη πρὸς αὐτῶν, ἐπενόεε τίσασθαι τοὺς διώξαντας. πέμψαντι δέ οἱ ἐς Βουτοῦν πόλιν ἐς τὸ χρηστήριον τῆς Λητοῦς, ἔνθα δὴ Αἰγυπτίοισί ἐστι μαντήιον ἀψευδέστατον, ἦλθε χρησμὸς ὡς τίσις ἥξει ἀπὸ θαλάσσης χαλκέων ἀνδρῶν ἐπιφανέντων. καὶ τῷ μὲν δὴ ἀπιστίη μεγάλη ὑπεκέχυτο χαλκέους οἱ ἄνδρας ἥξειν ἐπικούρους. χρόνου δὲ οὐ πολλοῦ διελθόντος ἀναγκαίη κατέλαβε Ἴωνάς τε καὶ Κᾶρας ἄνδρας κατὰ ληίην ἐκπλώσαντας ἀπενειχθῆναι ἐς Αἴγυπτον, ἐκβάντας δὲ ἐς γῆν καὶ ὁπλισθέντας χαλκῷ ἀγγέλλει τῶν τις Αἰγυπτίων ἐς τὰ ἕλεα ἀπικόμενος τῷ Ψαμμητίχῳ, ὡς οὐκ ἰδὼν πρότερον χαλκῷ ἄνδρας ὁπλισθέντας, ὡς χάλκεοι ἄνδρες ἀπιγμένοι ἀπὸ θαλάσσης λεηλατεῦσι τὸ πεδίον. ὁ δὲ μαθὼν τὸ χρηστήριον ἐπιτελεύμενον φίλα τε τοῖσι Ἴωσι καὶ Καρσὶ ποιέεται καί σφεας μεγάλα ὑπισχνεύμενος πείθει μετ' ἑωυτοῦ γενέσθαι. ὡς δὲ ἔπεισε, οὕτω ἅμα τοῖσι μετ' ἑωυτοῦ βουλομένοισι Αἰγυπτίοισι
καὶ τοῖσι ἐπικούροισι καταιρέει τοὺς βασιλέας. κρατήσας δὲ 153
Αἰγύπτου πάσης ὁ Ψαμμήτιχος ἐποίησε τῷ Ἡφαίστῳ προπύλαια ἐν Μέμφι τὰ πρὸς νότον ἄνεμον τετραμμένα, αὐλήν τε τῷ Ἄπι, ἐν τῇ τρέφεται ἐπεὰν φανῇ ὁ Ἆπις, οἰκοδόμησε ἐναντίον τῶν προπυλαίων, πᾶσάν τε περίστυλον ἐοῦσαν καὶ τύπων πλέην· ἀντὶ δὲ κιόνων ὑπεστᾶσι κολοσσοὶ δυωδεκα-

10. Libanius vol. III p. 296 Reiske. Eustathius Il. p. 1031

1. ἀπηλλάχθη *AB* ‖ 2. νόμου *Cd* ‖ σαΐτεώ εἰσί *R*, σαΐτεω εἰσί *Pz*: σαϊτέωι εἰσί *C*, σαιτέων εἰσί *ABd* ‖ 4. κυνέειν B^1 ‖ φεύγοντα *sz* ‖ 5. ὥσπερ ὑβρισμένος *d* ‖ 6. ἐπενόει *ABCd* ‖ οἱ om. *R* ‖ ἐς] ἐν ᾗ *R* ‖ 7. λητοῦς *C* ‖ 8. μαντήιον om. *Pz*, post ἀψευδέστατον *R* ‖ ἥξει οἱ Schaefer ‖ 10. ἀπιστίηι *B* ‖ 12. κάρας *CR* ‖ ἄνδρας om. *R* ‖ 13. εἰς γῆν *d* ‖ 15. ὅς *d* ‖ οὐχ A^1B ‖ 18. τοῖς *CP* ‖ καὶ σφέας *R* ‖ 19. ὑπισχνούμενος *AB*, ὑπεσχνεύμενος *C* ‖ 19. et 20. μετωυτοῦ *C* ‖ 24. ὁ om. *R* ‖ ἄπις *L* hic et infra ‖ οικοδόμησ/// εναντίων *B*, οἰκοδόμησε ἐναντίων d^1

πήχεας τῇ αὐλῇ. ὁ δὲ Ἆπις κατὰ τὴν Ἑλλήνων γλῶσσαν
154 ἐστὶ Ἔπαφος. τοῖσι δὲ Ἴωσι καὶ τοῖσι Καρσὶ τοῖσι συγκατερ-
γασαμένοισι αὐτῷ ὁ Ψαμμήτιχος δίδωσι χώρους ἐνοικῆσαι
ἀντίους ἀλλήλων, τοῦ Νείλου τὸ μέσον ἔχοντος· τοῖσι οὐνό-
ματα ἐτέθη Στρατόπεδα. τούτους τε δή σφι τοὺς χώρους
δίδωσι καὶ τὰ ἄλλα τὰ ὑπέσχετο πάντα ἀπέδωκε. καὶ δὴ
καὶ παῖδας παρέβαλε αὐτοῖσι Αἰγυπτίους τὴν Ἑλλάδα γλῶσ-
σαν ἐκδιδάσκεσθαι· ἀπὸ δὲ τούτων ἐκμαθόντων τὴν γλῶσσαν
οἱ νῦν ἑρμηνέες ἐν Αἰγύπτῳ γεγόνασι. οἱ δὲ Ἴωνές τε καὶ
οἱ Κᾶρες τούτους τοὺς χώρους οἴκησαν χρόνον ἐπὶ πολλόν·
εἰσὶ δὲ οὗτοι οἱ χῶροι πρὸς θαλάσσης ὀλίγον ἔνερθε Βου-
βάστιος πόλιος, ἐπὶ τῷ Πηλουσίῳ καλεομένῳ στόματι τοῦ
Νείλου. τούτους μὲν δὴ χρόνῳ ὕστερον βασιλεὺς Ἄμασις
ἐξαναστήσας ἐνθεῦτεν κατοίκισε ἐς Μέμφιν, φυλακὴν ἑωυτοῦ
ποιεύμενος πρὸς Αἰγυπτίων. τούτων δὲ οἰκισθέντων ἐν Αἰ-
γύπτῳ, οἱ Ἕλληνες οὕτω ἐπιμισγόμενοι τούτοισι τὰ περὶ
Αἴγυπτον γινόμενα ἀπὸ Ψαμμητίχου βασιλέος ἀρξάμενοι
πάντα καὶ τὰ ὕστερον ἐπιστάμεθα ἀτρεκέως· πρῶτοι γὰρ οὗ-
τοι ἐν Αἰγύπτῳ ἀλλόγλωσσοι κατοικίσθησαν. ἐξ ὧν δὲ ἐξ-
ανέστησαν χώρων, ἐν τούτοισι δὲ οἵ τε ὁλκοὶ τῶν νεῶν καὶ
τὰ ἐρείπια τῶν οἰκημάτων τὸ μέχρι ἐμεῦ ἦσαν.
155 Ψαμμήτιχος μέν νυν οὕτω ἔσχε Αἴγυπτον. τοῦ δὲ χρη-
στηρίου τοῦ ἐν Αἰγύπτῳ πολλὰ ἐπεμνήσθην ἤδη, καὶ δὴ
λόγον περὶ αὐτοῦ ὡς ἀξίου ἐόντος ποιήσομαι. τὸ γὰρ χρη-
στήριον τοῦτο τὸ ἐν Αἰγύπτῳ ἔστι μὲν Λητοῦς ἱρόν, ἐν πόλι

περὶ τοῦ ἐν Βουτοῖ τῆς Λητοῦς χρηστηρίου

---

2. ἔστιν *R*, ἔστι *z* ‖ 4. ἔχοντας *R* ‖ 5. τὰ στρατόπεδα *R* ‖ 6. τἄλλα *PRz* ‖ 7. καὶ om. *ABCd* ‖ παρέλαβεν *Rd* ‖ 8. διδάσκεσθαι *R* ‖ τὴν Ελλάδα γλῶσσαν *z* ‖ 10. χώρους] χρόνους *R* ‖ 11. ὀλίγον θαλάσσης *z* ‖ 12. πόλεος *z* ‖ καλευμένω *R* ‖ 13. ἄμασις *Cd* ‖ 14. ἐνθεῦτε *PK* ‖ κατοίκησεν *R*, κατοίκησε *z* ‖ 15. ποιουμένους *d* ‖ 17. βασιλέως *d*, βασιλῆος *z* ‖ 18. ὕστερα *R* ‖ ἐπιστάμενοι *d* ‖ πρῶτον *d* ‖ 19. ἀνέστησαν *z* ‖ 20. δὲ Eltz: δὴ ‖ νηῶν *d* ‖ 21. ἐρίπια *ABR* ‖ μέχρϊς *R*, τομέχρι *P* ‖ 22. οὕτως *ABC* ‖ τὴν αἴγυπτον *R* ‖ 23. δὴ om. *R* ‖ 25. τοῦτο] τούτω *Apr.* ‖ τὸ om. *AB* ‖ λητοὺς *C* ‖ πόλει *CRd*

δὲ μεγάλῃ ἱδρυμένον κατὰ τὸ Σεβεννυτικὸν καλεόμενον στόμα τοῦ Νείλου, ἀναπλέοντι ἀπὸ θαλάσσης ἄνω. οὔνομα δὲ τῇ πόλι ταύτῃ ὅκου τὸ χρηστήριόν ἐστι Βουτώ, ὡς καὶ πρότερον ὠνόμασταί μοι. ἱρὸν δέ ἐστι ἐν τῇ Βουτοῖ ταύτῃ Ἀπόλλωνος καὶ Ἀρτέμιδος. καὶ ὅ γε νηὸς τῆς Λητοῦς, ἐν τῷ δὴ τὸ χρηστήριον ἔνι, αὐτός τε τυγχάνει ἐὼν μέγας καὶ τὰ προπύλαια ἔχει ἐς ὕψος δέκα ὀργυιέων. τὸ δέ μοι τῶν φανερῶν ἦν θῶυμα μέγιστον παρεχόμενον, φράσω. ἔστι ἐν τῷ τεμένεϊ τούτῳ Λητοῦς νηὸς ἐξ ἑνὸς λίθου πεποιημένος ἔς τε ὕψος καὶ ἐς μῆκος, καὶ τοῖχος ἕκαστος τούτοισι ἴσος· τεσσεράκοντα πηχέων τούτων ἕκαστόν ἐστι. τὸ δὲ καταστέγασμα τῆς ὀροφῆς ἄλλος ἐπικέεται λίθος, ἔχων τὴν παρωροφίδα τετράπηχυν. οὕτω μέν νυν ὁ νηὸς τῶν φανερῶν μοι τῶν περὶ 156
τοῦτο τὸ ἱρὸν ἐστὶ θωυμαστότατον, τῶν δὲ δευτέρων νῆσος ἡ Χέμμις καλευμένη. ἔστι μὲν ἐν λίμνῃ βαθέῃ καὶ πλατέῃ κειμένη παρὰ τὸ ἐν Βουτοῖ ἱρόν, λέγεται δὲ ὑπ' Αἰγυπτίων εἶναι αὕτη ἡ νῆσος πλωτή. αὐτὸς μὲν ἔγωγε οὔτε πλέουσαν οὔτε κινηθεῖσαν εἶδον, τέθηπα δὲ ἀκούων εἰ νῆσος ἀληθέως ἐστὶ πλωτή. ἐν δὲ ὦν ταύτῃ νηός τε Ἀπόλλωνος μέγας ἔνι καὶ βωμοὶ τριφάσιοι ἐνιδρύαται, ἐμπεφύκασι δ' ἐν αὐτῇ φοίνικες συχνοὶ καὶ ἄλλα δένδρεα καὶ καρποφόρα καὶ ἄφορα πολλά. λόγον δὲ τόνδε ἐπιλέγοντες οἱ Αἰγύπτιοί φασι εἶναι

περὶ Χέμμιδος νήσου

11. Pollux VII 123. — 14. - 17 Eustathius Od. p. 1644. Stephanus Byz. v. Χέμμις. — 19. Λέξεις. — 21. δένδρεα - 22 πολλά Lexicon Vindob. p. 188

3. πόλει *Cd* ‖ ὅπου *R* ‖ χρηστήριον ἐστὶ *PR* ‖ 4. οὐνόμασταί *CPz* ‖ δ' ἐστὶ *ABC* ‖ βουτοὶ *C*, βουτῶ *d* ‖ 5. λητοὺς *C* ‖ 8. ἦν om. *ABCd* ‖ θῶυμα *P*: θώυμα *C*, θωϋμα *Rz*, θῶμα *ABd* ‖ τεμένει *AB* ‖ 9. λητοὺς *C* ‖ 10. ἐς om. *R* ‖ ἶσος *d* ‖ τεσσαράκοντα *CRdz*. rectius τεσσερεσκαίδεκα ‖ 11. τουτέων *z* ‖ τῆς] ἐστι τῆς *C* ‖ 12. ἐπίκειται *ABR* ‖ παροροφίδα *R* ‖ 13. οὗτος malit Bekker ‖ 14. θωυμαστότατον *P*: θωϋμαστότατον *R*, θωμαστότατον *ABd*, θαυμαστότατον *C*, θαυμαστότερον *q*, θωϋμαστότερον *z* ‖ 15. ἡ Χέμμις] ἔχεμμις *R*, ἔχεμις *s*. Eust. ‖ καλεομένη *CPdz* ‖ ἐν om. *B* ‖ πλατεῖ *C* ‖ 17. εἶναι post νῆσος *s* ‖ 18. ἶδον *PR* ‖ δὲ] δέ που *d* ‖ 19. δὴ] δὲ Bekker ‖ 20. ἐμπεφύκεσαν *C*, ἐπεμφύασι *R* ‖ δὲ *R* ‖ 21. φοίνικές τε συχναὶ *R* ‖ καὶ καρποφόρα] καρποφόρα *R* ‖ 22. τοιόνδε *z*

αὐτὴν πλωτήν, ὡς ἐν τῇ νήσῳ ταύτῃ οὐκ ἐούσῃ πρότερον πλωτῇ Λητὼ ἐοῦσα τῶν ὀκτὼ θεῶν τῶν πρώτων γενομένων, οἰκέουσα δὲ ἐν Βουτοῖ πόλι, ἵνα δή οἱ τὸ χρηστήριον τοῦτό ἐστι, Ἀπόλλωνα παρ' Ἴσιος παρακαταθήκην δεξαμένη διέσωσε καταχρύψασα ἐν τῇ νῦν πλωτῇ λεγομένῃ νήσῳ, ὅτε τὸ πᾶν διζήμενος ὁ Τυφῶν ἐπῆλθε, θέλων ἐξευρεῖν τοῦ Ὀσίριος τὸν παῖδα. Ἀπόλλωνα δὲ καὶ Ἄρτεμιν Διονύσου καὶ Ἴσιος λέγουσι εἶναι παῖδας, Λητοῦν δὲ τροφὸν αὐτοῖσι καὶ σώτειραν γενέσθαι. Αἰγυπτιστὶ δὲ Ἀπόλλων μὲν Ὧρος, Δημήτηρ δὲ Ἶσις, Ἄρτεμις δὲ Βούβαστις. ἐκ τούτου δὲ τοῦ λόγου καὶ οὐδενὸς ἄλλου Αἰσχύλος ὁ Εὐφορίωνος ἥρπασε τὸ ἐγὼ φράσω, μοῦνος δὴ ποιητέων τῶν προγενομένων· ἐποίησε γὰρ Ἄρτεμιν εἶναι θυγατέρα Δήμητρος. τὴν δὲ νῆσον διὰ τοῦτο γενέσθαι πλωτήν. ταῦτα μὲν οὕτω λέγουσι.

157 Ψαμμήτιχος δὲ ἐβασίλευσε Αἰγύπτου τέσσερα καὶ πεντήκοντα ἔτεα, τῶν τὰ ἑνὸς δέοντα τριήκοντα Ἄζωτον τῆς Συρίης μεγάλην πόλιν προσκατήμενος ἐπολιόρκεε, ἐς ὃ ἐξεῖλε. αὕτη δὲ ἡ Ἄζωτος ἁπασέων πολίων ἐπὶ πλεῖστον χρόνον πολιορκεομένη ἀντέσχε τῶν ἡμεῖς ἴδμεν.

158 Ψαμμητίχου δὲ Νεκῶς παῖς ἐγένετο καὶ ἐβασίλευσε Αἰγύπτου, ὃς τῇ διώρυχι ἐπεχείρησε πρῶτος τῇ ἐς τὴν Ἐρυθρὴν θάλασσαν φερούσῃ, τὴν Δαρεῖος ὁ Πέρσης δεύτερα διώρυξε· τῆς μῆκός ἐστι πλόος ἡμέραι τέσσερες, εὖρος

περὶ Νεκῶ βασιλέως τοῦ Ψαμμητίχου παιδὸς καὶ τῆς ἐπ' αὐτοῦ γενομένης διώρυχος

---

7. Ἀπόλλωνα - 9 γενέσθαι Athenagoras legat. 24. Schol. Ciceron. p. 403 Orell. — 16. Ἄζωτον - 19 ἴδμεν (Suidas v. Ψαμμήτιχος)

1. οἰκεούσῃ *R* || 2. πλωτή *C* || 3. βουτοὶ πόλει *C* || 5. κατακρύψασαν *C* || λεγομένη πλωτῇ *R* || ὅτε] ὅτε δὴ *C* (P) *s* || 6. τυφῶν *AB*: τυφὼν ἐξελθεῖν *C* || ὀσίριδος *d* || 7. Ἴσιδος Athen. || 8. λητοῦν *Rz*. Schol. Cic.: λητὼ ceteri cum Athen. || καὶ om. Athen. || σώτηραν *C*, σωτηρίαν Athen. || 9. ὦρος *R* || 10. ἶσος *A*[1], ἴσης *R* || 11. Αἰσχύλος - 12 ποιη(τέων) om. *C*[1] || 12. προγενομένων] λεγομένων *R* || 15. τέσσαρα *CRdz* || 16. ἔζωντον *R* || 17. ἐπολιόρκησεν Suid. || ἐσὸ *AB*, ἐς τὸ *CPz* || 18. ἔζωτος *R* || 19. πολιορκευμένη *R* || 20. ψαμμιτίχου *CPz* || νεκὼς *CPz*, νέκως *R* || 23. διόρυξε· τῆς μῆκος μέν ἐστι *R* || τέσσαρες *CRd* || εὖρος - p. 241, 1 ἐλαστρευμένας om. *R*

δὲ ὠρύχθη ὥστε τριήρεας δύο πλέειν ὁμοῦ ἐλαστρευμένας. ἦκται δὲ ἀπὸ τοῦ Νείλου τὸ ὕδωρ ἐς αὐτήν, ἦκται δὲ κατύπερθε ὀλίγον Βουβάστιος πόλιος παρὰ Πάτουμον τὴν Ἀραβίην πόλιν, ἐσέχει δὲ ἐς τὴν Ἐρυθρὴν θάλασσαν. ὀρώρυκται δὲ πρῶτον μὲν τοῦ πεδίου τοῦ Αἰγυπτίου τὰ πρὸς Ἀραβίην ἔχοντα, ἔχεται δὲ κατύπερθε τοῦ πεδίου τὸ κατὰ Μέμφιν τεῖνον ὄρος, ἐν τῷ αἱ λιθοτομίαι ἔνεισι· τοῦ ὦν δὴ ὄρεος τούτου παρὰ τὴν ὑπωρέην ἦκται ἡ διῶρυξ ἀπ᾽ ἑσπέρης μακρὴ πρὸς τὴν ἠῶ, καὶ ἔπειτα τείνει ἐς διασφάγας, φέρουσα ἀπὸ τοῦ ὄρεος πρὸς μεσαμβρίην τε καὶ νότον ἄνεμον ἐς τὸν κόλπον τὸν Ἀράβιον. τῇ δὲ ἐλάχιστόν ἐστι καὶ συντομώτατον ἐκ τῆς βορηίης θαλάσσης ὑπερβῆναι ἐς τὴν νοτίην καὶ Ἐρυθρὴν τὴν αὐτὴν ταύτην καλεομένην, ἀπὸ τοῦ Κασίου ὄρεος τοῦ οὐρίζοντος Αἴγυπτόν τε καὶ Συρίην, ἀπὸ τούτου εἰσὶ στάδιοι ἀπαρτὶ χίλιοι ἐς τὸν Ἀράβιον κόλπον. τοῦτο μὲν τὸ συντομώτατον, ἡ δὲ διῶρυξ πολλῷ μακροτέρη, ὅσῳ σκολιωτέρη ἐστί· τὴν ἐπὶ Νεκῶ βασιλέος ὀρύσσοντες Αἰγυπτίων ἀπώλοντο δυώδεκα μυριάδες. Νεκῶς μέν νυν μεταξὺ ὀρύσσων ἐπαύσατο μαντηίου ἐμποδίου γενομένου τοιοῦδε, τῷ βαρβάρῳ αὐτὸν προεργάζεσθαι. βαρβάρους δὲ πάντας οἱ Αἰγύπτιοι καλέουσι τοὺς μὴ σφίσι ὁμογλώσσους. παυσάμενος 159
δὲ τῆς διώρυχος ὁ Νεκῶς ἐτράπετο πρὸς στρατηίας, καὶ τριήρεες αἱ μὲν ἐπὶ τῇ βορηίῃ θαλάσσῃ ἐποιήθησαν, αἱ δ᾽

1. Eustathius Il. p. 1161. — 13 sq. idem Dion. 260. — 14. ἀπὸ - 15 κόλπον Bekkeri Anecd. p. 418. — ἀπὸ - 15 ἀπαρτί Schol. Arist. Plut. 388. Suidas v. ἀπαρτί

1. ἐλαστρευμένας *CPz*. Eust.: ἐλαστρεομένας ‖ 2. ταύτην *R* ‖ ἦκται] τέταται vel τείνει? ‖ κατύπερθεν *Rd* ‖ 3. Βουβάστιος] κατύπερθε *C* ‖ πατουμόν *R* ‖ ἀρραβίην *d* ut fere ‖ 4. ὄρυκται *R*, ὤρυκται ceteri ‖ 5. τοῦ Αἰγυπτίου - 6 πεδίου om. *R* ‖ 6. ἔχετε *C* ‖ δὲ om. *d* ‖ κατύπερθεν *d* ‖ 7. ἐν ὦ λιθοτομίαι μὲν ἔνεισι *R* ‖ οὔρεος *CPdz* ‖ 8. ὑπωρείην *R* ‖ 9. ἠῶ *C* ‖ φερούσας *P¹Rz* ‖ 10. οὔρεος *CPdz* ‖ μεσημβρίην *ABC* ‖ 11. δὲ *C*: δὴ ‖ 13. ταύτην om. *C* ‖ τοῦ om. *z* ‖ 14. οὔρεος *CPdz* ‖ οὐρίζοντος *z*, ὁρίζοντος *PRd* ‖ 15. ἀπαρτὶ χίλιοι Bekk. An. (i. e. ni fallit ratio Aelius Dionysius): ᾱ ἀπαρτὶ Schol. Ar. Suid., χίλιοι sine ἀπαρτὶ *L* ‖ 17. νεκὼ *PR* ‖ βασιλέως *C*, βασιλῆος *z* ‖ ὀρύσσοντος *CPz* ‖ 18. ἀπώλλοντο *C* ‖ μυριάδας *C* ‖ νεκὼς *Pz*, νέκως *R* ‖ 20. περιεργάζεσθαι *R*, προσεργάζεσθαι *sz* ‖ 21. μὴ σφίσιν *R*, μή σφισι *ABCd*, μή σφι *Pz* ‖ 22. νεκὼς *Pz*, νέκως *R* ‖ 23. ἐποιήθησαν - p. 242, 1 θαλάσσῃ om. *d* ‖ δὲ *R*

ἐν τῷ Ἀραβίῳ κόλπῳ ἐπὶ τῇ Ἐρυθρῇ θαλάσσῃ, τῶν ἔτι οἱ ὁλκοὶ ἐπίδηλοι. καὶ ταύτῃσί τε ἐχρᾶτο ἐν τῷ δέοντι καὶ Σύροισι πεζῇ ὁ Νεκῶς συμβαλὼν ἐν Μαγδώλῳ ἐνίκησε, μετὰ δὲ τὴν μάχην Κάδυτιν πόλιν τῆς Συρίης ἐοῦσαν μεγάλην εἷλε. ἐν τῇ δὲ ἐσθῆτι ἔτυχε ταῦτα κατεργασάμενος, ἀνέθηκε τῷ Ἀπόλλωνι πέμψας ἐς Βραγχίδας τὰς Μιλησίων. μετὰ δέ, ἑκκαίδεκα ἔτεα τὰ πάντα ἄρξας, τελευτᾷ, τῷ παιδὶ Ψάμμι παραδοὺς τὴν ἀρχήν.

160 Ἐπὶ τοῦτον δὴ τὸν Ψάμμιν βασιλεύοντα Αἰγύπτου ἀπίκοντο Ἠλείων ἄγγελοι, αὐχέοντες δικαιότατα καὶ κάλλιστα τιθέναι τὸν ἐν Ὀλυμπίῃ ἀγῶνα πάντων ἀνθρώπων, καὶ δοκέοντες παρὰ ταῦτα οὐδ᾽ ἂν τοὺς σοφωτάτους ἀνθρώπων Αἰγυπτίους οὐδὲν ἐπεξευρεῖν. ὡς δὲ ἀπικόμενοι ἐς τὴν Αἴγυπτον οἱ Ἠλεῖοι ἔλεγον τῶν εἵνεκα ἀπίκοντο, ἐνθαῦτα ὁ βασιλεὺς οὗτος συγκαλέεται Αἰγυπτίων τοὺς λεγομένους εἶναι σοφωτάτους. συνελθόντες δὲ οἱ Αἰγύπτιοι ἐπυνθάνοντο τῶν Ἠλείων λεγόντων ἅπαντα τὰ κατήκει σφέας ποιέειν περὶ τὸν ἀγῶνα· ἀπηγησάμενοι δὲ τὰ πάντα ἔφασαν ἥκειν ἐπιμαθησόμενοι εἴ τι ἔχοιεν Αἰγύπτιοι τούτων δικαιότερον ἐπεξευρεῖν. οἱ δὲ βουλευσάμενοι ἐπειρώτεον τοὺς Ἠλείους εἴ σφι οἱ πολιῆται ἐναγωνίζονται. οἱ δὲ ἔφασαν καὶ σφέων καὶ τῶν ἄλλων Ἑλλήνων ὁμοίως τῷ βουλομένῳ ἐξεῖναι ἀγωνίζεσθαι. οἱ δὲ Αἰγύπτιοι ἔφασάν σφεας οὕτω τιθέντας παντὸς τοῦ δικαίου ἡμαρτηκέναι. οὐδεμίαν γὰρ εἶναι μηχανὴν ὅκως οὐ τῷ ἀστῷ ἀγωνιζομένῳ προσθήσονται, ἀδικέοντες τὸν ξεῖνον.

περὶ Ψάμμιδος βασιλέως τοῦ Νεκῶ παιδός

3. Lexicon Vindob. p. 165. — 4. Stephanus Byz. v. Κάλυτις. — 6. Philemo apud Porphyrium quaest. Hom. 8

1. ὧν *Ppr.Rz* ‖ 2. ὁλκοὶ εἰσὶ δῆλοι *R* ‖ 3. συρίοισι *R* ‖ νεκὼς *CPRcorr.z*, νέκως *Rpr.* ‖ μαγδάλῳ *Rd*. Lex. Vind., Μαγδόλῳ *z* ‖ 4. Κάλυτις Steph. ‖ 6. τὰς] τοὺς s. Reiske ‖ 7. ἄρξας τὰ πάντα *d*, πάντα ἄρξας *R* ‖ 9. δὴ om. *R* ‖ 10. ἠλείων *PR* ‖ ἄνδρες ἄγγελοι *z* ‖ αὐχένες *C*¹ ‖ μάλιστα *R* ‖ 14. ἠλεῖοι *PR* ‖ ἀπίκατο *R* ‖ 17. ἠλείων *PR* ‖ κάτησκει *C*¹, ἥκει *R* ‖ 19. ἐπεξερεῖν *R* ‖ 20. ἐπειρώτων *ABRd*, ἐπηρώτων *CPz* ‖ ἠλείους *PR* ‖ σφιν *ABCd* ‖ 21. καὶ τῶν] καὶ *Pz*, τῶν *R* ‖ 22. ἀγωνίσασθαι *R* ‖ 23. ἔφασαν σφέας *CPRdz* ‖ οὔτι *R* ‖ 24. οὐδὲ μίην *R*, οὐδεμίην *z*

ἀλλ' εἰ δὴ βούλονται δικαίως τιθέναι καὶ τούτου εἵνεκα ἀπι-
κοίατο ἐς Αἴγυπτον, ξείνοισι ἀγωνιστῇσι ἐκέλευον τὸν ἀγῶνα
τιθέναι, Ἠλείων δὲ μηδενὶ εἶναι ἀγωνίζεσθαι. ταῦτα μὲν
Αἰγύπτιοι Ἠλείοισι ὑπεθήκαντο.

Ψάμμιος δὲ ἓξ ἔτεα μοῦνον βασιλεύσαντος Αἰγύπτου καὶ 161
στρατευσαμένου ἐς Αἰθιοπίην καὶ μεταυτίκα τελευτήσαντος
ἐξεδέξατο Ἀπρίης ὁ Ψάμμιος· ὃς μετὰ Ψαμμήτιχον τὸν
ἑωυτοῦ προπάτορα ἐγένετο εὐδαιμονέστατος τῶν πρότερον
βασιλέων, ἐπ' ἔτεα πέντε καὶ εἴκοσι ἄρξας, ἐν τοῖσι ἐπί τε
Σιδῶνα στρατὸν ἤλασε καὶ ἐναυμάχησε τῷ Τυρίῳ. ἐπεὶ δέ
οἱ ἔδεε κακῶς γενέσθαι, ἐγίνετο ἀπὸ προφάσιος τὴν ἐγὼ
μεζόνως μὲν ἐν τοῖσι Λιβυκοῖσι λόγοισι ἀπηγήσομαι, μετρίως
δ' ἐν τῷ παρεόντι. ἀποπέμψας γὰρ στράτευμα ὁ Ἀπρίης
μέγα ἐπὶ Κυρηναίους μεγαλωστὶ προσέπταισε, Αἰγύπτιοι δὲ
ταῦτα ἐπιμεμφόμενοι ἀπέστησαν ἀπ' αὐτοῦ, δοκέοντες τὸν
Ἀπρίην ἐκ προνοίης αὐτοὺς ἀποπέμψαι ἐς φαινόμενον κακόν,
ἵνα δή σφεων φθορὴ γένηται, αὐτὸς δὲ τῶν λοιπῶν Αἰγυ-
πτίων ἀσφαλέστερον ἄρχοι. ταῦτα δὲ δεινὰ ποιεύμενοι οὗτοί
τε οἱ ἀπονοστήσαντες καὶ οἱ τῶν ἀπολομένων φίλοι ἀπέστη-
σαν ἐκ τῆς ἰθέης. πυθόμενος δὲ Ἀπρίης ταῦτα πέμπει ἐπ' 162
αὐτοὺς Ἄμασιν καταπαύσοντα λόγοισι. ὁ δὲ ἐπείτε ἀπικό-
μενος κατελάμβανε τοὺς Αἰγυπτίους, ταῦτα μὴ ποιέειν λέ-
γοντος αὐτοῦ τῶν τις Αἰγυπτίων ὄπισθε στὰς περιέθηκέ οἱ
κυνέην, καὶ περιτιθεὶς ἔφη ἐπὶ βασιληίῃ περιτιθέναι. καὶ
τῷ οὔ κως ἀεκούσιον ἐγίνετο τὸ ποιεύμενον, ὡς διεδείκνυε.

περὶ Ἀπρίου βασιλέως τοῦ Ψάμμιδος καὶ τοῦ πρὸς Σιδωνίους πολέμου καὶ Κυρηναίους . τίνι τρόπῳ Ἄμασιν Αἰγύπτιοι εἵλοντο βασιλέα καὶ περὶ τοῦ πρὸς Ἀπρίαν αὐτοῦ πολέμου

---

3. ἠλείων *CPR* ‖ ἐξεῖναι *z* ‖ ἀγωνίσασθαι *R* ‖ 4. ἠλείοισι *CPR* ‖ 5. μοῦνα *d* ‖ 7. ἐξεδέξατο τὴν βασιλείαν *d*, ἐξεδέξατο τὴν βασιληΐην *z* ‖ Πρίης *z* ‖ ψαμμίτιχος *CPz* ‖ 9. βασιλήων *z* ‖ πέντε] ἕν τε *R* ‖ ἐείκοσι *z* ‖ ἐπί] ἐπεὶ *R* ‖ 11. ἐγένετο *R* ‖ 13. ὁ ἀπρίης μέγα *Pz*: μέγα ἀπρίης *R*, ὁ ἀπρίης reliqui ‖ 14. μεγάλωστι *AB*, μεγάλως *R* ‖ 17. δὴ σφέων Wesseling ‖ 18. ἄρχῃ *Pz* ‖ 20. ἰθείης *L* ‖ ὁ ἀπρίης *R* ‖ 21. ἄμασιν *Cd*, itemque eidem fere infra ‖ 23. οἱ om. *R* ‖ 25. ἀκούσιον *d*

ἐπείτε γὰρ ἐστήσαντό μιν βασιλέα τῶν Αἰγυπτίων οἱ ἀπεστεῶτες, παρεσκευάζετο ὡς ἐλῶν ἐπὶ τὸν Ἀπρίην. πυθόμενος δὲ ταῦτα ὁ Ἀπρίης ἔπεμπε ἐπ' Ἄμασιν ἄνδρα δόκιμον τῶν περὶ ἑωυτὸν Αἰγυπτίων, τῷ οὔνομα ἦν Πατάρβημις, ἐντειλάμενος αὐτῷ ζῶντα Ἄμασιν ἀγαγεῖν παρ' ἑωυτόν. ὡς δὲ ἀπικόμενος τὸν Ἄμασιν ἐκάλεε ὁ Πατάρβημις, ὁ Ἄμασις (ἔτυχε γὰρ ἐπ' ἵππου κατήμενος) ἐπαείρας ἀπεματάισε, καὶ τοῦτό μιν ἐκέλευε Ἀπρίῃ ἀπάγειν. ὅμως δὲ αὐτὸν ἀξιοῦν τὸν Πατάρβημιν βασιλέος μεταπεμπομένου ἰέναι πρὸς αὐτόν· τὸν δὲ αὐτῷ ὑποκρίνεσθαι ὡς ταῦτα πάλαι παρεσκευάζετο ποιέειν, καὶ αὐτῷ οὐ μέμψεσθαι Ἀπρίην· παρέσεσθαι γὰρ καὶ αὐτὸς καὶ ἄλλους ἄξειν. τὸν δὲ Πατάρβημιν ἔκ τε τῶν λεγομένων οὐκ ἀγνοέειν τὴν διάνοιαν, καὶ παρασκευαζόμενον ὁρέοντα σπουδῇ ἀπιέναι, βουλόμενον τὴν ταχίστην βασιλέι δηλῶσαι τὰ πρησσόμενα. ὡς δὲ ἀπικέσθαι αὐτὸν πρὸς τὸν Ἀπρίην οὐκ ἄγοντα τὸν Ἄμασιν, οὐδένα λόγον ἑωυτῷ δόντα ἀλλὰ περιθύμως ἔχοντα περιταμεῖν προστάξαι αὐτοῦ τά τε ὦτα καὶ τὴν ῥῖνα. ἰδόμενοι δ' οἱ λοιποὶ τῶν Αἰγυπτίων, οἳ ἔτι τὰ ἐκείνου ἐφρόνεον, ἄνδρα τὸν δοκιμώτατον ἑωυτῶν οὕτω αἰσχρῶς λύμῃ διακείμενον, οὐδένα δὴ χρόνον ἐπισχόντες ἀπιστέατο πρὸς τοὺς ἑτέρους καὶ ἐδίδοσαν σφέας αὐτοὺς

163 Ἀμάσι. πυθόμενος δὲ καὶ ταῦτα ὁ Ἀπρίης ὥπλιζε τοὺς ἐπικούρους καὶ ἤλαυνε ἐπὶ τοὺς Αἰγυπτίους· εἶχε δὲ περὶ ἑωυτὸν Κᾶράς τε καὶ Ἴωνας ἄνδρας ἐπικούρους τρισμυρίους· ἦν δέ οἱ τὰ βασιλήια ἐν Σάι πόλι, μεγάλα ἐόντα καὶ ἀξιοθέητα. καὶ οἵ τε περὶ τὸν Ἀπρίην ἐπὶ τοὺς Αἰγυπτίους

---

7. Λέξεις

4. τῶν παρ' αὐτὸν *R* ‖ 5. ἄγειν *R* ‖ 6. τὸν Ἄμασιν – 7 κατήμενος om. *C* ‖ ὁ Πατάρβημις ante τὸν Ἄμασιν z, ὁ τάρβημις *R* ‖ ὁ δὲ z ‖ 7. ἐπάιρας *AB*, ἐπάρας z, ἐπάρας reliqui ‖ 8. ἐκέλευσε z ‖ 9. βασιλέως *Cd* ‖ ἰέναι *C* ‖ 10. ὑποκρίνασθαι *Rz* ‖ παρασκευάζεται *R* ‖ 11. μέμψεσθαι A^2R: μέμψασθαι ‖ 12. αὐτὸν *R* ‖ ἐκ τῶν τε λόγων *R* ‖ 13. ἀγοεῖν *L* ‖ 14. ὁρέοντα *Pdz*: ὁρῶντα *ABR*, ὁρέωντα *C* ‖ βασιλεῖ *AB* ‖ 15. τὸ πρησσόμενον z ‖ 16. ἔχοντα z ‖ λόγον ἑωυτῷ Wesseling: λόγον αὐτῷ codices, αὐτῷ λόγον z ‖ 18. ἡδόμενοι *C* ‖ 19. οὕτως *R* ‖ 21. ἐδίδοσάν σφεας *C* ‖ 22. ἀμάσιϊ B^2 ‖ 24. αὐτὸν *d* ‖ τρισμυρίους om. A^1 ‖ 25. πόλει *C* ‖ ὄντα bz

ἤισαν καὶ οἱ περὶ τὸν Ἄμασιν ἐπὶ τοὺς ξείνους· ἔν τε δὴ Μωμέμφι πόλι ἐγένοντο ἀμφότεροι καὶ πειρήσεσθαι ἔμελλον ἀλλήλων.

Ἔστι δὲ Αἰγυπτίων ἑπτὰ γένεα, καὶ τούτων οἱ μὲν ἱρέες 164
οἱ δὲ μάχιμοι κεκλέαται, οἱ δὲ βουκόλοι, οἱ δὲ συβῶται, οἱ δὲ κάπηλοι, οἱ δὲ ἑρμηνέες, οἱ δὲ κυβερνῆται. γένεα μὲν Αἰγυπτίων τοσαῦτά ἐστι, οὐνόματα δέ σφι κέεται ἀπὸ τῶν τεχνέων. οἱ δὲ μάχιμοι αὐτῶν καλέονται μὲν Καλασίριές τε καὶ Ἑρμοτύβιες, ἐκ νομῶν δὲ τῶνδε εἰσί· κατὰ γὰρ δὴ νομοὺς Αἴγυπτος ἅπασα διαραίρηται. Ἑρμοτυβίων μὲν οἵδε 165
εἰσὶ νομοί, Βουσιρίτης, Σαΐτης, Χεμμίτης, Παπρημίτης, νῆσος ἡ Προσωπῖτις καλεομένη, Ναθῶ τὸ ἥμισυ. ἐκ μὲν τούτων τῶν νομῶν Ἑρμοτύβιές εἰσι, γενόμενοι, ὅτε ἐπὶ πλείστους ἐγένοντο, ἑκκαίδεκα μυριάδες. καὶ τούτων βαναυσίης οὐδεὶς δεδάηκε οὐδέν, ἀλλ' ἀνέωνται ἐς τὸ μάχιμον. Καλα- 166
σιρίων δὲ οἵδε ἄλλοι νομοί εἰσι, Θηβαῖος, Βουβαστίτης, Ἀφθίτης, Τανίτης, Μενδήσιος, Σεβεννύτης, Ἀθριβίτης, Φαρβαϊθίτης, Θμουΐτης, Ὀνουφίτης, Ἀνύτιος, Μυεκφορίτης· οὗτος ὁ νομὸς ἐν νήσῳ οἰκέει ἀντίον Βουβάστιος πόλιος. οὗτοι δὲ οἱ νομοὶ Καλασιρίων εἰσί, γενόμενοι, ὅτε ἐπὶ πλείστους ἐγένοντο, πέντε καὶ εἴκοσι μυριάδες ἀνδρῶν. οὐδὲ

γένη Αἰγυπτίων ζ· ἱερεῖς, μάχιμοι οἱ καὶ Καλασίρεις καὶ Ἑρμοτύβεις, βουκόλοι, συβόται, κάπηλοι, ἑρμηνεῖς, κυβερνῆται

---

2. Stephanus Byz. v. Μώμεμφις. — 8. idem v. Καλάσιρις

1. ἤισαν *AB*: ἦσαν ‖ 2. δήμω μέμφι *R*, δὴ μομέμφι *A*², δὴ μέμφι reliqui ; πόλει *Cd* ‖ ἐγίνοντο *R* ‖ 6. οἱ δὲ ἑρμηνέες om. *B*¹ ‖ 8. αὐτέων *z* ‖ μὲν om. *R* ‖ 9. νόμων *d* ‖ κατὰ - 11 εἰσὶ om. *R* ‖ νόμους *Cd* ‖ 10. διαρεείρηται *d* ‖ οἶδέ εἰσι *ABC* ‖ 11. νόμοι *Cd* ‖ βουσιρίτις σαΐτις *d* ‖ χαμμίτης *R*, χεμμίτις *d* ‖ παπρημήτης *Bpr*., παπριμίτις *d* ‖ 12. καλεομένη. ναθῶ *Pz*, καλεομένην ἀθῶ *R* ‖ 13. τουτέων *z* ‖ τῶν om. *R* ‖ νόμων *d* ‖ ὅτ' *AB* ‖ 14. γενοίατο *PRz* ‖ 15. ἀνέωνται *ABCP*ᵐ: ἀνέονται *Ptz*, (ἀλλὰ)νέονται *Rd*, ἀνεῖνται *A*² marg., ἀνίενται γρ.' ἐκ τοῦ ἀνίημι ἢ ἐκ τοῦ ἐῶ *B*ᵐ ‖ 16. οἶδε *A* ‖ νόμοι *Cd* ‖ 17. ἀφθίτης *R* ‖ τονίτης *d* ‖ Μενδήσιος - 18 Φαρβαϊθίτης om. *R* ‖ σευβενήτης ἀθριβήτης *d* ‖ 18. φαρβαϊθήτης *d*, Φαρβαιθίτης *z* ‖ θουΐτης κουφίτης *R* ‖ ἀνύσιος *R* ‖ μυεκφουρίτης *d* ‖ 19. νόμος *Cd* ‖ ἀντίον] ἀντίον οἱ *R* ‖ 20. νόμοι *d* ‖ ὅτ' *ABd* ‖ 21. ἐγενέατο *L*. an ἐγεγενέατο?

ἐπείτε γὰρ ἐστήσαντό μιν βασιλέα τῶν Αἰγυπτίων οἱ ἀπεστεῶτες, παρεσκευάζετο ὡς ἐλῶν ἐπὶ τὸν Ἀπρίην. πυθόμενος δὲ ταῦτα ὁ Ἀπρίης ἔπεμπε ἐπ' Ἄμασιν ἄνδρα δόκιμον τῶν περὶ ἑωυτὸν Αἰγυπτίων, τῷ οὔνομα ἦν Πατάρβημις, ἐντειλάμενος αὐτῷ ζῶντα Ἄμασιν ἀγαγεῖν παρ' ἑωυτόν. ὡς δὲ ἀπικόμενος τὸν Ἄμασιν ἐκάλεε ὁ Πατάρβημις, ὁ Ἄμασις (ἔτυχε γὰρ ἐπ' ἵππου κατήμενος) ἐπαείρας ἀπεματάισε, καὶ τοῦτό μιν ἐκέλευε Ἀπρίῃ ἀπάγειν. ὅμως δὲ αὐτὸν ἀξιοῦν τὸν Πατάρβημιν βασιλέος μεταπεμπομένου ἰέναι πρὸς αὐτόν· τὸν δὲ αὐτῷ ὑποκρίνεσθαι ὡς ταῦτα πάλαι παρεσκευάζετο ποιέειν, καὶ αὐτῷ οὐ μέμψεσθαι Ἀπρίην· παρέσεσθαι γὰρ καὶ αὐτὸς καὶ ἄλλους ἄξειν. τὸν δὲ Πατάρβημιν ἔκ τε τῶν λεγομένων οὐκ ἀγνοέειν τὴν διάνοιαν, καὶ παρασκευαζόμενον ὁρέοντα σπουδῇ ἀπιέναι, βουλόμενον τὴν ταχίστην βασιλέι δηλῶσαι τὰ πρησσόμενα. ὡς δὲ ἀπικέσθαι αὐτὸν πρὸς τὸν Ἀπρίην οὐκ ἄγοντα τὸν Ἄμασιν, οὐδένα λόγον ἑωυτῷ δόντα ἀλλὰ περιθύμως ἔχοντα περιταμεῖν προστάξαι αὐτοῦ τά τε ὦτα καὶ τὴν ῥῖνα. ἰδόμενοι δ' οἱ λοιποὶ τῶν Αἰγυπτίων, οἳ ἔτι τὰ ἐκείνου ἐφρόνεον, ἄνδρα τὸν δοκιμώτατον ἑωυτῶν οὕτω αἰσχρῶς λύμῃ διακείμενον, οὐδένα δὴ χρόνον ἐπισχόντες ἀπιστέατο πρὸς τοὺς ἑτέρους καὶ ἐδίδοσαν σφέας αὐτοὺς
163 Ἀμάσι. πυθόμενος δὲ καὶ ταῦτα ὁ Ἀπρίης ὥπλιζε τοὺς ἐπικούρους καὶ ἤλαυνε ἐπὶ τοὺς Αἰγυπτίους· εἶχε δὲ περὶ ἑωυτὸν Κᾶράς τε καὶ Ἴωνας ἄνδρας ἐπικούρους τρισμυρίους· ἦν δέ οἱ τὰ βασιλήια ἐν Σάι πόλι, μεγάλα ἐόντα καὶ ἀξιοθέητα. καὶ οἵ τε περὶ τὸν Ἀπρίην ἐπὶ τοὺς Αἰγυπτίους

7. Λέξεις

4. τῶν παρ' αὐτὸν *R* ‖ 5. ἄγειν *R* ‖ 6. τὸν Ἄμασιν – 7 κατήμενος om. *C* ‖ ὁ Πατάρβημις ante τὸν Ἄμασιν *z*, ὁ τάρβημις *R* ‖ ὁ δὲ *z* ‖ 7. ἐπάιρας *AB*, ἐπάρας *z*, ἐπάρας reliqui ‖ 8. ἐκέλευσε *z* ‖ 9. βασιλέως *Cd* ‖ ἱέναι *C* ‖ 10. ὑποκρίνασθαι *Rz* ‖ παρασκευάζεται *R* ‖ 11. μέμψεσθαι *A*[2]*R*: μέμψασθαι ‖ 12. αὐτὸν *R* ‖ ἐκ τῶν τε λόγων *R* ‖ 13. ἀγοεῖν *L* ‖ 14. ὁρέοντα *Pdz*: ὁρῶντα *ABR*, ὁρέωντα *C* ‖ βασιλεῖ *AB* ‖ 15. τὸ πρησσόμενον *z* ‖ 16. ἔχοντα *z* ‖ λόγον ἑωυτῷ Wesseling: λόγον αὐτῷ codices, αὐτῷ λόγον *z* ‖ 18. ἡδόμενοι *C* ‖ 19. οὕτως *R* ‖ 21. ἐδίδοσάν σφεας *C* ‖ 22. ἀμάσιϊ *B*[2] ‖ 24. αὐτὸν *d* ‖ τρισμυρίους om. *A*[1] ‖ 25. πόλει *C* ‖ ὄντα *bz*

ἤισαν καὶ οἱ περὶ τὸν Ἄμασιν ἐπὶ τοὺς ξείνους· ἔν τε δὴ Μωμέμφι πόλι ἐγένοντο ἀμφότεροι καὶ πειρήσεσθαι ἔμελλον ἀλλήλων.

Ἔστι δὲ Αἰγυπτίων ἑπτὰ γένεα, καὶ τούτων οἱ μὲν ἱρέες 164
οἱ δὲ μάχιμοι κεκλέαται, οἱ δὲ βουκόλοι, οἱ δὲ συβῶται, οἱ δὲ κάπηλοι, οἱ δὲ ἑρμηνέες, οἱ δὲ κυβερνῆται. γένεα μὲν Αἰγυπτίων τοσαῦτά ἐστι, οὐνόματα δέ σφι κέεται ἀπὸ τῶν τεχνέων. οἱ δὲ μάχιμοι αὐτῶν καλέονται μὲν Καλασίριές τε καὶ Ἑρμοτύβιες, ἐκ νομῶν δὲ τῶνδε εἰσί· κατὰ γὰρ δὴ νομοὺς Αἴγυπτος ἅπασα διαραίρηται. Ἑρμοτυβίων μὲν οἵδε 165
εἰσὶ νομοί, Βουσιρίτης, Σαΐτης, Χεμμίτης, Παπρημίτης, νῆσος ἡ Προσωπῖτις καλεομένη, Ναθῶ τὸ ἥμισυ. ἐκ μὲν τούτων τῶν νομῶν Ἑρμοτύβιές εἰσι, γενόμενοι, ὅτε ἐπὶ πλείστους ἐγένοντο, ἑκκαίδεκα μυριάδες. καὶ τούτων βαναυσίης οὐδεὶς δεδάηκε οὐδέν, ἀλλ' ἀνέωνται ἐς τὸ μάχιμον. Καλα- 166
σιρίων δὲ οἵδε ἄλλοι νομοί εἰσι, Θηβαῖος, Βουβαστίτης, Ἀφθίτης, Τανίτης, Μενδήσιος, Σεβεννύτης, Ἀθριβίτης, Φαρβαϊθίτης, Θμουΐτης, Ὀνουφίτης, Ἀνύτιος, Μυεκφορίτης· οὗτος ὁ νομὸς ἐν νήσῳ οἰκέει ἀντίον Βουβάστιος πόλιος. οὗτοι δὲ οἱ νομοὶ Καλασιρίων εἰσί, γενόμενοι, ὅτε ἐπὶ πλείστους ἐγένοντο, πέντε καὶ εἴκοσι μυριάδες ἀνδρῶν. οὐδὲ

γένη Αἰγυπτίων ζ· ἱερεῖς, μάχιμοι οἱ καὶ Καλασίρεις καὶ Ἑρμοτύβεις, βουκόλοι, συβόται, κάπηλοι, ἑρμηνεῖς, κυβερνῆται

---

2. Stephanus Byz. v. Μώμεμφις. — 8. idem v. Καλάσιρις

1. ἤισαν *AB*: ἦσαν ‖ 2. δήμω μέμφι *R*, δὴ μομέμφι *A*[2], δὴ μέμφι reliqui ‖ πόλει *Cd* ‖ ἐγίνοντο *R* ‖ 6. οἱ δὲ ἑρμηνέες om. *B*[1] ‖ 8. αὐτέων *z* ‖ μὲν om. *R* ‖ 9. νόμων *d* ‖ κατὰ - 11 εἰσὶ om. *R* ‖ νόμους *Cd* ‖ 10. διαρεείρηται *d* ‖ οἱδέ εἰσι *ABC* ‖ 11. νόμοι *Cd* ‖ βουσιρίτις σαΐτις *d* ‖ χαμμίτης *R*, χεμμίτις *d* ‖ παπρημήτης *Bpr.*, παπριμίτις *d* ‖ 12. καλεομένη. ναθῶ *P*z, καλεομένην ἀθῶ *R* ‖ 13. τουτέων *z* ‖ τῶν om. *R* ‖ νόμων *d* ‖ ὅτ' *AB* ‖ 14. γενοίατο *PRz* ‖ 15. ἀνέωνται *ABCPm*: ἀνέονται *Ptz*, (ἀλλὰ)νέονται *Rd*, ἀνεῖνται *A*[2] marg., ἀνίενται γρ.' ἐκ τοῦ ἀνίημι ἢ ἐκ τοῦ ἐῶ *Bm* ‖ 16. οἶδε *A* ‖ νόμοι *Cd* ‖ 17. ἀφθίτης *R* ‖ τονίτης *d* ‖ Μενδήσιος - 18 Φαρβαϊθίτης om. *R* ‖ σευβενήτης ἀθριβήτης *d* ‖ 18. φαρβαϊθήτης *d*, Φαρβαιθίτης *z* ‖ θουΐτης κουφίτης *R* ‖ ἀνύσιος *R* ‖ μυεκφουρίτης *d* ‖ 19. νόμος *Cd* ‖ ἀντίον] ἀντίον οἱ *R* ‖ 20. νόμοι *d* ‖ ὅτ' *ABd* ‖ 21. ἐγενέατο *L*. an ἐγεγενέατο?

τούτοισι ἔξεστι τέχνην ἐπασκῆσαι οὐδεμίαν, ἀλλὰ τὰ ἐς πό-
167 λεμον ἐπασκέουσι μοῦνα, παῖς παρὰ πατρὸς ἐκδεκόμενος. εἰ
μέν νυν καὶ τοῦτο παρ' Αἰγυπτίων μεμαθήκασι οἱ Ἕλληνες,
οὐκ ἔχω ἀτρεκέως κρῖναι, ὁρέων καὶ Θρήικας καὶ Σκύθας καὶ
Πέρσας καὶ Λυδοὺς καὶ σχεδὸν πάντας τοὺς βαρβάρους ἀπο-
τιμοτέρους τῶν ἄλλων ἡγημένους πολιητέων τοὺς τὰς τέχνας
μανθάνοντας καὶ τοὺς ἐκγόνους τούτων, τοὺς δὲ ἀπαλλαγμέ-
νους τῶν χειρωναξιέων γενναίους νομιζομένους εἶναι, καὶ
μάλιστα τοὺς ἐς τὸν πόλεμον ἀνειμένους· μεμαθήκασι δ' ὦν
τοῦτο πάντες οἱ Ἕλληνες καὶ μάλιστα Λακεδαιμόνιοι. ἥκιστα
168 δὲ Κορίνθιοι ὄνονται τοὺς χειροτέχνας. γέρεα δέ σφι ἦν
τάδε ἐξαραιρημένα μούνοισι Αἰγυπτίων πάρεξ τῶν ἱρέων,
ἄρουραι ἐξαίρετοι δυώδεκα ἑκάστῳ ἀτελέες. ἡ δὲ ἄρουρα
ἑκατὸν πηχέων ἐστὶ Αἰγυπτίων πάντῃ, ὁ δὲ Αἰγύπτιος πῆχυς
τυγχάνει ἴσος ἐὼν τῷ Σαμίῳ. ταῦτα μὲν δὴ τοῖσι ἅπασι ἦν
ἐξαραιρημένα, τάδε δὲ ἐν περιτροπῇ ἐκαρποῦντο καὶ οὐδαμὰ
ὡυτοί. Καλασιρίων χίλιοι καὶ Ἑρμοτυβίων ἐδορυφόρεον
ἐνιαυτὸν ἕκαστοι τὸν βασιλέα· τούτοισι ὦν τάδε πάρεξ τῶν
ἀρουρέων ἄλλα ἐδίδοτο ἐπ' ἡμέρῃ ἑκάστῃ, ὀπτοῦ σίτου
σταθμὸς πέντε μνέαι ἑκάστῳ, κρεῶν βοέων δύο μνέαι, οἴνου
τέσσερες ἀρυστῆρες. ταῦτα τοῖσι αἰεὶ δορυφορέουσι ἐδίδοτο.
169 Ἐπείτε δὲ συνιόντες ὅ τε Ἀπρίης ἄγων τοὺς ἐπικούρους
καὶ ὁ Ἄμασις πάντας Αἰγυπτίους ἀπίκοντο ἐς Μώμεμφιν
πόλιν, συνέβαλον· καὶ ἐμαχέσαντο μὲν εὖ οἱ ξεῖνοι, πλήθεϊ
δὲ πολλῷ ἐλάσσονες ἐόντες κατὰ τοῦτο ἑσσώθησαν. Ἀπρίεω

5. Λέξεις. — 8. Pollux II 151. — 13. ἄρουρα - 14 πάντῃ Eustathius Il. p. 411

1. οὐδεμίην sz ‖ τὰ] τε *R* ‖ ἐς] εὖ *d* ‖ 2. μόνα *AB* ‖ ἐκδεκόμενοι z ‖ 3. οἱ om. *R* ‖ 4. ὁρῶν *AB* ‖ 5. τοὺς om. *R* ‖ 6. τῶν ἄλλων post ἡγημένους *R* ‖ ἡγεμόνους *C*1, ἡγεομένους *C*2*Pz* ‖ 7. ἐγγόνους *C* ‖ δ' *PRz* ‖ ἀπαλλαττομένους *d* ‖ 8. χειραξιέων *C*1, χειρωναξίων *R*, χειροναξιέων *d* ‖ νομίζοντας *Pz*, νομίζοντες *C* ‖ 11. ἦν om. *R* ‖ 14. πήχεων *Pz* ‖ 15. ἶσος z ‖ 16. δὴ *R* ‖ οὐδαμᾶ z ‖ 17. ὡυτοί *Cd*, ὡϋτοί *Rz*, ὡὐτοι *P* ‖ ἑρμοτυμβίων *C*, ἑρμοτυβίων ἄλλοι *Rz* ‖ 18. ἕκαστον *PRz* ‖ τῶν *C* ‖ δ' ὦν *Rz* ‖ παρὲξ *C* ‖ 19. ἀρουραίων ἄλλα ἔδοτο *d* ‖ 21. τέσσαρες *Cd* ‖ 22. δὲ om. *C* ‖ 23. πάντας τοὺς *dz* ‖ μόμεμφιν *Cd*, μέμφιν *Pz* ‖ 24. ξένοι *d* ‖ πλήθει *AB* ‖ 25. ἑσσώθησαν *CR*, ἐσώθησαν *d*

δὲ λέγεται εἶναι ἥδε διάνοια, μηδ᾽ ἂν θεόν μιν μηδένα δύνασθαι παῦσαι τῆς βασιληίης· οὕτω ἀσφαλέως ἑωυτῷ ἱδρῦσθαι ἐδόκεε. καὶ δὴ τότε συμβαλὼν ἑσσώθη καὶ ζωγρηθεὶς ἀπήχθη ἐς Σάιν πόλιν, ἐς τὰ ἑωυτοῦ οἰκία πρότερον ἐόντα, τότε δὲ Ἀμάσιος ἤδη βασιλήια. ἐνθαῦτα δὲ τέως μὲν ἐτρέφετο ἐν τοῖσι βασιληίοισι, καί μιν Ἄμασις εὖ περιεῖπε· τέλος δὲ μεμφομένων Αἰγυπτίων ὡς οὐ ποιέοι δίκαια τρέφων τὸν σφίσι τε καὶ ἑωυτῷ ἔχθιστον, οὕτω δὴ παραδιδοῖ τὸν Ἀπρίην τοῖσι Αἰγυπτίοισι. οἱ δέ μιν ἀπέπνιξαν καὶ ἔπειτα ἔθαψαν ἐν τῇσι πατρωίῃσι ταφῇσι· αἱ δέ εἰσι ἐν τῷ ἱρῷ τῆς Ἀθηναίης, ἀγχοτάτω τοῦ μεγάρου, ἐσιόντι ἀριστερῆς χειρός. ἔθαψαν δὲ Σαΐται πάντας τοὺς ἐκ νομοῦ τούτου γενομένους βασιλέας ἔσω ἐν τῷ ἱρῷ. καὶ γὰρ τὸ τοῦ Ἀμάσιος σῆμα ἑκαστέρω μέν ἐστι τοῦ μεγάρου ἢ τὸ τοῦ Ἀπρίεω καὶ τῶν τούτου προπατόρων, ἔστι μέντοι καὶ τοῦτο ἐν τῇ αὐλῇ τοῦ ἱροῦ, παστὰς λιθίνη μεγάλη καὶ ἠσκημένη στύλοισί τε φοίνικας τὰ δένδρεα μεμιμημένοισι καὶ τῇ ἄλλῃ δαπάνῃ. ἔσω δὲ ἐν τῇ παστάδι διξὰ θυρώματα ἕστηκε, ἐν δὲ τοῖσι θυρώμασι ἡ θήκη ἐστί. εἰσὶ δὲ καὶ αἱ ταφαὶ τοῦ οὐκ ὅσιον 170
ποιεῦμαι ἐπὶ τοιούτῳ πρήγματι ἐξαγορεύειν τὸ οὔνομα ἐν Σάι, ἐν τῷ ἱρῷ τῆς Ἀθηναίης, ὄπισθε τοῦ νηοῦ, παντὸς τοῦ τῆς Ἀθηναίης ἐχόμεναι τοίχου. καὶ ἐν τῷ τεμένεϊ ὀβελοὶ ἑστᾶσι μεγάλοι λίθινοι, λίμνη τε ἐστὶ ἐχομένη λιθίνῃ κρηπῖδι κεκοσμημένη καὶ ἐργασμένη εὖ κύκλῳ καὶ μέγαθος, ὡς ἐμοὶ ἐδόκεε, ὅση περ ἡ ἐν Δήλῳ ἡ τροχοειδὴς καλεομένη.

---

19. εἰσὶ δὲ - 22 τοίχου Athenagoras legat. 25. — 23. λίμνη - p. 248, 2 Αἰγύπτιοι ibidem

1. ἤδε *AB*, ἥδε ἡ *sz* ‖ μηδένα om. *CPd* ‖ 3. ἐσσώθη *CRd* ‖ 4. ἑαυτοῦ *d* ‖ 5. ἕως *R* ‖ 7. ὡς om. *C* ‖ ποιοῖ *ABPR*, ποιεῖ *Cdz* ‖ 9. οἱ δέ μιν] οὐδὲ μίαν *C* ‖ 10. πατρώιῃσι *ABCP*, πατρῴῃσι *z*, πατρώῃσι *Rd* ‖ 11. ἀγχοτάτωι *AB*, ἀγχοτάτου *d* ‖ μεγάλου *A*[1]*B* ‖ εἰσιόντι *R* ‖ 12. χερός *z* ‖ νόμου *Cd* ‖ 13. τὸ et 14 σῆμα om. *R* ‖ 14. ἑκαστέρωι *AB*, ἑκατέρω *Rd*, ἑκατέρου *C*, ἑκατέρῳ *z* ‖ ἧι *AB* ‖ τὸ τοῦ] τούτου *R* ‖ 19. θύρωμνα *d* 20. τὸ οὔνομα *R*. Athen. ‖ 21. νηὸς *C* ‖ 22. ἐχόμεναι *sv*: ἐχόμενον ceteri cum Athen. ‖ τοῖχον *C* ‖ τεμένει *AB* ‖ ὀβελοῖσιν *R* ‖ 23. δ᾽ ἐστὶν Athen. ‖ 24. καὶ ἐρμασμένη *R*, om. Athen. ‖ εὖ] ἐν Athen. ‖ καὶ om. Athen. ‖ 25. δοκέει Athen. ‖ ἡ ἐν] ἐν Athen. ‖ Δήλῳ ἡ] δήλω *R*

171 ἐν δὲ τῇ λίμνῃ ταύτῃ τὰ δείκηλα τῶν παθέων αὐτοῦ νυκτὸς ποιεῦσι, τὰ καλέουσι μυστήρια Αἰγύπτιοι. περὶ μέν νυν τούτων εἰδότι μοι ἐπὶ πλέον ὡς ἕκαστα αὐτῶν ἔχει, εὔστομα κείσθω. καὶ τῆς Δήμητρος τελετῆς πέρι, τὴν οἱ Ἕλληνες θεσμοφόρια καλέουσι, καὶ ταύτης μοι πέρι εὔστομα κείσθω, πλὴν ὅσον αὐτῆς ὁσίη ἐστὶ λέγειν. αἱ Δαναοῦ θυγατέρες ἦσαν αἱ τὴν τελετὴν ταύτην ἐξ Αἰγύπτου ἐξαγαγοῦσαι καὶ διδάξασαι τὰς Πελασγιώτιδας γυναῖκας· μετὰ δὲ ἐξαναστάσης [πάσης] Πελοποννήσου ὑπὸ Δωριέων ἐξαπώλετο ἡ τελετή, οἱ δὲ ὑπολειφθέντες Πελοποννησίων καὶ οὐκ ἐξαναστάντες Ἀρκάδες διέσωζον αὐτὴν μοῦνοι.

172 Ἀπρίεω δὲ ὧδε καταραιρημένου ἐβασίλευσε Ἄμασις. νομοῦ μὲν Σαΐτεω ἐών, ἐκ τῆς δὲ ἦν πόλιος, οὔνομά οἱ ἐστὶ Σιούφ. τὰ μὲν δὴ πρῶτα κατώνοντο τὸν Ἄμασιν Αἰγύπτιοι καὶ ἐν οὐδεμιῇ μοίρῃ μεγάλῃ ἦγον ἅτε δὴ δημότην τὸ πρὶν ἐόντα καὶ οἰκίης οὐκ ἐπιφανέος· μετὰ δὲ σοφίῃ αὐτοὺς ὁ Ἄμασις, οὐκ ἀγνωμοσύνῃ προσηγάγετο. ἦν οἱ ἄλλα τε ἀγαθὰ μυρία, ἐν δὲ καὶ ποδανιπτὴρ χρύσεος, ἐν τῷ αὐτός τε ὁ Ἄμασις καὶ οἱ δαιτυμόνες οἱ πάντες τοὺς πόδας ἑκάστοτε ἐναπενίζοντο. τοῦτον κατ᾽ ὦν κόψας ἄγαλμα δαίμονος ἐξ αὐτοῦ ἐποιήσατο, καὶ ἵδρυσε τῆς πόλιος ὅκου ἦν ἐπιτηδεότατον· οἱ δὲ Αἰγύπτιοι φοιτέοντες πρὸς τὤγαλμα ἐσέβοντο μεγάλως. μαθὼν δὲ ὁ Ἄμασις τὸ ἐκ τῶν ἀστῶν ποιεύμενον, συγκαλέσας Αἰγυπτίους ἐξέφηνε φὰς ἐκ τοῦ ποδανιπτῆρος τὤγαλμα γεγονέναι, ἐς τὸν πρότερον μὲν τοὺς Αἰγυπτίους

πόθεν τὰ θεσμοφόρια — περὶ τῆς Ἀμάσιδος βασιλείας καὶ ὧν ἔπραξεν

4. Plutarchus mor. p. 417. 607. 636. Phrynichus p. 469 Lob. Schol. Soph. Phil. 201. Themistius or. II. p. 27. Theodoretus graec. aff. X 8. Thomas M. p. 160. — 18. Pollux X 78

1. αὐτοῦ z ‖ 2. ποιεῦσι τὰ om. Athen. ‖ νυν om. *R* ‖ 3. ἐπιπλέον *Cd* ‖ αὐτέων z ‖ 9. πάσης separavi ‖ 10. ὑποληφθέντες *R* ‖ 12. ὧδε om. *R* ‖ 13. σίτεω *R* ‖ πόλεος z ‖ οἱ om. *d* ‖ 14. σίγφ *d* ‖ κατόνοντο *R* ‖ 15. ἅτε - 16 ἐπιφανέος om. *d* ‖ τοπρὶν *P*, τοπρότερον *qz* ‖ 17. εὐγνωμοσύνῃ z ‖ οἱ] οἳ *d*, post τε *R* ‖ 18. ἓν *Cd* ‖ ποδανιστὴρ *CPpr.* (ut videtur) ‖ 20. ἐναπενιζέατο *L* ‖ 21. πόλεος z ‖ ἐπιτηδεότατον *ABR* : ἐπιτηδεώτατον ‖ 22. φοιτῶντες *AB*, φοιτέωντες *C* ‖ 25. μέν om. *R*

ἐνεμέειν τε καὶ ἐνουρέειν καὶ πόδας ἐναπονίζεσθαι, τότε δὲ μεγάλως σέβεσθαι. ἤδη ὦν ἔφη λέγων ὁμοίως αὐτὸς τῷ ποδανιπτῆρι πεπρηγέναι· εἰ γὰρ πρότερον εἶναι δημότης, ἀλλ' ἐν τῷ παρεόντι εἶναι αὐτῶν βασιλεύς· καὶ τιμᾶν τε καὶ προμηθέεσθαι ἑωυτοῦ ἐκέλευε. τοιούτῳ μὲν τρόπῳ προση- 173
γάγετο τοὺς Αἰγυπτίους ὥστε δικαιοῦν δουλεύειν, ἐχρᾶτο δὲ καταστάσι πρηγμάτων τοιῇδε. τὸ μὲν ὄρθριον μέχρι ὅτου πληθούσης ἀγορῆς προθύμως ἔπρησσε τὰ προσφερόμενα πρήγματα, τὸ δὲ ἀπὸ τούτου ἔπινέ τε καὶ κατέσκωπτε τοὺς συμπότας καὶ ἦν μάταιός τε καὶ παιγνιήμων. ἀχθεσθέντες δὲ τούτοισι οἱ φίλοι αὐτοῦ ἐνουθέτεον αὐτὸν τοιάδε λέγοντες. "ὦ βασιλεῦ, οὐκ ὀρθῶς σεωυτοῦ προέστηκας, ἐς τὸ ἄγαν φαῦλον προάγων σεωυτόν. σὲ γὰρ χρῆν ἐν θρόνῳ σεμνῷ σεμνὸν θωκέοντα δι' ἡμέρης πρήσσειν τὰ πρήγματα, καὶ οὕτω Αἰγύπτιοί τ' ἂν ἠπιστέατο ὡς ὑπ' ἀνδρὸς μεγάλου ἄρχονται, καὶ ἄμεινον σὺ ἂν ἤκουες· νῦν δὲ ποιέεις οὐδαμῶς βασιλικά." ὁ δ' ἀμείβετο τοῖσιδε αὐτούς. "τὰ τόξα οἱ ἐκτημένοι, ἐπεὰν μὲν δέωνται χρᾶσθαι, ἐντανύουσι· εἰ γὰρ δὴ τὸν πάντα χρόνον ἐντεταμένα εἴη, ἐκραγείη ἄν, ὥστε ἐς τὸ δέον οὐκ ἂν ἔχοιεν αὐτοῖσι χρᾶσθαι. οὕτω δὴ καὶ ἀνθρώπου κατάστασις. εἰ ἐθέλοι κατεσπουδάσθαι αἰεὶ μηδὲ ἐς παιγνίην τὸ μέρος ἑωυτὸν ἀνιέναι, λάθοι ἂν ἤτοι μανεὶς ἢ ὅ γε ἀπόπληκτος γενόμενος· τὰ ἐγὼ ἐπιστάμενος μέρος ἑκατέρῳ νέμω." ταῦτα μὲν τοὺς φίλους ἀμείψατο. λέγεται δὲ 174
ὁ Ἄμασις, καὶ ὅτε ἦν ἰδιώτης, ὡς φιλοπότης ἦν καὶ φιλοσκώμμων καὶ οὐδαμῶς κατεσπουδασμένος ἀνήρ· ὅκως δέ μιν

---

25. ὅτε - 26 ἀνήρ Athenaeus p. 261

1. ἐνουμεῖν *d*, ἐνεμεῖν ceteri ‖ ἀπονίζεσθαι *R* ‖ 3. εἶναι] ἦεν *z* ‖ αὐτέων *dz* ‖ 5. ἑωυτὸν *R* ‖ 6. ἐγρῆτο *PRz* ‖ 7. καταστάσει *CPRdz* ‖ 8. πληθώρης *R* ‖ 9. κατέκοπτε *CR* ‖ 10. ἀχθεντεῦντες *R* ‖ 13. ἀπάγων *R* ἐχρῆν *ABR* ‖ σεμνὸν σεμνῷ *z* ‖ 14. πράγματα *C* ‖ 15. ἐπιστέατο *CPdz* 16. καὶ σὺ ἄμεινον ἤκουες *R* ‖ 17. ὃ δ' *B*, ὅδ' *z*, οὐδ' *C* ‖ τοισίδε *AB*, τοῖσδε reliqui ‖ 18. κεκτημένοι *L* ‖ μὲν om. *R* ‖ ἐντανύουσι] ἐντανύουσιν, ἐπεὰν δὲ χρήσωνται ἐκλύουσι *Rz* (haec quidem ἐντανύουσι) ‖ 19. τὸν om. *R* ‖ 20. χρῆσθαι *ABz* ‖ 21. ἐθέλοι *z*: ἐθέλει ‖ ἀεὶ μὴ δ' *R* ‖ 25. καὶ om. *z* ‖ ἦν καὶ *P*[1]*Rz*: ἐὼν καὶ ceteri, ὑπῆρχε Athen. ‖ φιλοκώμμων *R*

ἐπιλείποι πίνοντά τε καὶ εὐπαθέοντα τὰ ἐπιτήδεα, κλέπτεσκε ἂν περιιών· οἱ δ' ἄν μιν φάμενοι ἔχειν τὰ σφέτερα χρήματα ἀρνεύμενον ἄγεσκον ἐπὶ μαντήιον, ὅκου ἑκάστοισι εἴη. πολλὰ μὲν δὴ καὶ ἡλίσκετο ὑπὸ τῶν μαντηίων, πολλὰ δὲ καὶ ἀπέφευγε. ἐπείτε δὲ καὶ ἐβασίλευσε, ἐποίησε τοιάδε. ὅσοι μὲν αὐτὸν τῶν θεῶν ἀπέλυσαν μὴ φῶρα εἶναι, τούτων μὲν τῶν ἱρῶν οὔτε ἐπεμέλετο οὔτε ἐς ἐπισκευὴν ἐδίδου οὐδέν, οὐδὲ φοιτέων ἔθυε· ὡς οὐδενὸς ἐοῦσι ἀξίοισι ψευδέα τε μαντήια ἐκτημένοισι· ὅσοι δέ μιν κατέδησαν φῶρα εἶναι, τούτων δὲ ὡς ἀληθέων θεῶν ἐόντων καὶ ἀψευδέα μαντήια παρεχομένων
175 τὰ μάλιστα ἐπεμέλετο. καὶ τοῦτο μὲν ἐν Σάι τῇ Ἀθηναίῃ προπύλαια θωυμάσιά οἱ ἐξεποίησε, πολλὸν πάντας ὑπερβαλόμενος τῷ τε ὕψεϊ καὶ τῷ μεγάθεϊ, ὅσων τε τὸ μέγαθος λίθων ἐστὶ καὶ ὁκοίων τεῶν· τοῦτο δὲ κολοσσοὺς μεγάλους καὶ ἀνδρόσφιγγας περιμήκεας ἀνέθηκε, λίθους τε ἄλλους ἐς ἐπισκευὴν ὑπερφυέας τὸ μέγαθος ἐκόμισε. ἠγάγετο δὲ τούτων τοὺς μὲν ἐκ τῶν κατὰ Μέμφιν ἐουσέων λιθοτομιέων, τοὺς δὲ ὑπερμεγάθεας ἐξ Ἐλεφαντίνης πόλιος πλόον καὶ εἴκοσι ἡμερέων ἀπεχούσης ἀπὸ Σάιος. τὸ δὲ οὐκ ἥκιστα αὐτῶν ἀλλὰ μάλιστα θωυμάζω, ἔστι τόδε. οἴκημα μουνόλιθον ἐκόμισε ἐξ Ἐλεφαντίνης πόλιος, καὶ τοῦτο ἐκόμιζον μὲν ἐπ' ἔτεα τρία, δισχίλιοι δέ οἱ προσετετάχατο ἄνδρες ἀγωγέες, καὶ οὗτοι ἅπαντες ἦσαν κυβερνῆται. τῆς δὲ στέγης ταύτης τὸ μὲν μῆκος ἔξωθέν ἐστι εἷς τε καὶ εἴκοσι πήχεες, εὖρος δὲ τεσσερεσκαίδεκα, ὕψος δὲ ὀκτώ. ταῦτα μὲν τὰ μέ-

---

15. Λέξεις

1. ἐπιλίποι *Rd* ‖ τε om. *P* ‖ ἐπιτήδεα *CPd*: ἐπιτήδεια ‖ 2. περὶ ἰών *C* ‖ οἵ δ' *C*, οἶδ' *z* ‖ 3. ἑκάστοτε *R* ‖ 4. καὶ ἡλίσκετο Valckenaer: καταλίσκετο *R*, κατηλίσκετο ceteri ‖ ὑποφεύγεσκε *R*, ὑπόφευγε *z* ‖ 5. δὲ om. *R* ‖ τάδε *Pdz* ‖ 7. ἐπεμέλλετο *R* ‖ ἐς om. *R* ‖ 8. φοιτῶν *BR* ‖ ψεύδεά τε *dz* ‖ 9. κεκλημένοισι *d*, κεκτημένοισι ceteri ‖ 10. ἀληθέως *R* ‖ θεῶν om. *Pd* ‖ 11. ἐπεμέλλετο *R* ‖ 12. θωϋμάσιά *Rz*, θαυμάσιά *d* ‖ ὑπερβαλόμενος *ACP*: ὑπερβαλλόμενος ‖ 13. ὕψει *AB* ‖ μεγάθει *AB*, μεγέθεϊ *C* ‖ ὅσον *R* ‖ 14. τεων *A*, τέων ceteri ‖ 15. ἀνδροσφίγγας *ABRd*, ἀνδρόσφηγγας *C* ‖ εἰς *CRd* ‖ 16. τουτέων *z* ‖ 17. ἐουσῶν *P* ‖ 18. καὶ om. *dz* ‖ 19. ἐείκοσι *z* ‖ 20. αὐτέων *z* ‖ θωϋμάζω *Rz*, θαυμάζω *C* ‖ 21. ἐκόμισε om. *d* ‖ ἐκόμιζε *sz* ‖ 22. δὲ οἱ *A*, δὲ *d* ‖ προσετάχατο *d* ‖ 23. πάντες *R* ‖ 25. τεσσαρεσκαίδεκα *BCRd*

τρα ἔξωθεν τῆς στέγης τῆς μουνολίθου ἐστί, ἀτὰρ ἔσωθεν τὸ μῆκος ὀκτωκαίδεκα πηχέων καὶ πυγόνος . . ., τὸ δὲ ὕψος πέντε πηχέων ἐστί. αὕτη τοῦ ἱροῦ κέεται παρὰ τὴν ἔσοδον· ἔσω γάρ μιν ἐς τὸ ἱρόν φασι τῶνδε εἵνεκα οὐκ ἐσελκύσαι. τὸν ἀρχιτέκτονα αὐτῆς ἑλκομένης τῆς στέγης ἀναστενάξαι, οἷά τε χρόνου ἐγγεγονότος πολλοῦ καὶ ἀχθόμενον τῷ ἔργῳ, τὸν δὲ Ἄμασιν ἐνθυμιστὸν ποιησάμενον οὐκ ἐᾶν ἔτι προσωτέρω ἑλκύσαι. ἤδη δέ τινες λέγουσι ὡς ἄνθρωπος διεφθάρη ὑπ' αὐτῆς τῶν τις αὐτὴν μοχλευόντων, καὶ ἀπὸ τούτου οὐκ ἐσελκυσθῆναι. ἀνέθηκε δὲ καὶ ἐν τοῖσι ἄλλοισι ἱροῖσι ὁ 176
Ἄμασις πᾶσι τοῖσι ἐλλογίμοισι ἔργα τὸ μέγαθος ἀξιοθέητα, ἐν δὲ καὶ ἐν Μέμφι τὸν ὕπτιον κείμενον κολοσσὸν τοῦ Ἡφαιστείου ἔμπροσθε, τοῦ πόδες πέντε καὶ ἑβδομήκοντά εἰσι τὸ μῆκος· ἐπὶ δὲ τῷ αὐτῷ βάθρῳ ἑστᾶσι τοῦ αὐτοῦ ἐόντος λίθου δύο κολοσσοί, εἴκοσι ποδῶν τὸ μέγαθος ἐὼν ἑκάτερος, ὁ μὲν ἔνθεν ὁ δ' ἔνθεν τοῦ μεγάλου. ἔστι δὲ λίθινος ἕτερος τοσοῦτος καὶ ἐν Σάι, κείμενος κατὰ τὸν αὐτὸν τρόπον τῷ ἐν Μέμφι. τῇ Ἴσι τε τὸ ἐν Μέμφι ἱρὸν Ἄμασίς ἐστι ὁ ἐξοικοδομήσας, ἐὸν μέγα τε καὶ ἀξιοθεητότατον.

Ἐπ' Ἀμάσιος δὲ βασιλέος λέγεται Αἴγυπτος μάλιστα δὴ 177
τότε εὐδαιμονῆσαι καὶ τὰ ἀπὸ τοῦ ποταμοῦ τῇ χώρῃ γινόμενα καὶ τὰ ἀπὸ τῆς χώρης τοῖσι ἀνθρώποισι, καὶ πόλις ἐν αὐτῇ γενέσθαι τὰς ἁπάσας τότε δισμυρίας τὰς οἰκεομένας. νόμον τε Αἰγυπτίοισι τόνδε Ἄμασίς ἐστι ὁ καταστήσας, ἀπο-

---

20 sq. 22 sq. Eustathius Il. p. 314

1. στέγης τοῦ *P* ‖ μονολίθου *R* ‖ ἀτὰρ] ἃ γὰρ *R* ‖ 2. πήχεων *P* ‖ lacuna pridem sic expleta in *sv*: τὸ δὲ εὖρος δυώδεκα πηγέων, in *z*: τὸ δὲ εὖρος, δώδεκα πηγέων ‖ 3. πήχεων *P* ‖ εἴσοδον *AB* ‖ 4. τῶνδ' *CPdz* ‖ 6. ἐγγεγονότος Schweighaeuser: ἐκγεγονότος ‖ καὶ ἀχθόμενον *R*: καταχθόμενος *z*, καταχθόμενον ceteri ‖ τὸ ἔργον *C* ‖ 7. ἐσθυμιστὸν *R*. ἐνθυμητὸν Bekker. an ἐνθύμιον? ‖ προσωτέρωι *ABC* ‖ 8. ἤδη *C*, οἱ *R* ‖ 9. αὐτῇ *Ppr.R* ‖ διὰ τοῦτο *R* ‖ 10. ὁ Ἄμασις – 11 ἐλλογίμοισι om. *R* ‖ ὁ om. *d* ‖ 12. ἓν δὲ *ABCd*, εν δὲ *P* ‖ ἡφαιστίου *ABC*, ἡφαίστου *d* ‖ 13. ἔμπροσθεν *Rd* 14. τοῦ αὐτοῦ] αἰθιοπικοῦ *R* ‖ ἐόντες Schweighaeuser ‖ 15. ἐείκοσι *z* ‖ 16. ὃ δ' *C* ‖ μεγάλου *R*: μεγάρου ‖ 17. τῷ] τὸ *R* ‖ ἐμ *Apr.* ‖ 18. μέμφει *C* ‖ τῇ Ἴσι] λέγουσί *R* ‖ τὸ] τῶ *Rd* ‖ ἐμμέφι *R* ‖ 20. βασιλέως *BCd*, βασιλῆος *z* ‖ 21. τότε] τό *B*[1] ‖ 24. τε *Rz*: ^τδὲ *P*, δὲ reliqui ‖ αἰγυπτίοις *d*

δεικνύναι ἔτεος ἑκάστου τῷ νομάρχῃ πάντα τινὰ Αἰγυπτίων ὅθεν βιοῦται· μὴ δὲ ποιεῦντα ταῦτα μηδὲ ἀποφαίνοντα δικαίην ζόην ἰθύνεσθαι θανάτῳ. Σόλων δὲ ὁ Ἀθηναῖος λαβὼν ἐξ Αἰγύπτου τοῦτον τὸν νόμον Ἀθηναίοισι ἔθετο· τῷ
178 ἐκεῖνοι ἐς αἰεὶ χρέωνται ἐόντι ἀμώμῳ νόμῳ. φιλέλλην δὲ γενόμενος ὁ Ἄμασις ἄλλα τε ἐς Ἑλλήνων μετεξετέρους ἀπεδέξατο, καὶ δὴ καὶ τοῖσι ἀπικνευμένοισι ἐς Αἴγυπτον ἔδωκε Ναύκρατιν πόλιν ἐνοικῆσαι· τοῖσι δὲ μὴ βουλομένοισι αὐτῶν οἰκέειν, αὐτοῦ δὲ ναυτιλλομένοισι ἔδωκε χώρους ἐνιδρύσασθαι βωμοὺς καὶ τεμένεα θεοῖσι. τὸ μέν νυν μέγιστον αὐτῶν τέμενος καὶ ὀνομαστότατον ἐὸν καὶ χρησιμώτατον, καλεύμενον δὲ Ἑλλήνιον, αἵδε πόλιές εἰσι αἱ ἱδρυμέναι κοινῇ, Ἰώνων μὲν Χίος καὶ Τέως καὶ Φώκαια καὶ Κλαζομεναί, Δωριέων δὲ Ῥόδος καὶ Κνίδος καὶ Ἁλικαρνησσὸς καὶ Φάσηλις, Αἰολέων δὲ ἡ Μυτιληναίων μούνη. τουτέων μέν ἐστι τοῦτο τὸ τέμενος, καὶ προστάτας τοῦ ἐμπορίου αὗται αἱ πόλιές εἰσι αἱ παρέχουσαι· ὅσαι δὲ ἄλλαι πόλιες μεταποιεῦνται, οὐδέν σφι μετεὸν μεταποιεῦνται. χωρὶς δὲ Αἰγινῆται ἐπὶ ἑωυτῶν ἱδρύσαντο τέμενος Διός, καὶ ἄλλο Σάμιοι Ἥρης καὶ Μιλήσιοι
179 Ἀπόλλωνος. ἦν δὲ τὸ παλαιὸν μούνη Ναύκρατις ἐμπόριον καὶ ἄλλο οὐδὲν Αἰγύπτου. εἰ δέ τις ἐς τῶν τι ἄλλο στομάτων τοῦ Νείλου ἀπίκοιτο, χρῆν ὀμόσαι μὴ μὲν ἑκόντα ἐλθεῖν, ἀπομόσαντα δὲ τῇ νηὶ αὐτῇ πλέειν ἐς τὸ Κανωβικόν· ἢ εἰ μή γε οἷά τε εἴη πρὸς ἀνέμους ἀντίους πλέειν, τὰ φορτία

---

2. Antonius Mon. p. 389 Tittm. Suidas v. βιοῦται. — 13 sq. Eustathius Il. p. 314

1. πάντά τινα *ABPz* ‖ αἰγύπτιον *R* ‖ 2. ὅπερ *d* ‖ βεβαιουται *A*, βεβαιοῦται *Bd*, βεβαιοῦτε *C*, βεβίωται *A*[2] marg. ‖ μὴ δὲ] μηδὲ *R* ‖ 3. ζωὴν *R* ‖ 4. τὸν om. *C* ‖ 5. ἐς] ἐς τόδε? ‖ χρέονται *P* ‖ ἀμώιμωι *A* ‖ 6. ὁ om. *ABCd* ‖ 7. ἀποκνευμένοισι *R* ‖ 8. ναύκρατην *C* ‖ ἐσοικῆσαι *B* ‖ αὐτέων *Ppr.z* ‖ 9. ἐνοικέειν *R* ‖ χωρίοις *AC*, χωρίους *Bd* ‖ 10. αὐτέων *z* ‖ 11. οὐνομαστότατον *CPdz* ‖ καλεόμενον *CP* ‖ 12. αἵδε *Rz*: αἶδε *A*, αἱ δὲ reliqui ‖ αἱ om. *C* ‖ ἱδρυμένη *C* ‖ 13. καὶ Τέως – 14 Κνίδος om. *C* 14. κνίδος *Pz*. Eust.: κνίσοδος *R*, χίος *ABd* ‖ ἁλικάρνησσος *d* ‖ 15. μυτιληναίων *A*: μιτυληναίων ‖ τούτων *ABR* ‖ 16. τὸ τέμενος τοῦτο *z* ‖ αἱ om. *R* πόλις εἰσὶ *AB* ‖ 17. αἱ om. *ABCd* ‖ ὅσαι] αἱ *R* ‖ πόλις *Bd* ‖ οὐδέν – 18 μεταποιεῦνται om. *A*[1]*BCd* ‖ 18. ἐπ' *Rz* ‖ 19. ἥρας *ABCd* ‖ 20. μούνη ἡ *CPdz* ‖ 21. στόμα τῶν *AB* ‖ 23. ἀπωμόσαντα *d* ‖ 24. οἷα *P*

ἔδεε περιάγειν ἐν βάρισι περὶ τὸ Δέλτα, μέχρι οὗ ἀπίκοιτο ἐς
Ναύκρατιν. οὕτω μὲν δὴ Ναύκρατις ἐτετίμητο. Ἀμφικτυό- 180
νων δὲ μισθωσάντων τὸν ἐν Δελφοῖσι νῦν ἐόντα νηὸν τριη-
κοσίων ταλάντων ἐξεργάσασθαι (ὁ γὰρ πρότερον ἐὼν αὐτόθι
αὐτομάτως κατεκάη), τοὺς Δελφοὺς δὴ ἐπέβαλλε τεταρτημό-
ριον τοῦ μισθώματος παρασχεῖν. πλανώμενοι δὲ οἱ Δελφοὶ
περὶ τὰς πόλις ἐδωτίναζον, ποιεῦντες δὲ τοῦτο οὐκ ἐλά-
χιστον ἐξ Αἰγύπτου ἠνείκαντο· Ἄμασις μὲν γάρ σφι ἔδωκε
χίλια στυπτηρίης τάλαντα, οἱ δὲ ἐν Αἰγύπτῳ οἰκέοντες
Ἕλληνές εἴκοσι μνέας. Κυρηναίοισι δὲ Ἄμασις φιλότητά 181
τε καὶ συμμαχίην συνεθήκατο. ἐδικαίωσε δὲ καὶ γῆμαι
αὐτόθεν, εἴτ' ἐπιθυμήσας Ἑλληνίδος γυναικὸς εἴτε καὶ
ἄλλως φιλότητος Κυρηναίων εἵνεκα· γαμέει δὲ ὦν, οἱ μὲν
λέγουσι Βάττου οἱ δ' Ἀρκεσίλεω θυγατέρα, οἱ δὲ Κριτο-
βούλου ἀνδρὸς τῶν ἀστῶν δοκίμου, τῇ οὔνομα ἦν Λαδίκη·
τῇ ἐπείτε συγκλίνοιτο ὁ Ἄμασις, μίσγεσθαι οὐκ οἷός τε
ἐγίνετο· τῇσι δὲ ἄλλῃσι γυναιξὶ ἐχρᾶτο. ἐπείτε δὲ πολλὸν
τοῦτο ἐγίνετο, εἶπε ὁ Ἄμασις πρὸς τὴν Λαδίκην ταύτην
καλεομένην "ὦ γύναι, κατά με ἐφάρμαξας, καὶ ἔστι τοι οὐ-
δεμία μηχανὴ μὴ οὐκ ἀπολωλέναι κάκιστα γυναικῶν πα-
σέων." ἡ δὲ Λαδίκη, ἐπείτε οἱ ἀρνευμένῃ οὐδὲν ἐγίνετο
πρηΰτερος ὁ Ἄμασις, εὔχεται ἐν τῷ νόῳ τῇ Ἀφροδίτῃ, ἤν
οἱ ὑπ' ἐκείνην τὴν νύκτα μιχθῇ ὁ Ἄμασις, τοῦτο γάρ οἱ
κακοῦ εἶναι μῆχος, ἄγαλμά οἱ ἀποπέμψειν ἐς Κυρήνην. μετὰ
δὲ τὴν εὐχὴν αὐτίκα οἱ ἐμίχθη ὁ Ἄμασις. καὶ τὸ ἐνθεῦτεν

ὅτι αὐτομάτως κατεκάη ὁ ἐν Δελφοῖς ναός

---

1. μέχρι *Pz*: μέχρις ‖ 2. ἐτέτμητο A^1BCd ‖ 4. ἐξεργάσθαι *ABC* ‖ 5. αὐτόματος *R* ‖ δὲ *Cz* ‖ ἐπέβαλε *sz* ‖ τεταρ[τη]μόριον *A* ‖ 6. πλανόμενοι *d* ‖ 7. πόλιας *R*, πόλεις *Cd* ‖ 8. ἐνείκαντο *Cd* ‖ 9. στυ[πτη]ρίης *A* ‖ ἐν om. *R* ‖ 10. κυριναίοισι *A* ‖ δὲ ἄμασις P^1R: δ' ἐς ἀλλήλους $ABCP^m d$, δ' ἐς ἀλλήλους Αμασις *z* ‖ 11. δὲ om. *Ppr.* ‖ 12. αὐτόθι *z* ‖ 13. δ' *z* ‖ 14. βάττου *R*: βάττεω ‖ οἵδ' *Bz*, τοῦ *R* ‖ 15. δαδίκη *R* ut infra ‖ 16. ὁ om. *ABCdz* ‖ 17. ἐγένετο *Rz* ‖ 18. ὁ] δὲ ὁ *R*, δὴ ὁ *sz* ‖ 19. τοι] τι *A*, om. *Pz* ‖ 21. ἐγένετο *z* ‖ 22. ὁ ἄμασις *Ppr.R*: ἄμασις ‖ νῶι *ABC*, νῷ *d* ‖ 23. ὑπ' Schaefer: ἐπ'

ἤδη, ὁκότε ἔλθοι Ἄμασις πρὸς αὐτήν, ἐμίσγετο, καὶ κάρτα μιν ἔστερξε μετὰ τοῦτο. ἡ δὲ Λαδίκη ἀπέδωκε τὴν εὐχὴν τῇ θεῷ· ποιησαμένη γὰρ ἄγαλμα ἀπέπεμψε ἐς Κυρήνην, τὸ ἔτι καὶ ἐς ἐμὲ ἦν σόον, ἔξω τετραμμένον τοῦ Κυρηναίων ἄστεος. ταύτην τὴν Λαδίκην, ὡς ἐπεκράτησε Καμβύσης Αἰγύπτου καὶ ἐπύθετο αὐτῆς ἥτις εἴη, ἀπέπεμψε ἀσινέα ἐς Κυρήνην.

182 Ἀνέθηκε δὲ καὶ ἀναθήματα ὁ Ἄμασις ἐς τὴν Ἑλλάδα, τοῦτο μὲν ἐς Κυρήνην ἄγαλμα ἐπίχρυσον Ἀθηναίης καὶ εἰκόνα ἑωυτοῦ γραφῇ εἰκασμένην, τοῦτο δὲ τῇ ἐν Λίνδῳ Ἀθηναίῃ δύο τε ἀγάλματα λίθινα καὶ θώρηκα λίνεον ἀξιοθέητον, τοῦτο δ᾽ ἐς Σάμον τῇ Ἥρῃ εἰκόνας ἑωυτοῦ διφασίας ξυλίνας, αἳ ἐν τῷ νηῷ τῷ μεγάλῳ ἱδρύατο ἔτι καὶ τὸ μέχρι ἐμεῦ, ὄπισθε τῶν θυρέων. ἐς μέν νυν Σάμον ἀνέθηκε κατὰ ξεινίην τὴν ἑωυτοῦ τε καὶ Πολυκράτεος τοῦ Αἰάκεος, ἐς δὲ Λίνδον ξεινίης μὲν οὐδεμιῆς εἵνεκεν, ὅτι δὲ τὸ ἱρὸν τὸ ἐν Λίνδῳ τὸ τῆς Ἀθηναίης λέγεται τὰς Δαναοῦ θυγατέρας ἱδρύσασθαι προσσχούσας, ὅτε ἀπεδίδρησκον τοὺς Αἰγύπτου παῖδας. ταῦτα μὲν ἀνέθηκε ὁ Ἄμασις, εἷλε δὲ Κύπρον πρῶτος ἀνθρώπων καὶ κατεστρέψατο ἐς φόρου ἀπαγωγήν.

20. Eustathius Il. p. 827

1. ἤδη] δὴ *R* ‖ Ἄμασις om. *R* ‖ 3. τῇ *R* ‖ καὶ ποιησαμένη ἄγαλμα *d* ‖ ἀπέπεμπε *C* ‖ εἰς *d* ‖ 4. σῶον *CPz* ‖ τετραμμένον] ἱδρυμένον *R* ‖ 5. τὴν om. *A*[1] ‖ 6. ἥτις] εἴ τι *R* ‖ 8. πέμψας ὁ ἄμασις *R*, ὁ Ἄμασις πέμψας *z* ‖ 9. καὶ εἰκόνα - 11 Ἀθηναίῃ om. *C* ‖ 11. λίνεον om. *R* ‖ 12. δὲ *R* ‖ 14. μέχρι *P*: μέχρις ‖ 15. ἀκέος *R* ‖ 16. οὐδὲ μιῆς *ABC* ‖ ἕνεκεν *d* ‖ ἱερὸν *R* ‖ 17. τὰς] τὰς τοῦ *ABz* ‖ 18. ἱδρῦσθαι *AB*, ἱδρύσθαι *C* ‖ προσσχούσας *AB*: προσχούσας ‖ 20. ἀπαγωγήν] ἀπαγωγήν· ἐπὶ τοῦτον δὴ τὸν ἄμασιν καμβύσης ὁ κύρου ἐστρατεύετο *R*

ΗΡΟΔΌΤΟΥ Β̄ *A*, Β *B*, ΗΡΟΔΟΤΟΥ ΙΣΤΟΡΙΩ͂Ν. Β͂. *C*, Ἡροδότου ἱστοριῶν δευτέρα *P*, τέλος β̄ ἱστοριῶν ἡροδότου *R*, εἴληφε τέλος τῶν μουσῶν ἡ δευτέρα *d*, ΗΡΟΔΟΤΟΥ ΙΣΤΟΡΙΩΝ ΔΕΥΤΕΡΑ. *z*

Γ

1 Ἐπὶ τοῦτον δὴ τὸν Ἄμασιν Καμβύσης ὁ Κύρου ἐστρατεύετο, ἄγων καὶ ἄλλους τῶν ἦρχε καὶ Ἑλλήνων Ἴωνάς τε καὶ Αἰολέας, δι᾽ αἰτίην τοιήνδε. πέμψας Καμβύσης ἐς Αἴγυπτον κήρυκα αἴτεε Ἄμασιν θυγατέρα. αἴτεε δὲ ἐκ βουλῆς ἀνδρὸς Αἰγυπτίου, ὃς μεμφόμενος Ἄμασιν ἔπρηξε ταῦτα ὅτι μιν ἐξ ἁπάντων τῶν ἐν Αἰγύπτῳ ἰητρῶν ἀποσπάσας ἀπὸ γυναικός τε καὶ τέκνων ἔκδοτον ἐποίησε ἐς Πέρσας, ὅτε Κῦρος πέμψας παρὰ Ἄμασιν αἴτεε ἰητρὸν ὀφθαλμῶν, ὃς εἴη ἄριστος τῶν ἐν Αἰγύπτῳ. ταῦτα δὴ ἐπιμεμφόμενος ὁ Αἰγύπτιος ἐνῆγε τῇ συμβουλῇ κελεύων αἰτέειν τὸν Καμβύσεα Ἄμασιν θυγατέρα, ἵνα ἢ δοὺς ἀνιῷτο ἢ μὴ δοὺς Καμβύσῃ ἀπέχθοιτο. ὁ δὲ Ἄμασις τῇ δυνάμι τῶν Περσέων ἀχθόμενος καὶ ἀρρωδέων οὐκ εἶχε οὔτε δοῦναι οὔτε ἀρνήσασθαι· εὖ γὰρ ἠπίστατο ὅτι οὐκ ὡς γυναῖκά μιν ἔμελλε Καμβύσης ἕξειν ἀλλ᾽ ὡς παλλακήν. ταῦτα δὴ ἐκλογιζόμενος ἐποίησε τάδε. ἦν Ἀπρίεω τοῦ προτέρου βασιλέος θυγάτηρ κάρτα μεγάλη τε

διὰ τί Καμβύσης ἐστράτευσεν κατὰ Ἀμάσιδος καὶ Αἰγυπτίων

---

3. πέμψας - 7 Πέρσας Theo progymn. p. 193. — 8. - 11 ibidem

ΘΑΛΕΙΑ Γ *A*, Γ | θάλεια *B*, θάλεια :· τρίτη :· *P*, θάλεια *R*, Ἡροδότου ἱστοριῶν τρίτη. *d*, ΗΡΟΔΟΤΟΥ ΙΣΤΟΡΙΩΝ ΤΡΙΤΗ· ΘΑΛΕΙΑ. *z*

1. ἄμασιν *d* ut fere ‖ 2. καὶ ἄλλους] ἄλλους τε *R* ‖ 3. τοιῆνδε *AB* ‖ 4. συμβουλίης *R*, βουλίης *z*, συμβουλῆς Theo ‖ 5. Ἀμάσι Dietsch ‖ 6. ἰατρῶν *d* ‖ ἀπὸ om. Theo ‖ 8. ἰατρὸν *d* ‖ 9. δὲ *d* ‖ 10. συμβουλίῃ *CPdz* ‖ 11. ἀπέχθητο *z* ‖ 12. δυνάμει *L* ‖ 13. εὖ γὰρ ἠπίστατο] ἐπίστατο γὰρ *R* ‖ 14. οὐκ *R*: οὐχ ‖ 15. παλακήν *AB* ‖ τάδε] ταῦτα *CPz* ‖ 16. βασιλέως *ACd*

καὶ εὐειδὴς μούνη τοῦ οἴκου λελειμμένη, οὔνομα δέ οἱ ἦν Νίτητις. ταύτην δὴ τὴν παῖδα ὁ Ἄμασις κοσμήσας ἐσθῆτί τε καὶ χρυσῷ ἀποπέμπει ἐς Πέρσας ὡς ἑωυτοῦ θυγατέρα. μετὰ δὲ χρόνον ὥς μιν ἠσπάζετο πατρόθεν ὀνομάζων, λέγει πρὸς αὐτὸν ἡ παῖς "ὦ βασιλεῦ, διαβεβλημένος ὑπὸ Ἀμάσιος οὐ μανθάνεις, ὃς ἐμὲ σοὶ κόσμῳ ἀσκήσας ἀπέπεμψε ὡς ἑωυτοῦ θυγατέρα διδούς, ἐοῦσαν τῇ ἀληθείῃ Ἀπρίεω, τὸν ἐκεῖνος ἐόντα ἑωυτοῦ δεσπότεα μετ' Αἰγυπτίων ἐπαναστὰς ἐφόνευσε." τοῦτο δὴ τὸ ἔπος καὶ αὕτη ἡ αἰτίη ἐγγενομένη ἤγαγε Καμβύσεα τὸν Κύρου μεγάλως θυμωθέντα ἐπ' Αἴ-
2 γυπτον. οὕτω μέν νυν λέγουσι Πέρσαι. Αἰγύπτιοι δὲ οἰκηιοῦνται Καμβύσεα, φάμενοί μιν ἐκ ταύτης δὴ τῆς Ἀπρίεω θυγατρὸς γενέσθαι· Κῦρον γὰρ εἶναι τὸν πέμψαντα παρὰ Ἄμασιν ἐπὶ τὴν θυγατέρα, ἀλλ' οὐ Καμβύσεα. λέγοντες δὲ ταῦτα οὐκ ὀρθῶς λέγουσι. οὐ μὲν οὐδὲ λέληθε αὐτούς (εἰ γάρ τινες καὶ ἄλλοι, τὰ Περσέων νόμιμα ἐπιστέαται καὶ Αἰγύπτιοι) ὅτι πρῶτα μὲν νόθον οὔ σφι νόμος ἐστὶ βασιλεῦσαι γνησίου παρεόντος, αὖτις δὲ ὅτι Κασσανδάνης τῆς Φαρνάσπεω θυγατρὸς ἦν παῖς Καμβύσης, ἀνδρὸς Ἀχαιμενίδεω, ἀλλ' οὐκ ἐκ τῆς Αἰγυπτίης. ἀλλὰ παρατράπουσι τὸν λόγον
3 προσποιεύμενοι τῇ Κύρου οἰκίῃ συγγενέες εἶναι. καὶ ταῦτα μὲν ὧδε ἔχει. λέγεται δὲ καὶ ὅδε λόγος, ἐμοὶ μὲν οὐ πιθανός, ὡς τῶν Περσίδων γυναικῶν ἐσελθοῦσά τις παρὰ τὰς Κύρου γυναῖκας, ὡς εἶδε τῇ Κασσανδάνῃ παρεστεῶτα τέκνα εὐειδέα τε καὶ μεγάλα, πολλῷ ἐχρᾶτο τῷ ἐπαίνῳ ὑπερθωυμάζουσα, ἡ δὲ Κασσανδάνη ἐοῦσα τοῦ Κύρου γυνὴ εἶπε τάδε.

περὶ τοῦ τοκετοῦ Καμβύσου

2. δὲ *C* ‖ 3. τε om. *z* ‖ 4. ἠσπάζετο] ἠσπάζετο Καμβύσης? ‖ οὐνομάζων *CPdz* ‖ 6. ἐμὲ σοὶ *ABd*: ἐμέ σοι ‖ 7. ἀληθείαι *AB*, ἀληθηΐηι *z* ‖ 8. δεσπότην *R* ‖ 9. αἰτία *R* ‖ ἐγγινομένη *z* ‖ 11. οἰκοϊοῦνται *R*, οἰκηϊεῦνται *s*, οἰκειοῦνται *BCP*, οἰκειεῦνται *Adz* ‖ 12. δὴ om. *R* ‖ 13. κύρον *A* ‖ 14. λέγεται *R* ‖ 15. μὴν *L* ‖ λέλυθεν *R* ‖ 16. νόμιμα] νόμιμα ὀρθῶς *PRz* ‖ ἐπιστέατο *d* ‖ 18. αὖθις *z* ‖ κασανδάνης *dz* ‖ 20. παρατρέπουσι *L* ‖ 22. ὅδε ὁ λόγος *R*, ὧδε λόγος *z* ‖ 23. εἰσελθοῦσά *AB* ‖ 24. κασανδάνῃ *dz* ‖ τὰ τέκνα *R* ‖ 25. θωμάζουσα *d* ‖ 26. κασανδάνη *dz* ‖ τοῦ om. *C* ‖ τοιάδε *R*

“τοιῶνδε μέντοι ἐμὲ παίδων μητέρα ἐοῦσαν Κῦρος ἐν ἀτιμίῃ ἔχει, τὴν δὲ ἀπ’ Αἰγύπτου ἐπίκτητον ἐν τιμῇ τίθεται.” τὴν μὲν ἀχθομένην τῇ Νιτήτι εἰπεῖν ταῦτα, τῶν δέ οἱ παίδων τὸν πρεσβύτερον εἰπεῖν Καμβύσεα “τοιγάρ τοι ὦ μῆτερ, ἐπεὰν ἐγὼ γένωμαι ἀνήρ, Αἰγύπτου τὰ μὲν ἄνω κάτω θήσω, τὰ δὲ κάτω ἄνω.” ταῦτα εἰπεῖν αὐτὸν ἔτεα ὡς δέκα κου γεγονότα, καὶ τὰς γυναῖκας ἐν θώυματι γενέσθαι· τὸν δὲ διαμνημονεύοντα οὕτω δή, ἐπείτε ἀνδρώθη καὶ ἔσχε τὴν βασιληίην, ποιήσασθαι τὴν ἐπ’ Αἴγυπτον στρατηίην.

4 Συνήνεικε δὲ καὶ ἄλλο τι τοιόνδε πρῆγμα γενέσθαι ἐς τὴν ἐπιστράτευσιν ταύτην. ἦν τῶν ἐπικούρων Ἀμάσιος ἀνὴρ γένος μὲν Ἁλικαρνησσεύς, οὔνομα δέ οἱ Φάνης, καὶ γνώμην ἱκανὸς καὶ τὰ πολεμικὰ ἄλκιμος. οὗτος ὁ Φάνης μεμφόμενός κού τι Ἀμάσι ἐκδιδρήσκει πλοίῳ ἐξ Αἰγύπτου, βουλόμενος Καμβύσῃ ἐλθεῖν ἐς λόγους. οἷα δὲ ἐόντα αὐτὸν ἐν τοῖσι ἐπικούροισι λόγου οὐ σμικροῦ ἐπιστάμενόν τε τὰ περὶ Αἴγυπτον ἀτρεκέστατα, μεταδιώκει ὁ Ἄμασις σπουδὴν ποιεύμενος ἑλεῖν, μεταδιώκει δὲ τῶν εὐνούχων τὸν πιστότατον ἀποστείλας τριήρεϊ κατ’ αὐτόν, ὃς αἱρέει μιν ἐν Λυκίῃ, ἑλὼν δὲ οὐκ ἀνήγαγε ἐς Αἴγυπτον· σοφίῃ γάρ μιν περιῆλθε ὁ Φάνης· καταμεθύσας γὰρ τοὺς φυλάκους ἀπαλλάσσετο ἐς Πέρσας. ὁρμημένῳ δὲ στρατεύεσθαι Καμβύσῃ ἐπ’ Αἴγυπτον καὶ ἀπορέοντι τὴν ἔλασιν, ὅκως τὴν ἄνυδρον διεκπερᾷ, ἐπελθὼν φράζει μὲν καὶ τὰ ἄλλα τὰ Ἀμάσιος πρήγματα, ἐξηγέεται δὲ καὶ τὴν ἔλασιν, ὧδε παραινέων, πέμψαντα παρὰ τὸν Ἀραβίων βασιλέα δέεσθαι τὴν διέξοδόν οἱ ἀσφαλέα

1. τοιῶνδε - 2 τίθεται Lexicon Vindob. p. 86. — 6. ταῦτα - 7 γεγονότα Thomas M. p. 79. — 11. Bekkeri Anecd. p. 94

1. μητέραν *R* ‖ 2. δ’ ἀπ’ *Pz*. Lex. Vind., δ’ ἐπ’ *C* ‖ 3. νητήτι *d*, Νιτῆτι *z* ‖ 4. πρεσβύτατον *R* ‖ τοι om. *PRdz* ‖ 6. κου om. Thom. ‖ 8. ἔχε *R* ‖ 9. βασιλήϊν *R* ‖ στρατηΐην *R*: στρατιήν ‖ 10. τοιοῦτον *R* ‖ εἰς *AB* ‖ 11. στράτευσιν *qz* ‖ ἐπικούρων] ἐπικούρων τῶν *R* ‖ 12. γένος μὲν] γενόμενος *C* ‖ ἀλικαρνησεὺς *d* ‖ οἱ] οἱ ἦν *R* ‖ καὶ γνώμην - 13 Φάνης om. *d* ‖ 13. πολέμια *Rz* ‖ 14. κου τί *A*, κοῦ τι *Rd*, κου τι *z* ‖ ἄμασιν *C*, ἀμάσι *P*, ἀμάσιδος *d* ‖ εἰσδιδρήσκει *R* ‖ 15. οἷα] ὁ *R* ‖ 16. μικροῦ *z* ‖ 19. τριήρει *A^2PRdz*, τριήρη *A^1BC* ‖ εἰς τάὐτὸν *R* ‖ 21. θύσας *R* ‖ ἀπηλλάσσετο *R* ‖ 22. ὡρμημένῳ *CPdz* ‖ Καμβύσῃ στρατεύεσθαι *z* ‖ 24. μὲν] μιν *R* ‖ τὰ ἄλλα *ABPd*: τἄλλα ‖ 26. τῶν *B* ‖ ἀρραβίων *d*

5 παρασχεῖν. μούνῃ δὲ ταύτῃ εἰσὶ φανεραὶ ἐσβολαὶ ἐς Αἴγυπτον. ἀπὸ γὰρ Φοινίκης μέχρι οὔρων τῶν Καδύτιος πόλιος ἐστὶ Σύρων τῶν Παλαιστίνων καλεομένων· ἀπὸ δὲ Καδύτιος ἐούσης πόλιος, ὡς ἐμοὶ δοκέει, Σαρδίων οὐ πολλῷ ἐλάσσονος, ἀπὸ ταύτης τὰ ἐμπόρια τὰ ἐπὶ θαλάσσης μέχρι Ἰηνύσου πόλιός ἐστι τοῦ Ἀραβίου, ἀπὸ δὲ Ἰηνύσου αὖτις Σύρων μέχρι Σερβωνίδος λίμνης, παρ' ἣν δὴ τὸ Κάσιον ὄρος τείνει ἐς θάλασσαν· ἀπὸ δὲ Σερβωνίδος λίμνης, ἐν τῇ δὴ λόγος τὸν Τυφῶ κεκρύφθαι, ἀπὸ ταύτης ἤδη Αἴγυπτος. τὸ δὴ μεταξὺ Ἰηνύσου πόλιος καὶ Κασίου τε ὄρεος καὶ τῆς Σερβωνίδος λίμνης, ἐὸν τοῦτο οὐκ ὀλίγον χωρίον ἀλλὰ ὅσον

6 τε ἐπὶ τρεῖς ἡμέρας ὁδόν, ἄνυδρόν ἐστι δεινῶς. τὸ δὲ ὀλίγοι τῶν ἐς Αἴγυπτον ναυτιλλομένων ἐννενώκασι, τοῦτο ἔρχομαι φράσων.. ἐς Αἴγυπτον ἐκ τῆς Ἑλλάδος πάσης καὶ πρὸς ἐκ Φοινίκης κέραμος ἐσάγεται πλήρης οἴνου δὶς τοῦ ἔτεος ἑκάστου, καὶ ἓν κεράμιον οἰνηρὸν ἀριθμῷ κεινὸν οὐκ ἔστι ὡς λόγῳ εἰπεῖν ἰδέσθαι. κοῦ δῆτα, εἴποι τις ἄν, ταῦτα ἀναισιμοῦται; ἐγὼ καὶ τοῦτο φράσω. δεῖ τὸν μὲν δήμαρχον ἕκαστον ἐκ τῆς ἑωυτοῦ πόλιος συλλέξαντα πάντα τὸν κέραμον ἄγειν ἐς Μέμφιν, τοὺς δὲ ἐκ Μέμφιος ἐς ταῦτα δὴ τὰ ἄνυδρα τῆς Συρίης κομίζειν πλήσαντας ὕδατος. οὕτω ὁ ἐπιφοιτέων κέραμος καὶ ἐξαιρεόμενος ἐν Αἰγύπτῳ ἐπὶ τὸν παλαιὸν κομί-

περιήγησις τῆς ἐπὶ Αἴγυπτον ἀπὸ Περσίδος ὁδοῦ

1. εἰσὶ - Αἴγυπτον Lexicon Vindob. p. 83. — 5. Stephanus Byz. v. Ἰνυσσός. — 16. Pollux VII 161. Bekkeri Anecd. p. 111

1. αἱ ἐσβολαί *R* ‖ ἐπ' Lex. Vind. ‖ 2. φοινίκοις *R* ‖ μέχρι *Pz*: μέχρις ‖ καταδύτιος *C* ‖ πόλιος - 4 ἐούσης om. *d*[1] ‖ 3. ἐστὶ Perizonius et Dobree: ἥ ἐστι *L*. γῆ ἐστι Gronovius ‖ συρίων *Pcorr.Rz* ‖ παλαιστινῶν *CPz* ‖ 4. πόλιος ἐούσης *R* ‖ δοκεῖ *AB* ‖ 5. τὰ ἐμπόρια ἀπὸ ταύτης *R* ‖ ἐπὶ *PRz*: ἀπὸ ‖ μέχρι *Pz*: μέχρις ‖ 6. ἰχνύσου *R*. Ἰνυσσός Steph. (Ἴνυσσος Lentz Herodian. I p. 213) ‖ τοῦ *Ppr.*(?)*R*: τῆς ‖ αὖτις] πόλιος *R* ‖ 7. συρίων *L* ‖ σερβώνιδος *B* ‖ 9. δὴ om. *R* ‖ Τυφῶ *z* ‖ ἤδη] δὴ *ABC* ‖ 10. Ἰηνύσου τε? ‖ οὔρεος *CPz* ‖ 11. σερβωνίτιδος *R* ‖ ἀλλ' *CPz* ‖ 12. ὁδοῦ? ‖ ἔστιν ἄνυδρον *R* ‖ τὸν δὲ *C* ‖ 14. φράσσων *B* ‖ 15. Φοινίκων *z* ‖ δὶς τοῦ ἔτεος] δι' ἔτους *R* ‖ 16. κεινὸν *Ppr.* (ut videtur) *Pm R*: κείμενον ‖ 17. λόγος *R* ‖ ἀναισιμοῦνται *CPz* ‖ 18. τῶν μὲν δημάρχων Reiske ‖ 19. συλλέξαντα post ἕκαστον *z* ‖ 21. οὕτως *ARd*, οὗτος *B* ‖ ἐπιφοιτῶν *AB* ‖ 22. τῶν παλαιῶν *dz*

ζεται ἐς Συρίην. οὕτω μέν νυν Πέρσαι εἰσὶ οἱ τὴν ἐσβολὴν 7
ταύτην παρασκευάσαντες ἐπ' Αἴγυπτον, κατὰ δὴ τὰ εἰρημένα
σάξαντες ὕδατι, ἐπείτε τάχιστα παρέλαβον Αἴγυπτον. τότε
δὲ οὐκ ἐόντος κω ὕδατος ἑτοίμου, Καμβύσης πυθόμενος τοῦ
Ἁλικαρνήσσέος ξείνου, πέμψας παρὰ τὸν Ἀράβιον ἀγγέλους
καὶ δεηθεὶς τῆς ἀσφαλείης ἔτυχε, πίστις δούς τε καὶ δεξά-
μενος παρ' αὐτοῦ. σέβονται δὲ Ἀράβιοι πίστις ἀνθρώπων 8
ὅμοια τοῖσι μάλιστα, ποιεῦνται δὲ αὐτὰς τρόπῳ τοιῷδε. τῶν
βουλομένων τὰ πιστὰ ποιέεσθαι ἄλλος ἀνὴρ ἀμφοτέρων αὐ-
τῶν ἐν μέσῳ ἑστεὼς λίθῳ ὀξέι τὸ ἔσω τῶν χειρῶν παρὰ τοὺς
δακτύλους τοὺς μεγάλους ἐπιτάμνει τῶν ποιευμένων τὰς
πίστις, καὶ ἔπειτα λαβὼν ἐκ τοῦ ἱματίου ἑκατέρου κροκύδα
ἀλείφει τῷ αἵματι ἐν μέσῳ κειμένους λίθους ἑπτά· τοῦτο δὲ
ποιέων ἐπικαλέει τε τὸν Διόνυσον καὶ τὴν Οὐρανίην. ἐπιτε-
λέσαντος δὲ τούτου ταῦτα, ὁ τὰς πίστις ποιησάμενος τοῖσι
φίλοισι παρεγγυᾷ τὸν ξεῖνον ἢ καὶ τὸν ἀστόν, ἢν πρὸς ἀστὸν
ποιέηται· οἱ δὲ φίλοι καὶ αὐτοὶ τὰς πίστις δικαιεῦσι σέβε-
σθαι. Διόνυσον δὲ θεῶν μοῦνον καὶ τὴν Οὐρανίην ἡγέονται
εἶναι, καὶ τῶν τριχῶν τὴν κουρὴν κείρεσθαί φασι κατά περ
αὐτὸν τὸν Διόνυσον κεκάρθαι· κείρονται δὲ περιτρόχαλα,
ὑποξυρῶντες τοὺς κροτάφους. ὀνομάζουσι δὲ τὸν μὲν Διό-
νυσον Ὀροτάλτ, τὴν δὲ Οὐρανίην Ἀλιλάτ.

συμμαχία Καμβύσου πρὸς Ἀραβίους καὶ πῶς ποιοῦνται τὰς πίστεις
ποίοις ὀνόμασι τὸν Διόνυσον καὶ τὴν Ἀφροδίτην Ἀράβιοι καλοῦσιν

---

12. Pollux VII 63. — 20. Photius v. περιτρόχαλα κείρονται

2. ἐς *CPdz* ‖ κᾶτα *d* ‖ 3. σάξαντες *R* idemque Reiske coniectura: ἔλ-ξαντες ‖ ἐπὶ τὸ χαστὰ *R* ‖ 4. κως *R*, κου *z* ‖ ἑτοίμου ὕδατος *R* ‖ 5. ἀλικαρ-νησῆος *R*, ἀλικαρνασῆος *d*, Αλικαρνασσῆος *sz* ‖ Ἀράβιον] ἀράβιον βασιλέα *R* ‖ 6. πίστεις *ABd*, πίστϊ *R* ‖ 7. πίστεις *ABd* ‖ 8. ὁμοῖα *CP* ‖ τίσι *R* ‖ δὴ *BP* ‖ 10. ὀξεῖ *ABd* ‖ εἴσω *Rs* ‖ 12. πίστις *CPs*: πίστεις ‖ ἑκάστου *R* ‖ κροκύδα *A*, κροκίδα *R*, κροκύην *dz*, κρόκυν Poll. ‖ 14. τε τὸν] τόν τε *Pcorr.Rs*, τὸν *d* ‖ ἐπικαλέσαντος *z* ‖ 15. πίστεις *ABd* ‖ 17. ποιῆται *ABR* ‖ οἱ] εἰ *d* ‖ πίστεις *ABd* ‖ σέβεσθαι post αὐτοὶ *R* ‖ θεὸν *Pcorr.dz* ‖ 18. ἡγεῦνται *R* ‖ 20. περιτρόχαλα *R*. Phot.: ὑποτρόχαλα ‖ 21. ὑποξυροῦν-τες *R*, περιξυρῶντες *AB*, περιξυροῦντες reliqui ‖ οὐνομάζουσι *CPdz* ‖ 22. ὀροτάλτ *ACpr.Pd*, ὀροτάλιιτ *B*: ὀροτάλ *Ccorr.*, ὀρατάλ *R*, Οὐροτάλτ *s* ‖ ἀλιάτ *d*

9 Ἐπεὶ ὦν τὴν πίστιν τοῖσι ἀγγέλοισι τοῖσι παρὰ Καμβύσεω ἀπιγμένοισι ἐποιήσατο ὁ Ἀράβιος, ἐμηχανᾶτο τοιάδε. ἀσκοὺς καμήλων πλήσας ὕδατος ἐπέσαξε ἐπὶ τὰς ζωὰς τῶν καμήλων πάσας, τοῦτο δὲ ποιήσας ἤλασε ἐς τὴν ἄνυδρον καὶ ὑπέμενε ἐνθαῦτα τὸν Καμβύσεω στρατόν. οὗτος μὲν ὁ πιθανώτερος τῶν λόγων εἴρηται· δεῖ δὲ καὶ τὸν ἧσσον πιθανόν, ἐπεί γε δὴ λέγεται, ῥηθῆναι. ποταμός ἐστι μέγας ἐν τῇ Ἀραβίῃ τῷ οὔνομα Κόρυς, ἐκδιδοῖ δὲ οὗτος ἐς τὴν Ἐρυθρὴν καλεομένην θάλασσαν. ἀπὸ τούτου δὴ ὦν τοῦ ποταμοῦ λέγεται τὸν βασιλέα τῶν Ἀραβίων, ῥαψάμενον ὠμοβοέων καὶ [τῶν] ἄλλων δερμάτων ὀχετὸν μήκεϊ ἐξικνεύμενον ἐς τὴν ἄνυδρον, ἀγαγεῖν διὰ δὴ τούτων τὸ ὕδωρ, ἐν δὲ τῇ ἀνύδρῳ μεγάλας δεξαμενὰς ὀρύξασθαι, ἵνα δεχόμεναι τὸ ὕδωρ σώζωσι. ὁδὸς δ' ἐστὶ δυώδεκα ἡμερέων ἀπὸ τοῦ ποταμοῦ ἐς ταύτην τὴν ἄνυδρον. ἄγειν δέ μιν δι' ὀχετῶν τριῶν ἐς τριξὰ χωρία.

10 Ἐν δὲ τῷ Πηλουσίῳ καλεομένῳ στόματι τοῦ Νείλου ἐστρατοπεδεύετο Ψαμμήνιτος ὁ Ἀμάσιος παῖς ὑπομένων Καμβύσεα. Ἄμασιν γὰρ οὐ κατέλαβε ζῶντα Καμβύσης ἐλάσας ἐπ' Αἴγυπτον, ἀλλὰ βασιλεύσας ὁ Ἄμασις τέσσερα καὶ τεσσεράκοντα ἔτεα ἀπέθανε, ἐν τοῖσι οὐδέν οἱ μέγα ἀνάρσιον πρῆγμα συνηνείχθη· ἀποθανὼν δὲ καὶ ταριχευθεὶς ἐτάφη ἐν τῇσι ταφῇσι τῇσι ἐν τῷ ἱρῷ, τὰς αὐτὸς οἰκοδομή-

Ἀμάσιδος τελευτὴ καὶ ὅτι Ψαμμήνιτος ὁ παῖς διεδέξατο τὴν βασιλείαν καὶ περὶ τῆς πρὸς Καμβύσην μάχης

---

3. Bekkeri Anecd. p. 94

3. πλήσας – 4 καμήλων om. *R* ‖ ζοὰς *AB* ‖ 5. ὑπέμεινεν *R*, ὑπέμεινε *z* ‖ 8. ὢ *d* ‖ κόρ/υς *A*, κόρους *C*, κόρος *d* ‖ 10. ἀψάμενον *AB*[1]*Cd* ‖ ὠμοβοέων – 11 ἐξικνεύμενον om. *C*[1] ‖ τῶν ὠμοβοέων *ABC*[2]*d* ‖ 11. τῶν seclusi, om. *R* ‖ ὀχετῶν *d* ‖ μήκη *d*, μήκει ceteri ‖ ἐπιχνευμένων εἰς *R* ‖ 12. ἄνυδρον ἀγαγεῖν. διὰ *A* ‖ τοῦτο *R*, τούτου *sv* ‖ 13. ὀρύξας *d* ‖ σώζουσι *d*, ποτίζωσιν *R* ‖ 14. δέ ἐστι *d* ‖ 15. αὐτὴν et ἄγει *d* ‖ τριῶν om. *ABCd* ‖ 18. ἐστρατεύετο *ABCd* ‖ ψαμμίνιτος *C* ‖ 19. ἀμασῒς *R* ‖ 20. ἐς *R* ‖ τέσσαρα *Cd* ‖ 21. τεσσαράκοντα *CRd* ‖ μέγα om. *qz* ‖ 22. συνενείχθη *CPdz* ‖ 23. τῇσι post ταφῇσι om. *dz* ‖ ἃς *d*

σατο. ἐπὶ Ψαμμηνίτου δὲ τοῦ Ἀμάσιος βασιλεύοντος Αἰγύπτου φάσμα Αἰγυπτίοισι μέγιστον δὴ ἐγένετο. ὕσθησαν γὰρ Θῆβαι αἱ Αἰγύπτιαι, οὔτε πρότερον οὐδαμὰ ὑσθεῖσαι οὔτε ὕστερον τὸ μέχρι ἐμεῦ, ὡς λέγουσι αὐτοὶ Θηβαῖοι· οὐ γὰρ δὴ ὕεται τὰ ἄνω τῆς Αἰγύπτου τὸ παράπαν. ἀλλὰ καὶ τότε
ὕσθησαν αἱ Θῆβαι ψακάδι. οἱ δὲ Πέρσαι ἐπείτε διεξελάσαν- 11
τες τὴν ἄνυδρον ἵζοντο πέλας τῶν Αἰγυπτίων ὡς συμβαλέοντες, ἐνθαῦτα οἱ ἐπίκουροι οἱ τοῦ Αἰγυπτίου, ἐόντες ἄνδρες Ἕλληνές τε καὶ Κᾶρες, μεμφόμενοι τῷ Φάνῃ ὅτι στρατὸν ἤγαγε ἐπ' Αἴγυπτον ἀλλόθροον, μηχανέονται πρῆγμα ἐς αὐτὸν τοιόνδε. ἦσαν τῷ Φάνῃ παῖδες ἐν Αἰγύπτῳ καταλελειμμένοι· τοὺς ἀγαγόντες ἐς τὸ στρατόπεδον καὶ ἐς ὄψιν τοῦ πατρὸς κρητῆρα ἐν μέσῳ ἔστησαν ἀμφοτέρων τῶν στρατοπέδων, μετὰ δὲ ἀγινέοντες κατὰ ἕνα ἕκαστον τῶν παίδων ἔσφαζον ἐς τὸν κρητῆρα· διὰ πάντων δὲ διεξελθόντες τῶν παίδων οἶνόν τε καὶ ὕδωρ ἐσεφόρεον ἐς αὐτόν, ἐμπιόντες δὲ τοῦ αἵματος πάντες ἐπίκουροι οὕτω δὴ συνέβαλον. μάχης δὲ γενομένης καρτερῆς καὶ πεσόντων ἐξ ἀμφοτέρων τῶν στρατοπέδων πλήθεϊ πολλῶν ἐτράποντο οἱ Αἰγύπτιοι.
Θῶυμα δὲ μέγα εἶδον πυθόμενος παρὰ τῶν ἐπιχωρίων· 12
τῶν γὰρ ὀστέων περικεχυμένων χωρὶς ἑκατέρων τῶν ἐν τῇ μάχῃ ταύτῃ πεσόντων (χωρὶς μὲν γὰρ τῶν Περσέων ἐκέετο τὰ ὀστέα, ὡς ἐχωρίσθη κατ' ἀρχάς, ἑτέρωθι δὲ τῶν Αἰγυπτίων), αἱ μὲν τῶν Περσέων κεφαλαί εἰσι ἀσθενέες οὕτω

ὅτι ἐπὶ Ψαμμηνίτου ὑετὸς γέγονεν ἐν Αἰγύπτῳ ὅτι τὰ τῶν Αἰγυπτίων ὀστᾶ ἰσχυρότερα τῶν ἄλλων

2 sq. Schol. Arist. Nub. 1130. Suidas v. βουλήσεται. — 6. Eustathius Dion. 248. — 14. κατὰ - 16 παίδων Lexicon Vindob. p. 42

1. βασιλεύοντος *R*: βασιλεύσαντος ‖ 2. δὴ om. *R* ‖ 3. αἱ om. *ABd* ‖ οὐδαμᾶ *z* ‖ 4. μέγρι *Pz*: μέχρις ‖ οὐ] οὔτε *R* ‖ 6. οἴσθησαν *AB*[1] ‖ ψεκάδι *Pd*. Eust., ψεκάσι *qz* ‖ 7. συμβαλόντες *d*, συγκαλέοντες *z* ‖ 10. μηχανῶνται *L* ‖ 12. τοὺς] τούτους *R* ‖ 13. πατρὸς] παντὸς *R* ‖ ἔστησαν *dz* ‖ 14. κατὰ om. *d* ‖ 16. ἐφόρεον *R* ‖ 17. συνέβαλλον *C* ‖ 18. ἐξ om. *R* ‖ 19. πλήθει *AB* ‖ 20. θῶυμα δὲ *P*, θώϋμα δὲ *Rz*: θῶυμά τε *ABd*, θωυματι *C* ‖ ἴδον *R* ‖ πυθόμενος post ἐπιχωρίων *P* ‖ 21. γὰρ om. *R* ‖ κεχυμένων *R* ‖ 22. κέεται *R* ‖ 23. καταρχὰς *Adz* ‖ 24. οὕτως *R*

ὥστε, εἰ θέλεις ψήφῳ μούνῃ βαλεῖν, διατετρανέεις, αἱ δὲ τῶν Αἰγυπτίων οὕτω δή τι ἰσχυραί, μόγις ἂν λίθῳ παίσας διαρρήξειας. αἴτιον δὲ τούτου τόδε ἔλεγον, καὶ ἐμέ γ' εὐπετέως ἔπειθον, ὅτι Αἰγύπτιοι μὲν αὐτίκα ἀπὸ παιδίων ἀρξάμενοι ξυρῶνται τὰς κεφαλὰς καὶ πρὸς τὸν ἥλιον παχύνεται τὸ ὀστέον. τὠυτὸ δὲ τοῦτο καὶ τοῦ μὴ φαλακροῦσθαι αἴτιόν ἐστι· Αἰγυπτίων γὰρ ἄν τις ἐλαχίστους ἴδοιτο φαλακροὺς πάντων ἀνθρώπων. τούτοισι μὲν δὴ τοῦτό ἐστι αἴτιον ἰσχυρὰς φορέειν τὰς κεφαλάς, τοῖσι δὲ Πέρσῃσι ὅτι ἀσθενέας φορέουσι τὰς κεφαλὰς αἴτιον τόδε. σκιητροφέουσι ἐξ ἀρχῆς πίλους τιάρας φορέοντες. ταῦτα μέν νυν τοιαῦτα· εἶδον δὲ καὶ ἄλλα ὅμοια τούτοισι ἐν Παπρήμι τῶν ἅμα Ἀχαιμένεϊ τῷ Δαρείου διαφθαρέντων ὑπὸ Ἰνάρω τοῦ Λίβυος.

13 Οἱ δὲ Αἰγύπτιοι ἐκ τῆς μάχης ὡς ἐτράποντο, ἔφευγον οὐδενὶ κόσμῳ· κατειληθέντων δὲ ἐς Μέμφιν, ἔπεμπε ἀνὰ ποταμὸν Καμβύσης νέα Μυτιληναίην κήρυκα ἄγουσαν ἄνδρα Πέρσην, ἐς ὁμολογίην προκαλεόμενος Αἰγυπτίους. οἱ δὲ ἐπείτε τὴν νέα εἶδον ἐσελθοῦσαν ἐς τὴν Μέμφιν, ἐκχυθέντες ἁλέες ἐκ τοῦ τείχεος τήν τε νέα διέφθειραν καὶ τοὺς ἄνδρας κρεουργηδὸν διασπάσαντες ἐφόρεον ἐς τὸ τεῖχος. καὶ Αἰγύπτιοι μὲν μετὰ τοῦτο πολιορκεόμενοι χρόνῳ παρέστησαν, οἱ δὲ προσεχέες Λίβυες δείσαντες τὰ περὶ τὴν Αἴγυπτον γεγονότα παρέδοσαν σφέας αὐτοὺς ἀμαχητὶ καὶ φόρον τε ἐτάξαντο καὶ δῶρα ἔπεμπον. ὡς δὲ Κυρηναῖοι καὶ Βαρκαῖοι δείσαν-

ὅτι Αἰγυπτίων κρατηθέντων Λίβυες καὶ Κυρηναῖοι καὶ Βαρκαῖοι ὑπετάγησαν Καμβύσῃ

---

21. Thomas M. p. 319

1. θέλοις *R* ‖ μόνῃ *z* ‖ βαλέειν *L* ‖ 2. μόγις] ὡς μόγις *dz* ‖ διαρρήξειας *Pz*: διαρρήξεις *ABCd*, διαράξειας *R* ‖ 3. ἔλεγον τόδε *d* ‖ γε *R* ‖ 5. ξυρεῦνται *CPz*, ξυρέονται *d* ‖ 8. τοῦτ' ἔστιν *R* ‖ 9. τοῖσι δὲ – 10 κεφαλάς om. *R* ‖ 10. τὰς κεφαλάς om. *z* ‖ σκιητροφέουσί τε ἐξ *R* ‖ 11. τὶ ἄρας *C*, τιάρας τε *Pdz* ‖ τοιαῦτα] τοιαῦτα ἐόντα ἴδον *R* ‖ ἴδον *R* ‖ 12. ὁμοῖα *CPdz* ‖ παπρήμη *d* ‖ ἀχαιμένεϊ *R*: ἀχαιμένει ‖ τῷ] τοῦ *R* ‖ 13. ἴναρω *AB*, ἰνάρωι *C*, ἰνάρου *R* ‖ τοῦ] τῷ *z* ‖ 16. μυτιληναίην *AB*[1]: μιτυληναίην ‖ 17. παρακαλεόμενος *C* ‖ 18. ἴδον ἐλθοῦσαν *R* ‖ 19. ἀλέες *d* ‖ 21. πολιορκεόμενοι *R*: πολιορκούμενοι *AB*. Thom., πολιορκεύμενοι *Cd*, πολιερκεύμενοι *P*, πολυορκεύμενοι *z* ‖ 23. παρέδοσάν σφεας *d* ‖ 24. ὡς *ABPz* ‖ ἀβαρκαῖοι *C*, οἱ βαρκαῖοι *R* ‖ δείσαντές τε *R*

τες ὁμοίως ἃ καὶ οἱ Λίβυες τοιαῦτα ἐποίησαν. Καμβύσης δὲ τὰ μὲν παρὰ Λιβύων ἐλθόντα δῶρα φιλοφρόνως ἐδέξατο· τὰ δὲ παρὰ Κυρηναίων ἀπικόμενα μεμφθείς, ὡς ἐμοὶ δοκέει, ὅτι ἦν ὀλίγα· ἔπεμψαν γὰρ δὴ πενταχοσίας μνέας ἀργυρίου οἱ Κυρηναῖοι· ταύτας δρασσόμενος αὐτοχειρίῃ διέσπειρε τῇ στρατιῇ.

Ἡμέρῃ δὲ δεκάτῃ ἀπ' ἧς παρέλαβε τὸ τεῖχος τὸ ἐν 14
Μέμφι Καμβύσης, κατίσας ἐς τὸ προάστειον ἐπὶ λύμῃ τὸν βασιλέα τῶν Αἰγυπτίων Ψαμμήνιτον, βασιλεύσαντα μῆνας ἕξ, τοῦτον κατίσας σὺν ἄλλοισι Αἰγυπτίοισι διεπειρᾶτο αὐτοῦ τῆς ψυχῆς ποιέων τοιάδε. στείλας αὐτοῦ τὴν θυγατέρα ἐσθῆτι δουληίῃ ἐξέπεμπε ἐπ' ὕδωρ ἔχουσαν ὑδρήιον, συνέπεμπε δὲ καὶ ἄλλας παρθένους ἀπολέξας ἀνδρῶν τῶν πρώτων, ὁμοίως ἐσταλμένας τῇ τοῦ βασιλέος. ὡς δὲ βοῇ τε καὶ κλαυθμῷ παρήισαν αἱ παρθένοι παρὰ τοὺς πατέρας, οἱ μὲν ἄλλοι πάντες ἀνεβόων τε καὶ ἀντέκλαιον ὁρέοντες τὰ τέκνα κεκακωμένα, ὁ δὲ Ψαμμήνιτος προϊδὼν καὶ μαθὼν ἔκυψε ἐς τὴν γῆν. παρελθουσέων δὲ τῶν ὑδροφόρων, δεύτερά οἱ τὸν παῖδα ἔπεμπε μετ' ἄλλων Αἰγυπτίων δισχιλίων τὴν αὐτὴν ἡλικίην ἐχόντων, τούς τε αὐχένας κάλῳ δεδεμένους καὶ τὰ στόματα ἐγκεχαλινωμένους· ἤγοντο δὲ ποινὴν τίσοντες Μυτιληναίων τοῖσι ἐν Μέμφι ἀπολομένοισι σὺν τῇ νηί. ταῦτα γὰρ ἐδίκασαν οἱ βασιλήιοι δικασταί, ὑπὲρ ἀνδρὸς ἑκάστου δέκα Αἰγυπτίων τῶν πρώτων ἀνταπόλλυσθαι. ὁ δὲ ἰδὼν παρεξιόντας καὶ μαθὼν τὸν παῖδα ἡγεόμενον ἐπὶ θάνατον,

τίσι τρόποις ἀπεπειρᾶτο Καμβύσης Ψαμμηνίτου

12. (Hesychius v. ὑδρήιον). — 13. καὶ ἄλλας - πρώτων Thomas M. p. 22

1. ἃ] ὡς *R*, om. Schaefer ‖ τοιαῦτα] ἕτερα τοιαῦτα *R* ‖ 4. πενταχοσίας *Rdz*: πεντηκοσίας ‖ 6. στρατίη *R* ‖ 8. ἐμέμφι *A*, ἐμ μέμφι *R* ‖ ψαμμίνιτον *C* ‖ 10. διεπειρεᾶτο *R* ‖ 11. τάδε *dz* ‖ 12. ἐς *R* ‖ συνέπεμψε *R* ‖ 13. δὲ om. *d* ‖ 14. βασιλέως *d* ‖ 15. παρῄισαν Reiz: παρήεσαν *R*, παρῇσαν ceteri ‖ παρὰ] κατὰ *z* ‖ 16. πάντες] πατέρες *R* ‖ ἀνέκλαιον *CPz* ‖ ὁρῶντες *ABR* ‖ 17. ψαμμ(η)ίνιτος προσιδὼν *R* ‖ 18. παρεξελθουσέων *R* ‖ 19. ἐξέπεμπε *sz* ‖ 20. ἐχόντων· τοὺς δὲ *PRz* ‖ δεδεμένους] δεδεμένους ἦγον *PRz* ‖ 21. ἄγοντο *CPdz* ‖ μυτιληναίων *AB*[1]: μιτυληναίων ‖ 25. ἡγεύμενον *B*, ἀγεόμενον *qz*

τῶν ἄλλων Αἰγυπτίων τῶν περικατημένων αὐτὸν κλαιόντων καὶ δεινὰ ποιεύντων, τὠυτὸ ἐποίησε τὸ καὶ ἐπὶ τῇ θυγατρί. παρελθόντων δὲ καὶ τούτων, συνήνεικε ὥστε τῶν συμποτέων οἱ ἄνδρα ἀπηλικέστερον, ἐκπεπτωκότα ἐκ τῶν ἐόντων ἔχοντά τε οὐδὲν εἰ μὴ ὅσα πτωχὸς καὶ προσαιτέοντα τὴν στρατιήν, παριέναι Ψαμμήνιτόν τε τὸν Ἀμάσιος καὶ τοὺς ἐν τῷ προαστείῳ κατημένους Αἰγυπτίων. ὁ δὲ Ψαμμήνιτος ὡς εἶδε, ἀνακλαύσας μέγα καὶ καλέσας ὀνομαστὶ τὸν ἑταῖρον ἐπλήξατο τὴν κεφαλήν. ἦσαν δ' ἄρα αὐτοῦ φύλακοι, οἳ τὸ ποιεύμενον πᾶν ἐξ ἐκείνου ἐπ' ἑκάστῃ ἐξόδῳ Καμβύσῃ ἐσήμαινον. θωυμάσας δὲ ὁ Καμβύσης τὰ ποιεύμενα, πέμψας ἄγγελον εἰρώτα αὐτὸν λέγων τάδε. "δεσπότης σε Καμβύσης, Ψαμμήνιτε, εἰρωτᾷ δι' ὅ τι δὴ τὴν μὲν θυγατέρα ὁρέων κεκακωμένην καὶ τὸν παῖδα ἐπὶ θάνατον στείχοντα οὔτε ἀνέβωσας οὔτε ἀπέκλαυσας, τὸν δὲ πτωχὸν οὐδὲν σοὶ προσήκοντα, ὡς ἄλλων πυνθάνεται, ἐτίμησας." ὁ μὲν δὴ ταῦτα ἐπειρώτα, ὁ δ' ἀμείβετο τοῖσιδε. "ὦ παῖ Κύρου, τὰ μὲν οἰκήια ἦν μέζω κακὰ ἢ ὥστε ἀνακλαίειν, τὸ δὲ τοῦ ἑταίρου πένθος ἄξιον ἦν δακρύων, ὃς ἐκ πολλῶν τε καὶ εὐδαιμόνων ἐκπεσὼν ἐς πτωχηίην ἀπῖκται ἐπὶ γήραος οὐδῷ." καὶ ταῦτα ὡς . . . ἀπενειχθέντα ὑπὸ τούτου, εὖ δοκέειν σφι εἰρῆσθαι. ὡς δὲ λέγεται ὑπ' Αἰγυπτίων, δακρύειν μὲν Κροῖσον (ἐτετεύχεε γὰρ καὶ οὗτος ἐπισπόμενος Καμβύσῃ ἐπ' Αἴγυπτον), δακρύειν δὲ Περσέων τοὺς παρεόντας· αὐτῷ τε Καμβύσῃ ἐσελθεῖν οἶκτόν τινα, καὶ αὐτίκα κελεύειν τόν τέ οἱ παῖδα ἐκ τῶν ἀπολλυ-

4. Λέξεις

2. καὶ δεινὰ ποιεύντων om. z || τὸ] τῶι C || καὶ om. ABCd || τῇ om. R || 4. οἱ d || ἐκ τῶν om. R || ἔχοντα δὲ R || 6. ψαμμίνιτον (η supra ι) R || 7. ψαμμϊνιτος ὡς ἴδεν R || 8. οὐνομαστὶ C, ὀνόματι R || 9. φύλακοι] τρεῖς φύλακοι z || 10. ἅπαν R || ἐπ'] ἐξ R || ἐσήμηνον R || θωμάσας d || 11. τὸ ποιεύμενον z || ἠρώτα CPz || 12. αὐτὸν - 13 εἰρωτᾷ om. d || ψαμμίνιτε R || 13. ἐρωτᾷ PRz || διότι L || ὁρῶν ABR || 14. παῖδα] παῖδα δὲ R || στείχοντα dz: στίχοντα || ἀνέκλαυσας z || 15. οὐδέν σοι L || 16. πυνθάνομαι CPdz || ἐτίμησας] ἐτίμησας τούτουσι R || ἐπηρώτα Pz || ὁ δὲ R, ὅδ' z || 17. τοῖσδε L || μείζω R || 18. ἢ om. A^1BCd || ἑτέρου C || πάθος z || 19. πτωχίην dz || 20. interciderunt talia fere: ἤκουσαν οἱ περὶ Καμβύσεα || 21. εὐδοκέειν B || σφι] οἱ z || δὲ om. R || 22. ὑπὸ R || ἐτέτευχε C || 23. ἐπισπώμενος sz

μένων σώζειν καὶ αὐτὸν ἐκ τοῦ προαστείου ἀναστήσαντας
ἄγειν παρ' ἑωυτόν. τὸν μὲν δὴ παῖδα εὗρον αὐτοῦ οἱ με- 15
τιόντες οὐκέτι περιεόντα ἀλλὰ πρῶτον κατακοπέντα, αὐτὸν
δὲ Ψαμμήνιτον ἀναστήσαντες ἦγον παρὰ Καμβύσεα· ἔνθα
τοῦ λοιποῦ διαιτᾶτο ἔχων οὐδὲν βίαιον. εἰ δὲ καὶ ἠπιστήθη
μὴ πολυπρηγμονέειν, ἀπέλαβε ἂν Αἴγυπτον ὥστε ἐπιτρο-
πεύειν αὐτῆς, ἐπεὶ τιμᾶν ἐώθασι Πέρσαι τῶν βασιλέων τοὺς
παῖδας· τῶν, εἰ καί σφεων ἀποστέωσι, ὅμως τοῖσί γε παισὶ
αὐτῶν ἀποδιδοῦσι τὴν ἀρχήν. πολλοῖσι μέν νυν καὶ ἄλλοισι
ἐστὶ σταθμώσασθαι ὅτι τοῦτο οὕτω νενομίκασι ποιέειν, ἐν δὲ
καὶ τῷ τε Ἰνάρω παιδὶ Θαννύρᾳ, ὃς ἀπέλαβε τήν οἱ ὁ πατὴρ
εἶχε ἀρχήν, καὶ τῷ Ἀμυρταίου Παυσίρι· καὶ γὰρ οὗτος ἀπέ-
λαβε τὴν τοῦ πατρὸς ἀρχήν. καίτοι Ἰνάρω γε καὶ Ἀμυρταίου
οὐδαμοί κω Πέρσας κακὰ πλέω ἐργάσαντο. νῦν δὲ μηχανεό-
μενος κακὰ ὁ Ψαμμήνιτος ἔλαβε τὸν μισθόν· ἀπιστὰς γὰρ
Αἰγυπτίους ἥλω· ἐπείτε δὲ ἐπάιστος ἐγένετο ὑπὸ Καμβύσεω,
αἷμα ταύρου πιὼν ἀπέθανε παραχρῆμα. οὕτω δὴ οὗτος
ἐτελεύτησε.

Καμβύσης δὲ ἐκ Μέμφιος ἀπίκετο ἐς Σάιν πόλιν, βουλό- 16
μενος ποιῆσαι τὰ δὴ καὶ ἐποίησε. ἐπείτε γὰρ ἐσῆλθε ἐς τὰ
τοῦ Ἀμάσιος οἰκία, αὐτίκα ἐκέλευε ἐκ τῆς ταφῆς τὸν Ἀμά-
σιος νέκυν ἐκφέρειν ἔξω· ὡς δὲ ταῦτα ἐπιτελέα ἐγένετο,
μαστιγοῦν ἐκέλευε καὶ τὰς τρίχας ἀποτίλλειν καὶ κεντοῦν τε

τελευτὴ Ψαμμηνίτου

τίνι τρόπῳ Καμβύσης ἐλυμήνατο τὸν Ἀμάσιδος νέκυν

---

10. Eustathius Il. p. 70. — 16. Λέξεις. — 23. (Dio Chrys. XXXVII p. 125 R.) — Priscianus XVIII 236

1. σώιζειν *C* ‖ 2. αὐτοῦ om. *ABCd* ‖ οἱ om. *C* ‖ 4. ψαμμίνιτον *R* 5. ἐπιστήθη *R* ‖ 6. μὴ om. *Apr.* ‖ πολυπραγμονεῖν *dz*, πολυπρηγμονεῖν reliqui ‖ 7. αὐτὴν *R* ‖ βασιλήιων *sz* ‖ 8. εἰ] ἢν *Pcorr.z*, ἣν *R* ‖ 9. καὶ om. *d* ‖ 10. δὲ] δὲ δὴ ‖ 11. τῷ τε Reiske: τῶιδε· *ABCd*, τῶιδε *P*, τῶδε *R*, τῷδε τῷ *z* ‖ ἰνάρωι *P*, ἰναρὼ τῶ λίβυος *R*, τῷ λίβυος Ἰνάρω *z* ‖ Θαννύρᾳ *z*: ἰθαννύρα *R*, θαννύρα ceteri ‖ ὃς] ὡς *R* ‖ 13. ἰνάρω τε *Pcorr.z*, ἰναρώ τε *R* ‖ 14. πλέα *dz* ‖ ἐργάσατο *R* ‖ μηχανώμενος *L* ‖ 15. ψαμμίνιτος *R* 17. δὲ *d* ‖ 20. εἰσῆλθε *R* ‖ 21. τῆς om. *d* ‖ 22. ταῦτα] ταῦτά οἱ *R* 23. μαστιγοῦν] μαστιγοῦν τὸν νέκυν *Rz* ‖ κεντροῦν *R* ‖ τε om. *z*

καὶ τἆλλα πάντα λυμαίνεσθαι. ἐπεῖτε δὲ καὶ ταῦτα ἔκαμον ποιεῦντες (ὁ γὰρ δὴ νεκρὸς ἅτε τεταριχευμένος ἀντεῖχέ τε καὶ οὐδὲν διεχέετο), ἐκέλευσέ μιν ὁ Καμβύσης κατακαῦσαι, ἐντελλόμενος οὐκ ὅσια. Πέρσαι γὰρ θεὸν νομίζουσι εἶναι πῦρ. τὸ ὦν κατακαίειν γε τοὺς νεκροὺς οὐδαμῶς ἐν νόμῳ οὐδετέροισί ἐστι, Πέρσῃσι μὲν δι' ὅ περ εἴρηται, θεῷ οὐ δίκαιον εἶναι λέγοντες νέμειν νεκρὸν ἀνθρώπου· Αἰγυπτίοισι δὲ νενόμισται πῦρ θηρίον εἶναι ἔμψυχον, πάντα δὲ αὐτὸ κατεσθίειν τά περ ἂν λάβῃ, πλησθὲν δὲ αὐτὸ τῆς βορῆς συναποθνήσκειν τῷ κατεσθιομένῳ. οὔκων θηρίοισι νόμος οὐδαμῶς σφι ἐστὶ τὸν νέκυν διδόναι· καὶ διὰ ταῦτα ταριχεύουσι, ἵνα μὴ κείμενος ὑπὸ εὐλέων καταβρωθῇ. οὕτω οὐδετέροισι νομιζόμενα ἐνετέλλετο ποιέειν ὁ Καμβύσης. ὡς μέντοι Αἰγύπτιοι λέγουσι, οὐκ Ἄμασις ἦν ὁ ταῦτα παθών, ἀλλὰ ἄλλος τις τῶν Αἰγυπτίων ἔχων τὴν αὐτὴν ἡλικίην Ἀμάσι, τῷ λυμαινόμενοι Πέρσαι ἐδόκεον Ἀμάσι λυμαίνεσθαι. λέγουσι γὰρ ὡς πυθόμενος ἐκ μαντηίου ὁ Ἄμασις τὰ περὶ ἑωυτὸν ἀποθανόντα μέλλοντα γίνεσθαι, οὕτω δὴ ἀκεόμενος τὰ ἐπιφερόμενα τὸν μὲν ἄνθρωπον τοῦτον τὸν μαστιγωθέντα ἀποθανόντα ἔθαψε ἐπὶ τῇσι θύρῃσι ἐντὸς τῆς ἑωυτοῦ θήκης, ἑωυτὸν δὲ ἐνετείλατο τῷ παιδὶ ἐν μυχῷ τῆς θήκης ὡς μάλιστα θεῖναι. αἱ μέν νυν ἐκ τοῦ Ἀμάσιος ἐντολαὶ αὗται αἱ ἐς τὴν ταφήν τε καὶ τὸν ἄνθρωπον ἔχουσαι οὔ μοι δοκέουσι ἀρχὴν γενέσθαι, ἄλλως δ' αὐτὰ Αἰγύπτιοι σεμνοῦν.

ὅτι τὸ πῦρ Αἰγύπτιοι θηρίον νομίζουσιν εἶναι

---

4. Πέρσαι - 5 πῦρ et 6 δίκαιον - 12 καταβρωθῇ Stobaeus floril. CXXIII 13. — 12. Λέξεις

1. τὰ ἄλλα *d* ‖ 3. ἐκέλευε γάρ μιν *d* ‖ 5. τὸ πῦρ *Pz*. Stob. ‖ γε Schweighaeuser: τε *ABCPd*, om. *Rz* ‖ 6. διότι περ *R*, διόπερ ceteri ‖ θεῷ οὐ] διὸ οὐδὲ Stob. ‖ 7. λέγουσι *z*. Stob. ‖ 8. τὸ πῦρ Stob. ‖ αὐτὸν *AB*, αὐτοῦ Stob. ‖ 9. λάβοι *d* ‖ τὰ ἄν περ *R* ‖ 10. οὐκ ὦν *R*, οὐκ οὖν Stob. ‖ νόμος ante ἐστὶ Stob. ‖ 11. σφι] σφιν Stob., φησιν *ABd*, φ̈ *C* ‖ 12. ἵνα om. Stob. ‖ οὕτω] οὕτω δὴ *R* ‖ 14. ἀλλ' Bekker ‖ 15. τις τῶν] τῶν τις *R*, τῶν *d*[1] ‖ ἔχων] ἔχων τε *R* ‖ φ̆ *L* ‖ 16. ἄμασιν *ABC*, ἅμασιν *d* ‖ 18. μέλλοι ἀποθανόντα *R* ‖ 19. μὲν om. *R* ‖ 20. ἐπὶ] ἐν *Pdz* ‖ ἐκτὸς *R* ‖ 22. ἀμάσεος *R* ‖ αἱ om. *R* ‖ 23. τὴν om. *z* ‖ 24. ἀλλ' ἄλλως αὐτὰ *R*

Μετὰ δὲ ταῦτα ὁ Καμβύσης ἐβουλεύσατο τριφασίας 17
στρατηίας, ἐπί τε Καρχηδονίους καὶ ἐπὶ Ἀμμωνίους καὶ ἐπὶ
τοὺς μακροβίους Αἰθίοπας, οἰκημένους δὲ Λιβύης ἐπὶ τῇ
νοτίῃ θαλάσσῃ· βουλευομένῳ δέ οἱ ἔδοξε ἐπὶ μὲν Καρχη-
δονίους τὸν ναυτικὸν στρατὸν ἀποστέλλειν, ἐπὶ δὲ Ἀμμωνίους
τοῦ πεζοῦ ἀποκρίναντα, ἐπὶ δὲ τοὺς Αἰθίοπας κατόπτας πρῶ-
τον, ὀψομένους τε τὴν ἐν τούτοισι τοῖσι Αἰθίοψι λεγομένην
εἶναι ἡλίου τράπεζαν εἰ ἔστι ἀληθέως, καὶ πρὸς ταύτῃ τὰ
ἄλλα κατοψομένους, δῶρα δὲ τῷ λόγῳ φέροντας τῷ βασιλέι
αὐτῶν. ἡ δὲ τράπεζα τοῦ ἡλίου τοιήδε τις λέγεται εἶναι.
λειμών ἐστι ἐν τῷ προαστείῳ ἐπίπλεος κρεῶν ἑφθῶν πάντων 18
τῶν τετραπόδων· ἐς τὸν τὰς μὲν νύκτας ἐπιτηδεύοντας τι-
θέναι τὰ κρέα τοὺς ἐν τέλεϊ ἑκάστους ἐόντας τῶν ἀστῶν, τὰς
δὲ ἡμέρας δαίνυσθαι προσιόντα τὸν βουλόμενον. φάναι δὲ
τοὺς ἐπιχωρίους ταῦτα τὴν γῆν αὐτὴν ἀναδιδόναι ἑκάστοτε.
ἡ μὲν δὴ τράπεζα τοῦ ἡλίου καλεομένη λέγεται εἶναι τοιήδε. 19
Καμβύσῃ δὲ ὡς ἔδοξε πέμπειν τοὺς κατασκόπους, αὐτίκα
μετεπέμπετο ἐξ Ἐλεφαντίνης πόλιος τῶν Ἰχθυοφάγων ἀν-
δρῶν τοὺς ἐπισταμένους τὴν Αἰθιοπίδα γλῶσσαν. ἐν ᾧ δὲ
τούτους μετήισαν, ἐν τούτῳ ἐκέλευε ἐπὶ τὴν Καρχηδόνα
πλέειν τὸν ναυτικὸν στρατόν. Φοίνικες δὲ οὐκ ἔφασαν ποιή-
σειν ταῦτα· ὁρκίοισι γὰρ μεγάλοισι ἐνδεδέσθαι, καὶ οὐκ ἂν
ποιέειν ὅσια ἐπὶ τοὺς παῖδας τοὺς ἑωυτῶν στρατευόμενοι.
Φοινίκων δὲ οὐ βουλομένων οἱ λοιποὶ οὐκ ἀξιόμαχοι ἐγίνοντο.
Καρχηδόνιοι μέν νυν οὕτω δουλοσύνην διέφυγον πρὸς Περ-

περὶ τῆς Καμβύσου κατὰ Καρχηδονίων καὶ Ἀμμωνίων καὶ Αἰθιόπων στρατείας   περὶ τῆς λεγομένης ἡλίου τραπέζης παρὰ Αἰθίοψιν

7. Pollux II 59. — 13. (Hesychius v. τοὺς ἐν τέλεϊ)

1. ἐβουλεύσατο ὁ καμβύσης *R* ‖ 2. καὶ ἐπὶ] ἐπὶ *d* ‖ ἀμωνίους *C* ‖ 6. καθόπτας πρώτους *R* ‖ 7. τε om. *R* ‖ 9. βασιλεῖ *ABPdz* ‖ 10. αὐτέων *Rz* ‖ τοιῆδέ τις *A*, τοιῆδέ τις *BPdz* ‖ 11. ἐπίπλεως *Acorr.BCPd* ‖ ἐφθῶν *Bd* ‖ 12. ἐς ὃν *R*, ἐς τῶν *d* ‖ τίθεται *d* ‖ 13. τέλει *Ad* ‖ 14. δ' *R* ‖ δαίνυσθαι *dz* ‖ 16. τοιῆδε *AB* ‖ 17. καμβύσης *R* ‖ 19. ἐν - 20 μετήισαν om. *R* ‖ 20. μετήισαν Valckenaer: μετῆσαν ‖ ἐπὶ om. *z* ‖ 22. ὁρκίοισί τε γὰρ *Rz* ‖ 24. ἐγένοντο *R* ‖ 25. δουλωσύνην *d*

σέων· Καμβύσης γὰρ βίην οὐκ ἐδικαίου προσφέρειν Φοίνιξι,
ὅτι σφέας τε αὐτοὺς ἐδεδώκεσαν Πέρσῃσι καὶ πᾶς ἐκ Φοινί-
κων ἤρτητο ὁ ναυτικὸς στρατός. δόντες δὲ καὶ Κύπριοι
20 σφέας αὐτοὺς Πέρσῃσι ἐστρατεύοντο ἐπ' Αἴγυπτον. ἐπείτε
δὲ τῷ Καμβύσῃ ἐκ τῆς 'Ελεφαντίνης ἀπίκοντο οἱ 'Ιχθυο-
φάγοι, ἔπεμπε αὐτοὺς ἐς τοὺς Αἰθίοπας ἐντειλάμενος τὰ λέ-
γειν χρῆν καὶ δῶρα φέροντας πορφύρεόν τε εἷμα καὶ χρύσεον
στρεπτὸν περιαυχένιον καὶ ψέλια καὶ μύρου ἀλάβαστρον καὶ
φοινικηίου οἴνου κάδον. οἱ δὲ Αἰθίοπες οὗτοι, ἐς τοὺς ἀπέ-
πεμπε ὁ Καμβύσης, λέγονται εἶναι μέγιστοι καὶ κάλλιστοι
ἀνθρώπων πάντων. νόμοισι δὲ καὶ ἄλλοισι χρᾶσθαι αὐτούς
φασι κεχωρισμένοισι τῶν ἄλλων ἀνθρώπων καὶ δὴ καὶ κατὰ
τὴν βασιληίην τοιῷδε. τὸν ἂν τῶν ἀστῶν κρίνωσι μέγιστόν
τε εἶναι καὶ κατὰ τὸ μέγαθος ἔχειν τὴν ἰσχύν, τοῦτον ἀξιοῦσι
21 βασιλεύειν. ἐς τούτους δὴ ὦν τοὺς ἄνδρας ὡς ἀπίκοντο οἱ
'Ιχθυοφάγοι, διδόντες τὰ δῶρα τῷ βασιλέι αὐτῶν ἔλεγον τάδε.
"βασιλεὺς ὁ Περσέων Καμβύσης, βουλόμενος φίλος καὶ ξεῖνός
τοι γενέσθαι, ἡμέας τε ἀπέπεμψε ἐς λόγους· τοι ἐλθεῖν κε-
λεύων καὶ δῶρα ταῦτά τοι διδοῖ τοῖσι καὶ αὐτὸς μάλιστα
ἥδεται χρεώμενος." ὁ δὲ Αἰθίοψ μαθὼν ὅτι κατόπται ἥκοιεν,
λέγει πρὸς αὐτοὺς τοιάδε. "οὔτε ὁ Περσέων βασιλεὺς δῶρα
ὑμέας ἔπεμψε φέροντας προτιμῶν πολλοῦ ἐμοὶ ξεῖνος γενέ-
σθαι, οὔτε ὑμεῖς λέγετε ἀληθέα (ἥκετε γὰρ κατόπται τῆς
ἐμῆς ἀρχῆς), οὔτε ἐκεῖνος ἀνήρ ἐστι δίκαιος· εἰ γὰρ ἦν
δίκαιος, οὔτ' ἂν ἐπεθύμησε χώρης ἄλλης ἢ τῆς ἑωυτοῦ, οὔτ'

περὶ Αἰθιόπων   περὶ τῆς εἰς Αἰθίοπας πρεσβείας

---

9. Athenaeus p. 473. Pollux X 70. — 10. Eustathius Dion. 218. — 20. Pollux II 59

2. ἐκδεδόκεσαν z || 6. ἐντειλάμενός τε τὰ *R* || 7. χρῆν *Pz*: χρῆναι *R*, χρὴ reliqui || καὶ δῶρα] δῶρα *R* || 8. ψέλλια *dz* || 9. φοινικίου Poll. || ἀπέπεμψε z || 11. ἁπάντων *R* || ἄλλοις *R* || αὐτοὺς φασὶ *R*: αὐτοὺς καὶ *ABCd*, αὐτοὺς *Pz* || 12. καὶ χωρισμένοισι *R* || δὴ καὶ] δὴ *R* || 13. κρίνωσι post ἰσχύν *R* || τε om. *Ppr.* || 14. τὸ om. *ABC* || ἀξιοῦσι om. *R* || 16. τὰ] δὲ *R* || βασιλεῖ *ABPd* || αὐτέων z || 18. τοι ante βουλόμενος *R*, post φίλος z || ἀπέπεμπε *CPz* || 20. χρεόμενος *P* || 22. ὑμᾶς *d* || 25. ἐπεθύμεε *R*

ἂν ἐς δουλοσύνην ἀνθρώπους ἦγε ὑπ᾽ ὧν μηδὲν ἠδίκηται. νῦν δὲ αὐτῷ τόξον τόδε διδόντες τάδε ἔπεα λέγετε. βασιλεὺς ὁ Αἰθιόπων συμβουλεύει τῷ Περσέων βασιλέι, ἐπεὰν οὕτω εὐπετέως ἕλκωσι τὰ τόξα Πέρσαι ἐόντα μεγάθεϊ τοσαῦτα, τότε ἐπ᾽ Αἰθίοπας τοὺς μακροβίους πλήθεϊ ὑπερβαλλόμενον στρατεύεσθαι· μέχρι δὲ τούτου θεοῖσι εἰδέναι χάριν, οἳ οὐκ ἐπὶ νόον τράπουσι Αἰθιόπων παισὶ γῆν ἄλλην προσκτᾶσθαι τῇ ἑωυτῶν." ταῦτα δὲ εἴπας καὶ ἀνεὶς τὸ τόξον παρέδωκε 22
τοῖσι ἥκουσι. λαβὼν δὲ τὸ εἷμα τὸ πορφύρεον εἰρώτα ὅ τι εἴη καὶ ὅκως πεποιημένον· εἰπόντων δὲ τῶν Ἰχθυοφάγων τὴν ἀληθείην περὶ τῆς πορφύρης καὶ τῆς βαφῆς, δολεροὺς μὲν τοὺς ἀνθρώπους ἔφη εἶναι, δολερὰ δὲ αὐτῶν τὰ εἵματα. δεύτερα δὲ τὸν χρυσὸν εἰρώτα τὸν στρεπτὸν τὸν περιαυχένιον καὶ τὰ ψέλια· ἐξηγεομένων δὲ τῶν Ἰχθυοφάγων τὸν κόσμον αὐτοῦ γελάσας ὁ βασιλεὺς καὶ νομίσας εἶναί σφεα πέδας εἶπε ὡς παρ᾽ ἑωυτοῖσί εἰσι ῥωμαλεώτεραι τουτέων πέδαι. τρίτον δὲ εἰρώτα τὸ μύρον· εἰπόντων δὲ τῆς ποιήσιος πέρι καὶ ἀλείψιος, τὸν αὐτὸν λόγον τὸν καὶ περὶ τοῦ εἵματος εἶπε. ὡς δὲ ἐς τὸν οἶνον ἀπίκετο καὶ ἐπύθετο αὐτοῦ τὴν ποίησιν, ὑπερησθεὶς τῷ πόματι ἐπείρετο ὅ τι τε σιτέεται ὁ βασιλεὺς καὶ χρόνον ὁκόσον μακρότατον ἀνὴρ Πέρσης ζώει. οἱ δὲ σιτέεσθαι μὲν τὸν ἄρτον εἶπον, ἐξηγησάμενοι τῶν πυρῶν τὴν φύσιν, ὀγδώκοντα δὲ ἔτεα ζόης πλήρωμα ἀνδρὶ μακρότατον προκέεσθαι. πρὸς ταῦτα ὁ Αἰθίοψ ἔφη οὐδὲν θωυμάζειν εἰ σιτεόμενοι κόπρον ἔτεα ὀλίγα ζώουσι· οὐδὲ γὰρ ἂν τοσαῦτα

12. Plutarchus mor. p. 863. (646)

3. ὁ om. *R* ‖ βασιλεῖ *ABPd* ‖ ἐπειδὰν *CPz* ‖ οὕτω *CPz*: οὕτως ‖ 4. τὰ om. *R* ‖ μεγάθει *AB*, μεγάθη *R* ‖ 5. πλήθει *AB* ‖ 6. μέχρις *AC* ‖ τούτων *Pdz* ‖ 7. τρέπουσι *L* ‖ κτᾶσθαι πρὸς *R* ‖ 9. ἠρώτα *CPz* ‖ 10. εἰπάντων *R* ‖ 11. ἀληθηΐην *z* ‖ πορφυρέης *R* ‖ 12. αὐτέων *z* ‖ 13. χρυσὸν *Rz*: χρυσοῦν ceteri. χρύσεον Schaefer ‖ ἠρώτα *CPz* ‖ τὸν στρεπτὸν *R*: στρεπτὸν ‖ 14. ψέλλια *dz* ‖ 15. αὐτῶν *s*, αὐτέων *z* ‖ σφεας *Rd* ‖ 16. ἑωυτοῖς *AB* ‖ 17. ἠρώτα *CPz* ‖ μῦρον *Rdz* ‖ εἰπάντων *R* ‖ ποιήσεως *R* ‖ 18. καὶ om. *R* ‖ 20. ἐπήρετο *C* ‖ 22. εἶπαν *R* ‖ 23. δ᾽ *CPz* ‖ ζόης *CPz*: ζωῆς *ABR*, ζώης *d* ‖ 24. οὐδὲν ἔφη *R* ‖ θωμάζειν *ABd*, θαυμάζειν *P*, θωϋμάζειν *z*

δύνασθαι ζώειν σφέας, εἰ μὴ τῷ πόματι ἀνέφερον, φράζων τοῖσι Ἰχθυοφάγοισι τὸν οἶνον· τούτῳ γὰρ ἑωυτοὺς ὑπὸ Περ-
23 σέων ἑσσοῦσθαι. ἀντειρομένων δὲ τὸν βασιλέα τῶν Ἰχθυοφάγων τῆς ζόης καὶ διαίτης πέρι, ἔτεα μὲν ἐς εἴκοσι καὶ ἑκατὸν τοὺς πολλοὺς αὐτῶν ἀπικνέεσθαι, ὑπερβάλλειν δέ τινας καὶ ταῦτα, σίτησιν δὲ εἶναι κρέα [τε] ἑφθὰ καὶ πόμα γάλα. θῶυμα δὲ ποιευμένων τῶν κατασκόπων περὶ τῶν ἐτέων, ἐπὶ κρήνην σφι ἡγήσασθαι, ἀπ' ἧς λουόμενοι λιπαρώτεροι ἐγίνοντο, κατά περ εἰ ἐλαίου εἴη· ὄζειν δὲ ἀπ' αὐτῆς ὡς εἰ ἴων. ἀσθενὲς δὲ τὸ ὕδωρ τῆς κρήνης ταύτης οὕτω δή τι ἔλεγον εἶναι οἱ κατάσκοποι ὥστε μηδὲν οἷόν τ' εἶναι ἐπ' αὐτοῦ ἐπιπλέειν, μήτε ξύλον μήτε τῶν ὅσα ξύλου ἐστὶ ἐλαφρότερα, ἀλλὰ πάντα σφέα χωρέειν ἐς βυσσόν. τὸ δὲ ὕδωρ τοῦτο εἴ σφι ἐστὶ ἀληθέως οἷόν τι λέγεται, διὰ τοῦτο ἂν εἶεν, τούτῳ τὰ πάντα χρεώμενοι, μακρόβιοι. ἀπὸ τῆς κρήνης δὲ ἀπαλλασσομένων, ἀγαγεῖν σφεας ἐς δεσμωτήριον ἀνδρῶν, ἔνθα τοὺς πάντας ἐν πέδῃσι χρυσέῃσι δεδέσθαι. ἔστι δὲ ἐν τούτοισι τοῖσι Αἰθίοψι πάντων ὁ χαλκὸς σπανιώτατον καὶ τιμιώτατον. θεησάμενοι δὲ καὶ τὸ δεσμωτήριον, ἐθεήσαντο
24 καὶ τὴν τοῦ ἡλίου λεγομένην τράπεζαν. μετὰ δὲ ταύτην τελευταίας ἐθεήσαντο τὰς θήκας αὐτῶν, αἳ λέγονται σκευάζεσθαι ἐξ ὑέλου τρόπῳ τοιῷδε. ἐπεὰν τὸν νεκρὸν ἰσχνήνωσι,

περὶ τῆς ἐν Αἰθίοψι λιπαρᾶς κρήνης   περὶ τοῦ παρὰ Αἰθίοψι δεσμωτηρίου καὶ τῶν χρυσῶν πεδῶν

---

4. - 6 Eustathius Dion. 218. — Valerius Maximus VIII 13 ext. 5. — 8. Sotion paradoxol. p. 186 Idel. — 17 sq. Eustathius Dion. 218

1. ζώειν δύνασθαί σφεας *Ppr.R* ‖ ἀναφέρων *R*, ἀνέφυρον *z* ‖ 2. τοῦτο *Rz* ‖ 3. ἑσσοῦσθαι *d* ‖ ἀντερόμενον *Bpr.* ‖ τὸν βασιλέα om. *R* ‖ 4. ζώης *Cd*, ζωῆς *R* ‖ τῆς διαίτης *R* ‖ ἐς εἴκοσι *Pz*: ἐς εἴκοσί τε *R*, ἐείκοσι reliqui ‖ 5. αὐτέων *dz* ‖ ὑπερβαλλέειν *z* ‖ 6. τε om. *R* ‖ ἐφθὰ *Rd* ‖ καὶ πόμα γάλα om. *d* ‖ 7. γάλα] μεγάλα *R* ‖ θώϋμα *Rz*, θῶμα *d* ‖ 8. σφιν *d*, τινάς φησιν *R* ‖ 9. ἐγίγνοντο *P*, γίγνανται *R* ‖ 11. τ' *ABR*: τε ‖ ἀπ' *qz* ‖ 12. πλέειν *d* ‖ εἰσὶν *d* ‖ 13. βυθόν *R* ‖ 14. λέγεται] εστι λεγεται *A*, λέγεταί ἐστι *BCd* ‖ 15. χρεόμενοι *P* ‖ 16. ἄγειν *R* ‖ σφεας *Pd*: σφέας ‖ 19. ἐθηήσαντο *PRz* ‖ 21. ἐθηήσαντο *PRdz* ‖ αὐτέων *z* ‖ 22. ἐκ ξύλου $A^1B^1C^1$, ἐξ ὑάλου *R*, ἐξ ὑέλλου C^m *d* ‖ ἰσχνίσωσι *d*

εἴτε δὴ κατά περ Αἰγύπτιοι εἴτε ἄλλως κως, γυψώσαντες ἅπαντα αὐτὸν γραφῇ κοσμέουσι, ἐξομοιεῦντες τὸ εἶδος ἐς τὸ δυνατόν, ἔπειτα δέ οἱ περιιστᾶσι στήλην ἐξ ὑέλου πεποιημένην κοίλην· ἡ δέ σφι πολλὴ καὶ εὐεργὸς ὀρύσσεται. ἐν μέσῃ δὲ τῇ στήλῃ ἐνεὼν διαφαίνεται ὁ νέκυς, οὔτε ὀδμὴν οὐδεμίαν ἄχαριν παρεχόμενος οὔτε ἄλλο ἀεικὲς οὐδέν, καὶ ἔχει πάντα φανερὰ ὁμοίως αὐτῷ τῷ νέκυϊ. ἐνιαυτὸν μὲν δὴ ἔχουσι τὴν στήλην ἐν τοῖσι οἰκίοισι οἱ μάλιστα προσήκοντες, πάντων ἀπαρχόμενοι καὶ θυσίας οἱ προσάγοντες· μετὰ δὲ ταῦτα ἐκκομίσαντες ἱστᾶσι περὶ τὴν πόλιν.

Θεησάμενοι δὲ τὰ πάντα οἱ κατάσκοποι ἀπαλλάσσοντο 25 ὀπίσω. ἀπαγγειλάντων δὲ ταῦτα τούτων, αὐτίκα ὁ Καμβύσης ὀργὴν ποιησάμενος ἐστρατεύετο ἐπὶ τοὺς Αἰθίοπας, οὔτε παρασκευὴν σίτου οὐδεμίαν παραγγείλας, οὔτε λόγον ἑωυτῷ δοὺς ὅτι ἐς τὰ ἔσχατα γῆς ἔμελλε στρατεύεσθαι· οἷα δὲ ἐμμανής τε ἐὼν καὶ οὐ φρενήρης, ὡς ἤκουε τῶν Ἰχθυοφάγων, ἐστρατεύετο, Ἑλλήνων μὲν τοὺς παρεόντας αὐτοῦ τάξας ὑπομένειν, τὸν δὲ πεζὸν πάντα ἅμα ἀγόμενος. ἐπείτε δὲ στρατευόμενος ἐγένετο ἐν Θήβῃσι, ἀπέκρινε τοῦ στρατοῦ ὡς πέντε μυριάδας, καὶ τούτοισι μὲν ἐνετέλλετο Ἀμμωνίους ἐξανδραποδισαμένους τὸ χρηστήριον τὸ τοῦ Διὸς ἐμπρῆσαι, αὐτὸς δὲ τὸν λοιπὸν ἄγων στρατὸν ἤιε ἐπὶ τοὺς Αἰθίοπας. πρὶν δὲ τῆς ὁδοῦ τὸ πέμπτον μέρος διεληλυθέναι τὴν στρατιήν, αὐτίκα πάντα αὐτοὺς τὰ εἶχον σιτίων ἐχόμενα ἐπελελοίπεε, μετὰ δὲ τὰ σιτία καὶ τὰ ὑποζύγια ἐπέλιπε κατεσθιό-

περὶ τῶν παρὰ Αἰθίοψι θηκῶν   τίνα τὰ συμβεβηκότα τοῖσι κατὰ Αἰθιόπων πορευθεῖσιν

3 sqq. Diodorus II 15. — 16. Λέξεις

2. κοσμέουσι *Rz*: κοσμοῦσι ‖ 3. ἐκ ξύλου *A*¹*B*¹*C*, ἐξ ὑάλου *R*, ἐξ ὑέλλου *d* ‖ 4. εὐεργετῶς *R* ‖ 5. οὐδεμίην *Rz* ‖ 6. ἄχαρι *d* ‖ 8. ἐν τῇσι οἰκίῃσιν *d* ‖ πάντων] πάντων τε *R* ‖ 9. ἀρχόμενοι *C* ‖ οἳ *d* ‖ 10. ἱστῶσι *qz* ‖ 11. ἀπαλλάσσονται *R* ‖ 13. ἀρχὴν *R* ‖ 14. οὐδεμίην *sz* ‖ 15. διδοὺς *C* ‖ τῆς γῆς *R* ‖ οἷά τε *AB* ‖ 16. ὢν *z* ‖ ἤκουσε *R* ‖ 17. αὐτοῦ ταύτῃ *R*, αὐτῷ *z* ‖ 18. ἅμα om. *d*¹ ‖ 19. πορευόμενος *R* ‖ ἀπέκρινε *Apr*.*B* ‖ 25. ἐπέλειπε *B*

μενα. εἰ μέν νυν μαθὼν ταῦτα ὁ Καμβύσης ἐγνωσιμάχεε καὶ ἀπῆγε ὀπίσω τὸν στρατόν, ἐπὶ τῇ ἀρχῆθεν γενομένῃ ἁμαρτάδι ἦν ἂν ἀνὴρ σοφός· νῦν δὲ οὐδένα λόγον ποιεύμενος ἤιε αἰεὶ ἐς τὸ πρόσω. οἱ δὲ στρατιῶται ἕως μέν τι εἶχον ἐκ τῆς γῆς λαμβάνειν, ποιηφαγέοντες διέζωον, ἐπεὶ δὲ ἐς τὴν ψάμμον ἀπίκοντο, δεινὸν ἔργον αὐτῶν τινὲς ἐργάσαντο· ἐκ δεκάδος γὰρ ἕνα σφέων αὐτῶν ἀποκληρώσαντες κατέφαγον. πυθόμενος δὲ ταῦτα ὁ Καμβύσης, δείσας τὴν ἀλληλοφαγίην, ἀπεὶς τὸν ἐπ' Αἰθίοπας στόλον ὀπίσω ἐπορεύετο καὶ ἀπικνέεται ἐς Θήβας πολλοὺς ἀπολέσας τοῦ στρατοῦ· ἐκ Θηβέων

26 δὲ καταβὰς ἐς Μέμφιν τοὺς Ἕλληνας ἀπῆκε ἀποπλέειν. ὁ μὲν ἐπ' Αἰθίοπας στόλος οὕτω ἔπρηξε· οἱ δ' αὐτῶν ἐπ' Ἀμμωνίους ἀποσταλέντες στρατεύεσθαι, ἐπείτε ὁρμηθέντες ἐκ τῶν Θηβέων ἐπορεύοντο ἔχοντες ἀγωγούς, ἀπικόμενοι μὲν φανεροί εἰσι ἐς Ὄασιν πόλιν, τὴν ἔχουσι μὲν Σάμιοι τῆς Αἰσχριωνίης φυλῆς λεγόμενοι εἶναι, ἀπέχουσι δὲ ἑπτὰ ἡμερέων ὁδὸν ἀπὸ Θηβέων διὰ ψάμμου· ὀνομάζεται δὲ ὁ χῶρος οὗτος κατὰ Ἑλλήνων γλῶσσαν Μακάρων νῆσος. ἐς μὲν δὴ τοῦτον τὸν χῶρον λέγεται ἀπικέσθαι τὸν στρατόν, τὸ ἐνθεῦτεν δέ, ὅτι μὴ αὐτοὶ Ἀμμώνιοι καὶ οἱ τούτων ἀκούσαντες, ἄλλοι οὐδένες οὐδὲν ἔχουσι εἰπεῖν περὶ αὐτῶν· οὔτε γὰρ ἐς τοὺς Ἀμμωνίους ἀπίκοντο οὔτε ὀπίσω ἐνόστησαν. λέγεται δὲ καὶ τάδε ὑπ' αὐτῶν Ἀμμωνίων. ἐπειδὴ ἐκ τῆς Ὀάσιος ταύτης

ὅτι πάντες οἱ ἐπὶ Ἀμμωνίους πορευθέντες ἐν τῇ ψάμμῳ ἀπώλοντο περὶ Ὀάσεως πόλεως

---

1. Λέξεις. — 9. ἀπεὶς - στόλον Thomas M. p. 347. — 11. ὁ μὲν - 12 ἔπρηξε ibidem. — 16. ἀπέχουσι - 18 νῆσος Eustathius Od. p. 1509. — 18. Stephanus Byz. v. Αὔασις. Olympiodorus apud Photium bibl. p. 61[a] Bekk.

3. ἂν om. *R* ‖ σοφὸς ἀνήρ z ‖ 4. ἀεὶ *R* ‖ 5. διέζων *R* ‖ 6. αὐτέων z ‖ ἐργάσαντο *CRz*: εἰργάσαντο ‖ 7. αὐτέων z ‖ ἀποκληρωθέντες *R* ‖ 8. ἀλληλοφαγίαν *B* ‖ 10. θηβῶν *AB*, θηβαίων *CRdz* ‖ 11. καταβὰς] ἐπορεύοντο ἔχοντες ἀγωγούς· καὶ καταβὰς z ‖ 12. οὕτως *ABd*. Thom. ‖ ἔπραξε *d* ‖ αὐτέων z ‖ 13. σταλέντες *d* ‖ 14. θηβαίων *CRz* ‖ 16. φυγῆς *R* ‖ 17. θηβαίων *Rdz* ‖ οὐνομάζεται *CPdz* ‖ 18. νῆσοι *R*. Olymp. Eust. ‖ 20. ἀκούοντες *R* ‖ 21. αὐτέων z ‖ 22. λέγετε *R* ‖ καὶ om. *R* ‖ 23. αὐτέων z ‖ ὁ ὄσιος *R*

ἰέναι διὰ τῆς ψάμμου ἐπὶ σφέας, γενέσθαι τε αὐτοὺς μεταξύ κου μάλιστα αὐτῶν τε καὶ τῆς Ὀάσιος, ἄριστον αἱρεομένοισι αὐτοῖσι ἐπιπνεῦσαι νότον μέγαν τε καὶ ἐξαίσιον, φορέοντα δὲ θῖνας τῆς ψάμμου καταχῶσαί σφεας, καὶ τρόπῳ τοιούτῳ ἀφανισθῆναι. Ἀμμώνιοι μὲν οὕτω λέγουσι γενέσθαι περὶ τῆς στρατιῆς ταύτης.

Ἀπιγμένου δὲ Καμβύσεω ἐς Μέμφιν ἐφάνη Αἰγυπτίοισι 27
ὁ Ἆπις, τὸν Ἕλληνες Ἔπαφον καλέουσι· ἐπιφανέος δὲ τού-
του γενομένου αὐτίκα οἱ Αἰγύπτιοι εἵματα ἐφόρεον τὰ κάλ-
λιστα καὶ ἦσαν ἐν θαλίῃσι. ἰδὼν δὲ ταῦτα τοὺς Αἰγυπτίους
ποιεῦντας ὁ Καμβύσης, πάγχυ σφέας καταδόξας ἑωυτοῦ κα-
κῶς πρήξαντος χαρμόσυνα ταῦτα ποιέειν, ἐκάλεε τοὺς ἐπι-
τρόπους τῆς Μέμφιος, ἀπικομένους δὲ ἐς ὄψιν εἴρετο ὅ τι
πρότερον μὲν ἐόντος αὐτοῦ ἐν Μέμφι ἐποίευν τοιοῦτον οὐδὲν
Αἰγύπτιοι, τότε δὲ ἐπεὶ αὐτὸς παρείη τῆς στρατιῆς πλῆθός τι
ἀποβαλών. οἱ δὲ ἔφραζον ὥς σφι θεὸς εἴη φανεὶς διὰ χρό-
νου πολλοῦ ἐωθὼς ἐπιφαίνεσθαι, καὶ ὡς ἐπεὰν φανῇ τότε
πάντες Αἰγύπτιοι κεχαρηκότες ὁρτάζοιεν. ταῦτα ἀκούσας ὁ
Καμβύσης ἔφη ψεύδεσθαί σφεας καὶ ὡς ψευδομένους θανά-
τῳ ἐζημίου. ἀποκτείνας δὲ τούτους δεύτερα τοὺς ἱρέας ἐκά- 28
λεε ἐς ὄψιν· λεγόντων δὲ κατὰ ταὐτὰ τῶν ἱρέων, οὐ λήσειν
ἔφη αὐτὸν εἰ θεός τις χειροήθης ἀπιγμένος εἴη Αἰγυπτίοισι.
τοσαῦτα δὲ εἴπας ἀπάγειν ἐκέλευε τὸν Ἆπιν τοὺς ἱρέας. οἱ
μὲν δὴ μετήισαν ἄξοντες. ὁ δὲ Ἆπις οὗτος ὁ Ἔπαφος γίνε-
ται μόσχος ἐκ βοὸς ἥτις οὐκέτι οἵη τε γίνεται ἐς γαστέρα
ἄλλον βάλλεσθαι γόνον. Αἰγύπτιοι δὲ λέγουσι σέλας ἐπὶ τὴν

---

1. ψάμμου· ἐπεί σφεας γενέσθαι *R* ‖ τε] τε καὶ *d* ‖ 2. αὐτέων *ABCdz* ‖ ὁ ἄσιος *R* ‖ ἄριστον] ἄριστον δὲ *z*. fortasse καὶ ἄριστον ‖ 3. αὐτέοισι *ABCd* ‖ ἐξέσιον *R* ‖ 8. ὁ om. *R* ‖ ἄπις *L* ubique ‖ καλέουσιν ἔπαφον *R* ‖ 9. εἵματά τε ἔφερον *R* ‖ 10. ταῦτα] ταῦτα τότε *R* ‖ 11. πάγχύ σφεας *ABP* ‖ ἑαυτοῦ *Pd* ‖ 12. ἐκάλεσε *CPdz* ‖ 13. ἀπικομένων *R* ‖ 14. αὐτοῦ ἐόντος *R* ‖ 15. ἐπειδὴ *R* ‖ 16. εἴη] παρείη *qz* ‖ 17. εἰωθὼς *R* ‖ 18. πάντες] πάντες οἱ *CPz*, om. *R* ‖ ἑορτάζοιεν *d* ‖ 19. θανάτου *R* ‖ 20. ὑ/ρέας *A*, ἱερέας *Rd* ‖ 21. ταῦτα *d*, τὰ αὐτὰ *PRz* ‖ ἱερέων *Rd* ‖ 23. ἄγειν *R*, ἐπάγειν *sz* ‖ ἱερέας *Rd* ‖ 24. μετήισαν *AB*, μετῆσαν ceteri ‖ 26. βαλέσθαι *R*

βοῦν ἐκ τοῦ οὐρανοῦ κατίσχειν, καί μιν ἐκ τούτου τίκτειν τὸν Ἆπιν. ἔχει δὲ ὁ μόσχος οὗτος ὁ Ἆπις καλεόμενος σημήια τοιάδε ἐών. μέλας, ἐπὶ μὲν τῷ μετώπῳ λευκόν τι τρίγωνον, ἐπὶ δὲ τοῦ νώτου αἰετὸν εἰκασμένον, ἐν δὲ τῇ οὐρῇ τὰς τρί-
29 χας διπλᾶς, ὑπὸ δὲ τῇ γλώσσῃ κάνθαρον. ὡς δὲ ἤγαγον τὸν Ἆπιν οἱ ἱρέες, ὁ Καμβύσης, οἷα ἐὼν ὑπομαργότερος, σπασάμενος τὸ ἐγχειρίδιον, θέλων τύψαι τὴν γαστέρα τοῦ Ἄπιος παίει τὸν μηρόν· γελάσας δὲ εἶπε πρὸς τοὺς ἱρέας "ὦ κακαὶ κεφαλαί, τοιοῦτοι θεοὶ γίνονται, ἔναιμοί τε καὶ σαρκώδεες καὶ ἐπαΐοντες σιδηρίων; ἄξιος μέν γε Αἰγυπτίων οὗτός γε ὁ θεός. ἀτάρ τοι ὑμεῖς γε οὐ χαίροντες γέλωτα ἐμὲ θήσεσθε." ταῦτα εἴπας ἐνετείλατο τοῖσι ταῦτα πρήσσουσι τοὺς μὲν ἱρέας ἀπομαστιγῶσαι, Αἰγυπτίων δὲ τῶν ἄλλων τὸν ἂν λάβωσι ὁρτάζοντα κτείνειν. ὁρτὴ μὲν δὴ διελέλυτο Αἰγυπτίοισι, οἱ δὲ ἱρέες ἐδικαιεῦντο, ὁ δὲ Ἆπις πεπληγμένος τὸν μηρὸν ἔφθινε
30 ἐν τῷ ἱρῷ κατακείμενος. καὶ τὸν μὲν τελευτήσαντα ἐκ τοῦ τρώματος ἔθαψαν οἱ ἱρέες λάθρῃ Καμβύσεω· Καμβύσης δέ, ὡς λέγουσι Αἰγύπτιοι, αὐτίκα διὰ τοῦτο τὸ ἀδίκημα ἐμάνη, ἐὼν οὐδὲ πρότερον φρενήρης. καὶ πρῶτα μὲν [τῶν κακῶν] ἐξεργάσατο τὸν ἀδελφεὸν Σμέρδιν ἐόντα πατρὸς καὶ μητρὸς τῆς αὐτῆς, τὸν ἀπέπεμψε ἐς Πέρσας φθόνῳ ἐξ Αἰγύπτου; ὅτι τὸ τόξον μοῦνος Περσέων ὅσον τε ἐπὶ δύο δακτύλους εἴρυσε, τὸ παρὰ τοῦ Αἰθίοπος ἤνεικαν οἱ Ἰχθυοφάγοι· τῶν δὲ ἄλλων Περσέων οὐδεὶς οἷός τε ἐγένετο. ἀποιχομένου

περὶ τοῦ Ἄπιδος καὶ ὧν εἰς αὐτὸν καὶ Αἰγυπτίους ἔπραξεν ὁ Καμβύσης   περὶ ὧν ἔπραξεν Καμβύσης εἰς Σμέρδιν τὸν ἀδελφὸν καὶ τῶν Καμβύσου ἐνυπνίων (*B*)

---

1. Eustathius Il. p. 133

1. ἐκ τοῦ οὐρανοῦ ἐπὶ τὴν βοῦν *R*. Eust. ‖ 3. τοιάδε. ἐὼν *P* ‖ μέγας *Cpr.qz* ‖ λευκόν τι τρίγωνον Caylus: λευκὸν τετράγωνον *ABR*, λευκὸν τετράγωνον φορέει *CPdz* ‖ 5. ὑπὸ Jablonsky: ἐπὶ ‖ 6. ἱερέες *R* ‖ ὁ om. *R* ‖ ὑπομαργότερος ἐὼν *R* ‖ 8. ἱερέας *R* ‖ 9 τοιοῦτοι *PRz*: οὗτοι οἱ ‖ 10. εἰσαΐοντες *R* ‖ γε om. *R* ‖ γε om. z ‖ 11. αὐτάρ *C* ‖ 13. ἀπομαστιγνώσειν *R* ‖ 14. ἡ ὁρτὴ Schaefer ‖ 15. ἐδικεῦντο *R* ‖ 16. ἱερῶι *AB* ‖ 18. αὐτίκα post ἀδίκημα z ‖ 19. τῶν κακῶν seclusi ‖ 22. τὸ om. z ‖ τ' *B* ‖ 23. τὸ] τόν, *C*, ὃ *AB* ‖ ἤνεικαν] ὃ ἤνεικαν *R* ‖ 24. τ' *AB*

ὦν ἐς Πέρσας τοῦ Σμέρδιος ὄψιν εἶδε ὁ Καμβύσης ἐν τῷ ὕπνῳ τοιήνδε. ἐδόκεέ οἱ ἄγγελον ἐλθόντα ἐκ Περσέων ἀγγέλλειν ὡς ἐν τῷ θρόνῳ τῷ βασιληίῳ ἱζόμενος Σμέρδις τῇ κεφαλῇ τοῦ οὐρανοῦ ψαύσειε. πρὸς ὦν ταῦτα δείσας περὶ ἑωυτοῦ μή μιν ἀποκτείνας ὁ ἀδελφεὸς ἄρχῃ, πέμπει Πρηξάσπεα ἐς Πέρσας, ὃς ἦν οἱ ἀνὴρ Περσέων πιστότατος, ἀποκτενέοντά μιν. ὁ δὲ ἀναβὰς ἐς Σοῦσα ἀπέκτεινε Σμέρδιν, οἱ μὲν λέγουσι ἐπ' ἄγρην ἐξαγαγόντα, οἱ δὲ ἐς τὴν Ἐρυθρὴν θάλασσαν προαγαγόντα καταποντῶσαι.

31 Πρῶτον μὲν δὴ λέγουσι Καμβύσῃ τῶν κακῶν ἄρξαι τοῦτο· δεύτερα δὲ ἐξεργάσατο τὴν ἀδελφεὴν ἑσπομένην οἱ ἐς Αἴγυπτον, τῇ καὶ συνοίκεε καὶ ἦν οἱ ἀπ' ἀμφοτέρων ἀδελφεή. ἔγημε δὲ αὐτὴν ὧδε· οὐδαμῶς γὰρ ἐώθεσαν πρότερον τῇσι ἀδελφεῇσι συνοικέειν Πέρσαι. ἠράσθη μιῆς τῶν ἀδελφεῶν Καμβύσης, καὶ ἔπειτα βουλόμενος αὐτὴν γῆμαι, ὅτι οὐκ ἐωθότα ἐπενόεε ποιήσειν, εἴρετο καλέσας τοὺς βασιληίους δικαστὰς εἴ τις ἐστὶ κελεύων νόμος τὸν βουλόμενον ἀδελφεῇ συνοικέειν. οἱ δὲ βασιλήιοι δικασταὶ κεκριμένοι ἄνδρες γίνονται Περσέων, ἐς ὃ ἀποθάνωσι ἤ σφι παρευρεθῇ τι ἄδικον, μέχρι τούτου· οὗτοι δὲ τοῖσι Πέρσῃσι δίκας δικάζουσι καὶ ἐξηγηταὶ τῶν πατρίων θεσμῶν γίνονται, καὶ πάντα ἐς τούτους ἀνακέεται. εἰρομένου ὦν τοῦ Καμβύσεω, ὑπεκρίνοντο αὐτῷ οὗτοι καὶ δίκαια καὶ ἀσφαλέα, φάμενοι νόμον οὐδένα ἐξευρίσκειν ὃς κελεύει ἀδελφεῇ συνοικέειν ἀδελφεόν, ἄλλον

ὅτι πρῶτος Καμβύσης ἀδελφαῖς συνήφθη καὶ περὶ τῶν βασιλικῶν δικαστῶν καὶ ὅτι ἀνεῖλεν τὴν ἀδελφήν

2. Schol. Aristid. p. 682 Dind. — 14. - 18 et 22. - p. 276, 2 Schol. Lucian p. 84 sq. Jac. — 18. Hesychius v. βασίλειοι δικασταί

1. εἶδεν ὄψιν *R* ‖ ἐν τῷ ὕπνῳ om. *R* ‖ 2. τοιῆνδε *AB* ‖ ἐδόκει Schol. Arist., ἔδοξέ *L* ‖ 5. ἄρξῃ *z* ‖ 6. ὅς οἱ ἦν *z*, ὅς ἦν *R* ‖ 8. ἐξαγόντα *R* ‖ 9. προαγαγόντα *R*. idemque Bekker coniectura: προσαγαγόντα ‖ 11. ἐπισπομένην *R*, ἐπισπωμένην *sz* ‖ οἱ] οἳ δὴ *d* ‖ 12. οἳ *d* ‖ 14. οἱ Πέρσαι *z* ‖ 16. βασιληίους] βασιληΐους καλεομένους *R* ‖ 17. τίς εστι *AB* ‖ 19. περσέων γίνονται *R* ‖ ἐς ὃ *Ppr*. ut videtur, ἐσὸ A^2 adscr.: ἐσοῦ vel ἐς οὗ ‖ ἦν σφι *ABP*, ἦν σφι μὴ *qz* ‖ 20. μέχρις *C* ‖ τούτου *R*: τούτων ‖ τοῖσι πέρσῃσι *R*: τοῖσι ‖ δίκας om. *R* ‖ 22. ἀνάκειται *R*, ἀνακέαται *qz* ‖ ὑπεκρίναντο *Rz*

μέντοι ἐξευρηκέναι νόμον, τῷ βασιλεύοντι Περσέων ἐξεῖναι ποιέειν τὸ ἂν βούληται. οὕτω οὔτε τὸν νόμον ἔλυσαν δείσαντες Καμβύσεα, ἵνα τε μὴ αὐτοὶ ἀπόλωνται τὸν νόμον περιστέλλοντες, παρεξεῦρον ἄλλον νόμον σύμμαχον τῷ θέλοντι γαμέειν ἀδελφεάς. τότε μὲν δὴ ὁ Καμβύσης ἔγημε τὴν ἐρωμένην, μετὰ μέντοι οὐ πολλὸν χρόνον ἔσχε ἄλλην ἀδελφεήν. τουτέων δῆτα τὴν νεωτέρην ἐπισπομένην οἱ ἐπ'
32 Αἴγυπτον κτείνει. ἀμφὶ δὲ τῷ θανάτῳ αὐτῆς διξὸς ὥσπερ περὶ Σμέρδιος λέγεται λόγος. Ἕλληνες μὲν λέγουσι Καμβύσεα συμβαλεῖν σκύμνον λέοντος σκύλακι κυνός, θεωρέειν δὲ καὶ τὴν γυναῖκα ταύτην, νικωμένου δὲ τοῦ σκύλακος ἀδελφεὸν αὐτοῦ ἄλλον σκύλακα ἀπορρήξαντα τὸν δεσμὸν παραγενέσθαι οἱ, δύο δὲ γενομένους οὕτω δὴ τοὺς σκύλακας ἐπικρατῆσαι τοῦ σκύμνου. καὶ τὸν μὲν Καμβύσεα ἥδεσθαι θεώμενον, τὴν δὲ παρημένην δακρύειν. Καμβύσεα δὲ μαθόντα τοῦτο ἐπείρεσθαι δι' ὅ τι δακρύει, τὴν δὲ εἰπεῖν ὡς ἰδοῦσα τὸν σκύλακα τῷ ἀδελφεῷ τιμωρήσαντα δακρύσειε, μνησθεῖσά τε Σμέρδιος καὶ μαθοῦσα ὡς ἐκείνῳ οὐκ εἴη ὁ τιμωρήσων. Ἕλληνες μὲν δὴ διὰ τοῦτο τὸ ἔπος φασὶ αὐτὴν ἀπολέσθαι ὑπὸ Καμβύσεω, Αἰγύπτιοι δὲ ὡς τραπέζῃ παρακατημένων λαβοῦσαν θρίδακα τὴν γυναῖκα περιτῖλαι καὶ ἐπανείρεσθαι τὸν ἄνδρα κότερον περιτετιλμένη ἡ θρίδαξ ἢ δασέα εἴη καλλίων, καὶ τὸν φάναι δασέαν, τὴν δ' εἰπεῖν "ταύτην

---

21. Phrynichus Eclog. p. 130 Lob. Bekkeri Anecd. p. 99

1. νόμον ἐξευρηκέναι ὃς θεσπίζει Schol. Luc. ‖ 2. τὸ] τὰ z ‖ ἔλυσαν - 3 νόμον om. *R* ‖ ἔλυσαν] ἔδοσαν *d* ‖ δείσαντες om. *C* ‖ 3. τε om. *Ppr.d* ‖ αὐτοὶ μὴ *C* ‖ ἀπόλλωνται *Bd* ‖ 4. καὶ παρεξεῦρον *d* ‖ 6. εἰρημένην *R* ‖ ἄλλην] καὶ ἄλλην *R* ‖ 7. δῆτα] δὴ *R* ‖ ἐπισπωμένην sz ‖ οἱ] δὴ *d* ‖ 9. λέγεται] ἐκφέρεται z ‖ μὲν] μὲν γὰρ z ‖ 10. συμβαλεῖν] om. *R*, συμβαλέειν ceteri ‖ 11. νικομένου *BR* ‖ 12. ἄλλον αὐτοῦ *Ppr.R* ‖ 13. τοὺς] τὰς *R* ‖ 16. διότι *L* ‖ δακρύειν *R*, δακρύοι z ‖ 18. καταμαθοῦσα *R* ‖ κείνῳ z ‖ 19. δὴ] γὰρ *C* ‖ 20. παρακατημένων correxi: περικατημένων *Rz*, περικατήμενον (ων) *P*, περικατήμενον reliqui ‖ 21. λαβοῦσα *C* ‖ περιτίλαι *Rz*, περιστεῖλαι *C*, περιτεῖλαι reliqui ‖ 22. κότερα z ‖ ἡ θρίδαξ post δασεῖα *R* ‖ δασεῖα *L* ‖ 23. εἴη] ἦι *C*[1], ἐοῦσα εἴη *R* ‖ καλλίων] ἀμείνων z ‖ δασεῖαν codices, δασεῖα z ‖ δὲ *R*

μέντοι κοτὲ σὺ τὴν θρίδακα ἐμιμήσαο, τὸν Κύρου οἶκον ἀπο-
ψιλώσας." τὸν δὲ θυμωθέντα ἐμπηδῆσαι αὐτῇ ἐχούσῃ ἐν
γαστρί, καί μιν ἐκτρώσασαν ἀποθανεῖν.

Ταῦτα μὲν ἐς τοὺς οἰκηίους ὁ Καμβύσης ἐξεμάνη, εἴτε 33
δὴ διὰ τὸν Ἆπιν εἴτε καὶ ἄλλως, οἷα πολλὰ ἔωθε ἀνθρώπους
κακὰ καταλαμβάνειν· καὶ γάρ τινα ἐκ γενεῆς νοῦσον μεγάλην
λέγεται ἔχειν ὁ Καμβύσης, τὴν ἱρὴν ὀνομάζουσί τινες. οὔ
νύν τοι ἀεικὲς οὐδὲν ἦν τοῦ σώματος νοῦσον μεγάλην νοσέ-
οντος μηδὲ τὰς φρένας ὑγιαίνειν. τάδε δ' ἐς τοὺς ἄλλους 34
Πέρσας ἐξεμάνη. λέγεται γὰρ εἰπεῖν αὐτὸν πρὸς Πρηξά-
σπεα, τὸν ἐτίμα τε μάλιστα καί οἱ τὰς ἀγγελίας ἐφόρεε οὗτος,
τούτου τε ὁ παῖς οἰνοχόος ἦν τῷ Καμβύσῃ, τιμὴ δὲ καὶ αὕτη
οὐ σμικρή· εἰπεῖν δὲ λέγεται τάδε. "Πρήξασπες, κοῖόν με
τινὰ νομίζουσι Πέρσαι εἶναι ἄνδρα τίνας τε λόγους περὶ ἐμέο
ποιεῦνται;" τὸν δὲ εἰπεῖν "ὦ δέσποτα, τὰ μὲν ἄλλα πάντα
μεγάλως ἐπαινέεαι, τῇ δὲ φιλοινίῃ σε φασὶ πλεόνως προσ-
κέεσθαι." τὸν μὲν δὴ λέγειν ταῦτα περὶ Περσέων, τὸν δὲ
θυμωθέντα τοιάδε ἀμείβεσθαι. "νῦν ἄρα με φασὶ Πέρσαι
οἴνῳ προσκείμενον παραφρονέειν καὶ οὐκ εἶναι νοήμονα·
οὐδ' ἄρα σφέων οἱ πρότεροι λόγοι ἦσαν ἀληθέες." πρότερον
γὰρ δὴ ἄρα Περσέων οἱ συνέδρων ἐόντων καὶ Κροίσου εἴρετο
Καμβύσης κοῖός τις δοκέοι ἀνὴρ εἶναι πρὸς τὸν πατέρα τελέ-
σαι Κῦρον, οἱ δὲ ἀμείβοντο ὡς εἴη ἀμείνων τοῦ πατρός· τά
τε γὰρ ἐκείνου πάντα ἔχειν αὐτὸν καὶ προσεκτῆσθαι Αἴγυπτόν

ὅτι τὴν ἱερὰν νόσον Καμβύσης ἐνόσει καὶ περὶ ὧν εἰς τοὺς ἄλλους Πέρσας καὶ Πρηξάσπην ἐξήμαρτεν

2. Pollux II 32. Bekkeri Anecd. p. 95. — 18. Bekkeri Anecd. p. 99

1. μέντοί κοτε σὺ *ABCP*, μέντοι κότε σὺ *d*, μέντοι σύ κοτε *R*, μὲν δήκοτε σὺ *qz* ‖ 2. ἐνπηδῆσαι *A*, ἐμποδίσαι *d* ‖ 4. οἰκειοτάτους *R* ‖ 5. ἔωθεν *Rd*, ἐώθεε *ABC* ‖ 6. κακὰ om. *ABCd* ‖ ἐκ] καὶ ἐκ *R* ‖ 7. οὐνομάζουσι *CPz* ‖ οὐ νύν τοι *B*, οὔ νυν τοι *Pz*, οὐ νῦν τι *d*, οὐ νῦν τοι *R* ‖ 9. τὰ δὲ ἐς *ABCd* ‖ 10. αὐτὸν εἰπεῖν *d* ‖ 11. ἐσεφόρεε Naber ‖ 12. καὶ om. *Pz* ‖ 13. δὴ Krueger ‖ 14. ἐμεῦ *R* ‖ 16. ἐπαινέεαι *Pz*: ἐπαινέαι ‖ φιλονεικίῃ *qz* ‖ σε φασὶ *Pz*: σέ φασι ‖ προσκεῖσθαι *R* ‖ 18. τοιαῦτα *d*, τοῖσδε *PRz* ‖ ἆρα *R* ‖ με φασὶ *Pz*: μέ φασι ‖ Πέρσαι om. *z* ‖ 19. οἴνῳ om. *R* ‖ προσκεισάμενον *R* ‖ 21. οἳ *d* ‖ 22. ὁ καμβύσης *R* ‖ δοκέει *dz* ‖ τελέσαι] καλέσαι *CPcorr.* exclusit Negris. an εἰκάσαι? ‖ 24. προσκτήσασθαι *R*

τε καὶ τὴν θάλασσαν. Πέρσαι μὲν ταῦτα ἔλεγον, Κροῖσος δὲ παρεὼν τε καὶ οὐκ ἀρεσκόμενος τῇ κρίσι εἶπε πρὸς τὸν Καμβύσεα τάδε. "ἐμοὶ μέν νυν, ὦ παῖ Κύρου, οὐ δοκέεις ὅμοιος εἶναι τῷ πατρί· οὐ γάρ κώ τοι ἐστὶ υἱὸς οἷον σὲ ἐκεῖνος κατελίπετο." ἥσθη τε ταῦτα ἀκούσας ὁ Καμβύσης καὶ ἐπαίνεε

35 τὴν Κροίσου κρίσιν. τούτων δὴ ὦν ἐπιμνησθέντα ὀργῇ λέγειν πρὸς τὸν Πρηξάσπεα "σύ νυν μάθε εἰ λέγουσι Πέρσαι ἀληθέα εἴτε αὐτοὶ λέγοντες ταῦτα παραφρονέουσι· εἰ μὲν γὰρ τοῦ παιδὸς τοῦ σοῦ τοῦδε ἑστεῶτος ἐν τοῖσι προθύροισι βαλὼν τύχοιμι μέσης τῆς καρδίης, Πέρσαι φανέονται λέγοντες οὐδέν· ἢν δὲ ἁμάρτω, φάναι Πέρσας τε λέγειν ἀληθέα καί με μὴ σωφρονέειν." ταῦτα δὲ εἰπόντα καὶ διατείναντα τὸ τόξον βαλεῖν τὸν παῖδα, πεσόντος δὲ τοῦ παιδὸς ἀνασχίζειν αὐτὸν κελεύειν καὶ σκέψασθαι τὸ βλῆμα· ὡς δὲ ἐν τῇ καρδίῃ εὑρεθῆναι ἐνεόντα τὸν ὀιστόν, εἰπεῖν πρὸς τὸν πατέρα τοῦ παιδὸς γελάσαντα καὶ περιχαρέα γενόμενον "Πρήξασπες, ὡς μὲν ἔγωγε οὐ μαίνομαι Πέρσαι τε παραφρονέουσι, δῆλά τοι γέγονε. νῦν δέ μοι εἰπέ, τίνα εἶδες ἤδη πάντων ἀνθρώπων οὕτω ἐπίσκοπα τοξεύοντα;" Πρηξάσπεα δὲ ὁρέοντα ἄνδρα οὐ φρενήρεα καὶ περὶ ἑωυτῷ δειμαίνοντα εἰπεῖν "δέσποτα, οὐδ' ἂν αὐτὸν ἔγωγε δοκέω τὸν θεὸν οὕτω ἂν καλῶς βαλεῖν." τότε μὲν ταῦτα ἐξεργάσατο, ἑτέρωθι δὲ Περσέων ὁμοίους τοῖσι πρώτοισι δυώδεκα ἐπ' οὐδεμιῇ αἰτίῃ ἀξιοχρέῳ ἑλὼν ζώοντας ἐπὶ κεφαλὴν κατώρυξε.

36 Ταῦτα δέ μιν ποιεῦντα ἐδικαίωσε Κροῖσος ὁ Λυδὸς νου-

παραίνεσις Κροίσου πρὸς Καμβύσην καὶ θανάτου κίνδυνος

13. ἀνασχίζειν - 14 βλῆμα Lexicon Vindob. p. 36

2. παρεόν *B* ‖ τῇ] τῇ γινομένῃ *R* ‖ κρίσει *L* ‖ 3. τάδε om. *R* ‖ ὁμοῖος *CPd* ‖ 4. πατέρι *Rz* ‖ τοί ἐστι *ABR* ‖ 5. ἀκούσας om. *ABC* ‖ 7. σὺ νῦν *L* ‖ μάθε] μάθε αὐτὸς *R* ‖ 8. αὐτοὶ om. *R* ‖ εἰ] ἢν *R* ‖ 9 ἑστῶτος *R* ‖ 10. τύχω *R* ‖ καρδίας *CPdz* ‖ 11. τε πέρσας z ‖ 12. καὶ ἐμὲ *R* ‖ 13. βαλέειν *L* ‖ 14. δ' *ABd* ‖ 15. ἰστὸν *CP*, ἰὸν z ‖ 17. ἐγώ τε Dobree ‖ 19. οὕτω *R*: οὕτως ‖ ὁρέοντα *Pdz*: ὁρῶντα *ABR*, ὁρέωντα *C* ‖ 20. οὐ om. *R* ‖ φρενήρη *d* ‖ 21. αὐτὸς *C* ‖ 22. βαλέειν *L* ‖ ἐξειργάσατο *R* ‖ ἑτέρωτε? ‖ 23. ὁμοίως *CP*, ὅμοια z ‖ 24. ἀξιόχρεῳ *L* ‖ ζῶντας *R*

θετῆσαι τοῖσιδε τοῖσι ἔπεσι. “ὦ βασιλεῦ, μὴ πάντα ἡλικίῃ καὶ θυμῷ ἐπίτραπε, ἀλλ' ἴσχε καὶ καταλάμβανε σεωυτόν· ἀγαθῶν τε πρόνοον εἶναι, σοφὸν δὲ ἡ προμηθίη. σὺ δὲ κτείνεις μὲν ἄνδρας σεωυτοῦ πολιήτας ἐπ' οὐδεμιῇ αἰτίῃ ἀξιοχρέῳ ἑλών, κτείνεις δὲ παῖδας. ἢν δὲ πολλὰ τοιαῦτα ποιέῃς, ὅρα ὅκως μή σευ ἀποστήσονται Πέρσαι. ἐμοὶ δὲ πατὴρ σὸς Κῦρος ἐνετέλλετο πολλὰ κελεύων σε νουθετέειν καὶ ὑποτίθεσθαι ὅ τι ἂν εὑρίσκω ἀγαθόν.” ὁ μὲν δὴ εὐνοίην φαίνων συνεβούλευέ οἱ ταῦτα· ὁ δ' ἀμείβετο τοῖσιδε. “σὺ καὶ ἐμοὶ τολμᾷς συμβουλεύειν, ὃς χρηστῶς μὲν τὴν σεωυτοῦ πατρίδα ἐπετρόπευσας, εὖ δὲ τῷ πατρὶ τῷ ἐμῷ συνεβούλευσας, κελεύων αὐτὸν Ἀράξεα ποταμὸν διαβάντα ἰέναι ἐπὶ Μασσαγέτας, βουλομένων ἐκείνων διαβαίνειν ἐς τὴν ἡμετέρην, καὶ ἀπὸ μὲν σεωυτὸν ὤλεσας τῆς σεωυτοῦ πατρίδος κακῶς προστάς, ἀπὸ δὲ ὤλεσας Κῦρον πειθόμενον σοί. ἀλλ' οὔτι χαίρων, ἐπεί τοι καὶ πάλαι ἐς σὲ προφάσιός τευ ἐδεόμην ἐπιλαβέσθαι.” ταῦτα δὲ εἴπας ἐλάμβανε τὸ τόξον ὡς κατατοξεύσων αὐτόν. Κροῖσος δὲ ἀναδραμὼν ἔθεε ἔξω. ὁ δὲ ἐπείτε τοξεῦσαι οὐκ εἶχε, ἐνετείλατο τοῖσι θεράπουσι λαβόντας μιν ἀποκτεῖναι. οἱ δὲ θεράποντες ἐπιστάμενοι τὸν τρόπον αὐτοῦ κατακρύπτουσι τὸν Κροῖσον ἐπὶ τῷδε τῷ λόγῳ ὥστε, εἰ μὲν μεταμελήσῃ τῷ Καμβύσῃ καὶ ἐπιζητέῃ τὸν Κροῖσον, οἱ δὲ ἐκφήναντες αὐτὸν δῶρα λάμψονται ζωάγρια Κροίσου, ἢν δὲ μὴ μεταμέληται μηδὲ ποθέῃ μιν, τότε καταχρᾶσθαι. ἐπόθησέ τε δὴ ὁ Καμβύσης τὸν Κροῖσον οὐ πολλῷ μετέπειτα

1. τοῖσιδε *Pz*: τοῖσι δὲ *C*, τοῖσδε reliqui ‖ τοῖς *R* ‖ 2. ἐπίτρεπε *L* ‖ 3. ἀγαθόν τε *A*[2], ἀγαθόν τι *R*. ἀγαθόν τοι Reiske ‖ προμηθίηι *B*, προμηθείη *CPdz* ‖ σὲ *R* ‖ 4. ἑωυτοῦ *R* ‖ πολήïτας *z* ‖ ἐπεὶ *R* ‖ οὐδὲ μιῆι *AB* ‖ 5. ἀξιοχρέω *Rd*: ἀξιόχρεῳ ‖ 6. ποιῆις *AB*, ποιῇς *R* ‖ ἀποστήσωνται *Adz* ‖ 7. ὁ σὸς Bekker ‖ ἐνετείλατο *R* ‖ νουθετεῖν σε *R* ‖ 8. εὔνοιαν ὃς *L* ‖ 9. συνεβούλευσε *R* ‖ τοῖσδε *L* ‖ 10. ὧς *P*, ὡς *R* ‖ ἑωυτοῦ *R* ‖ 12. ἀράξεα *sz*: ἀράξην ‖ 14. τῆς - 15 ὤλεσας om. *R* ‖ ἑωυτοῦ *C* ‖ 15. πειθόμενόν σοι *L* ‖ 16. οὔτοι *z* ‖ τευ] τε *R* ‖ 17. ἐπιλαβέσθαι. ταῦτα δέ om. *ABCd* ‖ ἐπελάμβανε τὰ τόξα *R* ‖ 18. ἐπείπερ *d* ‖ 19. λαμβάνοντας *CP* ‖ 21. μὲν om. *R* ‖ 22. μεταμελήσηι *ABC*: μεταμελήσει ‖ ἐπιζητῆι *ABC*, ἐπιζητοῖ *d*, ἐπιζητεῖ *P*, ἐπιζητήσει *R*, ἐπιζητοίη *qz* ‖ 23. αὐτὸν om. *R* ‖ λήψονται *R* ‖ δὲ] μὲν δὴ *qz* ‖ 24. μεταμελῆται *L* ‖ μηδέποτε *R*, μηδὲ ποθῇ ceteri ‖ καταχρήσασθαι *R*, καταχρῆσθαι ceteri

χρόνῳ ὕστερον, καὶ οἱ θεράποντες μαθόντες τοῦτο ἐπηγγέλλοντο αὐτῷ ὡς περιείη. Καμβύσης δὲ Κροίσῳ μὲν συνήδεσθαι ἔφη περιεόντι, ἐκείνους μέντοι τοὺς περιποιήσαντας οὐ καταπροΐξεσθαι ἀλλ' ἀποκτενέειν. καὶ ἐποίησε ταῦτα.

37 Ὁ μὲν δὴ τοιαῦτα πολλὰ ἐς Πέρσας τε καὶ τοὺς συμμάχους ἐξεμαίνετο, μένων ἐν Μέμφι καὶ θήκας τε παλαιὰς ἀνοίγων καὶ σκεπτόμενος τοὺς νεκρούς. ὧς δὲ δὴ καὶ ἐς τοῦ Ἡφαίστου τὸ ἱρὸν ἦλθε καὶ πολλὰ τῷ ἀγάλματι κατεγέλασε. ἔστι γὰρ τοῦ Ἡφαίστου τὤγαλμα τοῖσι Φοινικηίοισι Παταΐκοισι ἐμφερέστατον, τοὺς οἱ Φοίνικες ἐν τῇσι πρῴρῃσι τῶν τριηρέων περιάγουσι. ὃς δὲ τούτους μὴ ὄπωπε, ἐγὼ δὲ σημανέω· πυγμαίου ἀνδρὸς μίμησίς ἐστι. ἐσῆλθε δὲ καὶ ἐς τῶν Καβείρων τὸ ἱρόν, ἐς τὸ οὐ θεμιτόν ἐστι ἐσιέναι ἄλλον γε ἢ τὸν ἱρέα· ταῦτα δὲ τὰ ἀγάλματα καὶ ἐνέπρησε πολλὰ κατασκώψας. ἔστι δὲ καὶ ταῦτα ὅμοια τοῖσι τοῦ Ἡφαίστου·
38 τούτου δέ σφεας παῖδας λέγουσι εἶναι. πανταχῇ ὦν μοι δῆλά ἐστι ὅτι ἐμάνη μεγάλως ὁ Καμβύσης· οὐ γὰρ ἂν ἱροῖσί τε καὶ νομαίοισι ἐπεχείρησε καταγελᾶν. εἰ γάρ τις προθείη πᾶσι ἀνθρώποισι ἐκλέξασθαι κελεύων νόμους τοὺς καλλίστους ἐκ τῶν πάντων νόμων, διασκεψάμενοι ἂν ἑλοίατο ἕκαστοι τοὺς ἑωυτῶν· οὕτω νομίζουσι πολλόν τι καλλίστους

ὅτι πάντες τὰ παρ' ἑαυτοῖς νομίζουσιν ἐξαίρετα

2. Κροίσῳ - 4 καταπροΐξεσθαι Lexicon Vindob. p. 150. — 4. Λέξεις. — 9. Λέξεις. — 13. Strabo p. 423. — Bekkeri Anecd. p. 99. — 15. ἔστι - Ἡφαίστου Thomas M. p. 269. — 18. εἰ - p. 281, 15 εἶναι Celsus apud Origenem c. Cels. V 34. — εἰ - p. 281, 1 εἶναι Stobaeus flor. XXIII 11

1. ἐπήγγελον sv. ἐπήγγελλον Schweighaeuser ‖ 2. μὲν] μέντοι Lex. Vind. ‖ 4. καταπροΐζεσθαι ἀλλὰ *R* ‖ 5. ξυμμάγους *PRz* ‖ 6. ἐξεμένετο *R* ‖ 7. ὧς Schaefer: ὡς *ABCd*, ἐς *Pcorr.Rz.* ἐν Bekker ‖ ἐς τοῦ] ἐς τοῦ *P*, τοῦ *R*, om. *qz* ‖ 8. ἱρὸν - 9 Ἡφαίστου om. *R* ‖ τῴγάλματι *z* ‖ 9. τὸ ἄγαλμα *R* ‖ φοινικικοῖσι *R* ‖ παταίκοισιν *R*. (gloss.): παταϊκοῖσι ‖ 10. οἱ om. *P* ‖ πρώρῃσι *A²Rz*: πρώτῃσι reliqui, πρύμναις gloss. ‖ 11. ὄπωπε δὲ Schaefer: ὀπώπεε ‖ ἐγὼ δὲ *R*, ἐγὼ *P*: ἐγὼ δέ οἱ *z*, ὧδε *ABCd* ‖ 12. πυγμαίω *Rz* ‖ δὲ om. *R* ‖ 13. καβίρων *AB* ‖ ἱερὸν *R* ‖ 14. ἱερέα *R* ‖ τἀγάλματα *z* ‖ 15. δὲ] γὰρ *R* ‖ ὁμοῖα *CPd* ‖ τοῖσι om. *ABCd*. Thom. ‖ 16. παῖδας om. *R* ‖ πολλαγῆ *R* ‖ δῆλα ἐστὶ *P* ‖ 18. νομίμοισι *R* ‖ καταγελᾶιν *P* ‖ προσθείη *ABCd*. Cels. ‖ 20. ἀνελοίατο ἕκαστος Stob. ‖ 21. πουλύ *z*. Cels. (?), πολύ ceteri cum Stob.

τοὺς ἑωυτῶν νόμους ἕκαστοι εἶναι. οὔκων οἰκός ἐστι ἄλλον γε ἢ μαινόμενον ἄνδρα γέλωτα τὰ τοιαῦτα τίθεσθαι. ὡς δὲ οὕτω νενομίκασι τὰ περὶ τοὺς νόμους πάντες ἄνθρωποι, πολλοῖσί τε καὶ ἄλλοισι τεκμηρίοισι πάρεστι σταθμώσασθαι, ἐν δὲ δὴ καὶ τῷδε. Δαρεῖος ἐπὶ τῆς ἑωυτοῦ ἀρχῆς καλέσας Ἑλλήνων τοὺς παρεόντας εἴρετο ἐπὶ κόσῳ ἂν χρήματι βουλοίατο τοὺς πατέρας ἀποθνήσκοντας κατασιτέεσθαι· οἱ δὲ ἐπ' οὐδενὶ ἔφασαν ἔρδειν ἂν τοῦτο. Δαρεῖος δὲ μετὰ ταῦτα καλέσας Ἰνδῶν τοὺς καλεομένους Καλλατίας, οἳ τοὺς γονέας κατεσθίουσι, εἴρετο, παρεόντων τῶν Ἑλλήνων καὶ δι' ἑρμηνέος μανθανόντων τὰ λεγόμενα, ἐπὶ τίνι χρήματι δεξαίατ' ἂν τελευτέοντας τοὺς πατέρας κατακαίειν πυρί· οἱ δὲ ἀμβώσαντες μέγα εὐφημέειν μιν ἐκέλευον. οὕτω μέν νυν ταῦτα νενόμισται, καὶ ὀρθῶς μοι δοκέει Πίνδαρος ποιῆσαι νόμον πάντων βασιλέα φήσας εἶναι.

Καμβύσεω δὲ ἐπ' Αἴγυπτον στρατευομένου ἐποιήσαντο 39 καὶ Λακεδαιμόνιοι στρατηίην ἐπὶ Σάμον τε καὶ Πολυκράτεα τὸν Αἰάκεος, ὃς ἔσχε Σάμον ἐπαναστάς, καὶ τὰ μὲν πρῶτα τριχῇ δασάμενος τὴν πόλιν . . τοῖσι ἀδελφεοῖσι Πανταγνώτῳ καὶ Συλοσῶντι ἔνειμε, μετὰ δὲ τὸν μὲν αὐτῶν ἀποκτείνας τὸν δὲ νεώτερον Συλοσῶντα ἐξελάσας ἔσχε πᾶσαν Σάμον, σχὼν δὲ ξεινίην Ἀμάσι τῷ Αἰγύπτου βασιλέι συνεθήκατο, πέμπων τε δῶρα καὶ δεκόμενος ἄλλα παρ' ἐκείνου. ἐν χρόνῳ δὲ ὀλί-

ὅτι Ἰνδοὶ Καλλατίαι τοὺς γονεῖς ἐσθίουσιν — περὶ Πολυκράτους τοῦ Σαμίων τυράννου καὶ τῆς πρὸς Ἄμασιν φιλίας καὶ τῆς κατ' αὐτοῦ Λακεδαιμονίων στρατείας

---

1. αὐτῶν *R* ‖ οὔκων] οὐχ ὂν Cels. ‖ εἰκός *dz*. Cels. ‖ ἄλλον *s*. Cels.: ἄλλο ‖ 2. ἢ] δὴ *R* ‖ γελῶτα *C* ‖ τὰ om. *ABC* ‖ δ' Cels. ‖ 3. οἱ πάντες *R*. Cels. ‖ 4. τε] om. Cels., μὲν Bekker ‖ 6. ἤρετο Cels. ‖ πόσῳ z ‖ 8. ἔφασαν ἐπ' οὐδενὶ Cels. ‖ ἐρδειν *AB*, ἔρδειν *CPz* ‖ ταῦτα *R*. Cels. ‖ 9. καλατίας *R* ‖ 10. ἤρετο Cels. ‖ ἑρμηνέων *d*. Cels. ‖ 11. δέξαντ' Cels. ‖ 12. τελευτέοντας *CPz*. Cels.: τελευτῶντας ‖ 13. εὐφημέειν Cels.: εὐφημεῖν ‖ μέν νυν *PRz*, μὲν νῦν Cels.: νυν *ABC*, νῦν *d* ‖ τάδε Cels. ‖ 17. στρατιὴν *d* ‖ καὶ om. *d* ‖ 18. αἰακέος *d* ‖ εἶχεν *R* ‖ 19. lacuna quam signavi hausit σὺν vel ἅμα vel etiam plura ‖ πανταγνώστωι *C*, πάντα γνώτω *Rd* ‖ 20. διένειμε *R* ‖ αὐτέων *Rz* ‖ 21. Σάμον] τὴν Σάμον z ‖ σχὼν scripsi: ἔχων *R*, ἴσχων ceteri ‖ 22. ξεινίην *PRz*: ξεινηΐην ‖ Αἰγυπτίων z ‖ βασιλεῖ *ABP* ‖ φιλίην συνεθήκατο *AB* ‖ 23. δεχόμενος *C* ‖ ἄλλα] ἅμα *R*

γῳ αὐτίκα τοῦ Πολυκράτεος τὰ πρήγματα ηὔξετο καὶ ἦν βεβωμένα ἀνά τε τὴν Ἰωνίην καὶ τὴν ἄλλην Ἑλλάδα· ὅκου γὰρ ἰθύσειε στρατεύεσθαι, πάντα οἱ ἐχώρεε εὐτυχέως. ἔκτητο δὲ πεντηκοντέρους τε ἑκατὸν καὶ χιλίους τοξότας, ἔφερε δὲ καὶ ἦγε πάντας διακρίνων οὐδένα· τῷ γὰρ φίλῳ ἔφη χαριεῖσθαι μᾶλλον ἀποδιδοὺς τὰ ἔλαβε ἢ ἀρχὴν μηδὲ λαβών. συχνὰς μὲν δὴ τῶν νήσων ἀραιρήκεε, πολλὰ δὲ καὶ τῆς ἠπείρου ἄστεα· ἐν δὲ δὴ καὶ Λεσβίους πανστρατιῇ βοηθέοντας Μιλησίοισι ναυμαχίῃ κρατήσας εἷλε, οἳ τὴν τάφρον περὶ τὸ τεῖχος τὸ ἐν Σάμῳ πᾶσαν δεδεμένοι ὤρυξαν.

40 καί κως τὸν Ἄμασιν εὐτυχέων μεγάλως ὁ Πολυκράτης οὐκ ἐλάνθανε, ἀλλά οἱ τοῦτ' ἦν ἐπιμελές. πολλῷ δὲ ἔτι πλεῦνός οἱ εὐτυχίης γινομένης γράψας ἐς βυβλίον τάδε ἐπέστειλε ἐς Σάμον. "Ἄμασις Πολυκράτεϊ ὧδε λέγει. ἡδὺ μὲν πυνθάνεσθαι ἄνδρα φίλον καὶ ξεῖνον εὖ πρήσσοντα· ἐμοὶ δὲ αἱ σαὶ μεγάλαι εὐτυχίαι οὐκ ἀρέσκουσι, τὸ θεῖον ἐπισταμένῳ ὡς ἔστι φθονερόν· καί κως βούλομαι καὶ αὐτὸς καὶ τῶν ἂν κήδωμαι τὸ μέν τι εὐτυχέειν τῶν πρηγμάτων τὸ δὲ προσπταίειν, καὶ οὕτω διαφέρειν τὸν αἰῶνα ἐναλλὰξ πρήσσων ἢ εὐτυχέειν τὰ πάντα. οὐδένα γάρ κω λόγῳ οἶδα ἀκούσας ὅστις ἐς τέλος οὐ κακῶς ἐτελεύτησε πρόρριζος, εὐτυχέων τὰ πάντα. σὺ ὦν νῦν ἐμοὶ πειθόμενος ποίησον πρὸς τὰς εὐτυχίας τοιάδε. φροντίσας τὸ ἂν εὕρῃς ἐόν τοι πλείστου ἄξιον καὶ ἐπ' ᾧ σὺ ἀπολομένῳ μάλιστα τὴν ψυχὴν ἀλγήσεις, τοῦτο ἀπόβαλε οὕτω ὅκως μη-

ἐπιστολὴ Ἀμάσιδος πρὸς Πολυκράτη

4. - 6 (Diodori exc. Vatic. p. 33). — ἔφερε - 5 πάντας Eustathius Il. p. 573. — 14. Ἄμασις - 21 πάντα Stobaeus floril. CXII 15. — 18. καὶ - 19 πρήσσων Lexicon Vindob. p. 42

1. ηὔξετο *R*: εὔξετο *A*[1]*B*, αὔξετο reliqui ‖ 3. ἔκτητο *CPz*: ἐκέκτητο ‖ 4. πεντηκοντόρους *d* ‖ 7. ἀραιρήκεε Bekker: αιρήκεε *AB*, αἱρήκεε *CPdz*, αἰρήκεε *R* ‖ 10. δεδεσμένοι *d* ‖ 11. ὁ πολυκράτης μεγάλως *d* ‖ οὐκ ἐλάνθανε - 12 πλεῦνος om. *C* ‖ 12. ἀλλὰ οἵ *d* ‖ δὲ ἔτι] δέ τοι *z* ‖ 13. γιγνομένης *P* ‖ βυβλίον *R*: βιβλίον ‖ 14. πολυκράτει *AB* ‖ 15. καὶ ξεῖνον] κάκεῖνον *R* ‖ 16. ἐπισταμένῳ τὸ θεῖον *R*. Stob. ‖ 17. μέν τοι *CR* ‖ 18. προσπτέειν *R* ‖ 19. εὐτυχέων *qz* ‖ 20. ἐς τέλος *PRz*. Stob.: ἕτερος ‖ 21. πρόρρηζος *R* ‖ σὺ ὦν νῦν] σύ νυν *AB*, σὺ νῦν *Cd* ‖ ἐμοὶ om. *R* ‖ 22. ποίησον om. *At* ‖ 23. εὕροις *z* ‖ τι *R* ‖ 24. τούτω *R*

κέτι ἥξει ἐς ἀνθρώπους· ἤν τε μὴ ἐναλλὰξ ἤδη τὠπὸ τούτου αἱ εὐτυχίαι τοι τῇσι πάθῃσι προσπίπτωσι, τρόπῳ τῷ ἐξ ἐμεῦ ὑποκειμένῳ ἀκέο.” ταῦτα ἐπιλεξάμενος ὁ Πολυκράτης καὶ 41
νόῳ λαβὼν ὥς οἱ εὖ ὑπετίθετο Ἄμασις, ἐδίζητο ἐπ᾽ ᾧ ἂν μάλιστα τὴν ψυχὴν ἀσηθείη ἀπολομένῳ τῶν κειμηλίων, διζήμενος δὲ εὕρισκε τόδε. ἦν οἱ σφρηγὶς τὴν ἐφόρεε χρυσόδετος, σμαράγδου μὲν λίθου ἐοῦσα, ἔργον δὲ ἦν Θεοδώρου τοῦ Τηλεκλέος Σαμίου. ἐπεὶ ὦν ταύτην οἱ ἐδόκεε ἀποβαλεῖν, ἐποίεε τοιάδε. πεντηκόντερον πληρώσας ἀνδρῶν ἐσέβη ἐς αὐτήν, μετὰ δὲ ἀναγαγεῖν ἐκέλευε ἐς τὸ πέλαγος. ὡς δὲ ἀπὸ τῆς νήσου ἑκὰς ἐγένετο, περιελόμενος τὴν σφρηγῖδα πάντων ὁρεόντων τῶν συμπλόων ῥίπτει ἐς τὸ πέλαγος. τοῦτο δὲ ποιήσας ἀπέπλεε, ἀπικόμενος δὲ ἐς τὰ οἰκία συμφορῇ ἐχρᾶτο. πέμπτῃ δὲ ἢ ἕκτῃ ἡμέρῃ ἀπὸ τούτων τάδε οἱ συν- 42
ήνεικε γενέσθαι. ἀνὴρ ἁλιεὺς λαβὼν ἰχθὺν μέγαν τε καὶ καλὸν ἠξίου μιν Πολυκράτεϊ δῶρον δοθῆναι· φέρων δὴ ἐπὶ τὰς θύρας Πολυκράτεϊ ἔφη ἐθέλειν ἐλθεῖν ἐς ὄψιν, χωρήσαντος δέ οἱ τούτου ἔλεγε διδοὺς τὸν ἰχθύν “ὦ βασιλεῦ, ἐγὼ τόνδε ἑλὼν οὐκ ἐδικαίωσα φέρειν ἐς ἀγορήν, καίπερ ἐὼν ἀποχειροβίοτος, ἀλλά μοι ἐδόκεε σεῦ τε εἶναι ἄξιος καὶ τῆς σῆς ἀρχῆς· σοὶ δή μιν φέρων δίδωμι.” ὁ δὲ ἡσθεὶς τοῖσι ἔπεσι ἀμείβεται τοῖσιδε. “κάρτα τε εὖ ἐποίησας καὶ χάρις διπλῆ τῶν τε λόγων καὶ τοῦ δώρου· καί σε ἐπὶ δεῖπνον κα-

περὶ τοῦ δακτυλίου Πολυκράτους

β— α— γ

1. ἥξῃ z ‖ τῶ'πὸ R ‖ αἱ εὐτυχίαι τοι ἤδη τὠπὸ τούτου αὐταῖσι πάθαισι P, ἤδη αἱ εὐτυχίαι τοι, τὠπὸ τοῦδε αὐτοῖσι πάθεσι z ‖ 2. τοι τῇσι πάθῃσι G. Dindorf: τοι ταῖς πάθαις R, τοί αὐταίσι πάθαισι B, τοι αὐταῖσι πάθεσι C, τοιαύταισι πάθεσι A^1d, τοιαύταισι πάθαισι A^2 ‖ 3. ἄκεο ABd ‖ 4. νόῳ] ἐν νόῳ R ‖ ὡς οἱ d ‖ ὑποτίθειτο P, ὑποτιθεῖτο R, ὑποτίθοιτο z ‖ ἐδίζετο z ‖ 5. ἀσηθείη Rz, γρ. ἀσηθείη P^m: ασθείη AB, ἀσθείη Cd, ἀσθείη P^t. γρ. ἀνιασθείη Vat. 122 marg. ‖ ἀπολλομένῳ d ‖ 6. δὲ R: δ᾽ ‖ οἱ d ‖ 7. ἦν δὲ ἔργον z ‖ 8. τημεκλέος R ‖ ἐδώκεεν οἱ R ‖ ἀποβαλέειν L ‖ 9. τάδε z ‖ πεντηκόντορον πλήσας d ‖ 10. κατὰ d ‖ 11. σφραγῖδα R ‖ 12. ὁρεόντων Pdz: ὁρώντων ABR, ὁρεώντων C ‖ 13. ἐπέπλεεν R ‖ 14. ἐγρῆτο L ‖ 15. ἰχθὺν CR: ἰχθῦν ‖ 16. πολυκράτει AB, πολυκράτεϊ R ‖ δὲ Rz ‖ 17. πολυκράτει AB ‖ θέλειν R ‖ 18. ἰχθὺν CR: ἰχθῦν ‖ 19. καίπερ γε ὢν R ‖ 20. ἀπογειροβίοτος ABR: ἀποχειροβίωτος ‖ 21. δέ d ‖ 22. τοιάδε R, τοῖσδε ceteri ‖ 23. διπλέη L ‖ σε post δεῖπνον R

λέομεν." ὁ μὲν δὴ ἁλιεὺς μέγα ποιεύμενος ταῦτα ἤιε ἐς τὰ οἰκία, τὸν δὲ ἰχθὺν τάμνοντες οἱ θεράποντες εὑρίσκουσι ἐν τῇ νηδύι αὐτοῦ ἐνεοῦσαν τὴν Πολυκράτεος σφρηγῖδα. ὡς δὲ εἶδόν τε καὶ ἔλαβον τάχιστα, ἔφερον κεχαρηκότες παρὰ τὸν Πολυκράτεα, διδόντες δέ οἱ τὴν σφρηγῖδα ἔλεγον ὅτεῳ τρόπῳ εὑρέθη. τὸν δὲ ὡς ἐσῆλθε θεῖον εἶναι τὸ πρῆγμα, γράφει ἐς βυβλίον πάντα τὰ ποιήσαντά μιν οἷα καταλελάβηκε, γράψας
43 δὲ ἐς Αἴγυπτον ἐπέθηκε. ἐπιλεξάμενος δὲ ὁ Ἄμασις τὸ βυβλίον τὸ παρὰ τοῦ Πολυκράτεος ἧκον, ἔμαθε ὅτι ἐκκομίσαι τε ἀδύνατον εἴη ἀνθρώπῳ ἄνθρωπον ἐκ τοῦ μέλλοντος γίνεσθαι πρήγματος, καὶ ὅτι οὐκ εὖ τελευτήσειν μέλλοι Πολυκράτης εὐτυχέων τὰ πάντα, ὃς καὶ τὰ ἀποβάλλει εὑρίσκει. πέμψας δέ οἱ κήρυκα ἐς Σάμον διαλύεσθαι ἔφη τὴν ξεινίην. τοῦδε δὲ εἵνεκεν ταῦτα ἐποίεε, ἵνα μὴ συντυχίης δεινῆς τε καὶ μεγάλης Πολυκράτεα καταλαβούσης αὐτὸς ἀλγήσειε τὴν ψυχὴν ὡς περὶ ξείνου ἀνδρός.

44 Ἐπὶ τοῦτον δὴ ὦν τὸν Πολυκράτεα εὐτυχέοντα τὰ πάντα ἐστρατεύοντο Λακεδαιμόνιοι, ἐπικαλεσαμένων τῶν μετὰ ταῦτα Κυδωνίην τὴν ἐν Κρήτῃ κτισάντων Σαμίων. πέμψας δὲ κήρυκα λάθρῃ Σαμίων Πολυκράτης παρὰ Καμβύσεα τὸν Κύρου συλλέγοντα στρατὸν ἐπ' Αἴγυπτον, ἐδεήθη ὅκως ἂν καὶ παρ' ἑωυτὸν πέμψας ἐς Σάμον δέοιτο στρατοῦ. Καμβύσης δὲ ἀκούσας τούτων προθύμως ἔπεμπε ἐς Σάμον δεησόμενος Πολυκράτεος στρατὸν ναυτικὸν ἅμα πέμψαι ἑωυτῷ ἐπ' Αἴγυπτον. ὁ δὲ ἐπιλέξας τῶν ἀστῶν τοὺς ὑπώπτευε μάλιστα ἐς ἐπανάστασιν ἀπέπεμπε τεσσεράκοντα τριήρεσι, ἐντειλά-

---

7. Bekkeri Anecd. p. 104

1. μεγάλα *R* ‖ 2. ἰχθὺν *R*: ἰχθῦν ‖ 3. σφραγῖδα *d* ‖ 4. κεχαρηότες *ABC* ‖ 5. σφραγῖδα *d* ‖ 6. εὑρεθείη *z* ‖ εἶναι om. *R* ‖ 7. βυβλίον *R*: βιβλίον ‖ καταλελάβηκε *PRz*, καταλελάβηκεν Bekk. An.: καταλελαβήκεε ‖ 9. βυβλίον *R* et *Ppr*. ut videtur: βιβλίον ‖ ἐκκομίσειαι *C* ‖ 10. τε post ἔμαθε *d*, om. *C* ‖ 11. ὅτι] ὅτι ὡς *z* ‖ μέλλει *Cdz* ‖ 14. τοῦ δὲ εἵνεκεν *ABCP*, τοῦ δὲ εἵνεκα *d*, τοῦδε εἵνεκε *R*, τοῦδε εἵνεκα *z* ‖ 15. καταλαβούσης - 17 Πολυκράτεα om. *B*[1] ‖ 16. ἀνδρός om. *qz* ‖ 19. πέμψας - 20 Σαμίων om. *ABCd* ‖ 20. Πολυκράτης] πολυκράτης δὲ πέμψας *ABCd* ‖ 22. αὐτὸν *R* ‖ 23. ἔπεμψε ἐς Σάμον δεόμενος *ABCd* ‖ 26. τεσσαράκοντα *Rd*

μενος Καμβύσῃ ὀπίσω τούτους μὴ ἀποπέμπειν. οἱ μὲν δὴ λέγουσι τοὺς ἀποπεμφθέντας Σαμίων ὑπὸ Πολυκράτεος οὐκ ἀπικέσθαι ἐς Αἴγυπτον, ἀλλ' ἐπείτε ἐγένοντο ἐν Καρπάθῳ πλέοντες, δοῦναι σφίσι λόγον, καί σφι ἀδεῖν τὸ προσωτέρω μηκέτι πλέειν· οἱ δὲ λέγουσι ἀπικομένους τε ἐς Αἴγυπτον καὶ φυλασσομένους ἐνθεῦτεν αὐτοὺς ἀποδρῆναι. καταπλέουσι δὲ ἐς τὴν Σάμον Πολυκράτης νηυσὶ ἀντιάσας ἐς μάχην κατέστη· νικήσαντες δὲ οἱ κατιόντες ἀπέβησαν ἐς τὴν νῆσον, πεζομαχήσαντες δὲ ἐν αὐτῇ ἑσσώθησαν, καὶ οὕτω δὴ ἔπλεον ἐς Λακεδαίμονα. εἰσὶ δὲ οἳ λέγουσι τοὺς ἀπ' Αἰγύπτου νικῆσαι Πολυκράτεα, λέγοντες ἐμοὶ δοκέειν οὐκ ὀρθῶς· οὐδὲν γὰρ ἔδεέ σφεας Λακεδαιμονίους ἐπικαλέεσθαι, εἴ περ αὐτοὶ ἦσαν ἱκανοὶ Πολυκράτεα παραστήσασθαι. πρὸς δὲ τούτοισι οὐδὲ λόγος αἱρέει, τῷ ἐπίκουροι μισθωτοὶ καὶ τοξόται οἰκήιοι ἦσαν πλήθεϊ πολλοί, τοῦτον ὑπὸ τῶν κατιόντων Σαμίων ἐόντων ὀλίγων ἑσσωθῆναι. τῶν δ' ὑπ' ἑωυτῷ ἐόντων πολιητέων τὰ τέκνα καὶ τὰς γυναῖκας ὁ Πολυκράτης ἐς τοὺς νεωσοίκους συνειλήσας εἶχε ἑτοίμους, ἢν ἄρα προδιδῶσι οὗτοι πρὸς τοὺς κατιόντας, ὑποπρῆσαι αὐτοῖσι τοῖσι νεωσοίκοισι. 45

Ἐπείτε δὲ οἱ ἐξελασθέντες Σαμίων ὑπὸ Πολυκράτεος 46
ἀπίκοντο ἐς τὴν Σπάρτην, καταστάντες ἐπὶ τοὺς ἄρχοντας ἔλεγον πολλὰ οἷα κάρτα δεόμενοι. οἱ δέ σφι τῇ πρώτῃ καταστάσι ὑπεκρίναντο τὰ μὲν πρῶτα λεχθέντα ἐπιλελῆσθαι, τὰ δὲ ὕστατα οὐ συνιέναι. μετὰ δὲ ταῦτα δεύτερα καταστάντες

τίνες ἐπηγάγοντο Λακεδαιμονίους κατὰ Πολυκράτους

---

16. τῶν - 19 νεωσοίκοισι Suidas v. νεώσοικοι. — 22. - 24 (Plutarchus mor. p. 232d)

2. ὑπὸ Πολυκράτεος om. *ABCd* ‖ 3. ἀλλὰ *R* ‖ ἐγίνοντο *C* ‖ 4. δοῦναί σφισι *R*, δοῦναί σφι ceteri ‖ ἀδεῖν *dz* ‖ προσωτέρωι *AB* ‖ 6. ἀποδρᾶναι *d* ‖ 9. ἑσσώθησαν *d* ut fere, ἐσώθησαν *R* ‖ οὕτως *R* ‖ 12. ἔδεί σφεας *P*, ἔδε σφέας *C*, ἔδει σφέας reliqui ‖ ἐπικαλέσασθαι *R* ‖ ἱκανοὶ ἦσαν *z* ‖ 13. τούτω *R* ‖ 14. ἐπίκουροι^τε *P*, ἐπίκουροί τε *Rz* ‖ 15. πλήθει *AB*, πλήθη *R* ‖ 16. ἐσωθῆναι *R* ‖ ἑωυτὸν *R* ‖ 17. τοὺς om. Suid. ‖ 19. αὐτοῖσι νεωσήκοισιν *d* ‖ 20. ἐξελαθέντες *z* ‖ 22. καταστάσει *L* ‖ 23. ὑπεκρίνοντο *d* ‖ ἐπιλελῆσθαι - 24 ὕστατα om. *A*[1] ‖ ἐπιλεληθέναι *R*. (Plut.) ‖ 24. ὕστερα *sv*. (Plut.)

ἄλλο μὲν εἶπον οὐδέν, θύλακον δὲ φέροντες ἔφασαν τὸν θύλακον ἀλφίτων δέεσθαι. οἱ δέ σφι ὑπεκρίναντο τῷ θυλάκῳ
47 περιεργάσθαι· βοηθέειν δ' ὦν ἔδοξε αὐτοῖσι. καὶ ἔπειτα παρασκευασάμενοι ἐστρατεύοντο Λακεδαιμόνιοι ἐπὶ Σάμον, ὡς μὲν Σάμιοι λέγουσι, εὐεργεσίας ἐκτίνοντες, ὅτι σφι πρότεροι αὐτοὶ νηυσὶ ἐβοήθησαν ἐπὶ Μεσσηνίους· ὡς δὲ Λακεδαιμόνιοι λέγουσι, οὐκ οὕτω τιμωρῆσαι δεομένοισι Σαμίοισι ἐστρατεύοντο ὡς τίσασθαι βουλόμενοι τοῦ κρητῆρος τῆς ἁρπαγῆς, τὸν ἦγον Κροίσῳ, καὶ τοῦ θώρηκος, τὸν αὐτοῖσι Ἄμασις ὁ Αἰγύπτου βασιλεὺς ἔπεμψε δῶρον. καὶ γὰρ θώρηκα ἐληίσαντο τῷ προτέρῳ ἔτεϊ ἢ τὸν κρητῆρα οἱ Σάμιοι, ἐόντα μὲν λίνεον καὶ ζῴων ἐνυφασμένων συχνῶν, κεκοσμημένον δὲ χρυσῷ καὶ εἰρίοισι ἀπὸ ξύλου· τῶν δὲ εἵνεκα θωυμάσαι ἄξιον, ἁρπεδόνη ἑκάστη τοῦ θώρηκος ποιέει· ἐοῦσα γὰρ λεπτὴ ἔχει ἁρπεδόνας ἐν ἑωυτῇ τριηκοσίας καὶ ἑξήκοντα, πάσας φανεράς. τοιοῦτος ἕτερός ἐστι καὶ τὸν ἐν Λίνδῳ ἀνέθηκε τῇ Ἀθηναίῃ Ἄμασις.

48 Συνεπελάβοντο δὲ τοῦ στρατεύματος τοῦ ἐπὶ Σάμον ὥστε γενέσθαι καὶ Κορίνθιοι προθύμως· ὕβρισμα γὰρ καὶ ἐς τούτους εἶχε ἐκ τῶν Σαμίων γενόμενον γενεῇ πρότερον τοῦ στρατεύματος τούτου, κατὰ δὲ τὸν αὐτὸν χρόνον τοῦ κρητῆρος τῇ ἁρπαγῇ γεγονός. Κερκυραίων γὰρ παῖδας τριηκοσίους ἀνδρῶν τῶν πρώτων Περίανδρος ὁ Κυψέλου ἐς Σάρδις ἀπέπεμψε παρὰ Ἀλυάττεα ἐπ' ἐκτομῇ· προσσχόντων δὲ ἐς τὴν

αἰτία τῆς Κορινθίων πρὸς τοὺς Σαμίους διαφορᾶς

---

5. - 10 Plutarchus mor. p. 859e. — 14. Pollux VII 31. — 18 sqq. Plutarchus mor. p. 859. — 19. ὕβρισμα - 20 γενόμενον Lexicon Vindob. p. 87

1. τὸν θύλακα *C*, τὸν, *z* ‖ 3. περιεργάσθαι *CP*: περιεργᾶσθαι *d*, περιείργασθαι *AB*, περιεργάσασθαι *B*² marg. *R*, περιειργάσθαι *z* ‖ βοηθεῖν *Rd* ‖ 5. ἐκτείνοντες *ABRz* ‖ 6. αὐτῶν *R* ‖ μεσηνίους *R* ‖ 7. οὐκ οὕτω] οὔκω τι *z* ‖ δεόμενοι *R* ‖ 11. ἔτει *AB* ‖ 12. ζώων *PRdz* ‖ συχνῶν, κεκοσμημένον δὲ om. *R* ‖ 13. θαυμάσαι *d* ‖ 14. ἁρπεδόνη *d* ‖ 15. ἁρπεδόνας *d* ‖ 16. ἕτερος ἐστὶ *P* ‖ λίδω *R* ‖ 19. εἰς *ABR* ‖ 20. γενεῇ] τρίτῃ γενεῇ Panofka ‖ 21. τούτου] τούτου ὑμίων *d* ‖ δὴ *z* ‖ 22. κερκυρέων *B* ‖ 23. κυψέλλου *Rz* ‖ 24. ἀλυάττεα *R* ‖ ἐπὶ *z* ‖ προσσχόντων *ABC*: προσχόντων ‖ ἐς] πρὸς *R*

Σάμον τῶν ἀγόντων τοὺς παῖδας Κορινθίων, πυθόμενοι οἱ Σάμιοι τὸν λόγον, ἐπ' οἷσι ἀγοίατο ἐς Σάρδις, πρῶτα μὲν τοὺς παῖδας ἐδίδαξαν ἱροῦ ἅψασθαι Ἀρτέμιδος· μετὰ δὲ οὐ περιορέοντες ἀπέλκειν τοὺς ἱκέτας ἐκ τοῦ ἱροῦ, σιτίων δὲ τοὺς παῖδας ἐργόντων Κορινθίων, ἐποιήσαντο οἱ Σάμιοι ὁρτήν, τῇ καὶ νῦν ἔτι χρέωνται κατὰ ταὐτά. νυκτὸς γὰρ ἐπιγενομένης, ὅσον χρόνον ἱκέτευον οἱ παῖδες, ἵστασαν χοροὺς παρθένων τε καὶ ἠιθέων, ἱστάντες δὲ τοὺς χοροὺς τρωκτὰ σησάμου τε καὶ μέλιτος ἐποιήσαντο νόμον φέρεσθαι, ἵνα ἁρπάζοντες οἱ τῶν Κερκυραίων παῖδες ἔχοιεν τροφήν. ἐς τοῦτο δὲ τόδε ἐγίνετο, ἐς ὃ οἱ Κορίνθιοι τῶν παίδων οἱ φύλακοι οἴχοντο ἀπολιπόντες· τοὺς δὲ παῖδας ἀπήγαγον ἐς Κέρκυραν οἱ Σάμιοι. εἰ 49
μέν νυν Περιάνδρου τελευτήσαντος τοῖσι Κορινθίοισι φίλα ἦν πρὸς τοὺς Κερκυραίους, οἱ δὲ οὐκ ἂν συνελάβοντο τοῦ στρατεύματος τοῦ ἐπὶ Σάμον ταύτης εἵνεκεν τῆς αἰτίης. νῦν δὲ αἰεὶ ἐπείτε ἔκτισαν τὴν νῆσον εἰσὶ ἀλλήλοισι διάφοροι, ἐόντες ἑωυτοῖσι . . . τούτων ὦν εἵνεκεν ἀπεμνησικάκεον τοῖσι Σαμίοισι οἱ Κορίνθιοι.

Ἀπέπεμπε δὲ ἐς Σάρδις ἐπ' ἐκτομῇ Περίανδρος τῶν 50
πρώτων Κερκυραίων ἐπιλέξας τοὺς παῖδας τιμωρεύμενος· πρότεροι γὰρ οἱ Κερκυραῖοι ἦρξαν ἐς αὐτὸν πρῆγμα ἀτάσθαλον ποιήσαντες. ἐπείτε γὰρ τὴν ἑωυτοῦ γυναῖκα Μέλισσαν Περιάνδρος ἀπέκτεινε, συμφορὴν τοιήνδε οἱ ἄλλην συνέβη πρὸς τῇ γεγονυίῃ γενέσθαι. ἦσάν οἱ ἐκ Μελίσσης δύο παῖ-

περὶ Περιάνδρου τοῦ Κορινθίων τυράννου καὶ τῆς τοῦ παιδὸς Λυκόφρονος πρὸς αὐτὸν διαφορᾶς

---

7. ἵστασαν - 8 ἠιθέων Lexicon Vindob. p. 151

2. οἷσι νάγοιντο *R*, οἷσι ἀγοίατο οἱ παῖδες *z* ‖ σάρδεις *d* ‖ 4. περιορεόντες *Pz*: περιορέοντας *d*, περιορῶντες *AB*, περιρῶντες *R*, περιορέωντες *C* ‖ 5. ειργόντων τῶν κορινθίων *R* ‖ ὀρτὴν *AB* ‖ 6. χρέονται *P* ‖ 7. ἱκετεύοντο *R* ‖ 10. δὲ τόδε *R*: δέ οἱ *ABPz*, δέοι *C*, δὲ τοῦτο *d*[2] ‖ ἐγίνετο] ἐγίνετο ἔτι ἐς τωυτὸν *R*, ἐγένετο *z* ‖ 11. ἐσὸ *AB* ‖ ᾤχοντο *R*, οἴχοιντο *z* ‖ 13. τοῖσι Κορινθίοισι post ἦν *R* ‖ φίλια *R*. Bekker ‖ 14. οἵδε οὐκ ἂν συνεβάλοντο *R* ‖ 15. ἕνεκα *z* ‖ 17. ἐόντες] οἰκήιοι ἐόντες Reiske ‖ ἑωυτοί *R*. ἑωυτοῖσι συγγενέες Valckenaer ‖ ἕνεκεν *R*, εἵνεκα *z* ‖ 19. ἀπέπεμπεν *A*, ἔπεμπε *PRz* ‖ σάρδεις *d* ‖ 20. τιμωρεόμενος *R* ‖ 21. πρότερον *R*, πρῶτοι *d* ‖ 23. τοιῆνδέ οἱ *AB* ‖ 24. γεγονοίηι *A*[1]*B* ‖ μελίττης *R*

δες, ἡλικίην ὁ μὲν ἑπτακαίδεκα ὁ δὲ ὀκτωκαίδεκα ἔτεα γεγο-
νώς. τούτους ὁ μητροπάτωρ Προκλέης ἐὼν Ἐπιδαύρου
τύραννος μεταπεμψάμενος παρ' ἑωυτὸν ἐφιλοφρονέετο, ὡς
οἰκὸς ἦν θυγατρὸς ἐόντας τῆς ἑωυτοῦ παῖδας. ἐπείτε δέ
σφεας ἀπεπέμπετο, εἶπε προπέμπων αὐτούς "ἆρα ἴστε, ὦ
παῖδες, ὃς ὑμέων τὴν μητέρα ἀπέκτεινε;" τοῦτο τὸ ἔπος ὁ
μὲν πρεσβύτερος αὐτῶν ἐν οὐδενὶ λόγῳ ἐποιήσατο· ὁ δὲ
νεώτερος, τῷ οὔνομα ἦν Λυκόφρων, ἤλγησε ἀκούσας οὕτω
ὥστε ἀπικόμενος ἐς τὴν Κόρινθον ἅτε φονέα τῆς μητρὸς τὸν
πατέρα οὔτε προσεῖπε, διαλεγομένῳ τε οὔτε προσδιελέγετο
ἱστορέοντί τε λόγον οὐδένα ἐδίδου. τέλος δέ μιν πέρι θυμῷ
51 ἐχόμενος ὁ Περίανδρος ἐξελαύνει ἐκ τῶν οἰκίων. ἐξελάσας
δὲ τοῦτον ἱστόρεε τὸν πρεσβύτερον τά σφι ὁ μητροπάτωρ
διελέχθη. ὁ δέ οἱ ἀπηγέετο ὥς σφεας φιλοφρόνως ἐδέξατο·
ἐκείνου δὲ τοῦ ἔπεος τό σφι ὁ Προκλέης ἀποστέλλων εἶπε,
ἅτε οὐ νόῳ λαβών, οὐκ ἐμέμνητο. Περίανδρος δὲ οὐδεμίαν
μηχανὴν ἔφη εἶναι μὴ οὔ σφι ἐκεῖνον ὑποθέσθαι τι, ἐλιπάρεέ
τε ἱστορέων· ὁ δὲ ἀναμνησθεὶς εἶπε καὶ τοῦτο. Περίανδρος
δὲ νόῳ λαβὼν [καὶ τοῦτο] καὶ μαλακὸν ἐνδιδόναι βουλόμενος
οὐδέν, τῇ ὁ ἐξελασθεὶς ὑπ' αὐτοῦ παῖς δίαιταν ἐποιέετο, ἐς
τούτους πέμπων ἄγγελον ἀπηγόρευε μή μιν δέκεσθαι οἰκίοισι.
ὁ δὲ ὅκως ἀπελαυνόμενος ἔλθοι ἐς ἄλλην οἰκίην, ἀπηλαύνετ'
ἂν καὶ ἀπὸ ταύτης, ἀπειλέοντός τε τοῦ Περιάνδρου τοῖσι
δεξαμένοισι καὶ ἐξέργειν κελεύοντος· ἀπελαυνόμενος δ' ἂν
ἤιε ἐπ' ἑτέρην τῶν ἑταίρων· οἱ δὲ ἅτε Περιάνδρου ἐόντα
52 παῖδα καίπερ δειμαίνοντες ὅμως ἐδέκοντο. τέλος δὲ ὁ Πε-

---

1. ἔτεα om. *R* ‖ 2. πατροκλῆς *d*, προκλῆς ceteri ‖ 3. ἐφιλοφρόνεέ τε *Rz* ‖ 4. εἰκὸς *L* ‖ ἐπεὶ δέ *R* ‖ 5. ἀπέπεμπε· τὸ *R* ‖ 8. οὕτως *ABd* ‖ 9. εἰς *R* ‖ 10. προεῖπε *R* ‖ διαλεγομένου *R* ‖ οὔτε] οὐ *z*. οὔ τι Reiz ‖ 11. πέρι θυμῷ Schaefer: περιθυμῶι *AB*, περὶ θυμῶι *CP*, περὶ θυμῷ *dz*, περιθύμως *R*. coniectabam περὶ θυμῷ ἀχθόμενος ‖ 12. ὁ] οἱ *R* ‖ ἐκ] οἱ ἐκ *R* ‖ 13. πρεσβύτατον *ABC* ‖ 14. ἀπηγέατο *d*, ἀπηγήσατο *C* ‖ ὡς] ὅτι *d* ‖ 15. πατροκλῆς *d*, προκλῆς ceteri ‖ 16. οὐδεμίην *z* ‖ 17. ὑποθέσθαί τε ἐλιπάρει *R* ‖ 19. καὶ τοῦτο seiunxit Krueger ‖ 20. ᾗ *L* ‖ ἐξελαθεὶς *z* ‖ ὑπὸ ἑωυτοῦ *R* ‖ εἰς *R* ‖ 21. οἰκίῃσι *d* ‖ 22. ἔλθοι – 24 ἀπελαυνόμενος om. *R* ‖ ἀπελαύνετ' *sz* ‖ 24. ἐξείργειν *ABsz* ‖ δ' ἂν *Rz*: ἂν ‖ 25. τῶν ἑτέρων *R* ‖ 26. ἐκδέκοντο *C*

ρίανδρος κήρυγμα ἐποιήσατο, ὃς ἂν ἢ οἰκίοισι ὑποδέξηταί μιν ἢ προσδιαλεχθῇ, ἱρὴν ζημίην τοῦτον τῷ Ἀπόλλωνι ὀφείλειν, ὅσην δὴ εἴπας. πρὸς ὦν δὴ τοῦτο τὸ κήρυγμα οὔτε τίς οἱ διαλέγεσθαι οὔτε οἰκίοισι δέκεσθαι ἤθελε· πρὸς δὲ οὐδὲ αὐτὸς ἐκεῖνος ἐδικαίου πειρᾶσθαι ἀπειρημένου, ἀλλὰ διακαρτερέων ἐν τῇσι στοῇσι ἐκαλινδέετο. τετάρτῃ δὲ ἡμέρῃ ἰδών μιν ὁ Περίανδρος ἀλουσίῃσί τε καὶ ἀσιτίῃσι συμπεπτωκότα οἴκτειρε· ὑπεὶς δὲ τῆς ὀργῆς ἤιε ἆσσον καὶ ἔλεγε "ὦ παῖ, κότερα τούτων αἱρετώτερά ἐστι, ταῦτα τὰ νῦν ἔχων πρήσσεις, ἢ τὴν τυραννίδα καὶ τὰ ἀγαθὰ τὰ νῦν ἐγὼ ἔχω, ταῦτα ἐόντα τῷ πατρὶ ἐπιτήδεον παραλαμβάνειν; ὃς ἐὼν ἐμός τε παῖς καὶ Κορίνθου τῆς εὐδαίμονος βασιλεὺς ἀλήτην βίον εἵλευ, ἀντιστατέων τε καὶ ὀργῇ χρεώμενος ἐς τόν σε ἥκιστα ἐχρῆν. εἰ γάρ τις συμφορὴ ἐν αὐτοῖσι ἐγεγόνεε, ἐξ ἧς ὑποψίην ἐς ἐμὲ ἔχεις, ἐμοί τε αὕτη γέγονε καὶ ἐγὼ αὐτῆς τὸ πλεῦν μέτοχός εἰμι, ὅσῳ αὐτός σφεα ἐξεργασάμην. σὺ δὲ μαθὼν ὅσῳ φθονέεσθαι κρέσσον ἐστὶ ἢ οἰκτείρεσθαι, ἅμα τε ὁκοῖόν τι ἐς τοὺς τοκέας καὶ ἐς τοὺς κρέσσονας τεθυμῶσθαι, ἄπιθι ἐς τὰ οἰκία." Περίανδρος μὲν τούτοισι αὐτὸν κατελάμβανε· ὁ δὲ ἄλλο μὲν οὐδὲν ἀμείβεται τὸν πατέρα, ἔφη δέ μιν ἱρὴν ζημίην ὀφείλειν τῷ θεῷ ἑωυτῷ ἐς λόγους ἀπικόμενον. μαθὼν δὲ ὁ Περίανδρος ὡς ἄπορόν τι τὸ κακὸν εἴη τοῦ παιδὸς καὶ ἀνίκητον, ἐξ ὀφθαλμῶν μιν ἀποπέμπεται στείλας πλοῖον ἐς Κέρκυραν· ἐπεκράτεε γὰρ καὶ ταύτης. ἀποστείλας δὲ τοῦτον ὁ Περίανδρος ἐστρατεύετο ἐπὶ τὸν πενθερὸν Προκλέα ὡς τῶν παρεόντων οἱ πρηγμάτων ἐόντα

---

16. σὺ - 19 οἰκία Stobaeus floril. III 69

1. κήρυκα *C* ‖ ἢ om. *qz* ‖ οἰκίῃσι *d* ‖ δέξηταί *R* ‖ 4. οἰκίῃσι *d* ‖ 5. οὐδ' *R* ‖ ἐδικαίου *ABR*: ἐδικαίευ ‖ 6. στολῆισι *C*, στοιῆσιν *R* ‖ δὲ *Rd*: δ' ‖ 9. τούτων αἱρετώτερα om. *B*[1] ‖ 10. τὰ ἀγαθὰ *z*: ἀγαθὰ ‖ 11. ἐπιτήδειον *d* ‖ 13. χρεόμενος *P* ‖ εἰς *AB* ‖ 14 ἐγγεγόνεεν *R*. γέγονε? Krueger. fortasse ἐγγέγονε ‖ 16. σφέα Bredovius: τε *d*, σφε ceteri ‖ ἐξειργασάμην *AB*[1], ἐξειργάσμην *d* ‖ 17. ὅσον Stob. ‖ κρεῖσσόν *Cd*. Stob. ‖ 18. τι om. Stob. ‖ τοκῆας *z* ‖ 19. οἰκεῖα Stob. ‖ 21. ἱερὴν *d* ‖ 23. μιν om. *d* ‖ 24. πλοίῳ *sz* ‖ 26. πατροκλέα *d* ‖ ὡς - p. 290, 1 προκλέα om. *d* ‖ οἱ om. *R*

αἰτιώτατον, καὶ εἷλε μὲν τὴν Ἐπίδαυρον, εἷλε δὲ αὐτὸν Προκλέα καὶ ἐζώγρησε.
53 ἐπεὶ δὲ τοῦ χρόνου προβαίνοντος ὅ τε Περίανδρος παρηβήκεε καὶ συνεγινώσκετο ἑωυτῷ οὐκέτι εἶναι δυνατὸς τὰ πρήγματα ἐπορᾶν τε καὶ διέπειν, πέμψας ἐς τὴν Κέρκυραν ἀπεκάλεε τὸν Λυκόφρονα ἐπὶ τὴν τυραννίδα· ἐν γὰρ δὴ τῷ πρεσβυτέρῳ τῶν παίδων οὔκων ἐνώρα, ἀλλά οἱ κατεφαίνετο εἶναι νωθέστερος. ὁ δὲ Λυκόφρων οὐδὲ ἀνακρίσιος ἠξίωσε τὸν φέροντα τὴν ἀγγελίην. Περίανδρος δὲ περιεχόμενος τοῦ νεηνίεω δεύτερα ἀπέστειλε ἐπ᾽ αὐτὸν τὴν ἀδελφεήν, ἑωυτοῦ δὲ θυγατέρα, δοκέων μιν μάλιστα ταύτῃ ἂν πείθεσθαι. ἀπικομένης δὲ ταύτης καὶ λεγούσης "ὦ παῖ, βούλεαι τήν τε τυραννίδα ἐς ἄλλους πεσεῖν καὶ τὸν οἶκον τοῦ πατρὸς διαφορηθέντα μᾶλλον ἢ αὐτός σφεα ἀπελθὼν ἔχειν; ἄπιθι ἐς τὰ οἰκία, παῦσαι σεωυτὸν ζημιῶν. φιλοτιμίη κτῆμα σκαιόν. μὴ τῷ κακῷ τὸ κακὸν ἰῶ. πολλοὶ τῶν δικαίων τὰ ἐπιεικέστερα προτιθεῖσι, πολλοὶ δὲ ἤδη τὰ μητρώια διζήμενοι τὰ πατρώια ἀπέβαλον. τυραννὶς χρῆμα σφαλερόν, πολλοὶ δὲ αὐτῆς ἐρασταί εἰσι, ὁ δὲ γέρων τε ἤδη καὶ παρηβηκώς· μὴ δῷς τὰ σεωυτοῦ ἀγαθὰ ἄλλοισι." ἡ μὲν δὴ τὰ ἐπαγωγότατα διδαχθεῖσα ὑπὸ τοῦ πατρὸς ἔλεγε πρὸς αὐτόν· ὁ δὲ ὑποκρινάμενος ἔφη οὐδαμὰ ἥξειν ἐς Κόρινθον, ἔστ᾽ ἂν πυνθάνηται περιεόντα τὸν πατέρα. ἀπαγγειλάσης δὲ ταύτης ταῦτα, τὸ τρίτον Περίανδρος κήρυκα πέμπει βουλόμενος αὐτὸς μὲν ἐς Κέρκυραν ἥκειν, ἐκεῖνον δὲ ἐκέλευε ἐς Κόρινθον ἀπικόμενον διάδοχον γίνεσθαι τῆς τυραννίδος. καταινέσαντος δὲ ἐπὶ

---

14. φιλοτιμίη - 17 ἀπέβαλον Stobaeus floril. XXIII 12. — 17. τυραννὶς - 18 εἰσι ibidem XLIX 28

2. παραβαίνοντος *C* ‖ 3. δυνατὸς εἶναι *R* ‖ 4. πέμπων εἰς *R* ‖ 5. ἐπεκάλεε *z* ‖ 6. οὐκ ἐνώρα *R*, οὐκ ἐνεώρα *Pz*, οὔκων ἑώρα reliqui ‖ 7. ἀποκρίσιος *R* ‖ 9. ἀπέστελλεν *R*, ἐπέστειλεν *d* ‖ αὐτῷ *d* ‖ 10. ἑαυτοῦ *d* ‖ ταύτης *R* ‖ 12. τήν τε om. *R* ‖ πεσέειν *L* ‖ 13. σφεα Valckenaer: σφε ‖ 14. ἄπελθε *R* ‖ ἡ φιλοτιμίη *R*, φιλοθυμίη *A*², ἡ φιλοτιμία Stob. ‖ 15. σκεόν *R* ‖ καὶ μὴ *A* ‖ τὸ κακὸν τῷ κακῷ *z* ‖ 16. προτιθέασι Stob. ‖ μητρώια *ACP*, μητρῷα *z*. Stob., μητρῶα *BRd* ‖ 17. πατρώια *ABCP*, πατρῷα *z*. Stob., πατρῶα *Rd* ‖ ἀπέβαλον *Rqz*. Stob.: μετέβαλον ‖ 18. ἤδη] δὴ *R* ‖ μηδεὶς τὰ ἑωυτοῦ *R* ‖ 20. ὑποκρινόμενος *Pz* ‖ 21. οὐδαμᾶ *Rdz* ‖ 23. ὁ Περίανδρος *z* ‖ 24. ἐκέλευσεν *d* ‖ 25. γενέσθαι *sz* ‖ δὲ *Rd*: δ᾽

τούτοισι τοῦ παιδός, ὁ μὲν Περίανδρος ἐστέλλετο ἐς τὴν
Κέρκυραν, ὁ δὲ παῖς οἱ ἐς τὴν Κόρινθον. μαθόντες δὲ οἱ
Κερκυραῖοι τούτων ἕκαστα, ἵνα μή σφι Περίανδρος ἐς τὴν
χώρην ἀπίκηται, κτείνουσι τὸν νεηνίσκον. ἀντὶ τούτων μὲν
Περίανδρος Κερκυραίους ἐτιμωρέετο.

Λακεδαιμόνιοι δὲ στόλῳ μεγάλῳ ὡς ἀπίκοντο, ἐπολιόρ- 54
κεον Σάμον· προσβαλόντες δὲ πρὸς τὸ τεῖχος τοῦ μὲν πρὸς
θαλάσσῃ ἑστεῶτος πύργου κατὰ τὸ προάστειον τῆς πόλιος
ἐπέβησαν, μετὰ δὲ αὐτοῦ βοηθήσαντος Πολυκράτεος χειρὶ
πολλῇ ἀπηλάσθησαν. κατὰ δὲ τὸν ἐπάνω πύργον τὸν ἐπὶ
τῆς ῥάχιος τοῦ ὄρεος ἐπεόντα ἐπεξῆλθον οἵ τε ἐπίκουροι καὶ
αὐτῶν Σαμίων συχνοί, δεξάμενοι δὲ τοὺς Λακεδαιμονίους ἐπ'
ὀλίγον χρόνον ἔφευγον ὀπίσω· οἱ δὲ ἐπισπόμενοι ἔκτεινον.
εἰ μέν νυν οἱ παρεόντες Λακεδαιμονίων ὅμοιοι ἐγένοντο ταύ- 55
την τὴν ἡμέρην Ἀρχίῃ τε καὶ Λυκώπῃ, αἱρέθη ἂν Σάμος·
Ἀρχίης γὰρ καὶ Λυκώπης μοῦνοι συνεσπεσόντες φεύγουσι
ἐς τὸ τεῖχος τοῖσι Σαμίοισι καὶ ἀποκληισθέντες τῆς ὀπίσω
ὁδοῦ ἀπέθανον ἐν τῇ πόλι τῇ Σαμίων. τρίτῳ δὲ ἀπ' Ἀρχίεω
τούτου γεγονότι ἄλλῳ Ἀρχίῃ τῷ Σαμίου τοῦ Ἀρχίεω αὐτὸς
ἐν Πιτάνῃ συνεγενόμην (δήμου γὰρ τούτου ἦν), ὃς ξείνων
πάντων μάλιστα ἐτίμα τε Σαμίους καί οἱ τῷ πατρὶ ἔφη
Σάμιον τοὔνομα τεθῆναι, ὅτι οἱ ὁ πατὴρ Ἀρχίης ἐν Σάμῳ
ἀριστεύσας ἐτελεύτησε. τιμᾶν δὲ Σαμίους ἔφη, διότι τα-
φῆναί οἱ τὸν πάππον δημοσίῃ ὑπὸ Σαμίων. Λακεδαιμόνιοι 56

τειχομαχία Λακεδαιμονίων πρὸς Πολυκράτην καὶ Σαμίους περὶ τῆς Ἀρχίου καὶ Λυκώπου ἀριστείας

10. κατὰ - 12 συχνοί Lexicon Vindob. p. 63. — 20. - 24 Plutarchus mor. p. 860

2. οἱ om. *R* ‖ 8. ἑστῶτος *AB* ‖ πόλεος *R* ‖ 9. ἐπέβησαν *R*: ὑπερέβησαν ‖ 10. ἀπηλάθησαν *qz* ‖ τὸν] ἀετῶν Lex. Vind. ‖ πύργον τὸν] πύργων Lex. Vind. ‖ 11. οὔρεος *CPdz* ‖ 13. ἐπισπώμενοι *dz* ‖ ἐκτείνοντες *R* ‖ 14. εἰ - παρεόντες om. *R* ‖ ὁμοῖοι *CPd* ‖ ἐγίνοντο *CPR* ‖ 15. αἱρέθησαν σαμίοις *R* ‖ 16. συνεισπεσόντες *AB*, συμπεσόντες *R* ‖ 17. τοῖς *d* ‖ ἀποκλεισθέντες *d* ‖ 18. πόλει *ABCd* ‖ 20. ἐπιτάνηι *B*[1], ἐν πιστάνη *d* ‖ τούτου] ταὐτοῦ τοῦ *R* ‖ 21. ἐτιμᾶτο σαμίους *ABCd* ‖ 22. οὔνομα *R* ‖ ὁ om. *z* ‖ 23. ὑπὸ σαμίων εὖ *Pz*, εὖ ὑπὸ σαμίων *R*

δέ, ὥς σφι τεσσεράκοντα ἐγεγόνεσαν ἡμέραι πολιορκέουσι Σάμον ἐς τὸ πρόσω τε οὐδὲν προεκόπτετο τῶν πρηγμάτων, ἀπαλλάσσοντο ἐς Πελοπόννησον. ὡς δὲ ὁ ματαιότερος λόγος ὥρμηται, [λέγεται] Πολυκράτεα ἐπιχώριον νόμισμα κόψαντα πολλὸν μολύβδου καταχρυσώσαντα δοῦναί σφι. τοὺς δὲ δεξαμένους οὕτω δὴ ἀπαλλάσσεσθαι. ταύτην πρώτην στρατιὴν ἐς τὴν Ἀσίην Λακεδαιμόνιοι Δωριέες ἐποιήσαντο.

57 Οἱ δ᾽ ἐπὶ τὸν Πολυκράτεα στρατευσάμενοι Σαμίων, ἐπεὶ οἱ Λακεδαιμόνιοι αὐτοὺς ἀπολείπειν ἔμελλον, καὶ αὐτοὶ ἀπέπλεον ἐς Σίφνον. χρημάτων γὰρ ἐδέοντο, τὰ δὲ τῶν Σιφνίων πρήγματα ἤκμαζε τοῦτον τὸν χρόνον, καὶ νησιωτέων μάλιστα ἐπλούτεον, ἅτε ἐόντων αὐτοῖσι ἐν τῇ νήσῳ χρυσέων καὶ ἀργυρέων μετάλλων, οὕτω ὥστε ἀπὸ τῆς δεκάτης τῶν γινομένων αὐτόθεν χρημάτων θησαυρὸς ἐν Δελφοῖσι ἀνακέεται ὅμοια τοῖσι πλουσιωτάτοισι· αὐτοὶ δὲ τὰ γινόμενα τῷ ἐνιαυτῷ ἑκάστῳ χρήματα διενέμοντο. ὅτε ὦν ἐποιεῦντο τὸν θησαυρόν, ἐχρέωντο τῷ χρηστηρίῳ εἰ αὐτοῖσι τὰ παρεόντα ἀγαθὰ οἷά τε ἐστὶ πολλὸν χρόνον παραμένειν· ἡ δὲ Πυθίη ἔχρησέ σφι τάδε.

ἀλλ᾽ ὅταν ἐν Σίφνῳ πρυτανήια λευκὰ γένηται
λεύκοφρύς τ᾽ ἀγορή, τότε δὴ δεῖ φράδμονος ἀνδρὸς
φράσσασθαι ξύλινόν τε λόχον κήρυκά τ᾽ ἐρυθρόν.

τοῖσι δὲ Σιφνίοισι ἦν τότε ἡ ἀγορὴ καὶ τὸ πρυτανήιον Παρίῳ
58 λίθῳ ἠσκημένα. τοῦτον τὸν χρησμὸν οὐκ οἷοί τε ἦσαν γνῶναι οὔτε τότε εὐθὺς οὔτε τῶν Σαμίων ἀπιγμένων. ἐπείτε γὰρ τάχιστα πρὸς τὴν Σίφνον προσῖσχον οἱ Σάμιοι, ἔπεμπον τῶν νεῶν μίαν πρέσβεας ἄγουσαν ἐς τὴν πόλιν. τὸ δὲ πα-

---

1. τεσσαράκοντα *CRd* || 3. ἐς τὴν *z* || πελοπόνησον *Apr.R* || 4. ὅρμηται *AB* || λέγεται seclusi. λέγεσθαι Wesseling || 5. μολίβδου *Rdz* || 6. δὴ om. *R* || πρώτην *PRz*: τὴν || στρατηΐην Wesseling || 7. λακεδαιμονίοισι *PRz* || 8. ἐπεὶ] ἐπὶ *A* || 9. ἀπολιπεῖν *AB¹Cd* || 14. ἀνάκειται *ABR* || 15. ὁμοῖα *CPd* || 16. τῷ] ἐν τῶ *R* || οὖν *ABCd* || ἐποιέοντο *R* || 17. ἐχρέοντο *P* || 18. τε ἐστὶ *Pz*: τέ ἐστι || πολλὺν *R*, πολὺν ceteri || 19. σφι om. *R* || 22. φράσασθαι *CRd* || 23. τοῖσί τε *ABCd* || τότε ἦν *PRz* || ἡ om. *d* || 24. τὸν] γὰρ τὸν *R* || οἵ τε *R* || 25. ἰθὺς *R* || 26. προσίχον *R*, προσέσχον *z*, προσῖσχον reliqui || 27. τὴν om. *Ppr*.

λαιὸν ἅπασαι αἱ νέες ἦσαν μιλτηλιφέες, καὶ ἦν τοῦτο τὸ ἡ
Πυθίη προηγόρευε τοῖσι Σιφνίοισι, φυλάξασθαι τὸν ξύλινον
λόχον κελεύουσα καὶ κήρυκα ἐρυθρόν. ἀπικόμενοι ὦν οἱ
ἄγγελοι ἐδέοντο τῶν Σιφνίων δέκα τάλαντά σφι χρῆσαι· οὐ
φασκόντων δὲ χρήσειν τῶν Σιφνίων αὐτοῖσι, οἱ Σάμιοι τοὺς
χώρους αὐτῶν ἐπόρθεον. πυθόμενοι δὲ εὐθὺς ἧκον οἱ Σίφνιοι
βοηθέοντες καὶ συμβαλόντες αὐτοῖσι ἑσσώθησαν, καὶ αὐτῶν
πολλοὶ ἀπεκληίσθησαν τοῦ ἄστεος ὑπὸ τῶν Σαμίων· καὶ
αὐτοὺς μετὰ ταῦτα ἑκατὸν τάλαντα ἔπρηξαν. παρὰ δὲ Ἑρ- 59
μιονέων νῆσον ἀντὶ χρημάτων παρέλαβον Ὑδρέην τὴν ἐπὶ
Πελοποννήσῳ καὶ αὐτὴν Τροιζηνίοισι παρακατέθεντο· αὐτοὶ
δὲ Κυδωνίην τὴν ἐν Κρήτῃ ἔκτισαν, οὐκ ἐπὶ τοῦτο πλέοντες
ἀλλὰ Ζακυνθίους ἐξελῶντες ἐκ τῆς νήσου. ἔμειναν δ' ἐν
ταύτῃ καὶ εὐδαιμόνησαν ἐπ' ἔτεα πέντε, ὥστε τὰ ἱρὰ τὰ ἐν
Κυδωνίῃ ἐόντα νῦν οὗτοί εἰσι οἱ ποιήσαντες [καὶ τὸν τῆς
Δικτύνης νηόν]. ἕκτῳ δὲ ἔτεϊ Αἰγινῆται αὐτοὺς ναυμαχίῃ
νικήσαντες ἠνδραποδίσαντο μετὰ Κρητῶν, καὶ τῶν νεῶν
καπρίους ἐχουσέων τὰς πρῴρας ἠκρωτηρίασαν καὶ ἀνέθεσαν
ἐς τὸ ἱρὸν τῆς Ἀθηναίης ἐν Αἰγίνῃ. ταῦτα δὲ ἐποίησαν
ἔγκοτον ἔχοντες Σαμίοισι Αἰγινῆται· πρότεροι γὰρ Σάμιοι
ἐπ' Ἀμφικράτεος βασιλεύοντος ἐν Σάμῳ στρατευσάμενοι ἐπ'
Αἴγιναν μεγάλα κακὰ ἐποίησαν Αἰγινήτας καὶ ἔπαθον ὑπ'
ἐκείνων. ἡ μὲν αἰτίη αὕτη. ἐμήκυνα δὲ περὶ Σαμίων μᾶλλον, 60
ὅτι σφι τρία ἐστὶ μέγιστα ἁπάντων Ἑλλήνων ἐξεργασμένα,

περὶ τῶν ἐν Σάμῳ παραδόξων ἔργων

23. - p. 294, 8 Eustathius Dion. 533

1. νέες *R*: νῆες || ἦσαν om. *R* || μιλτηλιφέες *Pcorr.*: μιλτηλεφέες *ABdz*, μιλτηληφέες *C*, μιλτηλοιηφέες *R* || 2. φυλάσσεσθαι *R* || 3. δ' ὦν *z* || οἱ ἄγγελοι *Rdz*: ἄγγελοι || 4. σφι[σι] *A* || 6. δὲ *R*: δ' || ἰθὺς *R* || 7. ἐσώθησαν *Rd* || 8. ἀπεκλήισθησαν *AB*, ἀπεκλείσθησαν *C* || 9. δ' *R* || 10. ὑδρέαν *R*, θυρέαν *ABC*, θυρέην *Pdz* || ἐπὶ *R*: ἐν || 11. πελοπο[ν]νήσωι *A*, πελοπονήσω *R* || 12. τούτω *R* || 13. ἐξελῶντες *B*[2]: ἐξελοῦντες || 15. καὶ - 16 νηόν separavi: om. *s* || 16. δικτύννης *A* || ἔτει *AB* || ναυμαχίη *B* || 17. νεῶν *R*: νηῶν || 18. κυπρίους *R* || τὰς om. *Ppr.R* || 19. εἰς *R* || δ' *AB* || 20. πρότερον *Rz* || μὲν γὰρ *z* || 22. αἰγίνην *R* || 24. ἔστι *R* || ἐξεργασμένοι *d*

ὄρεός τε ὑψηλοῦ ἐς πεντήκοντα καὶ ἑκατὸν ὀργυιάς, τούτου ὄρυγμα κάτωθεν ἀρξάμενον, ἀμφίστομον. τὸ μὲν μῆκος τοῦ ὀρύγματος ἑπτὰ στάδιοί εἰσι, τὸ δὲ ὕψος καὶ εὖρος ὀκτὼ ἑκάτερον πόδες. διὰ παντὸς δὲ αὐτοῦ ἄλλο ὄρυγμα εἰκοσίπηχυ βάθος ὀρώρυκται, τρίπουν δὲ τὸ εὖρος, δι᾽ οὗ τὸ ὕδωρ ὀχετευόμενον διὰ τῶν σωλήνων παραγίνεται ἐς τὴν πόλιν ἀγόμενον ἀπὸ μεγάλης πηγῆς. ἀρχιτέκτων δὲ τοῦ ὀρύγματος τούτου ἐγένετο Μεγαρεὺς Εὐπαλῖνος Ναυστρόφου. τοῦτο μὲν δὴ ἓν τῶν τριῶν ἐστι, δεύτερον δὲ περὶ λιμένα χῶμα ἐν θαλάσσῃ, βάθος καὶ εἴκοσι ὀργυιέων· μῆκος δὲ τοῦ χώματος μέζον δύο σταδίων. τρίτον δέ σφι ἐξέργασται νηὸς μέγιστος πάντων νηῶν τῶν ἡμεῖς ἴδμεν· τοῦ ἀρχιτέκτων πρῶτος ἐγένετο Ῥοῖκος Φιλέω ἐπιχώριος. τούτων εἵνεκεν μᾶλλόν τι περὶ Σαμίων ἐμήκυνα.

61 Καμβύσῃ δὲ τῷ Κύρου χρονίζοντι περὶ Αἴγυπτον καὶ παραφρονήσαντι ἐπανιστέαται ἄνδρες Μάγοι δύο ἀδελφεοί, τῶν τὸν ἕτερον καταλελοίπεε τῶν οἰκίων μελεδωνὸν ὁ Καμβύσης. οὗτος δὴ ὦν οἱ ἐπανέστη μαθών τε τὸν Σμέρδιος θάνατον ὡς κρύπτοιτο γενόμενος, καὶ ὡς ὀλίγοι εἴησαν οἱ ἐπιστάμενοι αὐτὸν Περσέων, οἱ δὲ πολλοὶ περιεόντα μιν εἰδείησαν. πρὸς ταῦτα βουλεύσας τάδε ἐπεχείρησε τοῖσι βασιληίοισι. ἦν οἱ ἀδελφεός, τὸν εἶπά οἱ συνεπαναστῆναι, οἰκὼς μάλιστα τὸ εἶδος Σμέρδι τῷ Κύρου, τὸν ὁ Καμβύσης ἐόντα ἑωυτοῦ ἀδελφεὸν ἀπέκτεινε. ἦν τε δὴ ὅμοιος εἶδος τῷ

περὶ τῆς τῶν Μάγων κατὰ Καμβύσου ἐπαναστάσεως

12 sq. Eustathius Dion. 533. — 15 sqq. (Zonaras annal. IV 1 sq.)

1. οὔρεός *CPdz* ‖ ὑψηλοῦ] ὄρυγμα ὑψηλοῦ *d*[2] in ras. bz ‖ τούτου *PR* (Eust.): τοῦτο τὸ ‖ ἀμφιστόμιον *R* ‖ 2. μὲν om. *R* ‖ 3. στάδιοι εἰσὶ *P*, σταδίοισι sine εἰσι *CR* ‖ ἑκάτερον *sz*: ἑκάτεροι ‖ 5. ὤρυκται *ABR* ‖ τρίπλουν *R* ‖ τὸ om. *R*. Eust. ‖ μετοχετευόμενον z ‖ 6. τῶν om. *R*. Eust. ‖ 7. τοῦ] τούτου τοῦ *R* ‖ 9. ἐν] ἂν *R* ‖ 10. καὶ Eltz: κατὰ ‖ 11. ἐξείργασται *R* ‖ μεγίστη πάντων *d*[2] in ras., μεγίστη πασῶν b ‖ 13. φίλεω *L* ‖ εἵνεκε z ‖ 16. ἐπαναστεαίατο z ‖ 17. καταλέλοιπε *PR* ‖ οἰκηίων z ‖ 18. οἱ om. *d* ‖ τε om. *R* ‖ 19. εἴησαν *R*: τε ἦσαν ‖ 20. αὐτῶν *Ppr*. ‖ 21. εἰδοίησαν z ‖ 22. βασιληίσι z ‖ οἷ *d* ‖ οἱ om. *R* ‖ 23. οἰκὸς *d*, οἰκότα z ‖ 24. ὁμοῖος *CPd* ‖ εἶδος om. *R*

Σμέρδι καὶ δὴ καὶ οὔνομα τὠυτὸ εἶχε Σμέρδιν. τοῦτον τὸν ἄνδρα ἀναγνώσας ὁ Μάγος Πατιζείθης ὥς οἱ αὐτὸς πάντα διαπρήξει, εἶσε ἄγων ἐς τὸν βασιλήιον θρόνον. ποιήσας δὲ τοῦτο κήρυκας τῇ τε ἄλλῃ διέπεμπε καὶ δὴ καὶ ἐς Αἴγυπτον προερέοντα τῷ στρατῷ ὡς Σμέρδιος τοῦ Κύρου ἀκουστέα εἴη τοῦ λοιποῦ ἀλλ' οὐ Καμβύσεω. οἵ τε δὴ ὦν ἄλλοι κήρυκες 62
προηγόρευον ταῦτα καὶ δὴ καὶ ὁ ἐπ' Αἴγυπτον ταχθείς (εὕρισκε γὰρ Καμβύσεα καὶ τὸν στρατὸν ἐόντα τῆς Συρίης ἐν Ἀγβατάνοισι) προηγόρευε στὰς ἐς μέσον τὰ ἐντεταλμένα ἐκ τοῦ Μάγου. Καμβύσης δὲ ἀκούσας ταῦτα ἐκ τοῦ κήρυκος καὶ ἐλπίσας μιν λέγειν ἀληθέα αὐτός τε προδεδόσθαι ἐκ Πρηξάσπεος (πεμφθέντα γὰρ αὐτὸν ὡς ἀποκτενέοντα Σμέρδιν οὐ ποιῆσαι ταῦτα), βλέψας ἐς τὸν Πρηξάσπεα εἶπε "Πρήξασπες, οὕτω μοι διεπρήξαο τό τοι προσέθηκα πρῆγμα;" ὁ δὲ εἶπε "ὦ δέσποτα, οὐκ ἔστι ταῦτα ἀληθέα, ὅκως κοτὲ σοὶ Σμέρδις ἀδελφεὸς ὁ σὸς ἐπανέστηκε, οὐδὲ ὅκως τι ἐξ ἐκείνου τοῦ ἀνδρὸς νεῖκός τοι ἔσται ἢ μέγα ἢ σμικρόν· ἐγὼ γὰρ αὐτός, ποιήσας τὰ σύ με ἐκέλευες, ἔθαψά μιν χερσὶ τῇσι ἐμεωυτοῦ. εἰ μέν νυν οἱ τεθνεῶτες ἀνεστᾶσι, προσδέκεό τοι καὶ Ἀστυάγεα τὸν Μῆδον ἐπαναστήσεσθαι· εἰ δ' ἔστι ὥσπερ πρὸ τοῦ, οὐ μή τί τοι ἔκ γε ἐκείνου νεώτερον ἀναβλάστῃ. νῦν ὦν μοι δοκέει μεταδιώξαντας τὸν κήρυκα ἐξετάζειν εἰρωτεῦντας παρ' ὅτευ ἥκων προαγορεύει ἡμῖν Σμέρδιος βασιλέος

---

9. Stephanus Byz. v. Ἀγβάτανα. — 10 sqq. Schol. Aristid. p. 682 Dind. — 22. Bekkeri Anecd. p. 96

1. σμέρδεϊ *R* ‖ οὔνομα ὁ μάγος *d* ‖ ταυτὸ *A*, τωυτὸν *R* ‖ σμέρδι *PR*, σμέρδις *z* ‖ 3. ἧσε ἄγων *C*, εἰσάγων *R* ‖ εἰς *R* ‖ τὸν om. *z* ‖ 4. διέπεμπε τῇ τε ἄλλῃ *z* ‖ 5. προελθόντες *R* ‖ 9. ἀγβατάνοισι *R*. Steph.: ἀκβατάνοισι *d*, ἐκβατάνοισι reliqui ‖ ἐν μέσοισι *z* ‖ 10. Καμβόσης δὲ om. *R* ‖ ταῦτα ἀκούσας *R* ‖ 11. προδίδοσθαι *R* ‖ 12. ἀποκτεινέοντα *d* ‖ 13. εἰς τὸν πρηξάσπεα· πρήξασπες, ἔφη *R* ‖ 14. οὕτω *PR*: οὗτοι *AB*, οὗτοι *C*, οὔτι *dz* ‖ διεπράξαο *AB*, διέπρηξας *R* ‖ 15. ταῦτ' *AB* ‖ κοτέ σοι *L* ‖ 16. ὁ om. *ABCd* ‖ οὕκως *d* ‖ τι] ὅτι *C*, τοι *z* ‖ 17. τοι] τι *Pdz* ‖ 18. ἐκέλευσας *R* ‖ 19. ἀνεστέᾶσι *L* ‖ 20. δὲ ἔστιν *d*, δὲ ἔστι *z* ‖ ὥσπερ] ὡς *d* ‖ 21. προτοῦ *ABP* ‖ νεώτερον *R*: νεώτερον κακὸν ‖ ἀναβλαστήσει *R* ‖ 22. δοκέειν *A*, om. *R* ‖ μεταδιώξοντας *R* ‖ ἐτάζειν Bekk. An. ‖ εἰρωτῶντας *R*, ἐρωτεῦντας *P*, ἠρωτεῦντας *C* ‖ 23. προσαγορεύει *z* ‖ βασιλέως *d*, βασιλῆος *z*

63 ἀκούειν.” ταῦτα εἴπαντος Πρηξάσπεος, ἤρεσε γὰρ Καμβύσῃ, αὐτίκα μεταδίωκτος γενόμενος ὁ κῆρυξ ἧκε· ἀπιγμένον δέ μιν εἴρετο ὁ Πρηξάσπης τάδε. “ὤνθρωπε, φῂς γὰρ ἥκειν παρὰ Σμέρδιος τοῦ Κύρου ἄγγελος· νῦν ὦν εἴπας τὴν ἀληθείην ἄπιθι χαίρων, κότερα αὐτός τοι Σμέρδις φαινόμενος ἐς ὄψιν ἐνετέλλετο ταῦτα ἢ τῶν τις ἐκείνου ὑπηρετέων.” ὁ δὲ εἶπε “ἐγὼ Σμέρδιν μὲν τὸν Κύρου, ἐξ ὅτευ βασιλεὺς Καμβύσης ἤλασε ἐς Αἴγυπτον, οὔκω ὄπωπα· ὁ δέ μοι Μάγος τὸν Καμβύσης ἐπίτροπον τῶν οἰκίων ἀπέδεξε, οὗτος ταῦτα ἐνετείλατο, φὰς Σμέρδιν τὸν Κύρου εἶναι τὸν ταῦτα ἐπιθέμενον εἶπαι πρὸς ὑμέας.” ὁ μὲν δή σφι ἔλεγε οὐδὲν ἐπικατεψευσμένος, Καμβύσης δὲ εἶπε “Πρήξασπες, σὺ μὲν οἷα ἀνὴρ ἀγαθὸς ποιήσας τὸ κελευόμενον αἰτίην ἐκπέφευγας· ἐμοὶ δὲ τίς ἂν εἴη Περσέων ὁ ἐπανεστεὼς ἐπιβατεύων τοῦ Σμέρδιος οὐνόματος;” ὁ δὲ εἶπε “ἐγώ μοι δοκέω συνιέναι τὸ γεγονὸς τοῦτο, ὦ βασιλεῦ· οἱ Μάγοι εἰσί τοι ἐπανεστεῶτες, τόν τε ἔλιπες μελεδωνὸν τῶν οἰκίων, Πατιζείθης, καὶ ὁ τούτου

64 ἀδελφεὸς Σμέρδις.” ἐνθαῦτα ἀκούσαντα Καμβύσεα τὸ Σμέρδιος οὔνομα ἔτυψε ἡ ἀληθείη τῶν τε λόγων καὶ τοῦ ἐνυπνίου· ὃς ἐδόκεε ἐν τῷ ὕπνῳ ἀπαγγεῖλαί τινά οἱ ὡς Σμέρδις ἱζόμενος ἐς τὸν βασιλήιον θρόνον ψαύσειε τῇ κεφαλῇ τοῦ οὐρανοῦ. μαθὼν δὲ ὡς μάτην ἀπολωλεκὼς εἴη τὸν ἀδελφεόν, ἀπέκλαιε Σμέρδιν· ἀποκλαύσας δὲ καὶ περιημεκτήσας τῇ ἁπάσῃ συμφορῇ ἀναθρώσκει ἐπὶ τὸν ἵππον, ἐν νόῳ ἔχων τὴν ταχίστην ἐς Σοῦσα στρατεύεσθαι ἐπὶ τὸν

---

14. ἐπιβατεύων – 15 οὐνόματος Pollux II 200

1. εἴπαντος] ἀκούσας *R* || 2. μεταδιώκοντος *C*, μεταδιωκτὸς *R* || 3. ἤρετο *C* || ὤνθρωπε *P*, ὤνθρωπε *z* || ἥκει *A*[1] || 4. ἀληθηίην *z* || 5. τοι] τις *q*, τι *z* || ἐν ὄψει *z* || 6. τάδε *d* || ὑπηρετῶν *d* || 7. ἐξ ὅτευ Struve: ἐξότου *ABd*, ἐξ ὅτου *CPz*, ἐξ ὅσου *R* || 8. ἐπ' *R* || 9. οἰκηίων *z* || ἀπέδειξεν *d* || 10. ἐπιέμενον *R* || 11. εἶπε *Cd* || ἐπικαταψευσάμενος *R* || 14. Περσέων] ἀνὴρ περσέων *R* || 15. ὀνόματος *ABCR*. Poll. || 16. τοι] τοι οἱ *z* || ἐπαναστεῶτες *B* || 19. ἀληθηίη *z* || 20. ἀγγεῖλαί τινα οἱ *R* || 21. ˢμέρδις *A*, μέρδιος *R* || ἑζόμενος *z* || εἰς *R* || 22. μάτιν *d* || 23. ἀπέκλαε *R* || 25. νῷ *d*

Μάγον. καί οἱ ἀναθρώσκοντι ἐπὶ τὸν ἵππον τοῦ κολεοῦ τοῦ ξίφεος ὁ μύκης ἀποπίπτει, γυμνωθὲν δὲ τὸ ξίφος παίει τὸν μηρόν· τρωματισθεὶς δὲ κατὰ τοῦτο τῇ αὐτὸς πρότερον τὸν τῶν Αἰγυπτίων θεὸν Ἆπιν ἔπληξε, ὥς οἱ καιρίῃ ἔδοξε τετύφθαι, εἴρετο ὁ Καμβύσης ὅ τι τῇ πόλι οὔνομα εἴη· οἱ δὲ εἶπαν ὅτι Ἀγβάτανα. τῷ δὲ ἔτι πρότερον ἐκέχρηστο ἐκ Βουτοῦς πόλιος ἐν Ἀγβατάνοισι τελευτήσειν τὸν βίον. ὁ μὲν δὴ ἐν τοῖσι Μηδικοῖσι Ἀγβατάνοισι ἐδόκεε τελευτήσειν γηραιός, ἐν τοῖσί οἱ ἦν τὰ πάντα πρήγματα· τὸ δὲ χρηστήριον ἐν τοῖσι ἐν Συρίῃ Ἀγβατάνοισι ἔλεγε ἄρα. καὶ δὴ ὡς τότε ἐπειρόμενος ἐπύθετο τῆς πόλιος τὸ οὔνομα, ὑπὸ τῆς συμφορῆς τῆς τε ἐκ τοῦ Μάγου ἐκπεπληγμένος καὶ τοῦ τρώματος ἐσωφρόνησε, συλλαβὼν δὲ τὸ θεοπρόπιον εἶπε "ἐνθαῦτα Καμβύσεα τὸν Κύρου ἐστὶ πεπρωμένον τελευτᾶν." τότε μὲν 65
τοσαῦτα. ἡμέρῃσι δὲ ὕστερον ὡς εἴκοσι μεταπεμψάμενος Περσέων τῶν παρεόντων τοὺς λογιμωτάτους ἔλεγέ σφι τάδε. "ὦ Πέρσαι, καταλελάβηκέ με, τὸ πάντων μάλιστα ἔκρυπτον πρηγμάτων, τοῦτο ἐς ὑμέας ἐκφῆναι. ἐγὼ γὰρ ἐὼν ἐν Αἰγύπτῳ εἶδον ὄψιν ἐν τῷ ὕπνῳ, τὴν μηδαμὰ ὄφελον ἰδεῖν· ἐδόκεον δέ μοι ἄγγελον ἐλθόντα ἐξ οἴκου ἀγγέλλειν ὡς Σμέρδις ἱζόμενος ἐς τὸν βασιλήιον θρόνον ψαύσειε τῇ κεφαλῇ τοῦ οὐρανοῦ. δείσας δὲ μὴ ἀπαιρεθέω τὴν ἀρχὴν πρὸς τοῦ ἀδελφεοῦ, ἐποίησα ταχύτερα ἢ σοφώτερα· ἐν τῇ γὰρ ἀνθρω-

περὶ τῆς Καμβύσου τελευτῆς (*B*)

---

1. τοῦ κολεοῦ - 2 ἀποπίπτει Eustathius Il. p. 290. — 3. Bekkeri Anecd. p. 114. — 17. Photius v. καταλελάβηκεν

1. οἱ om. *Cd* ‖ κουλεοῦ *dz*. Eust. ‖ 2. μέκης *d*, μύκις *z* ‖ 3. αὐτὸς τῇ *z* ‖ τὸν om. *Apr.z*, τὸ *B*[1] ‖ 4. τῶν om. *R* ‖ ἄπιν *L* ‖ καιρίηι *AB*: καιρίῃ ceteri. καιρίην Blomfield ‖ 5. πόλι *Pz*: πόλει ‖ 6. εἶπον *dz* ‖ ὅτι om. *R* ‖ ἀγβάτανα *R*: Εκβάτανα *z*, ἀκβάτανα ceteri ‖ τῷ] τὸ *CPR* ‖ ἔτι] ὅτι *dz* ‖ 7. 8. ἀγβατάνοισι *R*: Εκβατάνοισι *z*, ἀκβατάνοισι ceteri ‖ τὸν βίον - ἐν om. *R* et *Ppr*. ut videtur ‖ 9. πάντα τὰ *Pz* ‖ χρηστήριον ἐν Krueger: χρηστήριον ‖ 10. ἀγβατάνοισι *R*: Εκβατάνοισι *z*, ἀκβατάνοισι ceteri ‖ 11. ἐπειρεόμενος *ABdz*, ἐπηρεόμενος *C* ‖ 12. τε ante συμφορῆς *R* ‖ 15. ὡς om. *Ppr.R* ‖ 17. ἔκρυπτον] ἔπρησσον *R* ‖ 19. μηδαμᾶ *Rdz* ‖ ὄφελον *Cdz*: ὤφελον ‖ 21. ἑζόμενος *R* ‖ εἰς *AB* ‖ ψαύσει^ε *A*, ψαύσει *BCd*

πηίῃ φύσι οὐκ ἐνῆν ἄρα τὸ μέλλον γίνεσθαι ἀποτράπειν. ἐγὼ δὲ ὁ μάταιος Πρηξάσπεα ἀποπέμπω ἐς Σοῦσα ἀποκτενέοντα Σμέρδιν. ἐξεργασθέντος δὲ κακοῦ τοσούτου ἀδεῶς διαιτώμην, οὐδαμὰ ἐπιλεξάμενος μή κοτέ τίς μοι Σμέρδιος ὑπαραιρημένου ἄλλος ἐπανασταίη ἀνθρώπων. παντὸς δὲ τοῦ μέλλοντος ἔσεσθαι ἁμαρτὼν ἀδελφεοκτόνος τε οὐδὲν δέον γέγονα καὶ τῆς βασιληίης οὐδὲν ἧσσον ἐστέρημαι· Σμέρδις γὰρ δὴ ἦν ὁ Μάγος τόν μοι ὁ δαίμων προέφαινε ἐν τῇ ὄψι ἐπαναστήσεσθαι. τὸ μὲν δὴ ἔργον ἐξέργασταί μοι, καὶ Σμέρδιν τὸν Κύρου μηκέτι ὑμῖν ἐόντα λογίζεσθε· οἱ δὲ ὑμῖν Μάγοι κρατέουσι τῶν βασιληίων, τόν τε ἔλιπον ἐπίτροπον τῶν οἰκίων καὶ ὁ ἐκείνου ἀδελφεὸς Σμέρδις. τὸν μέν νυν μάλιστα χρῆν ἐμεῦ αἰσχρὰ πρὸς τῶν Μάγων πεπονθότος τιμωρέειν ἐμοί, οὗτος μὲν ἀνοσίῳ μόρῳ τετελεύτηκε ὑπὸ τῶν ἑωυτοῦ οἰκηιοτάτων· τούτου δὲ μηκέτι ἐόντος, δεύτερα τῶν λοιπῶν ὑμῖν ὦ Πέρσαι γίνεταί μοι ἀναγκαιότατον ἐντέλλεσθαι τὰ θέλω μοι γενέσθαι τελευτῶν τὸν βίον. καὶ δὴ ὑμῖν τάδε ἐπισκήπτω θεοὺς τοὺς βασιληίους ἐπικαλέων καὶ πᾶσι ὑμῖν καὶ μάλιστα Ἀχαιμενιδέων τοῖσι παρεοῦσι, μὴ περιιδεῖν τὴν ἡγεμονίην αὖτις ἐς Μήδους περιελθοῦσαν, ἀλλ' εἴτε δόλῳ ἔχουσι αὐτὴν κτησάμενοι, δόλῳ ἀπαιρεθῆναι ὑπὸ ὑμέων, εἴτε καὶ σθένεϊ τεῳ κατεργασάμενοι, σθένεϊ κατὰ τὸ καρτερὸν ἀνασώσασθαι. καὶ ταῦτα μὲν ποιεῦσι ὑμῖν γῆ τε καρπὸν ἐκφέροι καὶ γυναῖκές τε καὶ ποῖμναι τίκτοιεν, ἐοῦσι ἐς τὸν ἅπαντα χρόνον ἐλευθέροισι· μὴ δὲ ἀνασωσαμένοισι τὴν ἀρχὴν μηδ' ἐπιχειρήσασι ἀνασώζειν τὰ ἐναντία τούτοισι ἀρῶμαι ὑμῖν

6. Pollux III 25. — 14. οὗτος - 15 οἰκηιοτάτων Priscianus XVIII 287

1. φύσει *L* ‖ ἀποτρέπειν *L* ‖ 4. οὐδαμᾶ *Rdz* ‖ ὑπαραιρημένου *AB*: ὑπεραιρημένου *Cz*, ὑπαιρημένου *d*, παραιρημένου *PR* ‖ 5. πάντως Krueger ‖ 6. ἀδελφοκτόνος *R* ‖ 8. ὄψει *L* ‖ 9. ἔργασταί *Pdz* ‖ 10. ἐόντα ὑμῖν *R* ‖ 15. οἰκηοτάτων *R*, οἰκηϊωτάτων *Pdz*, οἰκειοτάτων Prisc. ‖ 17. δὴ] νῦν καὶ *C* ‖ 18. ἐπικαλέω *C* ‖ 21. ἀφαιρεθῆναι *ABCd*, ὑπαιρεθῆναι *z* ‖ 22. σθένεϊ τέω *R*, σθένεϊ τῳ *z* ‖ κατεργασμένοι *AB* ‖ 24. καὶ ποῖμναι] καὶ ποίμνια *CPz*, om. *R* ‖ πάντα *R* ‖ 25. μὴ δὲ ἀνασωσαμένοισι scripsi: μὴ ἀνασωσάμενοι δὲ *R*, μὴ δ' (vel μήδ') ἀνασωσαμένοισι ceteri ‖ τὴν ἀρχὴν *R*: ἀρχὴν ‖ μὴ δ' *ABP*, μηδ' *C*, μὴ δὲ *R*, μηδὲ *d*, μήδ' *z* ‖ 26. ἐπιχειρίσασι *z* ‖ ἀρῶμαι - p. 299, 1 τούτοισι om. *R* ‖ ἀρέωμαι *Cd*, ἀρέομαι *Pz*

γενέσθαι, καὶ πρὸς ἔτι τούτοισι τὸ τέλος Περσέων ἑκάστῳ ἐπιγενέσθαι οἷον ἐμοὶ ἐπιγέγονε.” ἅμα τε εἴπας ταῦτα ὁ Καμβύσης ἀπέκλαιε πᾶσαν τὴν ἑωυτοῦ πρῆξιν.

Πέρσαι δὲ ὡς τὸν βασιλέα εἶδον ἀνακλαύσαντα πάντες 66
τά τε ἐσθῆτος ἐχόμενα εἶχον, ταῦτα κατηρείκοντο καὶ οἰμωγῇ ἀφθόνῳ διεχρέωντο. μετὰ δὲ ταῦτα ὡς ἐσφακέλισέ τε τὸ ὀστέον καὶ ὁ μηρὸς τάχιστα ἐσάπη, ἀπήνεικε Καμβύσεα τὸν Κύρου, βασιλεύσαντα μὲν τὰ πάντα ἑπτὰ ἔτεα καὶ πέντε μῆνας, ἄπαιδα δὲ τὸ παράπαν ἐόντα ἔρσενος καὶ θήλεος γόνου. Περσέων δὲ τοῖσι παρεοῦσι ἀπιστίη πολλὴ ὑπεκέχυτο τοὺς Μάγους ἔχειν τὰ πρήγματα, ἀλλ' ἠπιστέατο ἐπὶ διαβολῇ εἰπεῖν Καμβύσεα τὰ εἶπε περὶ τοῦ Σμέρδιος θανάτου, ἵνα οἱ ἐκπολεμωθῇ πᾶν τὸ Περσικόν. οὗτοι μέν νυν ἠπιστέατο Σμέρδιν τὸν Κύρου βασιλέα ἐνεστεῶτα. δεινῶς γὰρ καὶ ὁ Πρηξάσπης ἔξαρνος ἦν μὴ μὲν ἀποκτεῖναι Σμέρδιν· οὐ γὰρ ἦν οἱ ἀσφαλὲς Καμβύσεω τετελευτηκότος φάναι τὸν Κύρου υἱὸν ἀπολωλεκέναι αὐτοχειρίῃ.

Ὁ δὲ δὴ Μάγος τελευτήσαντος Καμβύσεω ἀδεῶς ἐβασί- 67
λευσε, ἐπιβατεύων τοῦ ὁμωνύμου Σμέρδιος τοῦ Κύρου, μῆνας ἑπτὰ τοὺς ἐπιλοίπους Καμβύσῃ ἐς τὰ ὀκτὼ ἔτεα τῆς πληρώσιος· ἐν τοῖσι ἀπεδέξατο ἐς τοὺς ὑπηκόους πάντας εὐεργεσίας μεγάλας, ὥστε ἀποθανόντος αὐτοῦ πόθον ἔχειν πάντας τοὺς ἐν τῇ Ἀσίῃ πάρεξ αὐτῶν Περσέων. διαπέμψας γὰρ ὁ Μάγος ἐς πᾶν ἔθνος τῶν ἦρχε προεῖπε ἀτελείην εἶναι στρατηίης καὶ φόρου ἐπ' ἔτεα τρία. προεῖπε μὲν δὴ ταῦτα αὐ- 68

5. (Hesychius v. κατηρείκοντο). — 6. μετὰ - 7 ἐσάπη Erotianus fr. LXVI p. 21 Klein. — Galenus ad Hippocr. Aphor. p. 323 Basil.

1. προσέτι *Pdz* ‖ 2. ἐπιγίνεσθαι *ABd* ‖ 4. ἴδον *R* ‖ 5. κατηρείκοντο *R*. (Hesych.): κατήρειχόν τε *B*[2] marg. *P*, κατήριχόν τε *ABC*, κατηρείκον τε *d*, κατείρειχόν τε *z* ‖ 6. διεχρέοντο *Pd* ‖ τε om. *R*. Erot. ‖ 7. καὶ ὁ μηρὸς] ὁ μυελὸς Erot. ‖ ἐνεσάπη Erot. ‖ ἀπένειχε *CPdz* ‖ μῆνας πέντε *z* ‖ 9. ἄρσενος *ABd* ‖ 11. ἀλλὰ *R* ‖ 12. οἷ *C* ‖ 13. ἐπιστέατο *R* ‖ 14. ἐνεστεῶτα Valckenaer: ἀνεστεῶτα ‖ ὁ om. *R* ‖ 15. μή μιν *R* ‖ 16. οἱ ἦν *R* ‖ φᾶναι *ABP* ‖ 17. ἀπολωλέναι *z* ‖ 18. δὲ] μὲν *C* ‖ ἐβασίλευεν *R* ‖ 21. ἐν οἷσιν *R* ‖ εἰς *R* ‖ 24. ἀτελείην *d*: ἀτεληΐην *z*, ἀτελίην ceteri ‖ στρατιῆς *R*

τίκα ἐνιστάμενος ἐς τὴν ἀρχήν, ὀγδόῳ δὲ μηνὶ ἐγένετο κατάδηλος τρόπῳ τοιῷδε. Ὀτάνης ἦν Φαρνάσπεω μὲν παῖς, γένεϊ δὲ καὶ χρήμασι ὅμοιος τῷ πρώτῳ Περσέων. οὗτος ὁ Ὀτάνης πρῶτος ὑπώπτευσε τὸν Μάγον ὡς οὐκ εἴη ὁ Κύρου Σμέρδις ἀλλ' ὅς περ ἦν, τῇδε συμβαλόμενος, ὅτι τε οὐκ ἐξεφοίτα ἐκ τῆς ἀκροπόλιος καὶ ὅτι οὐκ ἐκάλεε ἐς ὄψιν ἑωυτῷ οὐδένα τῶν λογίμων Περσέων· ὑποπτεύσας δέ μιν ἐποίεε τάδε. ἔσχε αὐτοῦ Καμβύσης θυγατέρα, τῇ οὔνομα ἦν Φαιδύμη· τὴν αὐτὴν δὴ ταύτην εἶχε τότε ὁ Μάγος καὶ ταύτῃ τε συνοίκεε καὶ τῇσι ἄλλῃσι πάσῃσι τῇσι τοῦ Καμβύσεω γυναιξί. πέμπων δὴ ὦν ὁ Ὀτάνης παρὰ ταύτην τὴν θυγατέρα ἐπυνθάνετο παρ' ὅτεῳ ἀνθρώπων κοιμῷτο, εἴτε μετὰ Σμέρδιος τοῦ Κύρου εἴτε μετὰ ἄλλου τευ. ἡ δέ οἱ ἀντέπεμπε φαμένη οὐ γινώσκειν· οὔτε γὰρ τὸν Κύρου Σμέρδιν ἰδέσθαι οὐδαμὰ οὔτε ὅστις εἴη ὁ συνοικέων αὐτῇ εἰδέναι. ἔπεμπε δεύτερα ὁ Ὀτάνης λέγων "εἰ μὴ αὐτὴ Σμέρδιν τὸν Κύρου γινώσκεις, σὺ δὲ παρὰ Ἀτόσσης πύθευ ὅτεῳ τούτῳ συνοικέει αὐτή τε ἐκείνη καὶ σύ· πάντως γὰρ δή κου τόν γε ἑωυτῆς ἀδελφεὸν γινώσκει."

69 ἀντιπέμπει πρὸς ταῦτα ἡ θυγάτηρ "οὔτε Ἀτόσσῃ δύναμαι ἐς λόγους ἐλθεῖν οὔτε ἄλλην οὐδεμίαν ἰδέσθαι τῶν συγκατημενέων γυναικῶν. ἐπείτε γὰρ τάχιστα οὗτος ὥνθρωπος, ὅστις κοτέ ἐστι, παρέλαβε τὴν βασιληίην, διέσπειρε ἡμέας ἄλλην ἄλλῃ τάξας." ἀκούοντι δὲ ταῦτα τῷ Ὀτάνῃ μᾶλλον κατεφαίνετο τὸ πρῆγμα. τρίτην δὲ ἀγγελίην ἐσπέμπει παρ' αὐτὴν λέγουσαν ταῦτα. "ὦ θύγατερ, δεῖ σε γεγονυῖαν εὖ κίνδυνον ἀναλαβέσθαι τὸν ἂν ὁ πατὴρ

τίνι τρόπῳ κατάδηλος γέγονε Σμέρδις ὁ Μάγος

1. ἐνιστάμενος *R*. Reiske: ἀνιστάμενος ‖ κατάδηλος] κατάδηλος ὅς ἦν *R* ‖ 3. γένει *AB* ‖ δὲ] μὲν *d* ‖ ὁμοῖος (*C*)*Pd*, ὁμοίως z ‖ οὗτος] οὗτος ὢν z ‖ 4. ὑπόπτευσεν *AB* ‖ 5. ὅπερ *R* ‖ συμβαλλόμενος *Rd*, συμβαλλεόμενος z ‖ 8. ἔσχε δὲ *C* ‖ ὁ καμβύσης *CPdz* ‖ φαιδυμίη *R*. (Zonar.), φαιδίμη b ‖ 9. δὴ – τότε om. *R* ‖ ταύτη τε *AB*: ταύτη ‖ 11. ὁ om. *d* ‖ παρὰ ταύτην *R*: παρ' αὐτον *AB*, παρ' αὐτὴν *CPdz* ‖ 12. παρὰ *R* ‖ 14. εἰδέσθαι *R* ‖ 15. οὐδαμᾶ *Rdz* ‖ 17. τούτῳ om. *R* ‖ 18. γ' *AB* ‖ 20. αὐτόσση *R* ‖ οὐδεμίην *Rz* ‖ 21. συγκατημένων *PRz*, συγκαθημένων reliqui ‖ 22. ωνθρ - πος *AB*, ὡνθρωπος *P*, ὤνθρωπος reliqui ‖ ἔσται *C* ‖ 26. τὸν] τονδ' *B*

ὑποδύνειν κελεύῃ. εἰ γὰρ δὴ μή ἐστι ὁ Κύρου Σμέρδις ἀλλὰ τὸν καταδοκέω ἐγώ, οὔτοι μιν σοί τε συγκοιμώμενον καὶ τὸ Περσέων κράτος ἔχοντα δεῖ χαίροντα ἀπαλλάσσειν, ἀλλὰ δοῦναι δίκην. νῦν ὦν ποίησον τάδε. ἐπεὰν σοὶ συνεύδῃ καὶ μάθῃς αὐτὸν κατυπνωμένον, ἄφασον αὐτοῦ τὰ ὦτα· καὶ ἢν μὲν φαίνηται ἔχων ὦτα, νόμιζε σεωυτὴν Σμέρδι τῷ Κύρου συνοικέειν, ἢν δὲ μὴ ἔχων, σὺ δὲ τῷ Μάγῳ Σμέρδι." ἀντιπέμπει πρὸς ταῦτα ἡ Φαιδύμη φαμένη κινδυνεύσειν μεγάλως, ἢν ποιέῃ ταῦτα· ἢν γὰρ δὴ μὴ τυγχάνῃ τὰ ὦτα ἔχων, ἐπίλαμπτος δὲ ἀφάσσουσα ἔσται, εὖ εἰδέναι ὡς ἀιστώσει μιν· ὅμως μέντοι ποιήσειν ταῦτα. ἡ μὲν δὴ ὑπεδέξατο ταῦτα τῷ πατρὶ κατεργάσεσθαι· τοῦ δὲ Μάγου τούτου τοῦ Σμέρδιος Κῦρος ὁ Καμβύσεω ἄρχων τὰ ὦτα ἀπέταμε ἐπ' αἰτίῃ δή τινι οὐ σμικρῇ. ἡ ὦν δὴ Φαιδύμη αὕτη, ἡ τοῦ Ὀτάνεω θυγάτηρ, πάντα ἐπιτελέουσα τὰ ὑπεδέξατο τῷ πατρί, ἐπείτε αὐτῆς μέρος ἐγίνετο τῆς ἀπίξιος παρὰ τὸν Μάγον (ἐν περιτροπῇ γὰρ δὴ αἱ γυναῖκες φοιτέουσι τοῖσι Πέρσῃσι), ἐλθοῦσα παρ' αὐτὸν ηὗδε, ὑπνωμένου δὲ καρτερῶς τοῦ Μάγου ἤφασε τὰ ὦτα. μαθοῦσα δὲ οὐ χαλεπῶς ἀλλ' εὐπετέως οὐκ ἔχοντα τὸν ἄνδρα ὦτα, ὡς ἡμέρη τάχιστα ἐγεγόνεε, πέμψασα ἐσήμηνε τῷ πατρὶ τὰ γενόμενα.

Ὁ δὲ Ὀτάνης παραλαβὼν Ἀσπαθίνην καὶ Γοβρύην Περ- 70
σέων τε πρώτους ἐόντας καὶ ἑωυτῷ ἐπιτηδεοτάτους ἐς πίστιν, ἀπηγήσατο πᾶν τὸ πρῆγμα· οἱ δὲ καὶ αὐτοὶ ἄρα ὑπώπτευον

σύστασις τῶν περὶ Δαρεῖον κατὰ τῶν Μάγων

10. Λέξεις. — Bekkeri Anecd. p. 469. Suidas v. ἀφάσσων. — 16. ἐν - 17 Πέρσῃσι Lexicon Vindob. p. 155

1. ὑποδεικνύειν *CP* ‖ κελεύει *BRd* ‖ εἰ *R*: ἢν ‖ δὴ om. z ‖ μὴ ἔστι *Pz*, μὴ ἔστιν *d* ‖ 2. τὸν ἂν z ‖ 4. ἐπεάν σοι *L* ‖ 5. κατυπνώμενον *Cz* ‖ 8. φαιδυμίη *R*, φαιδίμη b ‖ κινδυνεύειν *R* ‖ 9. ποιήσῃ *P*, ποιῇ ceteri ‖ ἢν] εἰ *R* ‖ τυγχάνει *ABd* ‖ ἔχων ante τυγχάνῃ *R* ‖ 10. ἐπίλαμπος sz. (gloss.) ‖ ἀφάσουσα *CRz* ‖ 11. τοῦτο *R* ‖ 12. κατεργάσασθαι *Rdz* ‖ 13. ὑπέτεμε *C*, ἀπέτεμε ceteri ‖ 14. φαιδυμίη *ABR* ‖ 16. αὐτῇ *PRz* ‖ ἀπάξιος *R* ‖ περιτροπῆσιν sine γὰρ δὴ Lex. Vind. ‖ 17. αἱ om. *Pdz* ‖ φοιτῶσι *R*. Lex. Vind., φοιτέωσι *Cd* ‖ 18. ηὗδεν *Rd*, ἦν δὲ *C*, ἧυδε z ‖ ἤφασσε *PR* ‖ 22. ἀσπαθήνην *R* ‖ γωβρύην *Rz* ‖ 23. ἐπιτηδεοτάτους *ABR*: ἐπιτηδεωτάτους ‖ 24. ἀπηγήσαντο *R*

οὕτω τοῦτο ἔχειν, ἀνενείχαντος δὲ τοῦ Ὀτάνεω τοὺς λόγους ἐδέξαντο. καὶ ἔδοξέ σφι ἕκαστον ἄνδρα Περσέων προσεταιρίσασθαι τοῦτον ὅτεῳ πιστεύει μάλιστα. Ὀτάνης μέν νυν ἐσάγεται Ἰνταφρένεα, Γοβρύης δὲ Μεγάβυζον, Ἀσπαθίνης δὲ Ὑδάρνεα. γεγονότων δὲ τούτων ἓξ παραγίνεται ἐς τὰ Σοῦσα Δαρεῖος ὁ Ὑστάσπεος ἐκ Περσέων ἥκων· τούτων γὰρ δὴ ἦν οἱ ὁ πατὴρ ὕπαρχος. ἐπεὶ ὦν οὗτος ἀπίκετο, τοῖσι ἓξ
71 τῶν Περσέων ἔδοξε καὶ Δαρεῖον προσεταιρίσασθαι. συνελθόντες δὲ οὗτοι ἐόντες ἑπτὰ ἐδίδοσαν σφίσι πίστις καὶ λόγους. ἐπείτε δὲ ἐς Δαρεῖον ἀπίκετο γνώμην ἀποφαίνεσθαι, ἔλεγέ σφι τάδε. "ἐγὼ ταῦτα ἐδόκεον μὲν αὐτὸς μοῦνος ἐπίστασθαι, ὅτι τε ὁ Μάγος εἴη ὁ βασιλεύων καὶ Σμέρδις ὁ Κύρου τετελεύτηκε· καὶ αὐτοῦ τούτου εἵνεκεν ἥκω σπουδῇ ὡς συστήσων ἐπὶ τῷ Μάγῳ θάνατον. ἐπείτε δὲ συνήνεικε ὥστε καὶ ὑμέας εἰδέναι καὶ μὴ μοῦνον ἐμέ, ποιέειν αὐτίκα μοι δοκέει καὶ μὴ ὑπερβάλλεσθαι· οὐ γὰρ ἄμεινον." εἶπε πρὸς ταῦτα ὁ Ὀτάνης "ὦ παῖ Ὑστάσπεος, εἷς τε πατρὸς ἀγαθοῦ καὶ ἐκφαίνειν οἶκας σεωυτὸν ἐόντα τοῦ πατρὸς οὐδὲν ἥσσω· τὴν μέντοι ἐπιχείρησιν ταύτην μὴ οὕτω συντάχυνε ἀβούλως, ἀλλ' ἐπὶ τὸ σωφρονέστερον αὐτὴν λάμβανε· δεῖ γὰρ πλεῦνας γενομένους οὕτω ἐπιχειρέειν." λέγει πρὸς ταῦτα Δαρεῖος "ἄνδρες οἱ παρεόντες, τρόπῳ τῷ εἰρημένῳ ἐξ Ὀτάνεω εἰ χρήσεσθε, ἐπίστασθε ὅτι ἀπολέεσθε κάκιστα· ἐξοίσει γάρ τις πρὸς τὸν Μάγον, ἰδίῃ περιβαλλόμενος ἑωυτῷ κέρδεα. μάλιστα μέν νυν ὠφείλετε ἐπ' ὑμέων αὐτῶν βαλλόμενοι ποιέειν ταῦτα· ἐπείτε δὲ ὑμῖν ἀναφέρειν ἐς πλεῦνας ἐδόκεε καὶ ἐμοὶ ὑπερ-

---

1. ἀνείχαντος *R* ‖ ὀτάνεος *ABR* ‖ 3. ὅτεῳ Struve: ὅτεωι *ABP*, ὅτῳ *z*, ὅτω *d*, οὕτω *C*, τῷ *R* ‖ πιστεύειν *C* ‖ 4. εἰσάγεται *L* ‖ ἰνταφρένεα *R*: ἰνταφέρνεα ‖ γοβρύης δὲ *CPd*: γωβρύης δὲ *ABR*, ὁ δὲ γωβρύης *sz* ‖ μεγάβαζον *d* ‖ 7. αὐτὸς *dz* ‖ 9. ἐδίδοσαν σφίσι *Pd*: ἐδίδοσάν σφισι *ABCR*, ἐδίδοσάν σφι *sz* ‖ πίστεις καὶ λόγους *d*, λόγους καὶ πίστεις *R* ‖ 10. ἀπίκετο ἐς δαρεῖον *R* ‖ 11. σφισι *R* ‖ μὲν om. *Pdz* ‖ 13. αὐτοῦ] αὖ *ABCd* ‖ ἕνεκεν *d* ‖ 16. ὑπερβάλλεσθαι *PR*: ὑπερβαλέσθαι ‖ 18. οἶκας *R*: ἔοικας ‖ ὄντα *R* ‖ τοῦ om. *Pdz* ‖ 19. ταύτην om. *R* ‖ 20. γινομένους *d* ‖ 21. οὕτως *AB* ‖ 22. ὀτάνεω *P*: ὀτάνεος ‖ 23. ἀπολέεσθαι *Apr.BR* ‖ 24. ἑωυτοῦ *R* ‖ 25. ὀφείλετε *dz* ‖ βαλόμενοι *A*, βουλόμενοι *dz*

ἔθεσθε, ἢ ποιέωμεν σήμερον ἢ ἴστε ὑμῖν ὅτι, ἢν ὑπερπέσῃ ἡ νῦν ἡμέρη, ὡς οὐκ ἄλλος φθὰς ἐμεῦ κατήγορος ἔσται, ἀλλά σφεα αὐτὸς ἐγὼ κατερέω πρὸς τὸν Μάγον." λέγει πρὸς 72
ταῦτα Ὀτάνης, ἐπειδὴ ὥρα σπερχόμενον Δαρεῖον, "ἐπείτε ἡμέας συνταχύνειν ἀναγκάζεις καὶ ὑπερβάλλεσθαι οὐκ ἐᾷς, ἴθι ἐξηγέο αὐτὸς ὅτεῳ τρόπῳ πάριμεν ἐς τὰ βασιλήια καὶ ἐπιχειρήσομεν αὐτοῖσι. φυλακὰς γὰρ δὴ διεστεώσας οἶδάς κου καὶ αὐτός, εἰ μὴ ἰδών, ἀλλ' ἀκούσας· τὰς τέῳ τρόπῳ περήσομεν;" ἀμείβεται Δαρεῖος τοῖσιδε. "Ὀτάνη, ἦ πολλά ἐστι τὰ λόγῳ μὲν οὐκ οἷά τε δηλῶσαι, ἔργῳ δέ· ἄλλα δ' ἐστὶ τὰ λόγῳ μὲν οἷά τε, ἔργον δὲ οὐδὲν ἀπ' αὐτῶν λαμπρὸν γίνεται. ὑμεῖς δὲ ἴστε φυλακὰς τὰς κατεστεώσας ἐούσας οὐδὲν χαλεπὰς παρελθεῖν. τοῦτο μὲν γὰρ ἡμέων ἐόντων τοίων οὐδεὶς ὅστις οὐ παρήσει, τὰ μέν κου καταιδεόμενος ἡμέας, τὰ δέ κου καὶ δειμαίνων· τοῦτο δὲ ἔχω αὐτὸς σκῆψιν εὐπρεπεστάτην τῇ πάριμεν, φὰς ἄρτι τε ἥκειν ἐκ Περσέων καὶ βούλεσθαί τι ἔπος παρὰ τοῦ πατρὸς σημῆναι τῷ βασιλέι. ἔνθα γάρ τι δεῖ ψεῦδος λέγεσθαι, λεγέσθω. τοῦ γὰρ αὐτοῦ γλιχόμεθα οἵ τε ψευδόμενοι καὶ οἱ τῇ ἀληθείῃ διαχρεώμενοι· οἱ μέν γε ψεύδονται τότε ἐπεάν τι μέλλωσι τοῖσι ψεύδεσι πείσαντες κερδήσεσθαι, οἱ δ' ἀληθίζονται ἵνα τῇ ἀληθείῃ ἐπισπάσωνται κέρδος καί τι μᾶλλόν σφι ἐπιτράπηται. οὕτω οὐ ταὐτὰ ἀσκέοντες τὠυτοῦ περιεχόμεθα. εἰ δὲ μηδὲν κερδήσεσθαι μέλλοιεν, ὁμοίως ἂν ὅ τε ἀληθιζόμενος ψευδὴς εἴη καὶ ὁ ψευδόμενος ἀληθής. ὃς ἂν μέν νυν τῶν πυλουρῶν

---

4. ἐπείτε - 5 ἐᾷς Lexicon Vindob. p. 184. — 18. ἔνθα - λεγέσθω Stobaeus floril. XII 23. Eustathius Il. p. 188. 628. Od. p. 1455

1. ποιέομεν *R* || ἢν περ πέσῃ *R* || 3. ἀλλὰ σφέα *R*: ἀλλά σφεας *ABCd*, ἀλλὰ σφέας *Pz* || 4. ὁ ὀτάνης *R* || ἐπεί τε δὲ *C* || 5. ὑμέας Lex. Vind. || 6. ἐξηγέω *sz* || 7. διεστώσας *ABR* || οἶδά *ABCP*m *d* || 8. ἀκούων *R* || ἃς *L* || 9. πειρήσομεν *Ccorr.Rz* || τοῖσδε *L* || ἢ om. *R* || 11. λαμβρὸν *C* || 13. ὑμέων *sz* || 14. τοιῶνδε *R* || 16. παρῖμεν *R* || ἄρτι] γάρ *R* || 17. βασιλεῖ *ABd* || 18. ψεῦδος] καὶ ψεῦδος Stob. || 19. ἀληθηίῃ *dz* || διαχρεόμενοι *P* || 20. τότε om. *R* || τοῖσι om. *A* || 21. δὲ *R* || ἵνα] ἵνα τι *R*, τι, ἵνα *z* || ἀληθηίῃ *dz* || 22. ἐπισπάσονται *B* || τις *Pcorr.Rs* || μᾶλλόν σφιν *R*, μᾶλλόν σφισι *ABC*, μᾶλλον σφίσι *Pdz* || ἐπιτράπηται *Rz*: τράπηται || 23. οὐ *R*: οὖν *ABP*, ὧν *Cdz* || ταυτὰ *A*: ταῦτα || τὠϋτῷ *z* || 25. πυλωρῶν *AB*

ἑκὼν παρίῃ, αὐτῷ οἱ ἄμεινον ἐς χρόνον ἔσται· ὃς δ᾽ ἂν ἀντιβαίνειν πειρᾶται, δεικνύσθω ἐνθαῦτα ἐὼν πολέμιος, καὶ
73 ἔπειτα ὠσάμενοι ἔσω ἔργου ἐχώμεθα." λέγει Γοβρύης μετὰ ταῦτα "ἄνδρες φίλοι, ἡμῖν κότε κάλλιον παρέξει ἀνασώσασθαι τὴν ἀρχήν, ἢ εἴ γε μὴ οἷοί τε ἐσόμεθα αὐτὴν ἀναλαβεῖν ἀποθανεῖν; ὅτε γε ἀρχόμεθα μὲν ἐόντες Πέρσαι ὑπὸ Μήδου ἀνδρὸς Μάγου, καὶ τούτου ὦτα οὐκ ἔχοντος. ὅσοι τε ὑμέων Καμβύσῃ νοσέοντι παρεγένοντο, πάντως κου μέμνησθε τὰ ἐπέσκηψε Πέρσῃσι τελευτῶν τὸν βίον μὴ πειρωμένοισι ἀνακτᾶσθαι τὴν ἀρχήν· τὰ τότε οὐκ ἐνεδεκόμεθα, ἀλλ᾽ ἐπὶ διαβολῇ ἐδοκέομεν εἰπεῖν Καμβύσεα. νῦν ὦν τίθεμαι ψῆφον πείθεσθαι Δαρείῳ καὶ μὴ διαλύεσθαι ἐκ τοῦ συλλόγου τοῦδε ἄλλοθι ἰόντας ἢ ἐπὶ τὸν Μάγον ἰθέως." ταῦτα εἶπε Γοβρύης καὶ πάντες ταύτῃ αἴνεον.

74 Ἐν ᾧ δὲ οὗτοι ταῦτα ἐβουλεύοντο, ἐγίνετο κατὰ συντυχίην τάδε. τοῖσι Μάγοισι ἔδοξε βουλευομένοισι Πρηξάσπεα φίλον προσθέσθαι, ὅτι τε ἐπεπόνθεε πρὸς Καμβύσεω ἀνάρσια, ὅς οἱ τὸν παῖδα τοξεύσας ἀπολωλέκεε, καὶ διότι μοῦνος ἠπίστατο τὸν Σμέρδιος τοῦ Κύρου θάνατον αὐτοχειρίῃ μιν ἀπολέσας, πρὸς δ᾽ ἔτι ἐόντα ἐν αἴνῃ μεγίστῃ τὸν Πρηξάσπεα ἐν Πέρσῃσι. τούτων δή μιν εἵνεκεν καλέσαντες φίλον προσεκτῶντο πίστι τε λαβόντες καὶ ὁρκίοισι, ἦ μὲν ἕξειν παρ᾽ ἑωυτῷ μηδ᾽ ἐξοίσειν μηδενὶ ἀνθρώπων τὴν ἀπὸ σφέων ἀπάτην ἐς Πέρσας γεγονυῖαν, ὑπισχνεύμενοι τὰ πάντα οἱ μυρία δώσειν. ὑποσχομένου δὲ τοῦ Πρηξάσπεος ποιήσειν ταῦτα,

---

4. ἄνδρες - 6 ἀποθανεῖν Lexicon Vindob. p. 20

1. παρίῃ *R*: παρείηι *ABCP*, παρείῃ *dz* ‖ 2. διαδεικνύσθω *R* ‖ ἐνταῦθα *d* ‖ 3. ἐχόμεθα *R* ‖ γωβρύης *R* ‖ 4. ἡμίν κοτε *C*, ἡμῖν κοτε *P* ‖ παρέξειν *z* ‖ 5. τ᾽ *R* ‖ αὐτὴν om. Lex. Vind. ‖ 6. γε *PR*: γὰρ ‖ μὲν om. *d* ‖ 8. παρεγένοντο νοσέοντι *R* ‖ 9. πειρεωμένοισι *Cdz*, πειρεομένοισι *P* ‖ 10. ἐνεδεχόμεθα *AB* ‖ 11. ἐδοκέωμεν *B* ‖ 13. ἀλλ᾽ ἰόντας ἐπὶ *R* ‖ γωβρύης *R* ‖ 14. ταῦτα *R* ‖ ἔναιον *C* ‖ 18. ὅτι *R* ‖ 19. ἡ ἐπίστατο *R* (sic) ‖ αὐτοχειρείῃ *d* ‖ 20. ἐν αἰτίῃ *R* ‖ 21. εἵνεκε *z* ‖ προσεκτέωντο *Cz*, προσεκτέοντο *Pd* ‖ 22. πίστει *PRz*, πίστις *ABC*, πίστεις *d*. fortasse πίστισι ‖ μὴν *Rz* ‖ 23. μηδενὶ] παρὰ μηδενὶ *z* ‖ 24. γεγονοῖαν *A*[1]*B* ‖ ὑπισχνούμενοι *AB*, ὑπισχόμενοι *R* ‖ μοιρία *C* ‖ 25. ὑποδεκομένου *R* ‖ πρηξάσπεω *sz*

ὡς ἀνέπεισάν μιν οἱ Μάγοι, δεύτερα προσέφερον, αὐτοὶ μὲν φάμενοι Πέρσας πάντας συγκαλέειν ὑπὸ τὸ βασιλήιον τεῖχος, κεῖνον δ' ἐκέλευον ἀναβάντα ἐπὶ πύργον ἀγορεῦσαι ὡς ὑπὸ τοῦ Κύρου Σμέρδιος ἄρχονται καὶ ὑπ' οὐδενὸς ἄλλου. ταῦτα δὲ οὕτω ἐνετέλλοντο ὡς πιστοτάτου δῆθεν ἐόντος αὐτοῦ ἐν Πέρσῃσι, καὶ πολλάκις ἀποδεξαμένου γνώμην ὡς περιείη ὁ Κύρου Σμέρδις, καὶ ἐξαρνησαμένου τὸν φόνον αὐτοῦ. φαμέ- 75
νου δὲ καὶ ταῦτα ἑτοίμου εἶναι ποιέειν τοῦ Πρηξάσπεος, συγκαλέσαντες Πέρσας οἱ Μάγοι ἀνεβίβασαν αὐτὸν ἐπὶ πύργον καὶ ἀγορεύειν ἐκέλευον. ὁ δὲ τῶν μὲν δὴ ἐκεῖνοι προσεδέοντο αὐτοῦ, τούτων μὲν ἑκὼν ἐπελήθετο, ἀρξάμενος δὲ ἀπ' Ἀχαιμένεος ἐγενεηλόγησε τὴν πατριὴν τὴν Κύρου, μετὰ δὲ ὡς ἐς τοῦτον κατέβη τελευτῶν ἔλεγε ὅσα ἀγαθὰ Κῦρος Πέρσας πεποιήκοι, διεξελθὼν δὲ ταῦτα ἐξέφαινε τὴν ἀληθείην, φάμενος πρότερον μὲν κρύπτειν (οὐ γάρ οἱ εἶναι ἀσφαλὲς λέγειν τὰ γενόμενα), ἐν δὲ τῷ παρεόντι ἀναγκαίην μιν καταλαμβάνειν φαίνειν. καὶ δὴ ἔλεγε τὸν μὲν Κύρου Σμέρδιν ὡς αὐτὸς ὑπὸ Καμβύσεω ἀναγκαζόμενος ἀποκτείνειε, τοὺς Μάγους δὲ βασιλεύειν. Πέρσῃσι δὲ πολλὰ ἐπαρησάμενος εἰ μὴ ἀνακτησαίατο ὀπίσω τὴν ἀρχὴν καὶ τοὺς Μάγους τισαίατο, ἀπῆκε ἑωυτὸν ἐπὶ κεφαλὴν φέρεσθαι ἀπὸ τοῦ πύργου κάτω. Πρηξάσπης μέν νυν ἐὼν τὸν πάντα χρόνον ἀνὴρ δόκιμος οὕτω ἐτελεύτησε.

Οἱ δὲ δὴ ἑπτὰ τῶν Περσέων ὡς ἐβουλεύσαντο αὐτίκα 76
ἐπιχειρέειν τοῖσι Μάγοισι καὶ μὴ ὑπερβάλλεσθαι, ἤισαν εὐξάμενοι τοῖσι θεοῖσι, τῶν περὶ Πρηξάσπεα πρηχθέντων εἰδότες οὐδέν. ἔν τε δὴ τῇ ὁδῷ μέσῃ στείχοντες ἐγίνοντο καὶ τὰ

περὶ τῆς Πρηξάσπους τελευτῆς

2. συγκαλέσειν *R* ‖ ἐπὶ *d* ‖ 3. δὲ *R* ‖ ἀναγορεῦσαι *d* ‖ 6. πολλάκις τε *R* ‖ ὥσπερ εἴη *R* ‖ 8. πρηξάσπεω *sz* ‖ 9. τοὺς Πέρσας *z* ‖ ἐπὶ τὸν πύργον *dz* ‖ 10. μὲν δὴ Bekker: μέντοι *CP*, μέν τι reliqui ‖ 11. ἐπελάθετο *P* ‖ 12. τὴν Κύρου] τοῦ κύρου *Ppr.Rz* ‖ 13. τοῦτο *z* ‖ 14. πεποιήκει *Cd* ‖ ἀληθηΐην *z* ‖ 16. ἀναγκαίη *R* ‖ 17. φαίνειν om. *sz* ‖ 22. ἐόν *z* ‖ τὸν om. *R* ‖ 25. ἤεσαν *sz* ‖ 26. πραχθέντων *d* ‖ 27. δὴ om. *ABd* ‖ στίχοντες *AB*

περὶ Πρηξάσπεα γεγονότα ἐπυνθάνοντο. ἐνθαῦτα ἐκστάντες τῆς ὁδοῦ ἐδίδοσαν αὖτις σφίσι λόγους, οἱ μὲν ἀμφὶ τὸν Ὀτάνην πάγχυ κελεύοντες ὑπερβαλέσθαι μηδὲ οἰδεόντων τῶν πρηγμάτων ἐπιτίθεσθαι, οἱ δὲ ἀμφὶ τὸν Δαρεῖον αὐτίκα τε ἰέναι καὶ τὰ δεδογμένα ποιέειν μηδὲ ὑπερβάλλεσθαι. ὠθιζομένων δ' αὐτῶν ἐφάνη ἰρήκων ἑπτὰ ζεύγεα δύο αἰγυπιῶν ζεύγεα διώκοντα καὶ τίλλοντά τε καὶ ἀμύσσοντα. ἰδόντες δὲ ταῦτα οἱ ἑπτὰ τήν τε Δαρείου πάντες αἴνεον γνώμην καὶ ἔπειτα ἤισαν ἐπὶ τὰ βασιλήια τεθαρσηκότες τοῖσι ὄρνισι.
77 ἐπιστᾶσι δὲ ἐπὶ τὰς πύλας ἐγίνετο οἷόν τι Δαρείῳ ἡ γνώμη ἔφερε· καταιδεόμενοι γὰρ οἱ φύλακοι ἄνδρας τοὺς Περσέων πρώτους καὶ οὐδὲν τοιοῦτο ὑποπτεύοντες ἐξ αὐτῶν ἔσεσθαι, παρίεσαν θείῃ πομπῇ χρεωμένους, οὐδ' ἐπειρώτα οὐδείς. ἐπείτε δὲ καὶ παρῆλθον ἐς τὴν αὐλήν, ἐνέκυρσαν τοῖσι τὰς ἀγγελίας ἐσφέρουσι εὐνούχοισι· οἵ σφεας ἱστόρεον ὅ τι θέλοντες ἥκοιεν, καὶ ἅμα ἱστορέοντες τούτους τοῖσι πυλουροῖσι ἀπείλεον ὅτι σφέας παρῆκαν, ἴσχόν τε βουλομένους τοὺς ἑπτὰ ἐς τὸ πρόσω παριέναι. οἱ δὲ διακελευσάμενοι καὶ σπασάμενοι τὰ ἐγχειρίδια τούτους μὲν τοὺς ἴσχοντας αὐτοῦ ταύτῃ συγκεν-
78 τέουσι, αὐτοὶ δὲ ἤισαν δρόμῳ ἐς τὸν ἀνδρεῶνα. οἱ δὲ Μάγοι ἔτυχον ἀμφότεροι τηνικαῦτα ἐόντες τε ἔσω καὶ τὰ ἀπὸ Πρηξάσπεος γενόμενα ἐν βουλῇ ἔχοντες. ἐπεὶ ὦν εἶδον τοὺς εὐνούχους τεθορυβημένους τε καὶ βοῶντας, ἀνά τε ἔδραμον πάλιν ἀμφότεροι καὶ ὡς ἔμαθον τὸ ποιεύμενον πρὸς ἀλκὴν

---

3. κελεύοντες - 4 ἐπιτίθεσθαι Eustathius Od. p. 1441. — 6. Λέξεις. — 7. Λέξεις. — 20. Eustathius Od. p. 1573

2. αὖτις σφίσι *PR*: αὐτοῖσι σφίσι *ABz*, αὐτοῖσί σφισι *Cd* ‖ 3. ὑπερβαλέσθαι *ABRz*. Eust.: ὑπερβαλλέεσθαι *C*, ὑπερβαλέεσθαι *d*, ὑπερβάλλεσθαι *P* ‖ μὴ δέ οἱ δεόντων *sz*, καὶ μὴ οἰδούντων Eust. ‖ 5. μὴ δ' *PRz* ‖ ὑπερβαλέσθαι *R* ‖ 6. ἱρήκων *Rdz* ‖ ζεύγη δύο αἰγυπτιῶν *R* ‖ 7. τε post διώκοντα *PRz* ‖ 9. ἥεσαν *z* ‖ τεθαρσηκότες *R*: τεθαρρηκότες ‖ 10. ἐπιστάντες *R* ‖ ἡ om. *ABd* ‖ 11. φύλακες *d* ‖ 12. τοιοῦτον *CRdz* ‖ 13. παρείησαν *dz* ‖ χρεομένους *P* ‖ οὐδὲ *R* ‖ ἐπηρώτα *CPz* ‖ 14. καὶ om. *C* ‖ εἰς *R* ‖ 15. εἰσφέρουσι *d* ‖ οἳ σφέας *R* ‖ 16. πυλουργοῖσι *C*, πυλωροῖσι *dz* ‖ 17. ἴσχον *L* ‖ 18. καὶ σπασάμενοι om. A^1 ‖ 20. ἤεσαν *ABdz*, ἠίεσαν *P* ‖ 21. τε om. *Rdz* ‖ ἔσω *R*: εἴσω ‖ πρηξάσπεω *sz* ‖ 23. τε καὶ] καὶ *ABCd* ‖ τ' *R*

ἐτράποντο. ὁ μὲν δὴ αὐτῶν φθάνει τὰ τόξα κατελόμενος, ὁ δὲ πρὸς τὴν αἰχμὴν ἐτράπετο. ἐνθαῦτα δὴ συνέμισγον ἀλλήλοισι. τῷ μὲν δὴ τὰ τόξα ἀναλαβόντι αὐτῶν, ἐόντων τε ἀγχοῦ τῶν πολεμίων καὶ προσκειμένων, ἦν χρηστὰ οὐδέν· ὁ δ' ἕτερος τῇ αἰχμῇ ἠμύνετο καὶ τοῦτο μὲν Ἀσπαθίνην παίει ἐς τὸν μηρόν, τοῦτο δὲ Ἰνταφρένεα ἐς τὸν ὀφθαλμόν· καὶ ἐστερήθη μὲν τοῦ ὀφθαλμοῦ ἐκ τοῦ τρώματος ὁ Ἰνταφρένης, οὐ μέντοι ἀπέθανέ γε. τῶν μὲν δὴ Μάγων οὕτερος τρωματίζει τούτους· ὁ δὲ ἕτερος, ἐπείτε οἱ τὰ τόξα οὐδὲν χρηστὰ ἐγίνετο, ἦν γὰρ δὴ θάλαμος ἐσέχων ἐς τὸν ἀνδρεῶνα, ἐς τοῦτον καταφεύγει, θέλων αὐτοῦ προσθεῖναι τὰς θύρας, καί οἱ συνεσπίπτουσι τῶν ἑπτὰ δύο, Δαρεῖός τε καὶ Γοβρύης. συμπλακέντος δὲ Γοβρύεω τῷ Μάγῳ ὁ Δαρεῖος ἐπεστεὼς ἠπόρεε οἷα ἐν σκότεϊ, προμηθεόμενος μὴ πλήξῃ τὸν Γοβρύην. ὁρέων δέ μιν ἀργὸν ἐπεστεῶτα ὁ Γοβρύης εἴρετο ὅ τι οὐ χρᾶται τῇ χειρί· ὁ δὲ εἶπε "προμηθεόμενος σέο, μὴ πλήξω.' Γοβρύης δὲ ἀμείβετο "ὤθεε τὸ ξίφος καὶ δι' ἀμφοτέρων." Δαρεῖος δὲ πειθόμενος ὦσέ τε τὸ ἐγχειρίδιον καὶ ἔτυχέ κως τοῦ Μάγου. ἀποκτείναντες δὲ τοὺς Μάγους καὶ ἀποταμόντες 79
αὐτῶν τὰς κεφαλάς, τοὺς μὲν τρωματίας ἑωυτῶν αὐτοῦ λείπουσι καὶ ἀδυνασίης εἵνεκεν καὶ φυλακῆς τῆς ἀκροπόλιος, οἱ δὲ πέντε αὐτῶν ἔχοντες τῶν Μάγων τὰς κεφαλὰς ἔθεον βοῇ τε καὶ πατάγῳ χρεώμενοι, καὶ Πέρσας τοὺς ἄλλους ἐπεκαλέοντο ἐξηγεόμενοί τε τὸ πρῆγμα καὶ δεικνύοντες τὰς κεφα-

---

11. **Bekkeri Anecd. p. 111. Photius et Suidas v. προσθεῖναι τὰς θύρας**

1. αὐτέων *z* ‖ 2. ἔνθα *R* ‖ δὲ *Rz* ‖ 3. λαβόντι *d* ‖ αὐτῷ *d*, αὐτέων *z* ‖ 4. ἀγχοῦ] ἀγχοῦ αὐτῷ *z* ‖ 5. δὲ *Rd* ‖ ἀσπαθίμην *B*, ἀσπαθήνην *R* ‖ 6. δ' *R* ‖ ἰνταφρένεα *R*: ἰνταφέρνεα ‖ 7. καὶ om. *d* ‖ ἰνταφρένης *R*: ἰνταφέρνης ‖ 8. ὁ ἕτερος *R* ‖ 9. τούτους τρωματίζει *R* ‖ δ' *AB* ‖ 10. χρήσιμα *PR* ‖ ἐγένετο *CRdz* ‖ 12. συνεσπίπτουσιν *AB*, συνεπιπίπτουσι *C*, συνεπίπτουσι *R* ‖ γωβρύης *R* ‖ 13. συμπλακέντος *Pdz*: συμπλεκέντος ‖ γωβρύεω *R* ‖ ἔτι ἑστεὼς *R* ‖ 14. ἠπόρει *L* ‖ σκότει *ABd* ‖ προθεόμενος *R* ‖ γωβρύην *R* ‖ 15. ὁρῶν *R* ‖ ἑστεῶτα *CP* ‖ ἤρετο *P* ‖ 16. χρῆται τῇ χερί *z* ‖ προμηθεόμενός σεο *AB* ‖ 17. γωβρύης *R* ‖ δὲ om. *ABCd* ‖ ὤθει *L* ‖ καὶ δι' ἀμφοτέρων τὸ ξίφος *z* ‖ 18. πυθόμενος *ABCsz* ‖ τε om. *ABCd* ‖ 20. αὐτέων *z* ‖ ἑωυτῶν] αὐτῶν *C* ‖ 21. ἕνεκεν *d* ‖ 22. αὐτέων *z* ‖ ἔθεον] ἔθεον ἔξω *R* ‖ 23. χρεόμενοι *P*

λάς, καὶ ἅμα ἔκτεινον πάντα τινὰ τῶν Μάγων τὸν ἐν ποσὶ γινόμενον. οἱ δὲ Πέρσαι μαθόντες τὸ γεγονὸς ἐκ τῶν ἑπτὰ καὶ τῶν Μάγων τὴν ἀπάτην, ἐδικαίευν καὶ αὐτοὶ ἕτερα τοιαῦτα ποιέειν, σπασάμενοι δὲ τὰ ἐγχειρίδια ἔκτεινον ὅκου τινὰ Μάγον εὕρισκον· εἰ δὲ μὴ νὺξ ἐπελθοῦσα ἔσχε, ἔλιπον ἂν οὐδένα Μάγον. ταύτην τὴν ἡμέρην θεραπεύουσι Πέρσαι κοινῇ μάλιστα τῶν ἡμερέων, καὶ ἐν αὐτῇ ὁρτὴν μεγάλην ἀνάγουσι, ἣ κέκληται ὑπὸ Περσέων μαγοφόνια· ἐν τῇ Μάγον οὐδένα ἔξεστι φανῆναι ἐς τὸ φῶς, ἀλλὰ κατ' οἴκους ἑωυτοὺς οἱ Μάγοι ἔχουσι τὴν ἡμέρην ταύτην.

80 Ἐπείτε δὲ κατέστη ὁ θόρυβος καὶ ἐκτὸς πέντε ἡμερέων ἐγένετο, ἐβουλεύοντο οἱ ἐπαναστάντες τοῖσι Μάγοισι περὶ τῶν πάντων πρηγμάτων καὶ ἐλέχθησαν λόγοι ἄπιστοι μὲν ἐνίοισι Ἑλλήνων, ἐλέχθησαν δ' ὦν. Ὀτάνης μὲν ἐκέλευε ἐς μέσον Πέρσῃσι καταθεῖναι τὰ πρήγματα, λέγων τάδε. "ἐμοὶ δοκέει ἕνα μὲν ἡμέων μούναρχον μηκέτι γενέσθαι· οὔτε γὰρ ἡδὺ οὔτε ἀγαθόν. εἴδετε μὲν γὰρ τὴν Καμβύσεω ὕβριν ἐπ' ὅσον ἐπεξῆλθε, μετεσχήκατε δὲ καὶ τῆς τοῦ Μάγου ὕβριος. κῶς δ' ἂν εἴη χρῆμα κατηρτημένον μουναρχίη, τῇ ἔξεστι ἀνευθύνῳ ποιέειν τὰ βούλεται; καὶ γὰρ ἂν τὸν ἄριστον ἀνδρῶν πάντων στάντα ἐς ταύτην ἐκτὸς τῶν ἐωθότων νοημάτων στήσειε. ἐγγίνεται μὲν γάρ οἱ ὕβρις ὑπὸ τῶν παρεόντων ἀγαθῶν, φθόνος δὲ ἀρχῆθεν ἐμφύεται ἀνθρώπῳ. δύο δ' ἔχων ταῦτα ἔχει πᾶσαν κακότητα· τὰ μὲν γὰρ ὕβρι

ὅτι ἑορτὴ παρὰ Πέρσαις τὰ μαγοφόνια

περὶ τῆς τῶν ἑπτὰ βουλῆς χάριν τῆς ἀρχῆς

---

19. κῶς - p. 309, 15 πάντα Stobaeus floril. XLIX 29

1. ἀπέκτεινον *C* ‖ 2. τὸ] τό τε Wesseling e cod. Cantabr. ‖ 7. αὐτῇ] αὐτῇ, κοινῇ *z* ‖ 8. ἄγουσι *PRz* ‖ μαγοφονία *CR*, μαγοφονίαι *dz* ‖ 11. ἐκτὸς *R*: ἐντὸς ‖ 12. ἐγένοντο *R* ‖ 13. πρηγμάτων πάντων *Pdz* ‖ 16. ὑμέων *d* ‖ μούναρχον] μούναρχον μοῦνον *z* ‖ γίνεσθαι *R* ‖ 17. μὲν om. *CP* ‖ ἐπόσον *CP* ‖ 18. ἐπεξῆλθε *ABdz*: ἐπεξήλθατε *C*, ἐξῆλθε *PR* ‖ μετέσχετε δὲ *R* ‖ γὰρ *C* ‖ 19. κῶς *PR*: πῶς Stob., καὶ ὡς *ABCdz* ‖ 20. ἀνευθύνως *sz* ‖ 21. ταύτην] ταύτην τὴν ἀρχὴν *Rz*. Stob. ‖ 22. στήσει *R* ‖ ὑπὸ - 24 ὕβρι om. *R* ‖ 23. ἐνφύεται *A*[1], ἐνεμφύεται *z* ‖ 24. ὕβρει *dz*. Stob.

κεκορημένος ἔρδει πολλὰ καὶ ἀτάσθαλα, τὰ δὲ φθόνῳ. καίτοι ἄνδρα γε τύραννον ἄφθονον ἔδεε εἶναι, ἔχοντά γε πάντα τὰ ἀγαθά. τὸ δὲ ὑπεναντίον τούτου ἐς τοὺς πολιήτας πέφυκε· φθονέει γὰρ τοῖσι ἀρίστοισι περιεοῦσί τε καὶ ζώουσι, χαίρει δὲ τοῖσι κακίστοισι τῶν ἀστῶν, διαβολὰς δὲ ἄριστος ἐνδέκεσθαι. ἀναρμοστότατον δὲ πάντων· ἤν τε γὰρ αὐτὸν μετρίως θωυμάζῃς, ἄχθεται ὅτι οὐ κάρτα θεραπεύεται, ἤν τε θεραπεύῃ τις κάρτα, ἄχθεται ἅτε θωπί. τὰ δὲ δὴ μέγιστα ἔρχομαι ἐρέων· νόμαιά τε κινέει πάτρια καὶ βιᾶται γυναῖκας κτείνει τε ἀκρίτους. πλῆθος δὲ ἄρχον πρῶτα μὲν οὔνομα πάντων κάλλιστον ἔχει, ἰσονομίην, δεύτερα δὲ τούτων τῶν ὁ μούναρχος ποιέει οὐδέν· πάλῳ μὲν ἀρχὰς ἄρχει, ὑπεύθυνον δὲ ἀρχὴν ἔχει, βουλεύματα δὲ πάντα ἐς τὸ κοινὸν ἀναφέρει. τίθεμαι ὦν γνώμην μετέντας ἡμέας μουναρχίην τὸ πλῆθος ἀέξειν· ἐν γὰρ τῷ πολλῷ ἔνι τὰ πάντα."

Ὀτάνης μὲν δὴ ταύτην γνώμην ἐσέφερε· Μεγάβυζος δὲ 81
ὀλιγαρχίῃ ἐκέλευε ἐπιτράπειν, λέγων τάδε. "τὰ μὲν Ὀτάνης εἶπε τυραννίδα παύων, λελέχθω κἀμοὶ ταῦτα, τὰ δ' ἐς τὸ πλῆθος ἄνωγε φέρειν τὸ κράτος, γνώμης τῆς ἀρίστης ἡμάρτηκε· ὁμίλου γὰρ ἀχρηίου οὐδέν ἐστι ἀσυνετώτερον οὐδὲ ὑβριστότερον. καὶ τυράννου ὕβριν φεύγοντας ἄνδρας ἐς δήμου ἀκολάστου ὕβριν πεσεῖν ἐστὶ οὐδαμῶς ἀνασχετόν. ὁ μὲν

Μεγαβύζου γνώμη

2. ἄνδρα - εἶναι Thomas M. p. 52. — 21. Bekkeri Anecd. p. 115.

1. ἔρδει *PR*. Stob.: ἐρδει *AB*, ἕρδει *Cdz* ‖ 2. γε om. *R* ‖ εἶναι ἔδει *d*, ἔδει εἶναι ceteri cum Stob. Thom. ‖ 3. τὰ om. *C* ‖ δὲ *BR*. Stob.: δ' ‖ τούτῳ *R* ‖ 5. ἄριστος *B*² marg. *s*: ἄριστον ceteri cum Stob. ‖ ἐνδέχεσθαι Stob. ‖ 6. πάντων ἀναρμόστατον Stob. ‖ 7. θωμάζῃς *AB*, θωμάζῃς *d*, θωμάζεις *R*, θαυμάζῃς Stob. ‖ ἀπέχθεται *dz* ‖ 8. θωπί *PR*. Stob.: θωπείαν *ABCd*, θωπείαν ἡγούμενος *z* ‖ 9. κινεῖ *L*. Stob. ‖ 10. ἀκρίτως *z* ‖ πάντων γὰρ om. *d* ‖ 11. δὲ om. *R* ‖ 12. μὲν γὰρ *Pz*, μὲν *R* ‖ ἄρχει] ἔχει *P* ‖ 13. τὸ κοινὸν] κεινὸν *C* ‖ 14. οὖν Stob. ‖ μεθέντας *ABd*. Stob. ‖ 16. ταύτην τὴν *Rz* ‖ 17. ἐπιτραπεῖν *CPd* ‖ 18. καὶ μοὶ *A*, καιμοὶ *B*, καὶ ἐμοὶ *R* ‖ τάδε *C*¹ ‖ 19. ἄνωγε] ἄνωγε κελεύων *R* ‖ 20. ἀξυνετώτερον *L* ‖ 21. ὑβριστότερον *ABR*. Bekk. An.: ὑβριστικώτερον ‖ καίτοι *R* ‖ φέροντας *P* ‖ 22. πεσέειν *L* ‖ ἔστι *Pz*, ἔστιν *R* ‖ ἀνάσχετον *ABd*, ἀνάσχετὸν *R*

γὰρ εἴ τι ποιέει, γινώσκων ποιέει, τῷ δὲ οὐδὲ γινώσκειν ἔνι· κῶς γὰρ ἂν γινώσκοι ὃς οὔτ' ἐδιδάχθη οὔτε εἶδε καλὸν οὐδὲν [οὐδ'] οἰκήιον, ὠθέει τε ἐμπεσὼν τὰ πρήγματα ἄνευ νόου, χειμάρρῳ ποταμῷ εἴκελος; δήμῳ μέν νυν, οἳ Πέρσῃσι κακὸν νοέουσι, οὗτοι χράσθων, ἡμεῖς δὲ ἀνδρῶν τῶν ἀρίστων ἐπιλέξαντες ὁμιλίην τούτοισι περιθέωμεν τὸ κράτος· ἐν γὰρ δὴ τούτοισι καὶ αὐτοὶ ἐνεσόμεθα· ἀρίστων δὲ ἀνδρῶν οἰκὸς ἄριστα βουλεύματα γίνεσθαι."

82 Μεγάβυζος μὲν δὴ ταύτην γνώμην ἐσέφερε· τρίτος δὲ Δαρεῖος ἀπεδείκνυτο γνώμην, λέγων "ἐμοὶ δὲ τὰ μὲν εἶπε Μεγάβυζος ἐς τὸ πλῆθος ἔχοντα δοκέει ὀρθῶς λέξαι, τὰ δὲ ἐς ὀλιγαρχίην οὐκ ὀρθῶς. τριῶν γὰρ προκειμένων καὶ πάντων τῷ λόγῳ ἀρίστων ἐόντων, δήμου τε ἀρίστου καὶ ὀλιγαρχίης καὶ μουνάρχου, πολλῷ τοῦτο προέχειν λέγω. ἀνδρὸς γὰρ ἑνὸς τοῦ ἀρίστου οὐδὲν ἄμεινον ἂν φανείη· γνώμῃ γὰρ τοιαύτῃ χρεώμενος ἐπιτροπεύοι ἂν ἀμωμήτως τοῦ πλήθεος, σιγῷτό τε ἂν βουλεύματα ἐπὶ δυσμενέας ἄνδρας οὕτω μάλιστά. ἐν δὲ ὀλιγαρχίῃ πολλοῖσι ἀρετὴν ἐπασκέουσι ἐς τὸ κοινὸν ἔχθεα ἴδια ἰσχυρὰ φιλέει ἐγγίνεσθαι· αὐτὸς γὰρ ἕκαστος βουλόμενος κορυφαῖος εἶναι γνώμῃσί τε νικᾶν ἐς ἔχθεα μεγάλα ἀλλήλοισι ἀπικνέονται, ἐξ ὧν στάσιες ἐγγίνονται, ἐκ δὲ τῶν στασίων φόνος· ἐκ δὲ τοῦ φόνου ἀπέβη ἐς μουναρχίην, καὶ ἐν τούτῳ διέδεξε ὅσῳ ἐστὶ τοῦτο ἄριστον. δήμου τε αὖ ἄρχοντος ἀδύνατα μὴ οὐ κακότητα ἐγγίνεσθαι· κακότητος τοίνυν ἐγγινομένης ἐς τὰ κοινὰ ἔχθεα μὲν οὐκ ἐγγί-

---

10. ἐμοὶ - p. 311, 10 περιστέλλειν Stobaeus floril. XLVII 24

1. οὐδὲ *PR*: οὐ ‖ 2. ἴδε *R*, οἶδε *C*(?)z ‖ 3. οὐδ' damnavit Valckenaer. οὐδὲ *R* ‖ ἐμπεσὸν *AB* ‖ 4. εἰκλέος (ιε) *A*, ἴκελος *Rz* ‖ κακῶς *R* ‖ 5. χράσθην *d* ‖ 6. περιθείομεν z ‖ κάρτος *B* ‖ 7. δὲ *PRz*: τε ‖ εἰκὸς *dz* ‖ 9. δὴ om. *R* ‖ γνώμην om. *R* ‖ εἰσέφερε z ‖ 10. ἀπεδείκνυε *R* ‖ δὲ om. *d* ‖ 11. δ' *CPz* ‖ 13. τῷ λόγῳ Stob.: τῶν λέγω ‖ 14. μονάρχου Stob. ‖ 15. ἑνός του z ‖ 16. τοιαύτῃ om. *d* ‖ χρεόμενος *P*, χρώμενος Stob. ‖ 19. αὐτῶν z ‖ 20. εἰς *d* ‖ 21. ἀποκνέονται *R* ‖ στάσεις *R*. Stob. ‖ 22. στάσεων *R*. Stob. ‖ 23. διέδοξεν *R*. Stob. ‖ ὅσον z ‖ 24. ἀδύνατον Stob. ‖ ἐγγίνεσθαι *PR*. Stob.: ἐγγενέσθαι

νεται τοῖσι κακοῖσι, φιλίαι δὲ ἰσχυραί· οἱ γὰρ κακοῦντες τὰ κοινὰ συγκύψαντες ποιεῦσι. τοῦτο δὲ τοιοῦτο γίνεται ἐς ὃ ἂν προστάς τις τοῦ δήμου τοὺς τοιούτους παύσῃ. ἐκ δὲ αὐτῶν θωυμάζεται οὗτος δὴ ὑπὸ τοῦ δήμου, θωυμαζόμενος δὲ ἀν' ὦν ἐφάνη μούναρχος ἐών. καὶ ἐν τούτῳ δηλοῖ καὶ οὗτος ὡς ἡ μουναρχίη κράτιστον. ἑνὶ δὲ ἔπεϊ πάντα συλλαβόντα εἰπεῖν, κόθεν ἡμῖν ἡ ἐλευθερίη ἐγένετο καὶ τεῦ δόντος; κότερα παρὰ τοῦ δήμου ἢ ὀλιγαρχίης ἢ μουνάρχου; ἔχω τοίνυν γνώμην ἡμέας ἐλευθερωθέντας διὰ ἕνα ἄνδρα τὸ τοιοῦτο περιστέλλειν, χωρίς τε. τούτου πατρίους νόμους μὴ λύειν ἔχοντας εὖ· οὐ γὰρ ἄμεινον."

Γνῶμαι μὲν δὴ τρεῖς αὗται προεκέατο, οἱ δὲ τέσσερες 83
τῶν ἑπτὰ ἀνδρῶν προσέθεντο ταύτῃ. ὡς δὲ ἑσσώθη τῇ γνώμῃ ὁ Ὀτάνης Πέρσῃσι ἰσονομίην σπεύδων ποιῆσαι, ἔλεξε ἐς μέσον αὐτοῖσι τάδε. "ἄνδρες στασιῶται, δῆλα γὰρ δὴ ὅτι δεῖ ἕνα γε τινὰ ἡμέων βασιλέα γενέσθαι, ἤτοι κλήρῳ γε λαχόντα, ἢ ἐπιτρεψάντων τῷ Περσέων πλήθεϊ τὸν ἂν ἐκεῖνο ἕληται, ἢ ἄλλῃ τινὶ μηχανῇ· ἐγὼ μέν νυν ὑμῖν οὐκ ἐναγωνιεῦμαι. οὔτε γὰρ ἄρχειν οὔτε ἄρχεσθαι ἐθέλω· ἐπὶ τούτῳ δὲ ὑπεξίσταμαι τῆς ἀρχῆς, ἐπ' ᾧ τε ὑπ' οὐδενὸς ὑμέων ἄρξομαι, οὔτε αὐτὸς ἐγὼ οὔτε οἱ ἀπ' ἐμεῦ αἰεὶ γινόμενοι." τούτου εἴπαντος ταῦτα ὡς συνεχώρεον οἱ ἕξ ἐπὶ τούτοισι, οὗτος μὲν δή σφι οὐκ ἐνηγωνίζετο ἀλλ' ἐκ τοῦ μέσου κατῆστο, καὶ νῦν αὕτη ἡ οἰκίη διατελέει μούνη ἐλευθέρη ἐοῦσα Περσέων καὶ ἄρχεται τοσαῦτα ὅσα αὐτὴ θέλει, νόμους οὐκ

1. κακοῖσι om. *z* ‖ 2. συγκύψαντες Stob.: συγκρίψαντες *R*, συγράψαντες *d*, συγκρύψαντες reliqui ‖ ποιέουσι Stob. ‖ τοιοῦτον *R* ‖ ἐσὸ *ABPpr*. ‖ 3. προστάσις *A*[1], προστάστις *B*, προστάτης *A*[2] ‖ αὐτῶν] αὖ τῶνδε Valckenaer ‖ 4. θωμάζεται οὗτος *d*, θαυμάζεται. οὗτος Stob. ‖ δὲ ἂν ὧν ἐφάνη *CPRz*, δὲ ὧν ἂν ἐφάνη *d*, δή, ἂν ὧν ἐφάνη *z*, ἐφάνη Stob. ‖ 5. μούναρχος ἐών *PRz*: ἐὰν μούναρχος Stob., ὁ μούναρχος *ABCd* ‖ 6. ἔπει *ABPdz*, ἐπὶ Stob. ‖ 7. καί τευ *z* ‖ 8. τοῦ om. *R*. Stob. ‖ 10. τοιοῦτον *R* ‖ 12. προσεκέατο *R*, προσκέατο *qz* ‖ αὗται ante δὴ et τρεῖς post προεκέατο *d* ‖ τέσσαρες *ABRd* ‖ 13. ἐσώθη *R* ‖ 16. γέ τινα *L* ‖ 17. λαχόντα *PR*: λαχόντων ‖ πλήθει *ABd* ‖ ἐκεῖνος ἕληται *Rd*, ἐκεῖνοι ἕλωνται *z* ‖ 18. ἄλλην τινὰ μηχανὴν *dz* ‖ ἀγωνιεῦμαι *d* ‖ 19. θέλω *PR* ‖ 20. ὑπ] ἐπ' *z* ‖ ἄρχεσθαι *R* ‖ 22. ταῦτα om. *R* ‖ ὡς om. *Pdz* ‖ 23. ἠγωνίζετο *d* ‖ τοῦ μέσου *CR*: μέσου ‖ καθῆστο *L* ‖ 25. καὶ - p. 312, 1 Περσέων om. *B*[1] ‖ ἄρχεται] οὔτε ἄρχεται πλὴν *R* ‖ οὐχ *R*

84 ὑπερβαίνουσα τοὺς Περσέων. οἱ δὲ λοιποὶ τῶν ἑπτὰ ἐβουλεύοντο ὡς βασιλέα δικαιότατα στήσονται· καί σφι ἔδοξε Ὀτάνῃ μὲν καὶ τοῖσι ἀπὸ Ὀτάνεω αἰεὶ γινομένοισι, ἢν ἐς ἄλλον τινὰ τῶν ἑπτὰ ἔλθῃ ἡ βασιληίη, ἐξαίρετα δίδοσθαι ἐσθῆτά τε Μηδικὴν ἔτεος ἑκάστου καὶ τὴν πᾶσαν δωρεὴν ἣ γίνεται ἐν Πέρσῃσι τιμιωτάτη. τοῦδε δὲ εἵνεκεν ἐβούλευσάν οἱ δίδοσθαι ταῦτα, ὅτι ἐβούλευσέ τε πρῶτος τὸ πρῆγμα καὶ συνέστησε αὐτούς. ταῦτα μὲν δὴ Ὀτάνῃ ἐξαίρετα· τάδε δὲ ἐς τὸ κοινὸν ἐβούλευσαν, παριέναι ἐς τὰ βασιλήια πάντα τὸν βουλόμενον τῶν ἑπτὰ ἄνευ ἐσαγγελέος, ἢν μὴ τυγχάνῃ εὕδων μετὰ γυναικὸς βασιλεύς, γαμέειν δὲ μὴ ἐξεῖναι ἄλλοθεν τῷ βασιλέι ἢ ἐκ τῶν συνεπαναστάντων. περὶ δὲ τῆς βασιληίης ἐβούλευσαν τοιόνδε· ὅτευ ἂν ὁ ἵππος ἡλίου ἐπανατέλλοντος πρῶτος φθέγξηται ἐν τῷ προαστείῳ αὐτῶν ἐπιβεβηκότων, τοῦτον ἔχειν τὴν βασιληίην.

85 Δαρείῳ δὲ ἦν ἱπποκόμος ἀνὴρ σοφός, τῷ οὔνομα ἦν Οἰβάρης. πρὸς τοῦτον τὸν ἄνδρα, ἐπείτε διελύθησαν, ἔλεξε Δαρεῖος τάδε. "Οἴβαρες, ἡμῖν δέδοκται περὶ τῆς βασιληίης ποιέειν κατὰ τάδε· ὅτευ ἂν ὁ ἵππος πρῶτος φθέγξηται ἅμα τῷ ἡλίῳ ἀνιόντι αὐτῶν ἐπαναβεβηκότων, τοῦτον ἔχειν τὴν βασιληίην. νῦν ὦν εἴ τινα ἔχεις σοφίην, μηχανῶ ὡς ἂν ἡμεῖς σχῶμεν τοῦτο τὸ γέρας καὶ μὴ ἄλλος τις." ἀμείβεται Οἰβάρης τοῖσιδε. "εἰ μὲν δὴ ὦ δέσποτα ἐν τούτῳ τοι ἐστὶ ἢ βασιλέα εἶναι ἢ μή, θάρσεε τούτου εἵνεκεν καὶ θυμὸν ἔχε ἀγαθόν, ὡς βασιλεὺς οὐδεὶς ἄλλος πρὸ σεῦ ἔσται· τοιαῦτα

τίνι τρόπῳ τὴν βασιλείαν ἔσχε Δαρεῖος

12 sqq. (Zonaras annal. IV 3). — 13. ὅτευ - 14 φθέγξηται Eustathius Il. p. 1190

1. τοὺς] τῶν *Rd* ‖ 3. ὀτάνεω *P*: ὀτάνεως *z*, ὀνάτεος reliqui ‖ 4. ἔλθοι *AB* ‖ 6. τούτου δὲ εἵνεκα *R* ‖ 9. δὲ om. *R* ‖ 11. βασίλεια *d* ‖ 12. βασιλεῖ *ABd* ‖ συγαναστάντων *R* ‖ 13. ἐβουλεύσαντο *R* ‖ ὅτου Eust. ‖ ἐπανατείλαντος *R*. Eust., ἀνατείλαντος Zon. ‖ 14. τῷ om. *CP* ‖ προαστίῳι *AB* ‖ 15. τὴν καμβύσεω βασιληίην *R* ‖ 19. κατὰ om. *R* ‖ πρῶτος om. *Pd* ‖ 21. ἔχοις *qz* ‖ 22. ἔχωμεν τοῦτο γέρας *R* ‖ 23. τοῖσδε *L*[1] ‖ τοί ἐστι *L* ‖ 24. θάρσει *ABR* ‖ εἵνεκε *z*

ἔχω φάρμακα.” λέγει Δαρεῖος “εἰ τοίνυν τι τοιοῦτον ἔχεις
σόφισμα, ὥρη μηχανᾶσθαι καὶ μὴ ἀναβάλλεσθαι, ὡς τῆς
ἐπιούσης ἡμέρης ὁ ἀγὼν ἡμῖν ἐστι.” ἀκούσας ταῦτα ὁ Οἰ-
βάρης ποιέει τοιόνδε. ὡς ἐγίνετο ἡ νύξ, τῶν θηλέων ἵππων
μίαν, τὴν ὁ Δαρείου ἵππος ἔστεργε μάλιστα, ταύτην ἀγαγὼν
ἐς τὸ προάστειον κατέδησε καὶ ἐπήγαγε τὸν Δαρείου ἵππον
καὶ τὰ μὲν πολλὰ περιῆγε ἀγχοῦ τῇ ἵππῳ ἐγχρίμπτων τῇ
θηλέῃ, τέλος δὲ ἐπῆκε ὀχεῦσαι τὸν ἵππον. ἅμ’ ἡμέρῃ δὲ 86
διαφωσκούσῃ οἱ ἓξ κατὰ συνεθήκαντο παρῆσαν ἐπὶ τῶν ἵπ-
πων· διεξελαυνόντων δὲ κατὰ τὸ προάστειον, ὡς κατὰ τοῦτο
τὸ χωρίον ἐγίνοντο ἵνα τῆς παροιχομένης νυκτὸς κατεδέδετο
ἡ θήλεα ἵππος, ἐνθαῦτα ὁ Δαρείου ἵππος προσδραμὼν ἐχρε-
μέτισε· ἅμα δὲ τῷ ἵππῳ τοῦτο ποιήσαντι ἀστραπὴ ἐξ αἰθρίης
καὶ βροντὴ ἐγένετο. ἐπιγενόμενα δὲ ταῦτα τῷ Δαρείῳ ἐτε-
λέωσέ μιν ὥσπερ ἐκ συνθέτου τευ γενόμενα· οἱ δὲ κατα-
θορόντες ἀπὸ τῶν ἵππων προσεκύνεον τὸν Δαρεῖον. οἱ μὲν 87
δή φασι τὸν Οἰβάρεα ταῦτα μηχανήσασθαι, οἱ δὲ τοιάδε (καὶ
γὰρ ἐπ’ ἀμφότερα λέγεται ὑπὸ Περσέων), ὡς τῆς ἵππου ταύ-
της τῶν ἄρθρων ἐπιψαύσας τῇ χειρὶ ἔχοι αὐτὴν κρύψας ἐν
τῇσι ἀναξυρίσι· ὡς δὲ ἅμα τῷ ἡλίῳ ἀνιόντι ἀπίεσθαι μέλ-
λειν τοὺς ἵππους, τὸν Οἰβάρεα τοῦτον ἐξείραντα τὴν χεῖρα
πρὸς τοῦ Δαρείου ἵππου τοὺς μυκτῆρας προσενεῖκαι, τὸν δὲ
αἰσθόμενον φριμάξασθαί τε καὶ χρεμετίσαι.

Δαρεῖός τε δὴ ὁ Ὑστάσπεος βασιλεὺς ἀπεδέδεκτο, καί οἱ 88

περὶ τῆς Δαρείου βασιλείας καὶ ὧν ἔγημε γυναικῶν καὶ ὧν ἐν Πέρσαις κατέστησεν

---

15. ὥσπερ - γενόμενα Thomas M. p. 347. — 23. Λέξεις

2. ὥρῃ z ‖ 3. ὁ om. *R* ‖ ἐστιν ἡμῖν *d* ‖ 4. ἡ om. *R* ‖ θηλεῶν *P* ‖ 5. μίην z ‖ ἀγὼν *P*[1] ‖ 6. προάστιον *A*[1]*B* ‖ 7. περιῆγε *P*. Zon.: περίηγεν *R*, περιήγαγε reliqui ‖ ἐγχρίπτων *Rd* ‖ 8. θηλέϊ z ‖ τὴν z. Zon. ‖ 9. διαφαυσκούσῃ *R* ‖ κατὰ *ABpr*. ‖ παρήϊσαν *R* ‖ 10. προάστιον *AB* ‖ 11. ἐγένοντο z ‖ 13. ἵππω *R* ‖ αἴθρης *R* ‖ 15. τεῦ *Rd* ‖ καταθορῶντες *d* ‖ 16. προσεκύνεόν μιν *sz* ‖ τὸν Δαρεῖον ὡς βασιλῆα z ‖ 19. χερὶ *d* ‖ ἔχει *Pdz* ‖ ἐν τοῖσιν *R*, ἔν τισιν *d* ‖ 20. ἀπίσθαι *R* ‖ 21. οἰβάρεα *AB*[1] ‖ ἐξαείραντα *B*[2] ‖ 22. πρὸς] προσενεῖκε πρὸς *R* ‖ προσενεῖκαι om. *R* ‖ 24. καὶ οἳ *R*

ἑκὼν παρίῃ, αὐτῷ οἱ ἄμεινον ἐς χρόνον ἔσται· ὃς δ' ἂν ἀντιβαίνειν πειρᾶται, δεικνύσθω ἐνθαῦτα ἐὼν πολέμιος, καὶ
73 ἔπειτα ὠσάμενοι ἔσω ἔργου ἐχώμεθα." λέγει Γοβρύης μετὰ ταῦτα "ἄνδρες φίλοι, ἡμῖν κότε κάλλιον παρέξει ἀνασώσασθαι τὴν ἀρχήν, ἢ εἴ γε μὴ οἷοί τε ἐσόμεθα αὐτὴν ἀναλαβεῖν ἀποθανεῖν; ὅτε γε ἀρχόμεθα μὲν ἐόντες Πέρσαι ὑπὸ Μήδου ἀνδρὸς Μάγου, καὶ τούτου ὦτα οὐκ ἔχοντος. ὅσοι τε ὑμέων Καμβύσῃ νοσέοντι παρεγένοντο, πάντως κου μέμνησθε τὰ ἐπέσκηψε Πέρσῃσι τελευτῶν τὸν βίον μὴ πειρωμένοισι ἀνακτᾶσθαι τὴν ἀρχήν· τὰ τότε οὐκ ἐνεδεκόμεθα, ἀλλ' ἐπὶ διαβολῇ ἐδοκέομεν εἰπεῖν Καμβύσεα. νῦν ὦν τίθεμαι ψῆφον πείθεσθαι Δαρείῳ καὶ μὴ διαλύεσθαι ἐκ τοῦ συλλόγου τοῦδε ἄλλοθι ἰόντας ἢ ἐπὶ τὸν Μάγον ἰθέως." ταῦτα εἶπε Γοβρύης καὶ πάντες ταύτῃ αἴνεον.

74 Ἐν ᾧ δὲ οὗτοι ταῦτα ἐβουλεύοντο, ἐγίνετο κατὰ συντυχίην τάδε. τοῖσι Μάγοισι ἔδοξε βουλευομένοισι Πρηξάσπεα φίλον προσθέσθαι, ὅτι τε ἐπεπόνθεε πρὸς Καμβύσεω ἀνάρσια, ὅς οἱ τὸν παῖδα τοξεύσας ἀπολωλέκεε, καὶ διότι μοῦνος ἠπίστατο τὸν Σμέρδιος τοῦ Κύρου θάνατον αὐτοχειρίῃ μιν ἀπολέσας, πρὸς δ' ἔτι ἐόντα ἐν αἴνῃ μεγίστῃ τὸν Πρηξάσπεα ἐν Πέρσῃσι. τούτων δή μιν εἵνεκεν καλέσαντες φίλον προσεκτῶντο πίστι τε λαβόντες καὶ ὁρκίοισι, ἦ μὲν ἕξειν παρ' ἑωυτῷ μηδ' ἐξοίσειν μηδενὶ ἀνθρώπων τὴν ἀπὸ σφέων ἀπάτην ἐς Πέρσας γεγονυῖαν, ὑπισχνεύμενοι τὰ πάντα οἱ μυρία δώσειν. ὑποσχομένου δὲ τοῦ Πρηξάσπεος ποιήσειν ταῦτα,

---

4. ἄνδρες - 6 ἀποθανεῖν Lexicon Vindob. p. 20

1. παρίῃ *R*: παρείῃι *ABCP*, παρείῃ *dz* || 2. διαδεικνύσθω *R* || ἐνταῦθα *d* || 3. ἐχόμεθα *R* || γωβρύης *R* || 4. ἡμὶν κοτε *C*, ἡμῖν κοτε *P* || παρέξειν *z* || 5. τ' *R* || αὐτὴν om. Lex. Vind. || 6. γε *PR*: γὰρ || μὲν om. *d* || 8. παρεγένοντο νοσέοντι *R* || 9. πειρεωμένοισι *Cdz*, πειρεομένοισι *P* || 10. ἐνεδεχόμεθα *AB* || 11. ἐδοκέωμεν *B* || 13. ἀλλ' ἰόντας ἐπὶ *R* || γωβρύης *R* || 14. ταῦτα *R* || ἔναιον *C* || 18. ὅτι *R* || 19. ἡ ἐπίστατο *R* (sic) || αὐτοχειρείῃ *d* || 20. ἐν αἰτίῃ *R* || 21. εἵνεκε *z* || προσεκτέωντο *Cz*, προσεκτέοντο *Pd* || 22. πίστει *PRz*, πίστις *ABC*, πίστεις *d*. fortasse πίστισι || μὴν *Rz* || 23. μηδενὶ] παρὰ μηδενὶ *z* || 24. γεγονοῖαν *A*[1]*B* || ὑπισχνούμενοι *AB*, ὑπισχόμενοι *R* || μοιρία *C* || 25. ὑποδεχομένου *R* || πρηξάσπεω *sz*

ὡς ἀνέπεισάν μιν οἱ Μάγοι, δεύτερα προσέφερον, αὐτοὶ μὲν φάμενοι Πέρσας πάντας συγκαλέειν ὑπὸ τὸ βασιλήιον τεῖχος, κεῖνον δ' ἐκέλευον ἀναβάντα ἐπὶ πύργον ἀγορεῦσαι ὡς ὑπὸ τοῦ Κύρου Σμέρδιος ἄρχονται καὶ ὑπ' οὐδενὸς ἄλλου. ταῦτα δὲ οὕτω ἐνετέλλοντο ὡς πιστοτάτου δῆθεν ἐόντος αὐτοῦ ἐν Πέρσῃσι, καὶ πολλάκις ἀποδεξαμένου γνώμην ὡς περιείη ὁ Κύρου Σμέρδις, καὶ ἐξαρνησαμένου τὸν φόνον αὐτοῦ. φαμέ- 75
νου δὲ καὶ ταῦτα ἑτοίμου εἶναι ποιέειν τοῦ Πρηξάσπεος, συγκαλέσαντες Πέρσας οἱ Μάγοι ἀνεβίβασαν αὐτὸν ἐπὶ πύργον καὶ ἀγορεύειν ἐκέλευον. ὁ δὲ τῶν μὲν δὴ ἐκεῖνοι προσεδέοντο αὐτοῦ, τούτων μὲν ἑκὼν ἐπελήθετο, ἀρξάμενος δὲ ἀπ' Ἀχαιμένεος ἐγενεηλόγησε τὴν πατριὴν τὴν Κύρου, μετὰ δὲ ὡς ἐς τοῦτον κατέβη τελευτῶν ἔλεγε ὅσα ἀγαθὰ Κῦρος Πέρσας πεποιήκοι, διεξελθὼν δὲ ταῦτα ἐξέφαινε τὴν ἀληθείην, φάμενος πρότερον μὲν κρύπτειν (οὐ γάρ οἱ εἶναι ἀσφαλὲς λέγειν τὰ γενόμενα), ἐν δὲ τῷ παρεόντι ἀναγκαίην μιν καταλαμβάνειν φαίνειν. καὶ δὴ ἔλεγε τὸν μὲν Κύρου Σμέρδιν ὡς αὐτὸς ὑπὸ Καμβύσεω ἀναγκαζόμενος ἀποκτείνειε, τοὺς Μάγους δὲ βασιλεύειν. Πέρσῃσι δὲ πολλὰ ἐπαρησάμενος εἰ μὴ ἀνακτησαίατο ὀπίσω τὴν ἀρχὴν καὶ τοὺς Μάγους τισαίατο, ἀπῆκε ἑωυτὸν ἐπὶ κεφαλὴν φέρεσθαι ἀπὸ τοῦ πύργου κάτω. Πρηξάσπης μέν νυν ἐὼν τὸν πάντα χρόνον ἀνὴρ δόκιμος οὕτω ἐτελεύτησε.

Οἱ δὲ δὴ ἑπτὰ τῶν Περσέων ὡς ἐβουλεύσαντο αὐτίκα 76
ἐπιχειρέειν τοῖσι Μάγοισι καὶ μὴ ὑπερβάλλεσθαι, ἤισαν εὐξάμενοι τοῖσι θεοῖσι, τῶν περὶ Πρηξάσπεα πρηχθέντων εἰδότες οὐδέν. ἔν τε δὴ τῇ ὁδῷ μέσῃ στείχοντες ἐγίνοντο καὶ τὰ

περὶ τῆς Πρηξάσπους τελευτῆς

2. συγκαλέσειν *R* ‖ ἐπὶ *d* ‖ 3. δὲ *R* ‖ ἀναγορεῦσαι *d* ‖ 6. πολλάκις τε *R* ‖ ὥσπερ εἴη *R* ‖ 8. πρηξάσπεω *sz* ‖ 9. τοὺς Πέρσας *z* ‖ ἐπὶ τὸν πύργον *dz* ‖ 10. μὲν δὴ Bekker: μέντοι *CP*, μέν τι reliqui ‖ 11. ἐπελάθετο *P* ‖ 12. τὴν Κύρου] τοῦ κύρου *Ppr.Rz* ‖ 13. τοῦτο *z* ‖ 14. πεποιήκει *Cd* ‖ ἀληθηΐην *z* ‖ 16. ἀναγκαίη *R* ‖ 17. φαίνειν om. *sz* ‖ 22. ἐόν *z* ‖ τὸν om. *R* ‖ 25. ἤεσαν *sz* ‖ 26. πραχθέντων *d* ‖ 27. δὴ om. *ABd* ‖ στίχοντες *AB*

περὶ Πρηξάσπεα γεγονότα ἐπυνθάνοντο. ἐνθαῦτα ἐκστάντες
τῆς ὁδοῦ ἐδίδοσαν αὖτις σφίσι λόγους, οἱ μὲν ἀμφὶ τὸν Ὀτά-
νην πάγχυ κελεύοντες ὑπερβαλέσθαι μηδὲ οἰδεόντων τῶν
πρηγμάτων ἐπιτίθεσθαι, οἱ δὲ ἀμφὶ τὸν Δαρεῖον αὐτίκα τε
ἰέναι καὶ τὰ δεδογμένα ποιέειν μηδὲ ὑπερβάλλεσθαι. ὠθιζο-
μένων δ᾽ αὐτῶν ἐφάνη ἰρήκων ἑπτὰ ζεύγεα δύο αἰγυπιῶν
ζεύγεα διώκοντα καὶ τίλλοντά τε καὶ ἀμύσσοντα. ἰδόντες δὲ
ταῦτα οἱ ἑπτὰ τήν τε Δαρείου πάντες αἴνεον γνώμην καὶ
ἔπειτα ἤισαν ἐπὶ τὰ βασιλήια τεθαρσηκότες τοῖσι ὄρνισι.
77 ἐπιστᾶσι δὲ ἐπὶ τὰς πύλας ἐγίνετο οἷόν τι Δαρείῳ ἡ γνώμη
ἔφερε· καταιδεόμενοι γὰρ οἱ φύλακοι ἄνδρας τοὺς Περσέων
πρώτους καὶ οὐδὲν τοιοῦτο ὑποπτεύοντες ἐξ αὐτῶν ἔσεσθαι,
παρίεσαν θείῃ πομπῇ χρεωμένους, οὐδ᾽ ἐπειρώτα οὐδείς.
ἐπείτε δὲ καὶ παρῆλθον ἐς τὴν αὐλήν, ἐνέκυρσαν τοῖσι τὰς
ἀγγελίας ἐσφέρουσι εὐνούχοισι· οἵ σφεας ἱστόρεον ὅ τι θέλον-
τες ἥκοιεν, καὶ ἅμα ἱστορέοντες τούτους τοῖσι πυλουροῖσι
ἀπείλεον ὅτι σφέας παρῆκαν, ἴσχόν τε βουλομένους τοὺς ἑπτὰ
ἐς τὸ πρόσω παριέναι. οἱ δὲ διακελευσάμενοι καὶ σπασάμενοι
τὰ ἐγχειρίδια τούτους μὲν τοὺς ἴσχοντας αὐτοῦ ταύτῃ συγκεν-
78 τέουσι, αὐτοὶ δὲ ἤισαν δρόμῳ ἐς τὸν ἀνδρεῶνα. οἱ δὲ Μάγοι
ἔτυχον ἀμφότεροι τηνικαῦτα ἐόντες τε ἔσω καὶ τὰ ἀπὸ Πρη-
ξάσπεος γενόμενα ἐν βουλῇ ἔχοντες. ἐπεὶ ὦν εἶδον τοὺς
εὐνούχους τεθορυβημένους τε καὶ βοῶντας, ἀνά τε ἔδραμον
πάλιν ἀμφότεροι καὶ ὡς ἔμαθον τὸ ποιεύμενον πρὸς ἀλκὴν

---

3. κελεύοντες - 4 ἐπιτίθεσθαι Eustathius Od. p. 1441. — 6. Λέξεις. — 7. Λέξεις. — 20. Eustathius Od. p. 1573

2. αὖτις σφίσι *PR*: αὐτοῖσι σφίσι *ABz*, αὐτοῖσί σφισι *Cd* ‖ 3. ὑπερβαλέσθαι *ABRz*. Eust.: ὑπερβαλλέεσθαι *C*, ὑπερβαλέεσθαι *d*, ὑπερβάλλεσθαι *P* ‖ μὴ δέ οἱ δεόντων *sz*, καὶ μὴ οἰδούντων Eust. ‖ 5. μὴ δ᾽ *PRz* ‖ ὑπερβαλέσθαι *R* ‖ 6. ἰρήκων *Rdz* ‖ ζεύγη δύο αἰγυπτιῶν *R* ‖ 7. τε post διώκοντα *PRz* ‖ 9. ἤεσαν *z* ‖ τεθαρσηκότες *R*: τεθαρρηκότες ‖ 10. ἐπιστάντες *R* ‖ ἡ om. *ABd* ‖ 11. φύλακες *d* ‖ 12. τοιοῦτον *CRdz* ‖ 13. παρείησαν *dz* ‖ χρεομένους *P* ‖ οὐδὲ *R* ‖ ἐπηρώτα *CPz* ‖ 14. καὶ om. *C* ‖ εἰς *R* ‖ 15. εἰσφέρουσι *d* ‖ οἵ σφέας *R* ‖ 16. πυλουργοῖσι *C*, πυλωροῖσι *dz* ‖ 17. ἴσχον *L* ‖ 18. καὶ σπασάμενοι om. *A*[1] ‖ 20. ἤεσαν *ABdz*, ἠίεσαν *P* ‖ 21. τε om. *Rdz* ‖ ἔσω *R*: εἴσω ‖ πρηξάσπεω *sz* ‖ 23. τε καὶ] καὶ *ABCd* ‖ τ᾽ *R*

ἐτράποντο. ὁ μὲν δὴ αὐτῶν φθάνει τὰ τόξα κατελόμενος, ὁ δὲ πρὸς τὴν αἰχμὴν ἐτράπετο. ἐνθαῦτα δὴ συνέμισγον ἀλλήλοισι. τῷ μὲν δὴ τὰ τόξα ἀναλαβόντι αὐτῶν, ἐόντων τε ἀγχοῦ τῶν πολεμίων καὶ προσκειμένων, ἦν χρηστὰ οὐδέν· ὁ δ' ἕτερος τῇ αἰχμῇ ἠμύνετο καὶ τοῦτο μὲν Ἀσπαθίνην παίει ἐς τὸν μηρόν, τοῦτο δὲ Ἰνταφρένεα ἐς τὸν ὀφθαλμόν· καὶ ἐστερήθη μὲν τοῦ ὀφθαλμοῦ ἐκ τοῦ τρώματος ὁ Ἰνταφρένης, οὐ μέντοι ἀπέθανέ γε. τῶν μὲν δὴ Μάγων οὕτερος τρωματίζει τούτους· ὁ δὲ ἕτερος, ἐπείτε οἱ τὰ τόξα οὐδὲν χρηστὰ ἐγίνετο, ἦν γὰρ δὴ θάλαμος ἐσέχων ἐς τὸν ἀνδρεῶνα, ἐς τοῦτον καταφεύγει, θέλων αὐτοῦ προσθεῖναι τὰς θύρας, καί οἱ συνεσπίπτουσι τῶν ἑπτὰ δύο, Δαρεῖός τε καὶ Γοβρύης. συμπλακέντος δὲ Γοβρύεω τῷ Μάγῳ ὁ Δαρεῖος ἐπεστεὼς ἠπόρεε οἷα ἐν σκότεϊ, προμηθεόμενος μὴ πλήξῃ τὸν Γοβρύην. ὁρέων δέ μιν ἀργὸν ἐπεστεῶτα ὁ Γοβρύης εἴρετο ὅ τι οὐ χρᾶται τῇ χειρί· ὁ δὲ εἶπε "προμηθεόμενος σέο, μὴ πλήξω." Γοβρύης δὲ ἀμείβετο "ὦθεε τὸ ξίφος καὶ δι' ἀμφοτέρων." Δαρεῖος δὲ πειθόμενος ὦσέ τε τὸ ἐγχειρίδιον καὶ ἔτυχέ κως τοῦ Μάγου. ἀποκτείναντες δὲ τοὺς Μάγους καὶ ἀποταμόντες 79
αὐτῶν τὰς κεφαλάς, τοὺς μὲν τρωματίας ἑωυτῶν αὐτοῦ λείπουσι καὶ ἀδυνασίης εἵνεκεν καὶ φυλακῆς τῆς ἀκροπόλιος, οἱ δὲ πέντε αὐτῶν ἔχοντες τῶν Μάγων τὰς κεφαλὰς ἔθεον βοῇ τε καὶ πατάγῳ χρεώμενοι, καὶ Πέρσας τοὺς ἄλλους ἐπεκαλέοντο ἐξηγεόμενοί τε τὸ πρῆγμα καὶ δεικνύοντες τὰς κεφα-

---

11. **Bekkeri Anecd. p. 111. Photius et Suidas v. προσθεῖναι τὰς θύρας**

1. αὐτέων *z* ‖ 2. ἔνθα *R* ‖ δὲ *Rz* ‖ 3. λαβόντι *d* ‖ αὐτῶ *d*, αὐτέων *z* ‖ 4. ἀγχοῦ] ἀγχοῦ αὐτῷ *z* ‖ 5. δὲ *Rd* ‖ ἀσπαθίμην *B*, ἀσπαθήνην *R* ‖ 6. δ' *R* ‖ ἰνταφρένεα *R*: ἰνταφέρνεα ‖ 7. καὶ om. *d* ‖ ἰνταφρένης *R*: ἰνταφέρνης ‖ 8. ὁ ἕτερος *R* ‖ 9. τούτους τρωματίζει *R* ‖ δ' *AB* ‖ 10. χρήσιμα *PR* ‖ ἐγένετο *CRdz* ‖ 12. συνεσπίπτουσιν *AB*, συνεπιπίπτουσι *C*, συνεπίπτουσι *R* ‖ γωβρύης *R* ‖ 13. συμπλακέντος *Pdz*: συμπλεκέντος ‖ γωβρύεω *R* ‖ ἔτι ἑστεὼς *R* ‖ 14. ἠπόρει *L* ‖ σκότει *ABd* ‖ προθεόμενος *R* ‖ γωβρύην *R* ‖ 15. ὁρῶν *R* ‖ ἑστεῶτα *CP* ‖ ἤρετο *P* ‖ 16. χρῆται τῇ χερί *z* ‖ προμηθεόμενός σεο *AB* ‖ 17. γωβρύης *R* ‖ δὲ om. *ABCd* ‖ ὤθει *L* ‖ καὶ δι' ἀμφοτέρων τὸ ξίφος *z* ‖ 18. πυθόμενος *ABCsz* ‖ τε om. *ABCd* ‖ 20. αὐτέων *z* ‖ ἑωυτῶν] αὐτῶν *C* ‖ 21. ἕνεκεν *d* ‖ 22. αὐτέων *z* ‖ ἔθεον] ἔθεον ἔξω *R* ‖ 23. χρεόμενοι *P*

λάς, καὶ ἅμα ἔκτεινον πάντα τινὰ τῶν Μάγων τὸν ἐν ποσὶ γινόμενον. οἱ δὲ Πέρσαι μαθόντες τὸ γεγονὸς ἐκ τῶν ἑπτὰ καὶ τῶν Μάγων τὴν ἀπάτην, ἐδικαίευν καὶ αὐτοὶ ἕτερα τοιαῦτα ποιέειν, σπασάμενοι δὲ τὰ ἐγχειρίδια ἔκτεινον ὅκου τινὰ Μάγον εὕρισκον· εἰ δὲ μὴ νὺξ ἐπελθοῦσα ἔσχε, ἔλιπον ἂν οὐδένα Μάγον. ταύτην τὴν ἡμέρην θεραπεύουσι Πέρσαι κοινῇ μάλιστα τῶν ἡμερέων, καὶ ἐν αὐτῇ ὁρτὴν μεγάλην ἀνάγουσι, ἣ κέκληται ὑπὸ Περσέων μαγοφόνια· ἐν τῇ Μάγον οὐδένα ἔξεστι φανῆναι ἐς τὸ φῶς, ἀλλὰ κατ' οἴκους ἑωυτοὺς οἱ Μάγοι ἔχουσι τὴν ἡμέρην ταύτην.

80 Ἐπείτε δὲ κατέστη ὁ θόρυβος καὶ ἐκτὸς πέντε ἡμερέων ἐγένετο, ἐβουλεύοντο οἱ ἐπαναστάντες τοῖσι Μάγοισι περὶ τῶν πάντων πρηγμάτων καὶ ἐλέχθησαν λόγοι ἄπιστοι μὲν ἐνίοισι Ἑλλήνων, ἐλέχθησαν δ' ὦν. Ὀτάνης μὲν ἐκέλευε ἐς μέσον Πέρσῃσι καταθεῖναι τὰ πρήγματα, λέγων τάδε. "ἐμοὶ δοκέει ἕνα μὲν ἡμέων μούναρχον μηκέτι γενέσθαι· οὔτε γὰρ ἡδὺ οὔτε ἀγαθόν. εἴδετε μὲν γὰρ τὴν Καμβύσεω ὕβριν ἐπ' ὅσον ἐπεξῆλθε, μετεσχήκατε δὲ καὶ τῆς τοῦ Μάγου ὕβριος. κῶς δ' ἂν εἴη χρῆμα κατηρτημένον μουναρχίη, τῇ ἔξεστι ἀνευθύνῳ ποιέειν τὰ βούλεται; καὶ γὰρ ἂν τὸν ἄριστον ἀνδρῶν πάντων στάντα ἐς ταύτην ἐκτὸς τῶν ἐωθότων νοημάτων στήσειε. ἐγγίνεται μὲν γάρ οἱ ὕβρις ὑπὸ τῶν παρεόντων ἀγαθῶν, φθόνος δὲ ἀρχῆθεν ἐμφύεται ἀνθρώπῳ. δύο δ' ἔχων ταῦτα ἔχει πᾶσαν κακότητα· τὰ μὲν γὰρ ὕβρι

ὅτι ἑορτὴ παρὰ Πέρσαις τὰ μαγοφόνια χάριν τῆς ἀρχῆς

περὶ τῆς τῶν ἑπτὰ βουλῆς

19. κῶς - p. 309, 15 πάντα Stobaeus floril. XLIX 29

1. ἀπέκτεινον C ‖ 2. τὸ] τό τε Wesseling e cod. Cantabr. ‖ 7. αὐτῇ] αὐτῇ, κοινῇ z ‖ 8. ἄγουσι PRz ‖ μαγοφονία CR, μαγοφονίαι dz ‖ 11. ἐκτὸς R: ἐντὸς ‖ 12. ἐγένοντο R ‖ 13. πρηγμάτων πάντων Pdz ‖ 16. ὑμέων d ‖ μούναρχον] μούναρχον μοῦνον z ‖ γίνεσθαι R ‖ 17. μὲν om. CP ‖ ἐπόσον CP ‖ 18. ἐπεξῆλθε ABdz: ἐπεξήλθατε C, ἐξῆλθε PR ‖ μετέσχετε δὲ R ‖ γὰρ C ‖ 19. κῶς PR: πῶς Stob., καὶ ὡς ABCdz ‖ 20. ἀνευθύνως sz ‖ 21. ταύτην] ταύτην τὴν ἀρχὴν Rz. Stob. ‖ 22. στήσει R ‖ ὑπὸ — 24 ὕβρι om. R ‖ 23. ἐνφύεται A[1], ἐνεμφύεται z ‖ 24. ὕβρει dz. Stob.

κεκορημένος ἔρδει πολλὰ καὶ ἀτάσθαλα, τὰ δὲ φθόνῳ. καίτοι ἄνδρα γε τύραννον ἄφθονον ἔδεε εἶναι, ἔχοντά γε πάντα τὰ ἀγαθά. τὸ δὲ ὑπεναντίον τούτου ἐς τοὺς πολιήτας πέφυκε· φθονέει γὰρ τοῖσι ἀρίστοισι περιεοῦσί τε καὶ ζώουσι, χαίρει δὲ τοῖσι κακίστοισι τῶν ἀστῶν, διαβολὰς δὲ ἄριστος ἐνδέκεσθαι. ἀναρμοστότατον δὲ πάντων· ἤν τε γὰρ αὐτὸν μετρίως θωυμάζῃς, ἄχθεται ὅτι οὐ κάρτα θεραπεύεται, ἤν τε θεραπεύῃ τις κάρτα, ἄχθεται ἅτε θωπί. τὰ δὲ δὴ μέγιστα ἔρχομαι ἐρέων· νόμαιά τε κινέει πάτρια καὶ βιᾶται γυναῖκας κτείνει τε ἀκρίτους. πλῆθος δὲ ἄρχον πρῶτα μὲν οὔνομα πάντων κάλλιστον ἔχει, ἰσονομίην, δεύτερα δὲ τούτων τῶν ὁ μούναρχος ποιέει οὐδέν· πάλῳ μὲν ἀρχὰς ἄρχει, ὑπεύθυνον δὲ ἀρχὴν ἔχει, βουλεύματα δὲ πάντα ἐς τὸ κοινὸν ἀναφέρει. τίθεμαι ὦν γνώμην μετέντας ἡμέας μουναρχίην τὸ πλῆθος ἀέξειν· ἐν γὰρ τῷ πολλῷ ἔνι τὰ πάντα."

Ὀτάνης μὲν δὴ ταύτην γνώμην ἐσέφερε· Μεγάβυζος δὲ 81
ὀλιγαρχίῃ ἐκέλευε ἐπιτράπειν, λέγων τάδε. "τὰ μὲν Ὀτάνης εἶπε τυραννίδα παύων, λελέχθω κἀμοὶ ταῦτα, τὰ δ' ἐς τὸ πλῆθος ἄνωγε φέρειν τὸ κράτος, γνώμης τῆς ἀρίστης ἡμάρτηκε· ὁμίλου γὰρ ἀχρηίου οὐδέν ἐστι ἀσυνετώτερον οὐδὲ ὑβριστότερον. καὶ τυράννου ὕβριν φεύγοντας ἄνδρας ἐς δήμου ἀκολάστου ὕβριν πεσεῖν ἐστὶ οὐδαμῶς ἀνασχετόν. ὁ μὲν

Μεγαβύζου γνώμη

2. ἄνδρα - εἶναι Thomas M. p. 52. — 21. Bekkeri Anecd. p. 115.

1. ἔρδει *PR*. Stob.: ἐρδει *AB*, ἔρδει *Cdz* ‖ 2. γε om. *R* ‖ εἶναι ἔδει *d*, ἔδει εἶναι ceteri cum Stob. Thom. ‖ 3. τὰ om. *C* ‖ δὲ *BR*. Stob.: δ' ‖ τούτω *R* ‖ 5. ἄριστος *B*² marg. *s*: ἄριστον ceteri cum Stob. ‖ ἐνδέχεσθαι Stob. ‖ 6. πάντων ἀναρμόστατον Stob. ‖ 7. θωμάζῃς *AB*, θωμάζῃς *d*, θωμάζεις *R*, θαυμάζῃς Stob. ‖ ἀπέχθεται *dz* ‖ 8. θωπί *PR*. Stob.: θωπείαν *ABCd*, θωπείαν ἡγούμενος *z* ‖ 9. κινεῖ *L*. Stob. ‖ 10. ἀκρίτως *z* ‖ πάντων om. *d* ‖ 11. δὲ om. *R* ‖ 12. μὲν γὰρ *Pz*, μὲν (γὰρ) *R* ‖ ἄρχει] ἔχει *P* ‖ 13. τὸ κοινὸν] κεινὸν *C* ‖ 14. οὖν Stob. ‖ μεθέντας *ABd*. Stob. ‖ 16. ταύτην τὴν *Rz* ‖ 17. ἐπιτραπεῖν *CPd* ‖ 18. καὶ μοὶ *A*, καιμοὶ *B*, καὶ ἐμοὶ *R* ‖ τάδε *Ct* ‖ 19. ἄνωγε] ἄνωγε κελεύων *R* ‖ 20. ἀξυνετώτερον *L* ‖ 21. ὑβριστότερον *ABR*. Bekk. An.: ὑβριστικώτερον ‖ καίτοι *R* ‖ φέροντας *P* ‖ 22. πεσέειν *L* ‖ ἔστι *Pz*, ἔστιν *R* ‖ ἀνάσχετον *ABd*, ἀνάσχετὸν *R*

γὰρ εἴ τι ποιέει, γινώσκων ποιέει, τῷ δὲ οὐδὲ γινώσκειν ἔνι· κῶς γὰρ ἂν γινώσκοι ὃς οὔτ' ἐδιδάχθη οὔτε εἶδε καλὸν οὐδὲν [οὐδ'] οἰκήιον, ὠθέει τε ἐμπεσὼν τὰ πρήγματα ἄνευ νόου, χειμάρρῳ ποταμῷ εἴκελος; δήμῳ μέν νυν, οἳ Πέρσῃσι κακὸν νοέουσι, οὗτοι χράσθων, ἡμεῖς δὲ ἀνδρῶν τῶν ἀρίστων ἐπιλέξαντες ὁμιλίην τούτοισι περιθέωμεν τὸ κράτος· ἐν γὰρ δὴ τούτοισι καὶ αὐτοὶ ἐνεσόμεθα· ἀρίστων δὲ ἀνδρῶν οἰκὸς ἄριστα βουλεύματα γίνεσθαι."

82 Μεγάβυζος μὲν δὴ ταύτην γνώμην ἐσέφερε· τρίτος δὲ Δαρεῖος ἀπεδείκνυτο γνώμην, λέγων "ἐμοὶ δὲ τὰ μὲν εἶπε Μεγάβυζος ἐς τὸ πλῆθος ἔχοντα δοκέει ὀρθῶς λέξαι, τὰ δὲ ἐς ὀλιγαρχίην οὐκ ὀρθῶς. τριῶν γὰρ προκειμένων καὶ πάντων τῷ λόγῳ ἀρίστων ἐόντων, δήμου τε ἀρίστου καὶ ὀλιγαρχίης καὶ μουνάρχου, πολλῷ τοῦτο προέχειν λέγω. ἀνδρὸς γὰρ ἑνὸς τοῦ ἀρίστου οὐδὲν ἄμεινον ἂν φανείη· γνώμῃ γὰρ τοιαύτῃ χρεώμενος ἐπιτροπεύοι ἂν ἀμωμήτως τοῦ πλήθεος, σιγῷτό τε ἂν βουλεύματα ἐπὶ δυσμενέας ἄνδρας οὕτω μάλιστά. ἐν δὲ ὀλιγαρχίῃ πολλοῖσι ἀρετὴν ἐπασκέουσι ἐς τὸ κοινὸν ἔχθεα ἴδια ἰσχυρὰ φιλέει ἐγγίνεσθαι· αὐτὸς γὰρ ἕκαστος βουλόμενος κορυφαῖος εἶναι γνώμῃσί τε νικᾶν ἐς ἔχθεα μεγάλα ἀλλήλοισι ἀπικνέονται, ἐξ ὧν στάσιες ἐγγίνονται, ἐκ δὲ τῶν στασίων φόνος· ἐκ δὲ τοῦ φόνου ἀπέβη ἐς μουναρχίην, καὶ ἐν τούτῳ διέδεξε ὅσῳ ἐστὶ τοῦτο ἄριστον. δήμου τε αὖ ἄρχοντος ἀδύνατα μὴ οὐ κακότητα ἐγγίνεσθαι· κακότητος τοίνυν ἐγγινομένης ἐς τὰ κοινὰ ἔχθεα μὲν οὐκ ἐγγί-

10. ἐμοὶ - p. 311, 10 περιστέλλειν Stobaeus floril. XLVII 24

1. οὐδὲ *PR*: οὐ ‖ 2. ἴδε *R*, οἶδε *C*(?)z ‖ 3. οὐδ' damnavit Valckenaer. οὐδὲ *R* ‖ ἐμπεσὸν *AB* ‖ 4. εἰκλε̣ος (ἴε) *A*, ἴκελος *Rz* ‖ κακῶς *R* ‖ 5. χράσθην *d* ‖ 6. περιθείομεν z ‖ κάρτος *B* ‖ 7. δὲ *PRz*: τε ‖ εἰκὸς *dz* ‖ 9. δὴ om. *R* ‖ γνώμην om. *R* ‖ εἰσέφερε z ‖ 10. ἀπεδείκνυε *R* ‖ δὲ om. *d* ‖ 11. δ' *CPz* ‖ 13. τῷ λόγῳ Stob.: τῶν λέγω ‖ 14. μονάρχου Stob. ‖ 15. ἑνός του z ‖ 16. τοιαύτῃ om. *d* ‖ χρεόμενος *P*, χρώμενος Stob. ‖ 19. αὐτῶν z ‖ 20. εἰς *d* ‖ 21. ἀποκνέονται *R* ‖ στάσεις *R*. Stob. ‖ 22. στάσεων *R*. Stob. ‖ 23. διέδοξεν *R*. Stob. ‖ ὅσον z ‖ 24. ἀδύνατον Stob. ‖ ἐγγίνεσθαι *PR*. Stob.: ἐγγενέσθαι

νεται τοῖσι κακοῖσι, φιλίαι δὲ ἰσχυραί· οἱ γὰρ κακοῦντες τὰ κοινὰ συγκύψαντες ποιεῦσι. τοῦτο δὲ τοιοῦτο γίνεται ἐς ὃ ἂν προστάς τις τοῦ δήμου τοὺς τοιούτους παύσῃ. ἐκ δὲ αὐτῶν θωυμάζεται οὗτος δὴ ὑπὸ τοῦ δήμου, θωυμαζόμενος δὲ ἀν' ὦν ἐφάνη μούναρχος ἐών. καὶ ἐν τούτῳ δηλοῖ καὶ οὗτος ὡς ἡ μουναρχίη κράτιστον. ἑνὶ δὲ ἔπεϊ πάντα συλλαβόντα εἰπεῖν, κόθεν ἡμῖν ἡ ἐλευθερίη ἐγένετο καὶ τεῦ δόντος; κότερα παρὰ τοῦ δήμου ἢ ὀλιγαρχίης ἢ μουνάρχου; ἔχω τοίνυν γνώμην ἡμέας ἐλευθερωθέντας διὰ ἕνα ἄνδρα τὸ τοιοῦτο περιστέλλειν, χωρίς τε τούτου πατρίους νόμους μὴ λύειν ἔχοντας εὖ· οὐ γὰρ ἄμεινον."

Γνῶμαι μὲν δὴ τρεῖς αὗται προεχέατο, οἱ δὲ τέσσερες 83
τῶν ἑπτὰ ἀνδρῶν προσέθεντο ταύτῃ. ὡς δὲ ἑσσώθη τῇ γνώμῃ ὁ Ὀτάνης Πέρσῃσι ἰσονομίην σπεύδων ποιῆσαι, ἔλεξε ἐς μέσον αὐτοῖσι τάδε. "ἄνδρες στασιῶται, δῆλα γὰρ δὴ ὅτι δεῖ ἕνα γε τινὰ ἡμέων βασιλέα γενέσθαι, ἤτοι κλήρῳ γε λαχόντα, ἢ ἐπιτρεψάντων τῷ Περσέων πλήθεϊ τὸν ἂν ἐκεῖνο ἕληται, ἢ ἄλλῃ τινὶ μηχανῇ· ἐγὼ μέν νυν ὑμῖν οὐκ ἐναγωνιεῦμαι. οὔτε γὰρ ἄρχειν οὔτε ἄρχεσθαι ἐθέλω· ἐπὶ τούτῳ δὲ ὑπεξίσταμαι τῆς ἀρχῆς, ἐπ' ᾧ τε ὑπ' οὐδενὸς ὑμέων ἄρξομαι, οὔτε αὐτὸς ἐγὼ οὔτε οἱ ἀπ' ἐμεῦ αἰεὶ γινόμενοι." τούτου εἴπαντος ταῦτα ὡς συνεχώρεον οἱ ἓξ ἐπὶ τούτοισι, οὗτος μὲν δή σφι οὐκ ἐνηγωνίζετο ἀλλ' ἐκ τοῦ μέσου κατῆστο, καὶ νῦν αὕτη ἡ οἰκίη διατελέει μούνη ἐλευθέρη ἐοῦσα Περσέων καὶ ἄρχεται τοσαῦτα ὅσα αὐτὴ θέλει, νόμους οὐκ

---

1. κακοῖσι om. *z* ‖ 2. συγκύψαντες Stob.: συγκρίψαντες *R*, συγράψαντες *d*, συγκρύψαντες reliqui ‖ ποιέουσι Stob. ‖ τοιοῦτον *R* ‖ ἐσὸ *ABPpr*. ‖ 3. προστάσις *A*[1], προστάστις *B*, προστάτης *A*[2] ‖ αὐτῶν] αὖ τῶνδε Valckenaer ‖ 4. θωμάζεται οὗτος *d*, θαυμάζεται. οὗτος Stob. ‖ δὲ ἂν ὧν ἐφάνη *CPRz*, δὲ ὧν ἂν ἐφάνη *d*, δή, ἂν ὧν ἐφάνη *z*, ἐφάνη Stob. ‖ 5. μούναρχος ἐών *PRz*: ἐὰν μούναρχος Stob., ὁ μούναρχος *ABCd* ‖ 6. ἔπει *ABPdz*, ἐπὶ Stob. ‖ 7. καί τευ *z* ‖ 8. τοῦ om. *R*. Stob. ‖ 10. τοιοῦτον *R* ‖ 12. προσεχέατο *R*, προσκέατο *qz* ‖ αὗται ante δὴ et τρεῖς post προεχέατο *d* ‖ τέσσαρες *ABRd* ‖ 13. ἐσώθη *R* ‖ 16. γέ τινα *L* ‖ 17. λαχόντα *PR*: λαχόντων ‖ πλήθει *ABd* ‖ ἐκεῖνος ἕληται *Rd*, ἐκεῖνοι ἕλωνται *z* ‖ 18. ἄλλην τινὰ μηχανήν *dz* ‖ ἀγωνιεῦμαι *d* ‖ 19. θέλω *PR* ‖ 20. ὑπ] ἐπ' *z* ‖ ἄρχεσθαι *R* ‖ 22. ταῦτα om *R* ‖ ὡς om. *Pdz* ‖ 23. ἠγωνίζετο *d* ‖ τοῦ μέσου *CR*: μέσου ‖ καθῆστο *L* ‖ 25. καὶ - p. 312, 1 Περσέων om. *B*[1] ‖ ἄρχεται] οὔτε ἄρχεται πλὴν *R* ‖ οὐχ *R*

84 ὑπερβαίνουσα τοὺς Περσέων. οἱ δὲ λοιποὶ τῶν ἑπτὰ ἐβουλεύοντο ὡς βασιλέα δικαιότατα στήσονται· καί σφι ἔδοξε Ὀτάνῃ μὲν καὶ τοῖσι ἀπὸ Ὀτάνεω αἰεὶ γινομένοισι, ἢν ἐς ἄλλον τινὰ τῶν ἑπτὰ ἔλθῃ ἡ βασιληίη, ἐξαίρετα δίδοσθαι ἐσθῆτά τε Μηδικὴν ἔτεος ἑκάστου καὶ τὴν πᾶσαν δωρεὴν ἣ γίνεται ἐν Πέρσῃσι τιμιωτάτη. τοῦδε δὲ εἵνεκεν ἐβούλευσάν οἱ δίδοσθαι ταῦτα, ὅτι ἐβούλευσέ τε πρῶτος τὸ πρῆγμα καὶ συνέστησε αὐτούς. ταῦτα μὲν δὴ Ὀτάνῃ ἐξαίρετα· τάδε δὲ ἐς τὸ κοινὸν ἐβούλευσαν, παριέναι ἐς τὰ βασιλήια πάντα τὸν βουλόμενον τῶν ἑπτὰ ἄνευ ἐσαγγελέος, ἢν μὴ τυγχάνῃ εὕδων μετὰ γυναικὸς βασιλεύς, γαμέειν δὲ μὴ ἐξεῖναι ἄλλοθεν τῷ βασιλέι ἢ ἐκ τῶν συνεπαναστάντων. περὶ δὲ τῆς βασιληίης ἐβούλευσαν τοιόνδε· ὅτευ ἂν ὁ ἵππος ἡλίου ἐπανατέλλοντος πρῶτος φθέγξηται ἐν τῷ προαστείῳ αὐτῶν ἐπιβεβηκότων, τοῦτον ἔχειν τὴν βασιληίην.

85 Δαρείῳ δὲ ἦν ἱπποκόμος ἀνὴρ σοφός, τῷ οὔνομα ἦν Οἰβάρης. πρὸς τοῦτον τὸν ἄνδρα, ἐπείτε διελύθησαν, ἔλεξε Δαρεῖος τάδε. "Οἴβαρες, ἡμῖν δέδοκται περὶ τῆς βασιληίης ποιέειν κατὰ τάδε· ὅτευ ἂν ὁ ἵππος πρῶτος φθέγξηται ἅμα τῷ ἡλίῳ ἀνιόντι αὐτῶν ἐπαναβεβηκότων, τοῦτον ἔχειν τὴν βασιληίην. νῦν ὦν εἴ τινα ἔχεις σοφίην, μηχανῶ ὡς ἂν ἡμεῖς σχῶμεν τοῦτο τὸ γέρας καὶ μὴ ἄλλος τις." ἀμείβεται Οἰβάρης τοῖσιδε. "εἰ μὲν δή ὦ δέσποτα ἐν τούτῳ τοι ἐστὶ ἢ βασιλέα εἶναι ἢ μή, θάρσεε τούτου εἵνεκεν καὶ θυμὸν ἔχε ἀγαθόν, ὡς βασιλεὺς οὐδεὶς ἄλλος πρὸ σεῦ ἔσται· τοιαῦτα

τίνι τρόπῳ τὴν βασιλείαν ἔσχε Δαρεῖος

---

12 sqq. (Zonaras annal. IV 3). — 13. ὅτευ - 14 φθέγξηται Eustathius Il. p. 1190

1. τοὺς] τῶν *Rd* ‖ 3. ὀτάνεω *P*: ὀτάνεως *z*, ὀνάτεος reliqui ‖ 4. ἔλθοι *AB* ‖ 6. τούτου δὲ εἵνεκα *R* ‖ 9. δὲ om. *R* ‖ 11. βασίλεια *d* ‖ 12. βασιλεῖ *ABd* ‖ συναναστάντων *R* ‖ 13. ἐβουλεύσαντο *R* ‖ ὅτου Eust. ‖ ἐπανατείλαντος *R*. Eust., ἀνατείλαντος Zon. ‖ 14. τῷ om. *CP* ‖ προαστίωι *AB* ‖ 15. τὴν καμβύσεω βασιληίην *R* ‖ 19. κατὰ om. *R* ‖ πρῶτος om. *P*[1]*d* ‖ 21. ἔχοις *qz* ‖ 22. ἔχωμεν τοῦτο γέρας *R* ‖ 23. τοῖσδε *L*[4] ‖ τοί ἐστι *L* ‖ 24. θάρσει *ABR* ‖ εἵνεκε *z*

ἔχω φάρμακα." λέγει Δαρεῖος "εἰ τοίνυν τι τοιοῦτον ἔχεις
σόφισμα, ὥρη μηχανᾶσθαι καὶ μὴ ἀναβάλλεσθαι, ὡς τῆς
ἐπιούσης ἡμέρης ὁ ἀγὼν ἡμῖν ἐστι." ἀκούσας ταῦτα ὁ Οἰ-
βάρης ποιέει τοιόνδε. ὡς ἐγίνετο ἡ νύξ, τῶν θηλέων ἵππων
μίαν, τὴν ὁ Δαρείου ἵππος ἔστεργε μάλιστα, ταύτην ἀγαγὼν
ἐς τὸ προάστειον κατέδησε καὶ ἐπήγαγε τὸν Δαρείου ἵππον
καὶ τὰ μὲν πολλὰ περιῆγε ἀγχοῦ τῇ ἵππῳ ἐγχρίμπτων τῇ
θηλέῃ, τέλος δὲ ἐπῆκε ὀχεῦσαι τὸν ἵππον. ἅμ' ἡμέρῃ δὲ 86
διαφωσκούσῃ οἱ ἓξ κατὰ συνεθήκαντο παρῆσαν ἐπὶ τῶν ἵπ-
πων· διεξελαυνόντων δὲ κατὰ τὸ προάστειον, ὡς κατὰ τοῦτο
τὸ χωρίον ἐγίνοντο ἵνα τῆς παροιχομένης νυκτὸς κατεδέδετο
ἡ θήλεα ἵππος, ἐνθαῦτα ὁ Δαρείου ἵππος προσδραμὼν ἐχρε-
μέτισε· ἅμα δὲ τῷ ἵππῳ τοῦτο ποιήσαντι ἀστραπὴ ἐξ αἰθρίης
καὶ βροντὴ ἐγένετο. ἐπιγενόμενα δὲ ταῦτα τῷ Δαρείῳ ἐτε-
λέωσέ μιν ὥσπερ ἐκ συνθέτου τευ γενόμενα· οἱ δὲ κατα-
θορόντες ἀπὸ τῶν ἵππων προσεκύνεον τὸν Δαρεῖον. οἱ μὲν 87
δή φασι τὸν Οἰβάρεα ταῦτα μηχανήσασθαι, οἱ δὲ τοιάδε (καὶ
γὰρ ἐπ' ἀμφότερα λέγεται ὑπὸ Περσέων), ὡς τῆς ἵππου ταύ-
της τῶν ἄρθρων ἐπιψαύσας τῇ χειρὶ ἔχοι αὐτὴν κρύψας ἐν
τῇσι ἀναξυρίσι· ὡς δὲ ἅμα τῷ ἡλίῳ ἀνιόντι ἀπίεσθαι μέλ-
λειν τοὺς ἵππους, τὸν Οἰβάρεα τοῦτον ἐξείραντα τὴν χεῖρα
πρὸς τοῦ Δαρείου ἵππου τοὺς μυκτῆρας προσενεῖκαι, τὸν δὲ
αἰσθόμενον φριμάξασθαί τε καὶ χρεμετίσαι.

Δαρεῖός τε δὴ ὁ Ὑστάσπεος βασιλεὺς ἀπεδέδεκτο, καί οἱ 88

περὶ τῆς Δαρείου βασιλείας καὶ ὧν ἔγημε γυναικῶν καὶ ὧν ἐν Πέρσαις κατέστησεν

---

15. ὥσπερ - γενόμενα Thomas M. p. 347. — 23. Λέξεις

2. ὥρῃ z ‖ 3. ὁ om. *R* ‖ ἐστιν ἡμῖν *d* ‖ 4. ἡ om. *R* ‖ θηλεῶν *P* ‖ 5. μίην z ‖ ἀγὼν *P*[1] ‖ 6. προάστιον *A*[1]*B* ‖ 7. περιῆγε *P*. Zon.: περίηγεν *R*, περιήγαγε reliqui ‖ ἐγχρίπτων *Rd* ‖ 8. θηλέϊ z ‖ τὴν z. Zon. ‖ 9. διαφαυσκούσῃ *R* ‖ κατὰ *ABpr*. ‖ παρήϊσαν *R* ‖ 10. προάστιον *AB* ‖ 11. ἐγένοντο z ‖ 13. ἵππῳ *R* ‖ αἴθρης *R* ‖ 15. τεῦ *Rd* ‖ καταθορῶντες *d* ‖ 16. προσεκύνεόν μιν *sz* ‖ τὸν Δαρεῖον ὡς βασιλῆα z ‖ 19. χερὶ *d* ‖ ἔχει *Pdz* ‖ ἐν τοῖσιν *R*, ἔν τισιν *d* ‖ 20. ἀπίεσθαι *R* ‖ 21. οἰβάρεα *AB*[1] ‖ ἐξαείραντα *B*[2] ‖ 22. πρός] προσενεῖκε πρὸς *R* ‖ προσενεῖκαι om. *R* ‖ 24. καὶ οἱ *R*

ἦσαν ἐν τῇ Ἀσίῃ πάντες κατήκοοι πλὴν Ἀραβίων, Κύρου τε καταστρεψαμένου καὶ ὕστερον αὗτις Καμβύσεω. Ἀράβιοι δὲ οὐδαμὰ κατήκουσαν ἐπὶ δουλοσύνῃ Πέρσῃσι, ἀλλὰ ξεῖνοι ἐγένοντο παρέντες Καμβύσεα ἐπ' Αἴγυπτον· ἀεκόντων γὰρ Ἀραβίων οὐκ ἂν ἐσβάλοιεν Πέρσαι ἐς Αἴγυπτον. γάμους τε τοὺς πρώτους ἐγάμεε Πέρσῃσι ὁ Δαρεῖος, Κύρου μὲν δύο θυγατέρας Ἀτοσσάν τε καὶ Ἀρτυστώνην, τὴν μὲν Ἄτοσσαν προσυνοικήσασαν Καμβύσῃ τε τῷ ἀδελφεῷ καὶ αὗτις τῷ Μάγῳ, τὴν δὲ Ἀρτυστώνην παρθένον· ἑτέρην δὲ Σμέρδιος τοῦ Κύρου θυγατέρα ἔγημε, τῇ οὔνομα ἦν Πάρμυς· ἔσχε δὲ καὶ τὴν τοῦ Ὀτάνεω θυγατέρα, ἣ τὸν Μάγον κατάδηλον ἐποίησε· δυνάμιός τε πάντα οἱ ἐπιμπλέατο. πρῶτον μέν νυν τύπον ποιησάμενος λίθινον ἔστησε· ζῷον δέ οἱ ἐνῆν ἀνὴρ ἱππεύς, ἐπέγραψε δὲ γράμματα λέγοντα τάδε. "Δαρεῖος ὁ Ὑστάσπεος σύν τε τοῦ ἵππου τῇ ἀρετῇ" τὸ οὔνομα λέγων "καὶ Οἰβάρεος τοῦ ἱπποκόμου ἐκτήσατο τὴν Περσέων βασιληίην."

89 ποιήσας δὲ ταῦτα ἐν Πέρσῃσι ἀρχὰς κατεστήσατο εἴκοσι, τὰς αὐτοὶ καλέουσι σατραπηίας· καταστήσας δὲ τὰς ἀρχὰς καὶ ἄρχοντας ἐπιστήσας ἐτάξατο φόρους οἱ προσιέναι κατὰ ἔθνεά τε καὶ πρὸς τοῖσι ἔθνεσι τοὺς πλησιοχώρους προστάσσων, καὶ ὑπερβαίνων τοὺς προσεχέας τὰ ἑκαστέρω ἄλλοισι ἄλλα ἔθνεα νέμων. ἀρχὰς δὲ καὶ φόρων πρόσοδον τὴν ἐπέτειον κατὰ τάδε διεῖλε. τοῖσι μὲν αὐτῶν ἀργύριον ἀπαγινέουσι εἴρητο Βαβυλώνιον σταθμὸν τάλαντον ἀπαγινέειν, τοῖσι δὲ χρυσίον ἀπαγινέουσι Εὐβοϊκόν. τὸ δὲ Βαβυλώνιον τάλαντον

ὅτι πρῶτος φόρον ἔταξεν τοῖς ὑπηκόοις Δαρεῖος καὶ πῶς εἰσήγετο

3. κατήκουσαν – 4 ἐγένοντο Eustathius Dion. 933

3. οὐδαμᾶ *Rdz* ‖ 5. ἐσβάλλοιεν *qz* ‖ 6. δύο] δὴ *C* et *Ppr*. ut videtur ‖ 10. ἔσχε] ἐλέγετο *R* ‖ 11. ὀτάνεω *Pz*: ὀτάνεος ‖ 12. οἱ πάντα *R* ‖ ἐπιπλέατο *ABC* ‖ 13. λίθον *ABCd* ‖ ζῶον *PRdz* ‖ 14. δὲ] δέ οἱ *R* ‖ 15. τὸ] τοῦ *R* ‖ 17. πέρσηι *A*[1] ‖ 18. τὰς om. *R* ‖ 19. φόρους οἱ *A*, οἱ φόρους *R* ‖ 20. τοῖσι] τούτοισι *C* ‖ 21. τὰ ἑκαστέρωι *A*, τὰ ἑκατέρωι *C*, τὰ ἑκαστέρῳ *z*, τὰ ἑκατέρω post ἄλλα *R* ‖ ἄλλοισι] ἀλλήλοισι *dz* ‖ 22. δὲ om. *R* ‖ φόρον *d* ‖ πρόσωδον *A* ‖ ἐπέτεον *R* ‖ 23. κατὰ δὲ τάδε *R* ‖ αὐτέων *z* ‖ 24. εἴρητο – 25 ἀπαγινέουσι *C* ‖ εἴρετο *R* ‖ 25. χρυσίου *AB* ‖ εὐβοεικὸν *CPcorr.z*

δύναται Εὐβοΐδας ὀκτὼ καὶ ἑβδομήκοντα μνέας. ἐπὶ γὰρ Κύρου ἄρχοντος καὶ αὖτις Καμβύσεω ἦν κατεστηκὸς οὐδὲν φόρου πέρι, ἀλλὰ δῶρα ἀγίνεον. διὰ δὲ ταύτην τὴν ἐπίταξιν τοῦ φόρου καὶ παραπλήσια ταύτῃ ἄλλα λέγουσι Πέρσαι ὡς Δαρεῖος μὲν ἦν κάπηλος, Καμβύσης δὲ δεσπότης, Κῦρος δὲ πατήρ, ὁ μὲν ὅτι ἐκαπήλευε πάντα τὰ πρήγματα, ὁ δὲ ὅτι χαλεπός τε ἦν καὶ ὀλίγωρος, ὁ δὲ ὅτι ἤπιός τε καὶ ἀγαθά σφι πάντα ἐμηχανήσατο. ἀπὸ μὲν δὴ Ἰώνων καὶ Μαγνή- 90
των τῶν ἐν τῇ Ἀσίῃ καὶ Αἰολέων καὶ Καρῶν καὶ Λυκίων καὶ Μιλυέων καὶ Παμφύλων (εἷς γὰρ ἦν οἱ τεταγμένος οὗτος φόρος) προσήιε τετρακόσια τάλαντα ἀργυρίου. οὗτος μὲν δὴ πρῶτός οἱ νομὸς κατεστήκεε, ἀπὸ δὲ Μυσῶν καὶ Λυδῶν καὶ Λασονίων καὶ Καβαλέων καὶ Ὑτεννέων πεντακόσια τάλαντα· δεύτερος νομὸς οὗτος. ἀπὸ δὲ Ἑλλησποντίων τῶν ἐπὶ δεξιὰ ἐσπλέοντι καὶ Φρυγῶν καὶ Θρηίκων τῶν ἐν τῇ Ἀσίῃ καὶ Παφλαγόνων καὶ Μαριανδυνῶν καὶ Συρίων ἑξήκοντα καὶ τριηκόσια τάλαντα ἦν φόρος· νομὸς τρίτος οὗτος. ἀπὸ δὲ Κιλίκων ἵπποι τε λευκοὶ ἑξήκοντα καὶ τριηκόσιοι, ἑκάστης ἡμέρης εἷς γινόμενος, καὶ τάλαντα ἀργυρίου πεντακόσια· τούτων δὲ τεσσεράκοντα καὶ ἑκατὸν ἐς τὴν φρουρέουσαν ἵπ-

νομοὶ φόρων εἴκοσι οὓς ἐπέθηκε τοῖς ὑπηκόοις Δαρεῖος

---

1. (Pollux IX 86). — 3. διὰ - 8 ἐμηχανήσατο (Suidas v. Κῦρος). — 5. - 8 Eustathius Od. p. 1433. — idem Il. p. 317

1. εὐβοΐδας ante μνέας *R* ‖ ὀκτὼ καὶ ἑβδομήκοντα Reiz ac Th. Mommsen: ἑβδομήκοντα *L* et Poll. ‖ 2. κἄὖτις *R* ‖ κατεστηκὼς *R* ‖ 4. τοῦ om. *R* ‖ ἄλλα ταύτῃ *R* ‖ 6. τὰ πάντα *R* ‖ 7. ὅτι om. *Pd* ‖ ἠπιός *AB*, ἠπιός *Rdz* ‖ 8. σφίσιν Eust. Od. ‖ πάντα *PRz*: τὰ *ABd*. Suid., τα̃ *C*, om. Eust. et Suidae codex optumus ‖ 9. τῶν om. *R* ‖ 10. μιλυέων *R*: μηλυέων ‖ οἱ] ὁ *R* ‖ οὗτος φόρος *ABR*: φόρος οὗτος ‖ 11. προσήιε *R*: προσήιει *P*, προσήει *ACdz*, προσείη *B* ‖ ὁ μὲν δὴ πρῶτος οὗτός *ABCd* ‖ 12. οἳ *R*, om. *C* ‖ νόμος *Cd* et sic constanter uterque infra ‖ λασονίων *R*: αλυσσονίων *AB*, ἀλυσσονίων *Cdz*, ἀλυσσονίων *P*. rectius fortasse Λυσινίων vel Λυσινιέων ‖ 13. Καβαλέων scripsi: καβαλίων *L*. Καβηλέων Valckenaer ‖ Ὑτεννέων scripsi: αὐτεννέων *R*, ὑγεννέων ceteri ‖ τάλαντα ἀργυρίου bz ‖ 14. νομὸς δεύτερος z ‖ 15. εἰσπλέοντι *R* ‖ θρηϊκῶν *AB* ‖ 16. μαρυανδηνῶν *d*, Μαριανδηνῶν z ‖ ἀσσυρίων *d* ‖ 17. ἦν τάλαντα *Pz* ‖ οὗτος τρίτος μὲν *d* ‖ 19. ἡμέρας ἧς *d* ‖ 20. δὲ om. *R* ‖ τεσσαράκοντα *CR* ‖ καὶ] καὶ *P*, μὲν καὶ *Rz* ‖ φορέουσαν *R*

πον τὴν Κιλικίην χώρην ἀναισιμοῦτο. τὰ δὲ τριηκόσια καὶ
91 ἑξήκοντα Δαρείῳ ἐφοίτα· νομὸς τέταρτος οὗτος. ἀπὸ δὲ Ποσιδηίου πόλιος, τὴν Ἀμφίλοχος ὁ Ἀμφιάρεω οἴκισε ἐπ' οὔροισι τοῖσι Κιλίκων τε καὶ Σύρων, ἀρξάμενος ἀπὸ ταύτης μέχρι Αἰγύπτου, πλὴν μοίρης τῆς Ἀραβίων (ταῦτα γὰρ ἦν ἀτελέα), πεντήκοντα καὶ τριηκόσια τάλαντα φόρος ἦν· ἔστι δὲ ἐν τῷ νομῷ τούτῳ Φοινίκη τε πᾶσα καὶ Συρίη ἡ Παλαιστίνη καλεομένη καὶ Κύπρος· νομὸς πέμπτος οὗτος. ἀπ' Αἰγύπτου δὲ καὶ Λιβύων τῶν προσεχέων Αἰγύπτῳ καὶ Κυρήνης τε καὶ Βάρκης (ἐς γὰρ τὸν Αἰγύπτιον νομὸν αὗται ἐκεκοσμέατο) ἑπτακόσια προσήιε τάλαντα, πάρεξ τοῦ ἐκ τῆς Μοίριος λίμνης γινομένου ἀργυρίου, τὸ ἐγίνετο ἐκ τῶν ἰχθύων· τούτου τε δὴ χωρὶς τοῦ ἀργυρίου καὶ τοῦ ἐπιμετρεομένου σίτου προσήιε ἑπτακόσια τάλαντα· σίτου γὰρ δύο καὶ δέκα μυριάδας Περσέων τε τοῖσι ἐν τῷ Λευκῷ τείχεϊ τῷ ἐν Μέμφι κατοικημένοισι καταμετρέουσι καὶ τοῖσι τούτων ἐπικούροισι. νομὸς ἕκτος οὗτος. Σατταγύδαι δὲ καὶ Γανδάριοι καὶ Δαδίκαι τε καὶ Ἀπαρύται ἐς τὠυτὸ τεταγμένοι ἑβδομήκοντα καὶ ἑκατὸν τάλαντα προσέφερον· νομὸς δὲ οὗτος ἕβδομος. ἀπὸ Σούσων δὲ καὶ τῆς ἄλλης Κισσίων χώρης τριη-
92 κόσια· νομὸς ὄγδοος οὗτος. ἀπὸ Βαβυλῶνος δὲ καὶ τῆς λοιπῆς Ἀσσυρίης χίλιά οἱ προσήιε τάλαντα ἀργυρίου καὶ παῖδες ἐκτομίαι πεντακόσιοι· νομὸς εἴνατος οὗτος. ἀπὸ δὲ Ἀγβατάνων καὶ τῆς λοιπῆς Μηδικῆς καὶ Παρικανίων καὶ

1. ἀναισιμοῦντο *Pdz*, ἀεσσιμοῦτο *R* ‖ καὶ om. *R* ‖ 2. νόμος ἐφοίτα *R* ‖ 3. ποσιδηΐου *R*: ποσειδηΐου ‖ πόλεος *z* ‖ 4. οὔρεσι *dz* ‖ κιλικίων *ABC* ‖ ἀρξάμενος scripsi: ἀρξάμενον ‖ 7. ἡ om. *R* ‖ 8. οὗτος πέμποτς *d* ‖ 9. καὶ κυρήνης *R*: κυρήνης ‖ 10. τὸν γὰρ *R* ‖ ἐκοσμέατο *A*[1]*B*, ἐκομέατο *Cd* ‖ 11. προσήϊε *R*: προσήει *ABCd*, προσήιει *P*, προσῄει *z* ‖ 12. μύριος *Rz* ‖ γενομένου *R* ‖ 13. τε δὴ] δὲ *B* ‖ ἐπιμετρουμένου *PRz*, μετρουμένου alteri ‖ 14. προσήϊε *R*: προσήει *ABCd*, προσήιει *P*, προσῄει *z* ‖ σίτου *PRz*: πρὸς ceteri. πυροὺς Schaefer ‖ δυοκαίδεκα *AB*, δυωκαίδεκα *CPd*, διώδεκα *R*, δυώδεκα *sz* ‖ 15. μυριάδας Reiske: μυριάσι ‖ τείχει *AB* ‖ ἐμ *R* ‖ 17. σατταγῦται *R* ‖ δὲ om. *C* ‖ γανδάρειοι *R* ‖ 18. τε *Pcorr.Rz*: δὲ ‖ ἀπαρῦται *R* ‖ 19. δὲ om. *PRz* ‖ ἕβδομος οὗτος *z* ‖ 21. οὗτος ὄγδοος *R* ‖ 22. λυπῆς *B*[1]*C* ‖ ἀσσυρίης] Ἀσσυρίης χώρης *z* ‖ 23. ἔνατος *ABC*, ἔννατος *d* ‖ 24. ἀκβατάνων *CPdz* ‖ παραικανίων *R*, παρυκανίων *qz*

Ὀρθοκορυβαντίων πεντήκοντά τε καὶ τετρακόσια τάλαντα· νομὸς δέκατος οὗτος. Κάσπιοι δὲ καὶ Παυσίκαι καὶ Παντίμαθοί τε καὶ Δαρεῖται ἐς τὠυτὸ συμφέροντες διηκόσια τάλαντα ἀπαγίνεον· νομὸς ἑνδέκατος οὗτος. ἀπὸ Βακτριανῶν δὲ μέχρι Αἰγλῶν ἑξήκοντα καὶ τριηκόσια τάλαντα φόρος ἦν· νομὸς δυωδέκατος οὗτος. ἀπὸ Πακτυϊκῆς δὲ καὶ Ἀρμενίων 93
καὶ τῶν προσεχέων μέχρι τοῦ πόντου τοῦ Εὐξείνου τετρακόσια τάλαντα· νομὸς τρίτος καὶ δέκατος οὗτος. ἀπὸ δὲ Σαγαρτίων καὶ Σαραγγέων καὶ Θαμαναίων καὶ Οὐτίων καὶ Μύκων καὶ τῶν ἐν τῇσι νήσοισι οἰκεόντων τῶν ἐν τῇ Ἐρυθρῇ θαλάσσῃ, ἐν τῇσι τοὺς ἀνασπάστους καλεομένους κατοικίζει βασιλεύς, ἀπὸ τούτων πάντων ἑξακόσια τάλαντα ἐγίνετο φόρος· νομὸς τέταρτος καὶ δέκατος οὗτος. Σάκαι δὲ καὶ Κάσπιοι πεντήκοντα καὶ διηκόσια ἀπαγίνεον τάλαντα· νομὸς πέμπτος καὶ δέκατος οὗτος. Πάρθοι δὲ καὶ Χοράσμιοι καὶ Σόγδοι τε καὶ Ἄρειοι τριηκόσια τάλαντα· νομὸς ἕκτος καὶ δέκατος οὗτος. Παρικάνιοι δὲ καὶ Αἰθίοπες οἱ ἐκ τῆς Ἀσίης 94
τετρακόσια τάλαντα ἀπαγίνεον· νομὸς ἕβδομος καὶ δέκατος οὗτος. Ματιηνοῖσι δὲ καὶ Σάσπειρσι καὶ Ἀλαροδίοισι διηκόσια ἐπετέτακτο τάλαντα· νομὸς ὄγδοος καὶ δέκατος οὗτος. Μόσχοισι δὲ καὶ Τιβαρηνοῖσι καὶ Μάκρωσι καὶ Μοσσυνοίκοισι καὶ Μαρσὶ τριηκόσια τάλαντα προείρητο· νομὸς εἴνατος καὶ δέκατος οὗτος. Ἰνδῶν δὲ πλῆθός τε πολλῷ

---

9. Stephanus Byz. v. Θαμαναῖοι. — 15. Πάρθοι - 16 Σόγδοι idem v. Χορασμίη. — 19. idem v. Ἀλαρόδιοι

1. ὀρθοκορυβατίων *C*, ὀρθοκορυβάντων *PR* ‖ 2. παυσίκαι καὶ *A* (sic): παυσὶ καὶ *R*, παυσίκαι reliqui. Παισίκαι Is. Vossius, Παυσοὶ s. Dindorf ‖ 3. τοῦτο *R* ‖ 4. βάκτρων μέχρι λίγδων *R* ‖ 6. δωδέκατος *ABCd* ‖ πακτυκίης *R* ‖ 7. τοῦ om. *d* ‖ 8. νομὸς om. *C* ‖ 9. σαργατίων *ABCd* ‖ σαραγγέων *R*: σαραγγαίων ‖ Θαλμαναῖοι Steph. codd. ‖ 10. Μέκων *z* ‖ ταῖσι *Bd*, ταῖσιν *A*, τοῖσι *C* ‖ νήσοις *R* ‖ 11. καλεουμένους *d* ‖ 13. τεσσαρεσκαιδέκατος *ABCd* ‖ σύκαι *C* ‖ 14. Κάσπειροι Reiz ‖ ἀγίνεον *ABCd* ‖ 15. πεντεκαιδέκατος *ABd* ‖ 16. σογδοὶ *d* ‖ ἀρεῖοι *R* ‖ 17. Παρικάνιοι - 19 οὗτος om. *C* ‖ 19. μαντιηνοῖσι *CPdz* ‖ δὲ om. *sz* ‖ σάσπειρσι *s*: σάρπειρσι *ABP*, σάρσπειρσι *C*, σάσπεισι *R*, σαρπείρισι *d*, Σαρπειροῖσι *z* ‖ καὶ καὶ λαροδίοισι *C* ‖ 21. Μόσχοισι - 23 οὗτος supra ante Ματιηνοῖσι habet *B* ‖ τηβαρηνοῖσι *d* ‖ μάκροσι *C* ‖ 22. μοσσυνοίκοισι *AB*: μοσσυνοίκησι *d*, μοσυνοίκοισι reliqui ‖ Μαρσὶ Is. Vossius: μάρσοισι *ABC*, μάρσυσι *P*, μαρσοῖς *R*, μάρδυσι *d*, Μάρδοισι *z* ‖ 23. δὲ om. *R*

πλεῖστόν ἐστι πάντων τῶν ἡμεῖς ἴδμεν ἀνθρώπων καὶ φόρον ἀπαγίνεον πρὸς πάντας τοὺς ἄλλους, ἑξήκοντα καὶ τριηκόσια
95 τάλαντα ψήγματος· νομὸς εἰκοστὸς οὗτος. τὸ μὲν δὴ ἀργύριον τὸ Βαβυλώνιον πρὸς τὸ Εὐβοϊκὸν συμβαλλόμενον τάλαντον γίνεται ὀγδώκοντα καὶ ὀκτακόσια καὶ εἰνακισχίλια τάλαντα· τὸ δὲ χρυσίον τρισκαιδεκαστάσιον λογιζόμενον, τὸ ψῆγμα εὑρίσκεται ἐὸν Εὐβοϊκῶν ταλάντων ὀγδώκοντα καὶ ἑξακοσίων καὶ τετρακισχιλίων. τούτων ὦν πάντων συντιθεμένων τὸ πλῆθος Εὐβοϊκὰ τάλαντα συνελέγετο ἐς τὸν ἐπέτειον φόρον Δαρείῳ μύρια καὶ τετρακισχίλια καὶ πεντακόσια καὶ ἑξήκοντα· τὸ δ᾽ ἔτι τούτων ἔλασσον ἀπιεὶς οὐ λέγω.

96 Οὗτος Δαρείῳ προσήιε φόρος ἀπὸ τῆς τε Ἀσίης καὶ τῆς Λιβύης ὀλιγαχόθεν. προϊόντος μέντοι τοῦ χρόνου καὶ ἀπὸ νήσων προσήιε ἄλλος φόρος καὶ τῶν ἐν τῇ Εὐρώπῃ μέχρι Θεσσαλίης οἰκημένων. τοῦτον τὸν φόρον θησαυρίζει βασιλεὺς τρόπῳ τοιῷδε. ἐς πίθους κεραμίνους τήξας καταχέει, πλήσας δὲ τὸ ἄγγος περιαιρέει τὸν κέραμον· ἐπεὰν δὲ δεηθῇ χρημάτων, κατακόπτει τοσοῦτο ὅσου ἂν ἑκάστοτε δέηται.

97 Αὗται μὲν ἀρχαί τε ἦσαν καὶ φόρων ἐπιτάξιες. ἡ Περσὶς δὲ χώρη μούνη μοι οὐκ εἴρηται δασμοφόρος· ἀτελέα γὰρ Πέρσαι νέμονται χώρην. οἵδε δὲ φόρον μὲν οὐδένα ἐτάχθησαν φέρειν, δῶρα δὲ ἀγίνεον. Αἰθίοπες οἱ πρόσουροι Αἰγύπτῳ, τοὺς Καμβύσης ἐλαύνων ἐπὶ τοὺς μακροβίους Αἰθίοπας κατεστρέψατο, οἳ περί τε Νύσην τὴν ἱρὴν κατοίκηνται καὶ τῷ

πῶς ἐθησαύριζε τὸν φόρον ὁ Περσῶν βασιλεύς τίνες δῶρα καὶ οὐ φόρον προσέφερον Δαρείῳ

22. Αἰθίοπες - Αἰγύπτῳ Eustathius Od. p. 1386

4. εὐβοεικὸν *CPz* ‖ συμβαλλεόμενον *sz* ‖ 5. γίνεται *PR*: εἶναι ‖ ὀγδώκοντα καὶ ὀκτακόσια *s in ras.* Th. Mommsen, θωπ *s*[m]: τεσσαράκοντα καὶ πεντακόσια *Rdz*, τεσσεράκοντα καὶ πεντακόσια ceteri ‖ 7. εὐβοεικῶν *CPz* ‖ 8. συντιθέμενον Eltz ‖ 9. πλῆθος, Εὐβοϊκὰ vulgo ‖ 12. προσήιε *R*: προσήει *ABCd*, προσήιει *P*, προσῄει *z* ‖ ἀπό τε τῆς *z* ‖ 13. προσιόντος *R* ‖ 15. οἰκεομένων *dz* ‖ τὸν] τὸ *A*[1] ‖ 16. κεραμίους *CPd*, κεραμέους *z* ‖ κατεγχέει *R* ‖ 17. καὶ περιαιρέει *R* ‖ 18. τοσοῦτον *CRz* ‖ ὅσον *dz* ‖ ἑκάστουτε *A* ‖ 19. μὲν] μέν νυν *Rz*, μὲν γὰρ *d* ‖ ἐπιτάξεις *R* ‖ 21. οἶδε *AB* ‖ 22. Αἰθίοπες om. *d* ‖ 24. οἵ τε περὶ? ‖ νύσσην *d*, νῆσσαν *C*, νίσσην *z*

Διονύσῳ ἀνάγουσι τὰς ὁρτάς· [οὗτοι οἱ Αἰθίοπες καὶ οἱ πλησιόχωροι τούτοισι σπέρματι μὲν χρέωνται τῷ αὐτῷ τῷ καὶ οἱ Καλλαντίαι Ἰνδοί, οἰκήματα δὲ ἔκτηνται κατάγαια.] οὗτοι συναμφότεροι διὰ τρίτου ἔτεος ἀγίνεον, ἀγινέουσι δὲ καὶ τὸ μέχρι ἐμεῦ, δύο χοίνικας ἀπύρου χρυσίου καὶ διηκοσίας φάλαγγας ἐβένου καὶ πέντε παῖδας Αἰθίοπας καὶ ἐλέφαντος ὀδόντας μεγάλους εἴκοσι. Κόλχοι δὲ ταξάμενοι ἐς τὴν δωρεὴν καὶ οἱ προσεχέες μέχρι Καυκάσιος ὄρεος (ἐς τοῦτο γὰρ τὸ ὄρος ὑπὸ Πέρσῃσι ἄρχεται, τὰ δὲ πρὸς βορέην ἄνεμον τοῦ Καυκάσιος Περσέων οὐδὲν ἔτι φροντίζει), οὗτοι ὦν δῶρα τὰ ἐτάξαντο ἔτι καὶ ἐς ἐμὲ διὰ πεντετηρίδος ἀγίνεον, ἑκατὸν παῖδας καὶ ἑκατὸν παρθένους. Ἀράβιοι δὲ χίλια τάλαντα ἀγίνεον λιβανωτοῦ ἀνὰ πᾶν ἔτος. ταῦτα μὲν οὗτοι δῶρα πάρεξ τοῦ φόρου βασιλέι ἐκόμιζον.

Τὸν δὲ χρυσὸν τοῦτον τὸν πολλὸν οἱ Ἰνδοί, ἀπ' οὗ τὸ 98
ψῆγμα τῷ βασιλέι τὸ εἰρημένον κομίζουσι, τρόπῳ τοιῷδε κτῶνται. ἔστι τῆς Ἰνδικῆς χώρης τὸ πρὸς ἥλιον ἀνίσχοντα ψάμμος· τῶν γὰρ ἡμεῖς ἴδμεν, τῶν καὶ πέρι ἀτρεκές τι λέγεται, πρῶτοι πρὸς ἠῶ καὶ ἡλίου ἀνατολὰς οἰκέουσι ἀνθρώπων τῶν ἐν τῇ Ἀσίῃ Ἰνδοί· Ἰνδῶν γὰρ τὸ πρὸς τὴν ἠῶ ἐρημίη ἐστὶ διὰ τὴν ψάμμον. ἔστι δὲ πολλὰ ἔθνεα Ἰνδῶν καὶ οὐχ ὁμόφωνα σφίσι, καὶ οἱ μὲν αὐτῶν νομάδες εἰσὶ οἱ δὲ οὔ, οἱ δὲ ἐν τοῖσι ἕλεσι οἰκέουσι τοῦ ποταμοῦ καὶ ἰχθύας σιτέονται

περὶ Ἰνδῶν καὶ τοῦ παρ' αὐτοῖς χρυσίου

4. - 6 Plinius XII 17. — 6. Eustathius Il. p. 469. — Plinius VIII 7. — 12 sq. idem XII 80. Eustathius Dion. 933

1. οὗτοι - 3 κατάγαια separavit Naber ‖ 2. χρέονται *P* ‖ τῷ αὐτῷ καὶ] τούτῳ τῷ *R* ‖ 3, καλλαντίαι *AB*: καλαντίαι *CP*, καλανδίαι *dz*, καλλιστίαι *R* ‖ κέκτηνται *AB*[1]*R* ‖ κατάγεα *R* ‖ 5. μέχρις *ABCd* ‖ 'centenas phalangas' Plin. ‖ 6. ἐβέννου *ABCd* ‖ 7. δὲ ταξάμενοι scripsi: δ' ἐτάξαντο *R*, κόλχοι δ' ἐταξάν οἱ ceteri. δὲ τὰ ἐτάξαντο Reiske ‖ εἰς *AB* ‖ 8. μέχρι καυκάσοιο *R*, μέχρι τοῦ καυκάσιος *z* ‖ οὔρεος et οὖρος *CPdz* ‖ 9. βορῆν *L* ‖ 11. ἐς μὲν *R*, ἐς ἐμεῦ *z* ‖ πεντεετηρίδος *R* | 13. λιβανοτοῦ *R* ‖ μὲν] μὲν ὦν *z* ‖ 14. βασιλεῖ *B* ‖ 16. βασιλεῖ *BR* ‖ τὸ εἰρημένον κομίζουσι *Pz*: οἱ ἰνδοὶ κομίζουσι τὸ εἰρημένον *R*, τὸ εἰρημένον reliqui ‖ τοιῶι δεκτῶνται *AB*, τοιῷδε κτέωνται *z* ‖ 18. καὶ om. *ABCd* ‖ 20. Ἰνδοί om. *ABCd* ‖ 21. τὸν *d*

ὠμούς, τοὺς αἱρέουσι ἐκ πλοίων καλαμίνων ὁρμεόμενοι· καλάμου δὲ ἓν γόνυ πλοῖον ἕκαστον ποιέεται. οὗτοι μὲν δὴ τῶν Ἰνδῶν φορέουσι ἐσθῆτα φλοΐνην· ἐπεὰν ἐκ τοῦ ποταμοῦ φλοῦν ἀμήσωσι καὶ κόψωσι, τὸ ἐνθεῦτεν φορμοῦ τρόπον
99 καταπλέξαντες ὡς θώρηκα ἐνδυνέουσι. ἄλλοι δὲ τῶν Ἰνδῶν πρὸς ἠῶ οἰκέοντες τούτων νομάδες εἰσί, κρεῶν ἐδεσταὶ ὠμῶν· καλέονται δὲ Παδαῖοι, νομαίοισι δὲ τοιοῖσιδε λέγονται χρᾶσθαι. ὃς ἂν κάμῃ τῶν ἀστῶν, ἤν τε γυνὴ ἤν τε ἀνήρ, τὸν μὲν ἄνδρα ἄνδρες οἱ μάλιστά οἱ ὁμιλέοντες κτείνουσι, φάμενοι αὐτὸν τηκόμενον τῇ νούσῳ τὰ κρέα σφίσι διαφθείρεσθαι· ὁ δὲ ἀπαρνεόμενός ἐστι μὴ μὲν νοσέειν· οἱ δὲ οὐ συγγινωσκόμενοι ἀποκτείναντες κατευωχέονται. ἢ δὲ ἂν γυνὴ κάμῃ, ὡσαύτως αἱ ἐπιχρεώμεναι μάλιστα γυναῖκες ταὐτὰ τοῖσι ἀνδράσι ποιεῦσι. τὸν γὰρ δὴ ἐς γῆρας ἀπικόμενον θύσαντες κατευωχέονται· ἐς δὲ τούτου λόγον οὐ πολλοί τινες αὐτῶν ἀπικνέονται· πρὸ γὰρ τοῦ τὸν ἐς νοῦσον πίπτοντα πάντα
100 κτείνουσι. ἑτέρων δέ ἐστι Ἰνδῶν ὅδε ἄλλος τρόπος. οὔτε κτείνουσι οὐδὲν ἔμψυχον οὔτε τι σπείρουσι οὔτε οἰκίας νομίζουσι ἐκτῆσθαι ποιηφαγέουσί τε· καὶ αὐτοῖσι ἐστὶ ὅσον κέγχρος τὸ μέγαθος ἐν κάλυκι, αὐτόματον ἐκ τῆς γῆς γινόμενον, τὸ συλλέγοντες αὐτῇ τῇ κάλυκι ἕψουσί τε καὶ σιτέονται. ὃς δ' ἂν ἐς νοῦσον αὐτῶν πέσῃ, ἐλθὼν ἐς τὴν ἔρημον κέεται·
101 φροντίζει δὲ οὐδεὶς οὔτε ἀποθανόντος οὔτε κάμνοντος. μῖξις δὲ τούτων τῶν Ἰνδῶν τῶν κατέλεξα πάντων ἐμφανής ἐστι

1 sq. Eustathius Dion. 1107. — Pollux VII 76. X 178. Photius v. φλύην. — 4. Λέξεις. — 11. (Hesychius v. οὐ συγγινωσκόμενοι)

1. ὁρμεόμενοι *P*: ὁρμώμενοι *ABR*, ὁρμεώμενοι *Cdz* ‖ 3. ἐσθῆτα *Rq*: ἐσθῆτά τε ‖ φοινήν *R*, φλύην Phot. ‖ ἢν ἐπεὰν *CPdz*. ‖ 4. ἀμήσωνται *R* ‖ 5. ἐνδύνουσι *R* ‖ 6. οἰκέουσι *Ct* ‖ μονάδες *R* ‖ ἡμῶν *R* ‖ 7. νόμοισι *Rz* ‖ δὲ om. *B*[t] ‖ τοιοῖσιδε *s*: τοιοῖσδε ‖ χρῆσθαι *d* ‖ 8. ἥν τε ἀνὴρ ἥν τε γυνὴ *z* ‖ 10. διαφθείρειν *PRz* ‖ 11. ἄπαρνός *PRz* ‖ 12. ἀποκτείνοντες *dz* ‖ ἢ δὲ ἂν] εἰ δὲ ἂν *d*, ἢν δὲ *z* ‖ 13. ἐπιχρεόμεναι *P* ‖ 14. ποιέουσι *R* ‖ γὰρ] δὲ Dobree ‖ ἀπικνεόμενον *R* ‖ 15. ἐκ δὲ τούτου τοῦ λόγου *CPdz* ‖ αὐτέων *z* ‖ 16. ἀποκνέονται *R* ‖ τοῦ] τούτου *R* ‖ πάντα πίπτοντα *sz* ‖ 18. τι om. *PRdz* ‖ 19. ποιηφαγέουσί τε *ABd*: ποιηφαγέουσι δέ ‖ αὐτοῖσι ἐστὶ *Pz*: αὐτοῖσί ἐστι ‖ κέρχνος *R* ‖ 21. τῇ om. *R* ‖ ἕψουσι *AB* ‖ 22. αὐτέων *z* ‖ 23. οὔτ' *z* ‖ μίξις *CPRdz*

κατά περ τῶν προβάτων, καὶ τὸ χρῶμα φορέουσι ὅμοιον πάντες καὶ παραπλήσιον Αἰθίοψι. ἡ γονὴ δὲ αὐτῶν, τὴν ἀπίενται ἐς τὰς γυναῖκας, οὐ κατά περ τῶν ἄλλων ἀνθρώπων ἐστὶ λευκή, ἀλλὰ μέλαινα κατά περ τὸ χρῶμα· τοιαύτην δὲ καὶ Αἰθίοπες ἀπίενται θορήν. οὗτοι μὲν τῶν Ἰνδῶν ἑκαστέρω τῶν Περσέων οἰκέουσι καὶ πρὸς νότου ἀνέμου, καὶ Δαρείου βασιλέος οὐδαμὰ ὑπήκουσαν.

Ἄλλοι δὲ τῶν Ἰνδῶν Κασπατύρῳ τε πόλι καὶ τῇ Πακτυϊ- 102
κῇ χώρῃ εἰσὶ πρόσουροι, πρὸς ἄρκτου τε καὶ βορέω ἀνέμου κατοικημένοι τῶν ἄλλων Ἰνδῶν, οἳ Βακτρίοισι παραπλησίην ἔχουσι δίαιταν· οὗτοι καὶ μαχιμώτατοί εἰσι Ἰνδῶν καὶ οἱ ἐπὶ τὸν χρυσὸν στελλόμενοι εἰσὶ οὗτοι· κατὰ γὰρ τοῦτο ἐστὶ ἐρημίη διὰ τὴν ψάμμον. ἐν δὴ ὦν τῇ ἐρημίῃ ταύτῃ καὶ τῇ ψάμμῳ γίνονται μύρμηκες μεγάθεα ἔχοντες κυνῶν μὲν ἐλάσσονα ἀλωπέκων δὲ μέζονα· εἰσὶ γὰρ αὐτῶν καὶ παρὰ βασιλέι τῶν Περσέων ἐνθεῦτεν θηρευθέντες. οὗτοι ὦν οἱ μύρμηκες ποιεύμενοι οἴκησιν ὑπὸ γῆν ἀναφορέουσι τὴν ψάμμον κατά περ οἱ ἐν τοῖσι Ἕλλησι μύρμηκες κατὰ τὸν αὐτὸν τρόπον, εἰσὶ δὲ καὶ αὐτοῖσι εἶδος ὁμοιότατοι· ἡ δὲ ψάμμος ἡ ἀναφερομένη ἐστὶ χρυσῖτις. ἐπὶ δὴ ταύτην τὴν ψάμμον στέλλονται ἐς τὴν ἔρημον οἱ Ἰνδοί, ζευξάμενος ἕκαστος καμήλους τρεῖς, σειρηφόρον μὲν ἑκατέρωθεν ἔρσενα

ὅτι ἡ θορὴ τῶν Ἰνδῶν μέλαινα   περὶ τῶν παρὰ Ἰνδοῖς μυρμήκων

2 sqq. Aristoteles hist. anim. III 22 p. 523a. de gener. anim. II 2 p. 736a. — 8. Stephanus Byz. v. Κάσπειρος (?)

1. ὁμοῖον *CPdz* ‖ 2. πάντες - 3 ἐς τὰς γυ- om. *R*[t] ‖ 3. ἀπίονται *A*[1]*BCd* ‖ 5. ἀπίονται *ABCd* ‖ θωρὴν *d* ‖ ἑκαστέρωι *AB*, ἑκαστέρῳ z, ἑκατέρω *R* ‖ 6. ἀνέμου. καὶ z ‖ δαρείω *qz* ‖ 7. βασιλέως *Cd*, βασιλῆος z ‖ οὐδαμᾶ *Rdz* ‖ 8. πόλει *ABd* ‖ πακτυκῇ *R* ‖ 9. πρόσοικοι *R* ‖ ἄρκου *B*[1] ‖ βορέου *Cz* ‖ 10. κατῳκημένοι *AB* ‖ τῶν *R*: καὶ τῶν *AB*, . καὶ τῶν *CPd*, , καὶ τῶν z ‖ βάκτροισι *R* ‖ 11. δίαιταν, οὗτοι *P* ‖ καὶ (οἱ superscr.) *P*, καὶ οἱ *Rz*: καὶ ‖ 12. τοῦτο ἐστὶ *P*: τοῦτο ἔστιν *R*, τοῦτό ἐστι reliqui ‖ 13. ἐρήμη *R* ‖ ἐρήμω *R* ‖ 15. ἀλωπεκέων *ABC* ‖ μείζονα *R* ‖ γὰρ ἐξ αὐτέων z ‖ 16. βασιλεῖ *AB* ‖ τῶν] τῷ Bekker ‖ 17. ἀναφέρουσι ψάμμον *R* ‖ 18. κατὰ τὸν Herold: καὶ τὸν ‖ 19. αὐτοῖς Reiske: αὐτοὶ *ABCd*, τὸ *PRz* ‖ ὁμοιότατοι οὗτοι z ‖ 20. ἐπειδὴ ταύτην *B* ‖ 22. σειροφόρον z ‖ ἄρσενα *d*, ἔρσενα δὲ *R*

παρέλκειν, θήλεαν δὲ ἐς μέσον· ἐπὶ ταύτην δὴ αὐτὸς ἀνα-
βαίνει, ἐπιτηδεύσας ὅκως ἀπὸ τέκνων ὡς νεωτάτων ἀποσπά-
σας ζεύξει. αἱ γάρ σφι κάμηλοι ἵππων οὐκ ἥσσονες ἐς ταχυ-
103 τῆτά εἰσι, χωρὶς δὲ ἄχθεα δυνατώτεραι πολλὸν φέρειν. τὸ
μὲν δὴ εἶδος ὁκοῖόν τι ἔχει ἡ κάμηλος, ἐπισταμένοισι τοῖσι
Ἕλλησι οὐ συγγράφω· τὸ δὲ μὴ ἐπιστέαται αὐτῆς, τοῦτο
φράσω. κάμηλος ἐν τοῖσι ὀπισθίοισι σκέλεσι ἔχει τέσσερας
μηροὺς καὶ γούνατα τέσσερα, τά τε αἰδοῖα διὰ τῶν ὀπισθίων
104 σκελέων πρὸς τὴν οὐρὴν τετραμμένα. οἱ δὲ δὴ Ἰνδοὶ τρόπῳ
τοιούτῳ καὶ ζεύξι τοιαύτῃ χρεώμενοι ἐλαύνουσι ἐπὶ τὸν χρυ-
σὸν λελογισμένως ὅκως καυμάτων τῶν θερμοτάτων ἐόντων
ἔσονται ἐν τῇ ἁρπαγῇ· ὑπὸ γὰρ τοῦ καύματος οἱ μύρμηκες
ἀφανέες γίνονται ὑπὸ γῆν. θερμότατος δέ ἐστι ὁ ἥλιος τού-
τοισι τοῖσι ἀνθρώποισι τὸ ἑωθινόν, οὐ κατά περ τοῖσι ἄλλοισι
μεσαμβρίης, ἀλλ' ὑπερτείλας μέχρι οὗ ἀγορῆς διαλύσιος.
τοῦτον δὲ τὸν χρόνον καίει πολλῷ μᾶλλον ἢ τῇ μεσαμβρίῃ
τὴν Ἑλλάδα, οὕτω ὥστ' ἐν ὕδατι λόγος αὐτούς ἐστι βρέχε-
σθαι τηνικαῦτα. μεσοῦσα δὲ ἡ ἡμέρη σχεδὸν παραπλησίως
καίει τούς τε ἄλλους ἀνθρώπους καὶ τοὺς Ἰνδούς. ἀποκλι-
νομένης δὲ τῆς μεσαμβρίης γίνεταί σφι ὁ ἥλιος κατά περ
τοῖσι ἄλλοισι ὁ ἑωθινός, καὶ τὸ ἀπὸ τούτου ἀπιὼν ἔτι μᾶλλον
105 ψύχει, ἐς ὃ ἐπὶ δυσμῇσι ἐὼν καὶ τὸ κάρτα ψύχει. ἐπεὰν δὲ
ἔλθωσι ἐς τὸν χῶρον οἱ Ἰνδοὶ ἔχοντες θυλάκια, ἐμπλήσαντες
ταῦτα τῆς ψάμμου τὴν ταχίστην ἐλαύνουσι ὀπίσω· αὐτίκα
γὰρ οἱ μύρμηκες ὀδμῇ, ὡς δὴ λέγεται ὑπὸ Περσέων, μαθόν-

7. – 9 Aelianus de nat. anim. X 3

1. θήλεαν *PR*: θήλεα *z*, θήλειαν reliqui ‖ δὴ] δ' *R* ‖ 3. ζεύξει Bekker: ζεύξηι *ABC*, ζεύξη *PRd*, ζεύξῃ *z* ‖ 4. πολλῷ *qz* ‖ 6. γράφω *Pdz* ‖ 7. τέσσαρας *CRdz* ‖ 8. τέσσαρα *CRd* ‖ τά τε *ABCd*: τὰ δὲ ‖ 10. ζεύξει *L* ‖ χρεόμενοι *P* ‖ 11. ὅκως Bekker: ὅκως αὐτῶν *R*, ὅκως ἂν ceteri ‖ καυμάτων τῶν om. *R* ‖ 13. γίνεται *P* ‖ τὴν γῆν *R* ‖ δ' εστι *AB*, δ' ἐστὶν *d* ‖ 14. τὸ ἑωθινὸν – ἄλλοισι om. *ABCd* ‖ 15. μεσαμβρίης *Pz*: μεσημβρίης A^1B^1R, οὐ μεσημβρίης A^2B^2C, οὐ μεσαμβρίης *d* ‖ ὑπὲρ τείλης *R* ‖ μέχρις *L* ‖ 16. καὶ εἰ *Rz* ‖ μεσημβρίῃ *R* ‖ 17. οὕτως *L* ‖ ὡς ἐν *R* ‖ ἐστι om. *R* ‖ 18. δὴ *z* ‖ ἡ om. *R* ‖ 19. τούς τε *z*: τοὺς ‖ ἀποκλιναμένης *ABCd* ‖ 20. μεσημβρίης *R* ‖ ὁ om. *R* ‖ 21. ἀπιὼν Schaefer: ἐπιὸν *d*, ἐπιὼν ceteri ‖ ἐπὶ *R*: ἔστι *C*, ἔτι reliqui ‖ 22. ἐὸν *d*

τες διώκουσι. εἶναι δὲ ταχυτῆτα οὐδενὶ ἑτέρῳ ὅμοιον, οὕτω ὥστε, εἰ μὴ προλαμβάνειν τοὺς Ἰνδοὺς τῆς ὁδοῦ ἐν ᾧ τοὺς μύρμηκας συλλέγεσθαι, οὐδένα ἂν σφεων ἀποσώζεσθαι. τοὺς μέν νυν ἔρσενας τῶν καμήλων, εἶναι γὰρ ἥσσονας θέειν τῶν θηλέων, καὶ παραλύεσθαι ἐπελκομένους, οὐχ ὁμοῦ ἀμφοτέρους· τὰς δὲ θηλέας ἀναμιμνησκομένας τῶν ἔλιπον τέκνων ἐνδιδόναι μαλακὸν οὐδέν. τὸν μὲν δὴ πλέω τοῦ χρυσοῦ οὕτω οἱ Ἰνδοὶ κτῶνται, ὡς Πέρσαι φασί· ἄλλος δὲ σπανιώτερος ἐστὶ ἐν τῇ χώρῃ ὀρυσσόμενος.

Αἱ δ' ἐσχατιαί κως τῆς οἰκεομένης τὰ κάλλιστα ἔλαχον, 106
κατά περ ἡ Ἑλλὰς τὰς ὥρας πολλόν τι κάλλιστα κεκρημένας ἔλαχε. τοῦτο μὲν γὰρ πρὸς τὴν ἠῶ ἐσχάτη τῶν οἰκεομενέων ἡ Ἰνδική ἐστι, ὥσπερ ὀλίγῳ πρότερον εἴρηκα· ἐν ταύτῃ τοῦτο μὲν τὰ ἔμψυχα, τετράποδά τε καὶ τὰ πετεινά, πολλῷ μέζω ἢ ἐν τοῖσι ἄλλοισι χωρίοισί ἐστι, πάρεξ τῶν ἵππων (οὗτοι δὲ ἑσσοῦνται ὑπὸ τῶν Μηδικῶν, Νησαίων δὲ καλευμένων ἵππων), τοῦτο δὲ χρυσὸς ἄπλετος αὐτόθι ἐστί, ὁ μὲν ὀρυσσόμενος, ὁ δὲ καταφορεύμενος ὑπὸ ποταμῶν, ὁ δὲ ὥσπερ ἐσήμηνα ἁρπαζόμενος. τὰ δὲ δένδρεα τὰ ἄγρια αὐτόθι φέρει καρπὸν εἴρια καλλονῇ τε προφέροντα καὶ ἀρετῇ τῶν ἀπὸ τῶν ὀίων· καὶ ἐσθῆτι Ἰνδοὶ ἀπὸ τούτων τῶν δενδρέων χρέωνται.
πρὸς δ' αὖ μεσαμβρίης ἐσχάτη Ἀραβίη τῶν οἰκεομενέων 107
χωρέων ἐστί, ἐν δὲ ταύτῃ λιβανωτός τε ἐστὶ μούνη χω-

περὶ Ἀραβίας καὶ τῶν ἐν αὐτῇ περὶ λιβανωτοῦ καὶ τῶν φυλαττόντων ὄφεων

23. - p. 324, 2 Eustathius Dion. 933

1. ὁμοῖον *CPd*, ὁμοίαν *qz* ‖ οὕτωι *B*, οὕτως *R*, τούτῳ *z* ‖ 2. τῆς ὁδοῦ τοὺς Ἰνδοὺς *z* ‖ 4. ἄρσενας *d* ‖ θεῖν *L* ‖ 5. θηλέων *Cdz*: θηλεῶν ‖ καὶ om. *PR* ‖ ἐφελκομένους οὐχ *ABCd* ‖ 7. διδόναι *ABCd* ‖ τὸ *C* ‖ οὗτοι *ABCd* ‖ 8. οἱ om. *R* ‖ σπανιώτερος ἐστὶ *Pd*: σπανιώτερός ἐστι ‖ 10. οἰκημένης *ABC*, οἰκουμένης reliqui ‖ 11. χώρας *R* ‖ κάλλιστον *R* ‖ κεκριμένας *R*, κεκραμένας ceteri ‖ 12. ἠῶ *R*: ἕω ‖ οἰκεομένων *L* ‖ 13. ὀλίγον *ABC* ‖ 14. τὰ τετράποδά? Krueger ‖ πετηνὰ πολλῶι μείζω *AB* ‖ 15. εἰσι *z* ‖ 16. οὗτοι H. Stephanus: τοῦτο *ABRz*, τούτωι *CP*, τούτω *d* ‖ δὲ] γὰρ *z* ‖ νισαίων *dz* ‖ τε *C* ‖ 17. ἐστι αὐτόθι *d* ‖ 18. ὁ δὲ καταφορεύμενος om. *R* ‖ ὑπὸ] ὑπὸ τῶν *R* ‖ 19. ἐσήμανα *z* ‖ τὰ δένδρεα ἄγρια *R* ‖ 20. καλωνῆι *C* ‖ τῶν ἀπὸ] τῇ ἀπὸ *z* ‖ 21. οἰῶν *R* ‖ οἱ Ἰνδοὶ *z* ‖ χρέονται *P* ‖ 22. δὲ *ABd* ‖ μεσημβρίης *R* ‖ οἰκεομένων *L* ‖ 23. χωρίων *z* ‖ δὲ om. *R* ‖ τ' ἐστὶ *R*, τέ ἐστι ceteri ‖ καὶ μούνῃ *sz*

ρέων πασέων φυόμενος καὶ σμύρνη καὶ κασίη καὶ κινάμωμον καὶ λήδανον. ταῦτα πάντα πλὴν τῆς σμύρνης δυσπετέως κτῶνται οἱ Ἀράβιοι. τὸν μέν γε λιβανωτὸν συλλέγουσι τὴν στύρακα θυμιῶντες, τὴν ἐς Ἕλληνας Φοίνικες ἐξάγουσι· ταύτην θυμιῶντες λαμβάνουσι· τὰ γὰρ δένδρεα ταῦτα τὰ λιβανωτοφόρα ὄφιες ὑπόπτεροι, σμικροὶ τὰ μεγάθεα, ποικίλοι τὰ εἴδεα, φυλάσσουσι πλήθεϊ πολλοὶ περὶ δένδρον ἕκαστον, οὗτοι οἵπερ ἐπ' Αἴγυπτον ἐπιστρατεύονται. οὐδενὶ δὲ ἄλλῳ ἀπελαύνονται ἀπὸ τῶν δενδρέων ἢ τῆς στύρακος τῷ καπνῷ.

108 λέγουσι δὲ καὶ τόδε Ἀράβιοι, ὡς πᾶσα ἂν γῆ ἐπίμπλατο τῶν ὀφίων τούτων, εἰ μὴ γίνεσθαι κατ' αὐτοὺς οἷόν τι κατὰ τὰς ἐχίδνας ἠπιστάμην γίνεσθαι. καί κως τοῦ θείου ἡ προνοίη, ὥσπερ καὶ οἰκός ἐστι, ἐοῦσα σοφή, ὅσα μὲν [γὰρ] ψυχήν τε δειλὰ καὶ ἐδώδιμα, ταῦτα μὲν πάντα πολύγονα πεποίηκε, ἵνα μὴ ἐπιλίπῃ κατεσθιόμενα, ὅσα δὲ σχέτλια καὶ ἀνιηρά, ὀλιγόγονα. τοῦτο μέν, ὅτι ὁ λαγὸς ὑπὸ παντὸς θηρεύεται θηρίου καὶ ὄρνιθος καὶ ἀνθρώπου, οὕτω δή τι πολύγονόν ἐστι· ἐπικυΐσκεται μοῦνον πάντων θηρίων, καὶ τὸ μὲν δασὺ τῶν τέκνων ἐν τῇ γαστρὶ τὸ δὲ ψιλόν, τὸ δὲ ἄρτι ἐν τῇσι μήτρῃσι πλάσσεται, τὸ δὲ ἀναιρέεται. τοῦτο μὲν δὴ τοιοῦτό ἐστι· ἡ δὲ δὴ λέαινα ἐὸν ἰσχυρότατον καὶ θρασύτατον ἅπαξ ἐν τῷ βίῳ τίκτει ἕν· τίκτουσα γὰρ συνεκβάλλει τῷ τέκνῳ τὰς μήτρας.

περὶ προνοίας περὶ λαγῶν καὶ λεαινῶν

16. τοῦτο - 20 ἀναιρέεται Athenaeus p. 400. — 17. - 20 (Pollux V 73). — 20. ἡ δὲ - 22 μήτρας Gellius XIII 7. — 21 sq. Antigonus Car. hist. mir. 25. (Aristoteles hist. anim. VI 31 p. 579b)

1. κασσίη *dz* ‖ κιννάμωμον *B*²*sz*. Eust. ‖ 2. λάδανον *B*² ‖ πάντα] γὰρ πάντα *z* ‖ δυσπετέως *R*: εὐπετέως ‖ 3. κτέονται *P*, κτέωνται *Cdz* ‖ 4. στύρϊκα *R* ‖ ἐς om. *R* ‖ 5. ταῦτα om. *R* ‖ 6. μικροὶ *L* ‖ μεγέθεα *C* ‖ 7. πλήθει *AB* ‖ 8. ἐπ' om. *R* ‖ ἄλλο *B* ‖ 9. τῷ om. *R* ‖ 10. ἐπιμπλέετο *PRz* ‖ τῶν om. *ABC* ‖ 11. αὐτούς] αὐτοὺς ἀπηγέοντο *R* ‖ κατὰ] καὶ *R* ‖ 12. προνοΐη *C* ‖ 13. εἰκός *dz* ‖ ἐοῦσα om. *R* ‖ γὰρ damnavit H. Stephanus. an γε? ‖ 15. ἐπιλίπηται *ABCd*, ἐπιλείπηται *z* ‖ ἀνιητά *R*, ἀνιαρά *d* ‖ 16. λαγὸς *s*: λαγῶς *AB*, λαγωὸς *z*, λαγὼς reliqui ‖ ἅπαντος *R*, πάντων Athen. ‖ θηρίου] καὶ θηρίου Athen. ‖ 17. τι] τι τό, *z* ‖ ἐπικυΐσκει τε Athen., ἐπικυΐσκει Eust. ‖ 18. μόνον Athen. Eust. ‖ πάντων] πάντων τῶν *z* ‖ 20. δ' ἐπαναιρέεται Eust., δ' ἐπαναίρεται Athen. ‖ τοιοῦτόν *Rd* ‖ 21. δὴ om. *ABCd* ‖ ἰσχυρὸν Gell. ‖ 22. τίκτουσϊ *R*

τὸ δὲ αἴτιον τούτου τόδε ἐστί. ἐπεὰν ὁ σκύμνος ἐν τῇ μητρὶ
ἐὼν ἄρχηται διακινεόμενος, ὁ δὲ ἔχων ὄνυχας θηρίων πολ-
λὸν πάντων ὀξυτάτους ἀμύσσει τὰς μήτρας, αὐξόμενός τε δὴ
πολλῷ μᾶλλον ἐπικνέεται καταγράφων· πέλας τε δὴ ὁ τόκος
ἐστί, καὶ τὸ παράπαν λείπεται αὐτέων ὑγιὲς οὐδέν. ὡς δὲ 109
καὶ αἱ ἔχιδναί τε καὶ οἱ ἐν Ἀραβίοισι ὑπόπτεροι ὄφιες εἰ ἐγί-
νοντο ὡς ἡ φύσις αὐτοῖσι ὑπάρχει, οὐκ ἂν ἦν βιώσιμα ἀνθρώ-
ποισι· νῦν δ᾽ ἐπεὰν θορνύωνται κατὰ ζεύγεα καὶ ἐν αὐτῇ ᾖ
ὁ ἔρσην τῇ ἐκποιήσι, ἀπιεμένου αὐτοῦ τὴν γονὴν ἡ θήλεα
ἅπτεται τῆς δειρῆς, καὶ ἐμφῦσα οὐκ ἀνίει πρὶν ἂν διαφάγῃ.
ὁ μὲν δὴ ἔρσην ἀποθνήσκει τρόπῳ τῷ εἰρημένῳ, ἡ δὲ θήλεα
τίσιν τοιήνδε ἀποτίνει τῷ ἔρσενι. τῷ γονέι τιμωρέοντα ἔτι
ἐν τῇ γαστρὶ ἐόντα τὰ τέκνα διεσθίει τὴν μητέρα,· διαφαγόντα
δὲ τὴν νηδὺν αὐτῆς οὕτω τὴν ἔκδυσιν ποιέεται. οἱ δὲ ἄλλοι
ὄφιες ἐόντες ἀνθρώπων οὐ δηλήμονες τίκτουσί τε ᾠὰ καὶ
ἐκλέπουσι πολλόν τι χρῆμα τῶν τέκνων. αἱ μέν νυν ἔχιδναι
κατὰ πᾶσαν τὴν γῆν εἰσι, οἱ δέ, ὑπόπτεροι ἐόντες, ἀθρόοι
εἰσὶ ἐν τῇ Ἀραβίῃ καὶ οὐδαμῇ ἄλλῃ· κατὰ τοῦτο δοκέουσι
πολλοὶ εἶναι.

Τὸν μὲν δὴ λιβανωτὸν τοῦτον οὕτω κτῶνται Ἀράβιοι, 110
τὴν δὲ κασίην ὧδε. ἐπεὰν καταδήσωνται βύρσῃσι καὶ δέρ-
μασι ἄλλοισι πᾶν τὸ σῶμα καὶ τὸ πρόσωπον πλὴν αὐτῶν
τῶν ὀφθαλμῶν, ἔρχονται ἐπὶ τὴν κασίην· ἡ δὲ ἐν λίμνῃ
φύεται οὐ βαθέῃ, περὶ δὲ αὐτὴν καὶ ἐν αὐτῇ αὐλίζεταί κου
θηρία πτερωτά, τῇσι νυκτερίσι προσεικελα μάλιστα, καὶ

περὶ ἐχιδνῶν καὶ τῶν ἐν Ἀραβίᾳ ὄφεων — περὶ κασίας

4. (Aelianus var. hist. X 3). — 21 sqq. Plinius XII 85

1. τοῦτό ἐστι *d* ‖ μητρὶ Bekker: μήτρῃ ‖ 3. αὐξανόμενός *Rdz* ‖ 4. ἐπικνέεται *z*: ἐξικνέεται *d*, ἐσικνέεται reliqui ‖ 5. αὐτῶν *C* ‖ οὐδὲ ἓν *z* ‖ ὡς *Rdz* ‖ 6. αἱ om. *Rd* ‖ 8. δὲ *R* ‖ θορνύονται *Rd* ‖ 9. ἄρσην *d* ‖ ἐκποιήσει *L* ‖ ἀπιευμένου *C* ‖ 10. δερῆς *R* ‖ ἂν om. *ABCd* ‖ 12. ἀποτείνει $A^{1}B$, ἀποκτείνει *R* ‖ γονεῖ *L* ‖ 13. τὴν μητέρα *R*: om. *P*, τὴν μήτραν reliqui ‖ 14. νηδύα *z* ‖ 15. ἐόνες $A^{1}B^{1}$ ‖ ὠὰ *CRdz* ‖ 16. τέκνων *PR*: ὀφίων ‖ μὲν δή νυν *R* ‖ 17. τὴν om. *R* ‖ 20. τὸ et τοῦτο *z* ‖ 21. κασσίην *z* ‖ 23. κασσίην *z* ‖ 25. ταῖς *R* ‖ προσίκελα *d*

τέτριγε δεινόν, καὶ ἐς ἀλκὴν ἄλκιμα· τὰ δεῖ ἀπαμυνομένους
111 ἀπὸ τῶν ὀφθαλμῶν οὕτω δρέπειν τὴν κασίην. τὸ δὲ δὴ κινάμωμον ἔτι τούτων θωυμαστότερον συλλέγουσι. ὅκου μὲν γὰρ γίνεται καὶ ἥτις μιν γῆ ἡ τρέφουσά ἐστι, οὐκ ἔχουσι εἰπεῖν, πλὴν ὅτι λόγῳ οἰκότι χρεώμενοι ἐν τοῖσιδε χωρίοισι φασί τινες αὐτὸ φύεσθαι ἐν τοῖσι ὁ Διόνυσος ἐτράφη· ὄρνιθας δὲ λέγουσι μεγάλας φορέειν ταῦτα τὰ κάρφεα τὰ ἡμεῖς ἀπὸ Φοινίκων μαθόντες κινάμωμον καλέομεν, φορέειν δὲ τὰς ὄρνιθας ἐς νεοσσιὰς προσπεπλασμένας ἐκ πηλοῦ πρὸς ἀποκρήμνοισι ὄρεσι, ἔνθα πρόσβασιν ἀνθρώπῳ οὐδεμίαν εἶναι. πρὸς ὦν δὴ ταῦτα τοὺς Ἀραβίους σοφίζεσθαι τάδε. βοῶν τε καὶ ὄνων τῶν ἀπογινομένων καὶ τῶν ἄλλων ὑποζυγίων τὰ μέλεα διαταμόντας ὡς μέγιστα κομίζειν ἐς ταῦτα τὰ χωρία, καί σφεα θέντας ἀγχοῦ τῶν νεοσσιέων ἀπαλλάσσεσθαι ἑκὰς αὐτέων· τὰς δὲ ὄρνιθας καταπετομένας [αὐτῶν] τὰ μέλεα τῶν ὑποζυγίων ἀναφορέειν ἐπὶ τὰς νεοσσιάς· τὰς δὲ οὐ δυναμένας ἴσχειν καταρρήγνυσθαι ἐπὶ γῆν· τοὺς δὲ ἐπιόντας συλλέγειν. οὕτω μὲν τὸ κινάμωμον συλλεγόμενον ἐκ τούτων
112 ἀπικνέεσθαι ἐς τὰς ἄλλας χώρας. τὸ δὲ δὴ λήδανον, τὸ καλέουσι Ἀράβιοι λάδανον, ἔτι τούτου θωυμασιώτερον γίνεται· ἐν γὰρ δυσοδμοτάτῳ γινόμενον εὐωδέστατόν ἐστι· τῶν γὰρ αἰγῶν τῶν τράγων ἐν τοῖσι πώγωσι εὑρίσκεται ἐγγινό-

περὶ κιναμώμου περὶ λαδάνου

2. Eustathius Od. p. 1429. — 6. - 16 idem Dion. 939. — 6. - 8 Etym. M. p. 514, 2. Suidas v. κιννάμωμον. — Schol. Nicand. Ther. 947. — 19 sq. Eustathius Dion. 933. Il. p. 1147. Od. p. 1686

1. τέτρυγε *dz* ‖ δεῖ *AB*. idemque Bekker coniectura: δή ‖ 2. δρέπει *C* ‖ κασσίην *z* ‖ 3. κιννάμωμον *Acorr.Bsz* ‖ θαυμαστότερον *d* ‖ ὅκου] οὔκουν *C* ‖ 5. ὅτι] ἢ *R* ‖ εἰκότι *Rdz*. οὐκ οἰκότι Welcker ‖ χρώμενοι *R*, χρεόμενοι *P* ‖ τοῖσι δὲ *L* ‖ 6. ὄρνηθας *R* ‖ 8. κιννάμωμον *Acorr.Bsz*. Suid. ‖ τοὺς *L* ‖ 9. νοσσιὰς *Rd* ‖ πεπλασμένας *z* ‖ πηλῷ *qz* ‖ 10. οὔρεσι *CPdz* ‖ ἀνθρώπων *R*, γρ. ἀνῶν *Pm* ‖ οὐδεμίην *z* ‖ 11. τάδε] ταῦτα *d* ‖ 13. διατάμνοντες *R* ‖ 14. νοσσιέων *dz*, νεοσσιῶν *R* ‖ 15. καταπτεωμένας *C*, καταπταμένας *R* ‖ αὐτῶν om. *R*. αὐτίκα Schweighaeuser ‖ μέλεα post ὑποζυγίων *R* ‖ 17. ἐπὶ] ἐς *P*, εἰς *R*, ἐπὶ τὴν *z* ‖ δ' *AB* ‖ συλλέγειν. οὕτω μὲν *PR*: συλλέγειν οὕτω μὲν *z*, συλλέγειν οὕτω reliqui ‖ 18. κιννάμωμον *ABR* ‖ ἐκ] δ' ἐκ *AB*, δὲ ἐκ *Cdz* ‖ 20. ἀράβιοι καλέουσι *PRz* ‖ ἔτι *PR*: ἐκ ‖ θωμασιώτερον *d* ‖ 21. δυσοδμωτάτω *d* ‖ 22. ἐνγινόμενον A^1B^1

›

μενον οἷον γλοιὸς ἀπὸ τῆς ὕλης. χρήσιμον δ' ἐς πολλὰ τῶν μύρων ἐστί, θυμιῶσί τε μάλιστα τοῦτο Ἀράβιοι.

Τοσαῦτα μὲν θυωμάτων πέρι εἰρήσθω, ἀπόζει δὲ τῆς 113
χώρης τῆς Ἀραβίης θεσπέσιον ὡς ἡδύ. δύο δὲ γένεα ὀίων σφι ἐστὶ θώυματος ἄξια, τὰ οὐδαμόθι ἑτέρωθί ἐστι. τὸ μὲν αὐτῶν ἕτερον ἔχει τὰς οὐρὰς μακράς, τριῶν πηχέων οὐκ ἐλάσσονας, τὰς εἴ τις ἐπείη σφι ἐπέλκειν, ἕλκεα ἂν ἔχοιεν ἀνατριβομενέων πρὸς τῇ γῇ τῶν οὐρέων· νῦν δ' ἅπας τις τῶν ποιμένων ἐπίσταται ξυλουργέειν ἐς τοσοῦτο· ἁμαξίδας γὰρ ποιεῦντες ὑποδέουσι αὐτὰς τῇσι οὐρῇσι, ἑνὸς ἑκάστου κτήνεος τὴν οὐρὴν ἐπὶ ἁμαξίδα ἑκάστην καταδέοντες. τὸ δὲ ἕτερον γένος τῶν ὀίων τὰς οὐρὰς πλατέας φορέουσι καὶ ἐπὶ πῆχυν πλάτος.

Ἀποκλινομένης δὲ μεσαμβρίης παρήκει πρὸς δύνοντα 114
ἥλιον ἡ Αἰθιοπίη χώρη ἐσχάτη τῶν οἰκεομενέων· αὕτη δὲ χρυσόν τε φέρει πολλὸν καὶ ἐλέφαντας ἀμφιλαφέας καὶ δένδρεα πάντα ἄγρια καὶ ἔβενον καὶ ἄνδρας μεγίστους καὶ καλλίστους καὶ μακροβιωτάτους.

Αὗται μέν νυν ἔν τε τῇ Ἀσίῃ ἐσχατιαί εἰσι καὶ ἐν τῇ 115
Λιβύῃ. περὶ δὲ τῶν ἐν τῇ Εὐρώπῃ τῶν πρὸς ἑσπέρην ἐσχατιέων ἔχω μὲν οὐκ ἀτρεκέως λέγειν· οὔτε γὰρ ἔγωγε ἐνδέκομαι Ἠριδανὸν καλέεσθαι πρὸς βαρβάρων ποταμὸν ἐκδιδόντα ἐς θάλασσαν τὴν πρὸς βορέην ἄνεμον, ἀπ' ὅτευ τὸ

περὶ τῶν τῆς Εὐρώπης ἐσχατιῶν

---

4. - 13 Aelianus de nat. anim. X 4. — 16 sq. Eustathius Dion. 218

1. γλυὸς *d* ‖ δὲ *R* ‖ 3. θυωμάτων A^2P^m: θωυμάτων *C*, θωμάτων A^1BP^td, θυμιαμάτων *Rz* ‖ 5. θώυματος *C*: θωύματος *P*, θώματος reliqui ‖ 6. αὐτέων *R* ‖ μικρὰς *C* ‖ τριῶν πηχέων *R*, τριῶν πήχεων *P*. Ael.: τριπήχεας *ABCd*, τριπήχεων *z* ‖ 7. ἐπίει *R*, ἐπήει *z* ‖ ἀπέλκειν *z* ‖ 8. ἀνατριβομένων *ABz* ‖ τῇ om. *ABCd* ‖ δὲ *R* ‖ 9. πιμένων *R* ‖ τοῦτο *Ct*, τοσοῦτον *R* ‖ 11. ἐπ' *PR* ‖ ἀμαξίδας *d* ‖ 12. οἰῶν et φορέει *R* ‖ 14. ἀποκλινομένης *PR*: ἀποκλιναμένης ‖ μεσημβρίης *R* ‖ δύναντα ἥλιον *C*, ἥλιον δύνοντα *R* ‖ 15. οἰκεομένων *L* ‖ 16. ἀμφιλάφεας *R* ‖ 17. ἅπαντα *R* ‖ ἔβεννον *d* ‖ 19. ἐσχατιαί *PRz*: ἔσχαται ‖ 22. Ἠριδανὸν] ἠριδανόν τινα *R* ‖ 23. βορὴν *R* ‖ ἀπό τε *C*, ἀπό τευ *sz*, ἀπότευ ceteri

ἤλεκτρον φοιτᾶν λόγος ἐστί, οὔτε νήσους οἶδα Κασσιτερίδας ἐούσας, ἐκ τῶν ὁ κασσίτερος ἡμῖν φοιτᾷ. τοῦτο μὲν γὰρ ὁ Ἠριδανὸς αὐτὸ κατηγορέει τὸ οὔνομα ὡς ἔστι Ἑλληνικὸν καὶ οὐ βάρβαρον, ὑπὸ ποιητέω δέ τινος ποιηθέν· τοῦτο δὲ οὐδενὸς αὐτόπτεω γενομένου οὐ δύναμαι ἀκοῦσαι, τοῦτο μελετῶν, ὅκως θάλασσά ἐστι τὰ ἐπέκεινα Εὐρώπης. ἐξ ἐσχάτης δ' ὦν ὁ κασσίτερος ἡμῖν φοιτᾷ καὶ τὸ ἤλεκτρον.
116 πρὸς δὲ ἄρκτου τῆς Εὐρώπης πολλῷ τι πλεῖστος χρυσὸς φαίνεται ἐών· ὅκως μὲν γινόμενος, οὐκ ἔχω οὐδὲ τοῦτο ἀτρεκέως εἶπαι, λέγεται δὲ ὑπὲκ τῶν γρυπῶν ἁρπάζειν Ἀριμασποὺς ἄνδρας μουνοφθάλμους. πείθομαι δὲ οὐδὲ τοῦτο, ὅκως μουνόφθαλμοι ἄνδρες φύονται, φύσιν ἔχοντες τὴν ἄλλην ὁμοίην τοῖσι ἄλλοισι ἀνθρώποισι. αἱ δὲ ὦν ἐσχατιαὶ οἴκασι, περικληίουσαι τὴν ἄλλην χώρην καὶ ἐντὸς ἀπέργουσαι, τὰ κάλλιστα δοκέοντα ἡμῖν εἶναι καὶ σπανιώτατα ἔχειν αὗται.

117 Ἔστι δὲ πεδίον ἐν τῇ Ἀσίῃ περικεκληιμένον ὄρεϊ πάντοθεν, διασφάγες δὲ τοῦ ὄρεος εἰσὶ πέντε. τοῦτο τὸ πεδίον ἦν μέν κοτε Χορασμίων, ἐν οὔροισι ἐὸν Χορασμίων τε αὐτῶν καὶ Ὑρκανίων καὶ Πάρθων καὶ Σαραγγέων καὶ Θαμαναίων, ἐπείτε δὲ Πέρσαι ἔχουσι τὸ κράτος, ἐστὶ τοῦ βασιλέος. ἐκ δὴ ὦν τοῦ περικληίοντος ὄρεος τούτου ῥέει ποταμὸς μέγας,

περὶ τοῦ ἐν τῇ Ἀσίᾳ πεδίου

1. νήσους - 2 φοιτᾷ Eustathius Dion. 561. — 3 sq. ibidem 14. — 10. Plinius VII 10. — 11. Pollux II 62. — 17. Λέξεις. — τοῦτο - 18 κοτε Χορασμίων Stephanus Byz. v. Χορασμίη

1. κασιτερίδας et 2 κασίτερος *C* ‖ 3. καὶ οὐ βάρβαρον *PR*. Eust.: καὶ οὔτε βαρβαρικὸν *AB*², καὶ οὔτι βαρβαρικὸν *Cdz*, om. *B*¹ ‖ 4. ποιητέω *R*: ποιητοῦ ‖ τοῦτο δὲ *R*: οὔτε δὲ. an οὐδὲ? ‖ 5. γινομένου *C* ‖ οὐ om. *PR* ‖ τοῦτό με λέγων *R* ‖ 6. ὅπως *d* ‖ τῆς εὐρώπης *R* ‖ 7. ἐσχάτων *PR* ‖ ὁ] ὅ τε *R* ‖ 8. τι] om. *A*, τοι *z* ‖ 10. εἶπε *CR* ‖ ὑπὲκ *R*: ὑπὸ *C*, ὑπὲρ reliqui ‖ ἀναρπάζειν ἀριμαστοὺς *R* ‖ 11. μονοφθάλμους *R* ‖ 13. τοῖς *d* ‖ δὴ *PR* ‖ 14. περικλήουσαι *R* ‖ 15. αὐτά *R*. an αὗται? 16. περικεκληιμένον *AB*: περικεκλειμένον *C*, περικεκληισμένον *P*, περικεκλῃσμένον *R*, περικεκλημένον *d*, περικεκλεισμένον *sz* ‖ οὐρεϊ *CPdz* ‖ 17. οὔρεος *CPdz* ‖ 18. ποτε *R*. Steph. ‖ ἐν - Χορασμίων om. *ABCd* ‖ οὔρεσι (οι supra ε) *P*, οὔρεσιν *R*, οὔρεσι *z* ‖ ἐὸν] ἐόντ *z* ‖ αὐτέων *R* ‖ 19. σαραγγαίων *Rz* ‖ θαμαναίων *R*: θωμανίων *bz*, θωμαναίων ceteri ‖ 20. ἔστι *AB* ‖ βασιλέως *d* ‖ 21. περικληΐοντος *Pz*: περικλήιοντος *AB*, περικλήοντος *Rd*, περικλείοντος *C* ‖ οὔρεος *CPdz*

οὔνομα δέ οἱ ἐστὶ Ἄκης. οὗτος πρότερον μὲν ἄρδεσκε διαλελαμμένος πενταχοῦ τούτων τῶν εἰρημένων τὰς χώρας, διὰ διασφάγος ἀγόμενος ἑκάστης ἑκάστοισι· ἐπείτε δὲ ὑπὸ τῷ Πέρσῃ εἰσί, πεπόνθασι τοιόνδε. τὰς διασφάγας τῶν ὀρέων ἐνδείμας ὁ βασιλεὺς πύλας ἐπ' ἑκάστῃ διασφάγι ἔστησε· ἀποκεκλῃμένου δὲ τοῦ ὕδατος τῆς διεξόδου τὸ πεδίον τὸ ἐντὸς τῶν ὀρέων πέλαγος γίνεται, ἐνδιδόντος μὲν τοῦ ποταμοῦ, ἔχοντος δὲ οὐδαμῇ ἐξήλυσιν. οὗτοι ὦν οἵ περ ἔμπροσθε ἐώθεσαν χρᾶσθαι τῷ ὕδατι, οὐκ ἔχοντες αὐτῷ χρᾶσθαι συμφορῇ μεγάλῃ διαχρέωνται. τὸν μὲν γὰρ χειμῶνα ὕει σφι ὁ θεὸς ὥσπερ καὶ τοῖσι ἄλλοισι ἀνθρώποισι, τοῦ δὲ θέρεος σπείροντες μελίνην καὶ σήσαμον χρηίσκονται τῷ ὕδατι. ἐπεὰν ὦν μηδέν σφι παραδιδῶται τοῦ ὕδατος, ἐλθόντες ἐς τοὺς Πέρσας αὐτοί τε καὶ γυναῖκες, στάντες κατὰ τὰς θύρας τοῦ βασιλέος βοῶσι ὠρυόμενοι, ὁ δὲ βασιλεὺς τοῖσι δεομένοισι αὐτῶν μάλιστα ἐντέλλεται ἀνοίγειν τὰς πύλας τὰς ἐς τοῦτο φερούσας. ἐπεὰν δὲ διάκορος ἡ γῆ σφεων γένηται πίνουσα τὸ ὕδωρ, αὗται μὲν αἱ πύλαι ἀποκληίονται. ἄλλας δ' ἐντέλλεται ἀνοίγειν ἄλλοισι τοῖσι δεομένοισι μάλιστα τῶν λοιπῶν. ὡς δ' ἐγὼ οἶδα ἀκούσας, χρήματα μεγάλα πρησσόμενος ἀνοίγει πάρεξ τοῦ φόρου.

Ταῦτα μὲν δὴ ἔχει οὕτω. τῶν δὲ τῷ Μάγῳ ἐπαναστάντων 118
ἑπτὰ ἀνδρῶν, ἕνα αὐτῶν Ἰνταφρένεα κατέλαβε ὑβρίσαντα

περὶ τῆς Ἰνταφέρνους ὕβρεως καὶ τελευτῆς

---

1. (Hesychius v. Ἀκίς?). — 12. Harpocratio v. μελίνη. — 17. ἐπεὰν - γένηται Thomas M. p. 105

1. ἄκις *C*, Ἀκίς Hes. ‖ διαλελαμμένος *AB*: διαλελαμένος ‖ 2. πενταχοῦ *R*: πἕνταχοῦ *P*, πανταχοῦ reliqui ‖ τοῦτον τὸν εἰρημένον *R*, τῶν εἰρημένων τούτων *z* ‖ in *A* ante τὰς initio versus est litera ψ ‖ 3. ἑκάστης A^t om. ‖ ἑκάστοισι B^1 om. ‖ 4. οὐρέων *CPdz* ‖ 5. ἐφ' *ABC* ‖ 6. ἀποκεκλειμένου *C*, ἀποκεκληισμένου *P*, ἀποκεκλησμένου *R* ‖ ἐξόδου *ABCd* ‖ τὸ ἐντὸς] ἐντὸς *R* ‖ 7. οὐρέων *CPdz* ‖ 8. οὐδαμῆ *PRz* ‖ ἔμπροσθεν *Pdz*, πρόσθεν *R* ‖ 9. εἰώθεσαν *dz*, ἐώθασι *R* ‖ 10. διαχρέονται *P* ‖ 12. μελήνην *d*, μελίην *R* ‖ χρηίσκονται Portus: χρηΐσκοντο ‖ 13. μηδέν σφισι *AB*, σφι μηδὲν *R* ‖ παραδίδωται *R* ‖ 15. βασιλέως *ABCd* ‖ ὠρυώμενοι *R* ‖ 16. αὐτέων *R* ‖ 17. τούτους P^tR ‖ φορεούσας *PR* ‖ ἐπειδὰν *C* ‖ σφεων *AP*: σφέων ‖ 18. ἀποκλήιονται *AB*, ἀποκλήονται *R*, ἀποκλείονται *C* ‖ δὲ *CR* ‖ 20. δὲ *CR* ‖ 23. ἰνταφρένεα *R*: ἰνταφέρνεα

τάδε ἀποθανεῖν αὐτίκα μετὰ τὴν ἐπανάστασιν. ἤθελε ἐς τὰ βασιλήια ἐσελθὼν χρηματίσασθαι τῷ βασιλέι· καὶ γὰρ δὴ καὶ ὁ νόμος οὕτω εἶχε, τοῖσι ἐπαναστᾶσι τῷ Μάγῳ ἔσοδον εἶναι παρὰ βασιλέα ἄνευ ἀγγέλου, ἢν μὴ γυναικὶ τυγχάνῃ μισγόμενος βασιλεύς. οὔκων δὴ Ἰνταφρένης ἐδικαίου οὐδένα οἱ ἐσαγγεῖλαι, ἀλλ' ὅτι ἦν τῶν ἑπτά, ἐσιέναι ἤθελε. ὁ δὲ πυλουρὸς καὶ ὁ ἀγγελιηφόρος οὐ περιώρων, φάμενοι τὸν βασιλέα γυναικὶ μίσγεσθαι. ὁ δὲ Ἰνταφρένης δοκέων σφέας ψεύδεα λέγειν ποιέει τοιάδε· σπασάμενος τὸν ἀκινάκεα ἀποτάμνει αὐτῶν τά τε ὦτα καὶ τὰς ῥῖνας, καὶ ἀνείρας περὶ τὸν χαλινὸν τοῦ ἵππου περὶ τοὺς αὐχένας σφέων ἔδησε, καὶ
119 ἀπῆκε. οἱ δὲ τῷ βασιλέι δεικνύουσι ἑωυτοὺς καὶ τὴν αἰτίην εἶπον δι' ἣν πεπονθότες εἴησαν. Δαρεῖος δὲ ἀρρωδήσας μὴ κοινῷ λόγῳ οἱ ἓξ πεποιηκότες ἔωσι ταῦτα, μεταπεμπόμενος ἕνα ἕκαστον ἀπεπειρᾶτο γνώμης, εἰ συνέπαινοί εἰσι τῷ πεποιημένῳ. ἐπείτε δὲ ἐξέμαθε ὡς οὐ σὺν κείνοισι εἴη ταῦτα πεποιηκώς, ἔλαβε αὐτόν τε τὸν Ἰνταφρένεα καὶ τοὺς παῖδας αὐτοῦ καὶ τοὺς οἰκηίους πάντας, ἐλπίδας πολλὰς ἔχων μετὰ τῶν συγγενέων μιν ἐπιβουλεύειν οἱ ἐπανάστασιν, συλλαβὼν δέ σφεας ἔδησε τὴν ἐπὶ θανάτῳ. ἡ δὲ γυνὴ τοῦ Ἰνταφρένεος φοιτέουσα ἐπὶ τὰς θύρας τοῦ βασιλέος κλαίεσκε ἂν καὶ ὀδυρέσκετο· ποιεῦσα δὲ αἰεὶ τὠυτὸ τοῦτο τὸν Δαρεῖον ἔπεισε οἰκτεῖραί μιν. πέμψας δὲ ἄγγελον ἔλεγε τάδε. "ὦ γύναι, βασιλεύς τοι Δαρεῖος διδοῖ ἕνα τῶν δεδεμένων οἰκηίων ῥύσα-

---

1. ἤθελε - 2 βασιλέι Thomas M. p. 401. — ἐς τὰ - βασιλέι Lexicon Vindob. p. 190

1. ἀποθανεῖν. αὐτίκα *PRz* ‖ ἐπανάστασιν ἤθελε *PRz* ‖ 2. ἐλθὼν *R* ‖ βασιλεῖ *AB*. Thom. Lex. Vind. ‖ δὴ καὶ] om. *R*, δὴ *Pdz* ‖ 3. εἶχε τοῖσι ἐπαναστᾶσι τῷ μάγῳ. ἔσοδον *PR* ‖ 4. τύχῃ *R* ‖ 5. ὁ βασιλεὺς *z* ‖ οὔκουν *d* ‖ ἰνταφρένης *R*: ἰνταφέρνης ‖ ἐδικαίευ *C*(?)*z* ‖ 6. ἐπαγγεῖλαι *B*[1] ‖ εἰσιέναι ἤθελε *AB*, ἤθελε ἐσιέναι *z* ‖ 7. ὁ om. *ABCd* ‖ ἀγγεληφόρος *R* ‖ περιώρεον *C*[a]*dz* ‖ 8. ἰνταφρένης *R*: ἰνταφέρνης ‖ 9. τάδε *R* ‖ ἀποτέμνει *d* ‖ 10. περὶ om. *z* ‖ 12. ἀφῆκε *AB*, ἀφῆκεν *Cd* ‖ βασιλεῖ *AB* ‖ δεικνύουσι *Rdz*: δεικνῦσι ‖ 15. ἐπειρᾶτο *R* ‖ 16. ἔμαθεν *R* ‖ σὺν κείνοισι scripsi: συγκειμένοισι *ABCdz*, σὺν ἐκείνοισι *PR* ‖ 17. ἰνταφρένεα *R*: ἰνταφέρνεα ‖ τὸν παῖδα *ABC* ‖ 20. ἔδεισε *R* ‖ ἰνταφρένεος *R*: ἰνταφέρνεος ‖ 21. φοιτέουσα *Pdz*: φοιτῶσα *ABR*, φοιτέωσα *C* ‖ βασιλέως *ABCd* ‖ 22. ὠδύρετο *dz* ‖ ποιοῦσα *ABd* ‖ δ' *R* ‖ ἔπειθεν *R* .

σθαι τὸν βούλεαι ἐκ πάντων.” ἡ δε βουλευσαμένη ὑπεκρίνετο τάδε. “εἰ μὲν δή μοι διδοῖ βασιλεὺς ἑνὸς τὴν ψυχήν, αἱρέομαι ἐκ πάντων τὸν ἀδελφεόν.” πυθόμενος δὲ Δαρεῖος ταῦτα καὶ θωυμάσας τὸν λόγον, πέμψας ἠγόρευε “ὦ γύναι, εἰρωτᾷ σε βασιλεύς, τίνα ἔχουσα γνώμην, τὸν ἄνδρα τε καὶ τὰ τέκνα ἐγκαταλιποῦσα, τὸν ἀδελφεὸν εἵλευ περιεῖναί τοι, ὃς καὶ ἀλλοτριώτερός τοι τῶν παίδων καὶ ἧσσον κεχαρισμένος τοῦ ἀνδρός ἐστι.” ἡ δ’ ἀμείβετο τοῖσιδε. “ὦ βασιλεῦ, ἀνὴρ μέν μοι ἂν ἄλλος γένοιτο, εἰ δαίμων ἐθέλοι, καὶ τέκνα ἄλλα, εἰ ταῦτα ἀποβάλοιμι· πατρὸς δὲ καὶ μητρὸς οὐκέτι μευ ζωόντων ἀδελφεὸς ἂν ἄλλος οὐδενὶ τρόπῳ γένοιτο. ταύτῃ τῇ γνώμῃ χρεωμένη ἔλεξα ταῦτα.” εὖ τε δὴ ἔδοξε τῷ Δαρείῳ εἰπεῖν ἡ γυνή, καί οἱ ἀπῆκε τοῦτόν τε τὸν παραιτέετο καὶ τῶν παίδων τὸν πρεσβύτατον, ἡσθεὶς αὐτῇ, τοὺς δὲ ἄλλους ἀπέκτεινε πάντας. τῶν μὲν δὴ ἑπτὰ εἷς αὐτίκα τρόπῳ τῷ εἰρημένῳ ἀπολώλεε.

Κατὰ δέ κου μάλιστα τὴν Καμβύσεω νοῦσον ἐγίνετο 120
τάδε. ὑπὸ Κύρου κατασταθεὶς ἦν Σαρδίων ὕπαρχος Ὀροίτης ἀνὴρ Πέρσης· οὗτος ἐπεθύμησε πρήγματος οὐκ ὁσίου· οὔτε γάρ τι παθὼν οὔτε ἀκούσας μάταιον ἔπος πρὸς Πολυκράτεος τοῦ Σαμίου, οὐδὲ ἰδὼν πρότερον, ἐπεθύμεε λαβὼν αὐτὸν ἀπολέσαι, ὡς μὲν οἱ πλεῦνες λέγουσι, διὰ τοιήνδε τινὰ αἰτίην. ἐπὶ τῶν βασιλέος θυρέων κατήμενον τόν τε

τίνι λόγῳ τὸν ἀδελφὸν ἀντὶ τοῦ ἀνδρὸς καὶ τῶν παίδων ἐξῃτήσατο ἡ Ἰνταφέρνους γυνή — ἀναίρεσις Πολυκράτους ὑπὸ Ὀροίτου καὶ αἰτίαι τῆς ἀναιρέσεως

---

10 sq. Clemens Alex. strom. VI p. 747 P.

1. βουλομένη *R* ‖ ὑπεκρίνετο *PRz*: ὑπεκρίνατο ‖ 2. τὴν om. *CPz* ‖ 3. αἱρέομεν *R* ‖ ταῦτα δαρεῖος *d* ‖ 4. θωμάσας *ABd* ‖ 6. περιιέναι *ABC*, περιέναι *d* ‖ τοι, ὃς] τὸ *R* ‖ 7. ἀλλοτριώτερός Reiske: ἀλλοτριώτατόν *R*, ἀλλοτριώτατός ceteri ‖ κεχαρισμένον *R* ‖ 8. δὲ *R* ‖ τοῖσδε *L* ‖ 9. μοι] τοι *C* ‖ ἂν ante μοι *R*, post ἄλλος *d* ‖ 10. ἀποβάλλοιμι *dz* ‖ 11. ζωώντων *d* ‖ γένηται *C* ‖ 12. χρεομένη *P* ‖ ἔλεξε *PR*, ἐξέλεξα *z* ‖ 15. τρόπον τὸν εἰρημένον *d* ‖ 17. ἐγένετο *z* ‖ 18. σταθεὶς *R* ‖ 19. οὐχ *AB* ‖ 20. πρὸς om. *R* ‖ 21. οὐδὲ *ABd*: οὔτε ‖ ἐπεθύμησε λαβὸν *R* ‖ 22. οἱ μὲν *R* ‖ διὰ om. *R* ‖ 23. βασιλέως *CRd* ‖ τε om. *d*

Ὀροίτεα καὶ ἄλλον Πέρσην τῷ οὔνομα εἶναι Μιτροβάτεα,
νομοῦ ἄρχοντα τοῦ ἐν Δασκυλείῳ, τούτους ἐκ λόγων ἐς νεί-
κεα συμπεσεῖν, κρινομένων δὲ περὶ ἀρετῆς εἰπεῖν τὸν Μιτρο-
βάτεα τῷ Ὀροίτῃ προφέροντα "σὺ γὰρ ἐν ἀνδρῶν λόγῳ, ὃς
βασιλέι νῆσον Σάμον πρὸς τῷ σῷ νομῷ προσκειμένην οὐ
προσεκτήσαο, ὧδε δή τι ἐοῦσαν εὐπετέα χειρωθῆναι, τὴν
τῶν τις ἐπιχωρίων πεντεκαίδεκα ὁπλίτῃσι ἐπαναστὰς ἔσχε
καὶ νῦν αὐτῆς τυραννεύει." οἱ μὲν δή μιν φασὶ τοῦτο ἀκού-
σαντα καὶ ἀλγήσαντα τῷ ὀνείδεϊ ἐπιθυμῆσαι οὐκ οὕτω τὸν
εἴπαντα ταῦτα τίσασθαι ὡς Πολυκράτεα πάντως ἀπολέσαι,
121 δι' ὅντινα κακῶς ἤκουσε. οἱ δὲ ἐλάσσονες λέγουσι πέμψαι
Ὀροίτεα ἐς Σάμον κήρυκα ὅτευ δὴ χρήματος δεησόμενον (οὐ
γὰρ ὦν δὴ τοῦτό γε λέγεται), καὶ τὸν Πολυκράτεα τυχεῖν
κατακείμενον ἐν ἀνδρεῶνι, παρεῖναι δέ οἱ καὶ Ἀνακρέοντα τὸν
Τήιον· καί κως εἴτ' ἐκ προνοίης αὐτὸν κατηλογέοντα τὰ
Ὀροίτεω πρήγματα, εἴτε καὶ συντυχίη τις τοιαύτη ἐπεγένετο·
τόν τε γὰρ κήρυκα τὸν Ὀροίτεω παρελθόντα διαλέγεσθαι,
καὶ τὸν Πολυκράτεα (τυχεῖν γὰρ ἀπεστραμμένον πρὸς τὸν
122 τοῖχον) οὔτε τι μεταστραφῆναι οὔτε ὑποκρίνασθαι. αἰτίαι
μὲν δὴ αὗται διφάσιαι λέγονται τοῦ θανάτου τοῦ Πολυκρά-
τεος γενέσθαι, πάρεστι δὲ πείθεσθαι ὁκοτέρῃ τις βούλεται
αὐτέων. ὁ δὲ ὦν Ὀροίτης ἱζόμενος ἐν Μαγνησίῃ τῇ ὑπὲρ
Μαιάνδρου ποταμοῦ οἰκημένῃ ἔπεμπε Μύρσον τὸν Γύγεω
ἄνδρα Λυδὸν ἐς Σάμον ἀγγελίην φέροντα, μαθὼν τοῦ Πολυ-
κράτεος τὸν νόον. Πολυκράτης γάρ ἐστι πρῶτος τῶν ἡμεῖς
ἴδμεν Ἑλλήνων ὃς θαλασσοκρατέειν ἐπενοήθη, πάρεξ Μίνωός

---

1. ὁροίτην *L* ‖ τῷ] τῶ τὸ *R* ‖ μιτραβάτεα *B*, μητροβάτεα *Cpr. d* ‖ 2. νόμου *d* ‖ δασκυλίων *d* ‖ εἰς *R* ‖ 3. συμπεσέειν *L* ‖ μητροβάτεα *d* ‖ 4. ἀνδρὸς *z* ‖ ὡς *C* ‖ 5. βασιλεῖ *AB* ‖ κειμένην *ABCd* ‖ 6. δ' ἔτι *d*, δέ τι *z* ‖ 7. ἔσχε *d* ‖ 9. ὀνείδει *ABP*, ὀνειδΐει *R* ‖ 10. εἰπόντα *PR* ‖ 11. δι' ὅντινα *P*, διόντινα *R* : διατίνα *AB*, διά τινα *C*, διὰ τίνα *d*, διά τιν' ἂ *z* ‖ 12. δὴ om. *R* ‖ 13. δὴ om. *R* ‖ γε om. *Rz* ‖ 14. καὶ om. *R* ‖ 15. εἴτε *d* ‖ κατηλεγέοντα *z* ‖ τά om. *R* ‖ 16. τοιαύτη τις *R* ‖ 17. ὁροίτεωι *B*, ὁροίτεο *R* ‖ 18. ἀπεστραμμένον *R* : ἐπεστραμμένον ‖ τὸν om. *R* ‖ 19. τι om. Schaefer ‖ οὔτε τι *R*. Schaefer ‖ 22. δὴ *dz* ‖ τῇ] γῇ *R* ‖ 23. τοῦ ποταμοῦ οἰκεομένῃ *z* ‖ ἔπεμψε *R* ‖ 26. ἴσδμεν *R* ‖ μίνω *R*

τε τοῦ Κνωσσίου καὶ εἰ δή τις ἄλλος πρότερος τούτου ἦρξε τῆς θαλάσσης· τῆς δὲ ἀνθρωπηίης λεγομένης γενεῆς Πολυκράτης πρῶτος, ἐλπίδας πολλὰς ἔχων Ἰωνίης τε καὶ νήσων ἄρξειν. μαθὼν ὦν ταῦτά μιν διανοεύμενον ὁ Ὀροίτης πέμψας ἀγγελίην ἔλεγε τάδε. "Ὀροίτης Πολυκράτεϊ ὧδε λέγει. πυνθάνομαι ἐπιβουλεύειν σε πρήγμασι μεγάλοισι, καὶ χρήματά τοι οὐκ εἶναι κατὰ τὰ φρονήματα. σύ νυν ὧδε ποιήσας ὀρθώσεις μὲν σεωυτόν, σώσεις δὲ καὶ ἐμέ· ἐμοὶ γὰρ βασιλεὺς Καμβύσης ἐπιβουλεύει θάνατον, καί μοι τοῦτο ἐξαγγέλλεται σαφηνέως. σύ νυν ἐμὲ ἐκκομίσας αὐτὸν καὶ χρήματα, τὰ μὲν αὐτῶν αὐτὸς ἔχε, τὰ δὲ ἐμὲ ἔα ἔχειν· εἵνεκέν τε χρημάτων ἄρξεις ἁπάσης τῆς Ἑλλάδος. εἰ δέ μοι ἀπιστέεις τὰ περὶ τῶν χρημάτων, πέμψον ὅστις τοι πιστότατος τυγχάνει ἐών, τῷ ἐγὼ ἀποδέξω." ταῦτα ἀκούσας Πολυκρά- 123
της ἥσθη τε καὶ ἐβούλετο· καί κως ἱμείρετο γὰρ χρημάτων μεγάλως, ἀποπέμπει πρῶτα κατοψόμενον Μαιάνδριον Μαιανδρίου ἄνδρα τῶν ἀστῶν, ὅς οἱ ἦν γραμματιστής· ὃς χρόνῳ οὐ πολλῷ ὕστερον τούτων τὸν κόσμον τὸν ἐκ τοῦ ἀνδρεῶνος τοῦ Πολυκράτεος ἐόντα ἀξιοθέητον ἀνέθηκε πάντα ἐς τὸ Ἡραιον. ὁ δὲ Ὀροίτης μαθὼν τὸν κατάσκοπον ἐόντα προσδόκιμον ἐποίεε τοιάδε. λάρνακας ὀκτὼ πληρώσας λίθων πλὴν κάρτα βραχέος τοῦ περὶ αὐτὰ τὰ χείλεα, ἐπιπολῆς τῶν λίθων χρυσὸν ἐπέβαλε, καταδήσας δὲ τὰς λάρνακας εἶχε ἑτοίμας. ἐλθὼν δὲ ὁ Μαιάνδριος καὶ θεησάμενος ἀπήγγελλε τῷ Πολυκράτεϊ. ὁ δὲ πολλὰ μὲν τῶν μαντίων ἀπαγορευόν- 124
των πολλὰ δὲ τῶν φίλων ἐστέλλετο αὐτόσε, πρὸς δὲ καὶ

---

1. κνωσίου *R* ‖ τοῦτο *C* ‖ 3. πρῶτος] ἐστὶ πρῶτος *R*, μόνος *d*, μοῦνος *z* ‖ 4. μιν om. *z* ‖ 5. πέμψας ἐς *R* ‖ πολυκράτει *AB* ‖ 6. πυνθάνομαί δὲ *R* ‖ σε] μὲν *R* ‖ καὶ χρήματά] χρήματα δέ *R* ‖ 7. τοι] οἱ *d* ‖ σὺ νῦν *CRdz* ‖ 8. γὰρ] μὲν γὰρ *bz* ‖ 10. σὺ νῦν *CRz* ‖ 11. αὐτέων *R* ‖ δὲ ἐμὲ *A*, δ' ἐμὲ *R* ‖ εἵνεκα *z* ‖ 12. τῆς ἀπάσης *R*, πάσης τῆς *d*, ἀπάσης sine τῆς *z* ‖ 13. πέμψων *R* ‖ ὑποδέξω *Pdz* ‖ ὁ πολυκράτης *R* ‖ 15. ἐμείρετο *R* ‖ μεγάλως χρημάτων *d* ‖ 16. μαίανδρον *dz* ‖ 17. οἱ] εἰ *R* ‖ 18. τουτέων *R* ‖ 20. οἱραῖον *R*, ἡραῖον *z* ‖ πρὸς δόκιμον *R* ‖ 21. τάδε *z* ‖ 22. τοῦ om. *R* ‖ ἐπὶ πολῆς *R*, ἐπὶ πολλῆς *C* ‖ 24. μαίανδρος *dz* ‖ καὶ θεησάμενος om. *R* ‖ ἀπήγγελλε *APR*: ἀπείγγελλε *B*, ἀπήγγειλε *Csz*, ἀπήγγελε *d* ‖ 25. πολυκράτει *AB* ‖ μαντίων *AB*: μαντηΐων ‖ 26. αὐτόσε] αὐτὸς ἀπιέναι *R*

ἰδούσης τῆς θυγατρὸς ὄψιν ἐνυπνίου τοιήνδε. ἐδόκεέ οἱ τὸν πατέρα ἐν τῷ ἠέρι μετέωρον ἐόντα λοῦσθαι μὲν ὑπὸ τοῦ Διός, χρίεσθαι δὲ ὑπὸ τοῦ ἡλίου. ταύτην ἰδοῦσα τὴν ὄψιν παντοίη ἐγίνετο μὴ ἀποδημῆσαι τὸν Πολυκράτεα παρὰ τὸν Ὀροίτεα, καὶ δὴ καὶ ἰόντος αὐτοῦ ἐπὶ τὴν πεντηκόντερον ἐπεφημίζετο. ὁ δέ οἱ ἠπείλησε, ἢν σῶς ἀπονοστήσῃ, πολλόν μιν χρόνον παρθενεύεσθαι. ἡ δὲ ἠρήσατο ἐπιτελέα ταῦτα γενέσθαι· βούλεσθαι γὰρ παρθενεύεσθαι πλέω χρόνον ἢ
125 τοῦ πατρὸς ἐστερῆσθαι. Πολυκράτης δὲ πάσης συμβουλίης ἀλογήσας ἔπλεε παρὰ τὸν Ὀροίτεα, ἅμα ἀγόμενος ἄλλους τε πολλοὺς τῶν ἑταίρων, ἐν δὲ δὴ καὶ Δημοκήδεα τὸν Καλλιφῶντος Κροτωνιήτην ἄνδρα, ἰητρόν τε ἐόντα καὶ τὴν τέχνην ἀσκέοντα ἄριστα τῶν κατ' ἑωυτόν. ἀπικόμενος δὲ ἐς τὴν Μαγνησίην ὁ Πολυκράτης διεφθάρη κακῶς, οὔτε ἑωυτοῦ ἀξίως οὔτε τῶν ἑωυτοῦ φρονημάτων· ὅτι γὰρ μὴ οἱ Συρηκοσίων γενόμενοι τύραννοι οὐδὲ εἷς τῶν ἄλλων Ἑλληνικῶν τύραννων ἄξιός ἐστι Πολυκράτεϊ μεγαλοπρεπείην συμβληθῆναι. ἀποκτείνας δέ μιν οὐκ ἀξίως ἀπηγήσιος Ὀροίτης ἀνεσταύρωσε· τῶν δέ οἱ ἑπομένων ὅσοι μὲν ἦσαν Σάμιοι, ἀπῆκε, κελεύων σφέας ἑωυτῷ χάριν εἰδέναι ἐόντας ἐλευθέρους, ὅσοι δὲ ἦσαν ξεῖνοί τε καὶ δοῦλοι τῶν ἑπομένων, ἐν ἀνδραπόδων λόγῳ ποιεύμενος εἶχε. Πολυκράτης δὲ ἀνακρεμάμενος ἐπετέλεε πᾶσαν τὴν ὄψιν τῆς θυγατρός· ἐλοῦτο μὲν γὰρ ὑπὸ τοῦ Διὸς ὅκως ὕοι, ἐχρίετο δὲ ὑπὸ τοῦ ἡλίου, ἀνιεὶς αὐτὸς ἐκ τοῦ σώματος ἰκμάδα.

---

6. Eustathius Il. p. 28

2. ὄντα *d* ‖ λαύεσθαι *AB* ‖ 3. τὴν ὄψιν ἰδοῦσα *d* ‖ 4. ἐγένετο *Rz* ‖ 5. δὴ καὶ] δὴ *d* ‖ πεντηκότερον *R*, πεντηκόντορον *dz* ‖ 6. ἐπεφημίζετο *PR*. Eust.: ἐφημίζετο ‖ σῶς] ὡς *C* ‖ 7. παρθενεύσεσθαι *P* ‖ ἡ δὲ – 8 παρθενεύεσθαι om. *d*[1] ‖ 8. παρθενεύσασθαι πλείω *R* ‖ 9. πατρὸς] πνεύματος *d* ‖ 11. ἑτέρων (αι) *R* ‖ καλιφῶντος *C* ‖ 12. τ' *z* ‖ 13. ἐπασκέοντα *z* ‖ δ' *B* ‖ 15. συρακοσίων *R*, συρρακοσίων *d*, Συρηκουσίων *z* ‖ 16. τύραννοι om. *ABCd* ‖ 17. πολυκράτει *AB* ‖ 18. ἀξίω *R* ‖ 19. σάμιοι ἦσαν *R*, ἔσαν Σάμιοι *z* ‖ 21. δ' ἦσαν *R*, δὲ ἔσαν *z* ‖ 22. ἀνακεκράμενος *R* ‖ 23. ἐπετέλεσε *dz*

Πολυκράτεος μὲν δὴ αἱ πολλαὶ εὐτυχίαι ἐς τοῦτο ἐτελεύ- 126
τησαν [,τῇ οἱ Ἄμασις ὁ Αἰγύπτου βασιλεὺς προεμαντεύσατο].
χρόνῳ δὲ οὐ πολλῷ ὕστερον καὶ Ὀροίτεα Πολυκράτεος τίσιες
μετῆλθον. μετὰ γὰρ τὸν Καμβύσεω θάνατον καὶ τῶν Μά-
γων τὴν βασιληίην μένων ἐν τῇσι Σάρδισι Ὀροίτης ὠφέλεε
μὲν οὐδὲν Πέρσας ὑπὸ Μήδων ἀπαραιρημένους τὴν ἀρχήν·
ὁ δὲ ἐν ταύτῃ τῇ ταραχῇ κατὰ μὲν ἔκτεινε Μιτροβάτεα τὸν
ἐκ Δασκυλείου ὕπαρχον, ὅς οἱ ὠνείδισε τὰ ἐς Πολυκράτεα
ἔχοντα, κατὰ δὲ τοῦ Μιτροβάτεω τὸν παῖδα Κρανάσπην,
ἄνδρας ἐν Πέρσῃσι δοκίμους, ἄλλα τε ἐξύβρισε παντοῖα καί
τινα ἀγγελιηφόρον ἐλθόντα Δαρείου παρ' αὐτόν, ὡς οὐ πρὸς
ἡδονήν οἱ ἦν τὰ ἀγγελλόμενα, κτείνει μιν ὀπίσω κομιζόμε-
νον, ἄνδρας οἱ ὑπείσας κατ' ὁδόν, ἀποκτείνας δέ μιν ἠφάνισε
αὐτῷ ἵππῳ. Δαρεῖος δὲ ὡς ἔσχε τὴν ἀρχήν, ἐπεθύμεε τὸν 127
Ὀροίτεα τίσασθαι πάντων τῶν ἀδικημάτων εἵνεκεν καὶ μά-
λιστα Μιτροβάτεω καὶ τοῦ παιδός. ἐκ μὲν δὴ τῆς ἰθέης
στρατὸν ἐπ' αὐτὸν οὐκ ἐδόκεε πέμπειν ἅτε οἰδεόντων ἔτι τῶν
πρηγμάτων, καὶ νεωστὶ ἔχων τὴν ἀρχήν, καὶ τὸν Ὀροίτεα
μεγάλην τὴν ἰσχὺν πυνθανόμενος ἔχειν· τὸν χίλιοι μὲν Περ-
σέων ἐδορυφόρεον, εἶχε δὲ νομὸν τόν τε Φρύγιον καὶ Λύδιον
καὶ Ἰωνικόν. πρὸς ταῦτα δὴ ὦν ὁ Δαρεῖος τάδε ἐμηχανή-

περὶ τῆς Ὀροίτου τελευτῆς

---

14. Δαρεῖος - 15 εἵνεκα Suidas v. τῖσαι. — 16. ἐκ μὲν - 18 πρηγμάτων Suidas v. ἰθύ. (idem v. οἰδοῦσαν)

2. τῇ - προεμαντεύσατο seiunxi: om. *R* ‖ ἀμάσιος *C* ‖ 4. καὶ] κατὰ Valckenaer ‖ 5. ὁ ὀροίτης *R* ‖ ὠφέλει codices, ὠφείλει *z* ‖ 6. παραιρημένους *R*, ἀπαιρερημένους *z* ‖ 7. ταραχῇ *R*: ἀρχῇ ‖ (ἔκτει)νε - 9 κατὰ δὲ om. *B*ᵗ ‖ μητροβάτεα *d* ‖ τὸν - 9 κατὰ δὲ om. *R* ‖ 8. δασκυλίου *d* ‖ 9. τοῦ μιτροβάτεω. τὸν *ABC*: τοῦ μητροβάτεω τὸν *d*, τὸν μιτροβάτεω *Pz*, καὶ τὸν μιτροβάτεω *R* ‖ κρανάσπην *CP*: κρανάπην *ABdz*, κρανάτην *R* ‖ 10. καί τινα καὶ ἀγγαρεῖον Δαρείου ἐλθόντα *R* ‖ 11. οὐ om. *d* ‖ 12. οἳ *R* ‖ ἔκτεινέ *z* ‖ 13. ὑπεὶς *PR* ‖ οὐδόν *d*, οὐδόν *z* ‖ 14. ὁ δὲ Δαρεῖος ὡς Suid. ‖ ἐπεθύμησε *dz*. Suid. ‖ τὸν om. Suid. ‖ 15. τῶν] τε *R* ‖ εἵνεκε *z*, εἵνεκα Suid. ‖ 16. μητροβάτεω *d* ‖ ὁ δὲ ἐκ τῆς Suid. v. οἰδοῦσαν ‖ δὴ] γὰρ *R* ‖ ἰθείης *L* et Suid. ibidem, ἰθείας id. v. ἰθύ ‖ 17. οἰδαινόντων *CPd*, οἱ οἰδαινόντων *z* ‖ 18. πραγμάτων Suid. ‖ 19. μεγάλην om. *ABCd* ‖ τὴν ἰσχὺν post ἔχειν *d* ‖ 20. νόμον *Rd*

σατο. συγκαλέσας Περσέων τοὺς δοκιμωτάτους ἔλεγέ σφι τάδε. "ὦ Πέρσαι, τίς ἄν μοι τοῦτο ὑμέων ὑποστὰς ἐπιτελέσειε σοφίῃ καὶ μὴ βίῃ τε καὶ ὁμίλῳ; ἔνθα γὰρ σοφίης δέει, βίης ἔργον οὐδέν· ὑμέων δὲ ὦν τίς μοι Ὀροίτεα ἢ ζώοντα ἀγάγοι ἢ ἀποκτείνειε; ὃς ὠφέλησε μέν κω Πέρσας οὐδέν, κακὰ δὲ μεγάλα ἔοργε. τοῦτο μὲν δύο ἡμέων ἠίστωσε, Μιτροβάτεά τε καὶ τὸν παῖδα αὐτοῦ, τοῦτο δὲ τοὺς ἀνακαλέοντας αὐτὸν καὶ πεμπομένους ὑπ' ἐμεῦ κτείνει, ὕβριν οὐκ ἀνασχετὸν φαίνων. πρίν τι ὦν μέζον ἐξεργάσασθαί μιν
128 Πέρσας κακόν, καταλαμπτέος ἐστὶ ἡμῖν θανάτῳ." Δαρεῖος μὲν ταῦτα ἐπειρώτα, τῷ δὲ ἄνδρες τριήκοντα ὑπέστησαν, αὐτὸς ἕκαστος ἐθέλων ποιέειν ταῦτα. ἐρίζοντας δὲ Δαρεῖος κατελάμβανε κελεύων πάλλεσθαι· παλλομένων δὲ λαγχάνει ἐκ πάντων Βαγαῖος ὁ Ἀρτόντεω· λαχὼν δὲ ὁ Βαγαῖος ποιέει τάδε. βυβλία γραψάμενος πολλὰ καὶ περὶ πολλῶν ἔχοντα πρηγμάτων σφρηγῖδά σφι ἐπέβαλε τὴν Δαρείου, μετὰ δὲ ἤιε ἔχων ταῦτα ἐς τὰς Σάρδις. ἀπικόμενος δὲ καὶ Ὀροίτεω ἐς ὄψιν ἐλθών, τῶν βυβλίων ἓν ἕκαστον περιαιρεόμενος ἐδίδου τῷ γραμματιστῇ τῷ βασιληίῳ ἐπιλέγεσθαι· γραμματιστὰς δὲ βασιληίους οἱ πάντες ὕπαρχοι ἔχουσι. ἀποπειρώμενος δὲ τῶν δορυφόρων ἐδίδου τὰ βυβλία ὁ Βαγαῖος, εἰ ἐνδεξαίατο ἀπόστασιν ἀπὸ Ὀροίτεω. ὁρέων δέ σφεας τά τε βυβλία σεβομένους μεγάλως καὶ τὰ λεγόμενα ἐκ τῶν βυβλίων ἔτι μεζόνως, διδοῖ ἄλλο ἐν τῷ ἐνῆν ἔπεα τάδε. "ὦ Πέρσαι, βασι-

2. τίς - 3 βίῃ Lexicon Vindob. p. 179. — Eustathius Il. p. 222. — 3. ἔνθα - 4 οὐδέν Stobaeus floril. XLVIII 19. — 13. παλλομένων - 14 Βαγαῖος (Suidas v. πάλος. Βαγαῖος). — 18. τῶν - 19 ἐπι λέγεσθαι Lexicon Vindob. p. 41

1. λογιμωτάτους *PR* ‖ 2. ὑμῶν Lex. Vind. ‖ 3. τε post σοφίῃ transponunt *dz* ‖ 4. δέοι z. Stob. ‖ δὴ *z* ‖ τίς ἄν Schaefer, idem ante ἂν ἄγοι pro ἀγάγοι ‖ 5. ζῶντα *AB* ‖ ἀγάγῃ *d* ‖ 6. ἡμερῶν *C* ‖ 7. τε om. *R* ‖ αὐτοῦ om. *ABCd* ‖ δὲ] δὲ καὶ *C* ‖ 8. καὶ τοὺς ἐκπεμπομένους *R* ‖ ἐμοῦ *z* ‖ ὕβριν ante φαίνων *d* ‖ 9. ἀνάσχετον *L* ‖ 10. θανάτου *d* ‖ 11. ἐπηρώτα *CPz* ‖ τῶν δὲ *P*ᵗ*R* ‖ ἐπέστησαν *d* ‖ 12. θέλων *R* ‖ 14. ἀρτοντέω *d* ‖ 15. τοιάδε *Rdz* ‖ βιβλία *L* ‖ ἐόντα M. Haupt ‖ 16. σφρηγῖδά σφι] σφρηγῖδάς τε *C* ‖ 17. τὰς om. *R* ‖ σάρδεις *Cd* ‖ 18. βιβλίων *L* ‖ 20. ἀποπειρεόμενος *CP*, ἀποπειρεώμενος *dz* ‖ 21. βιβλία *L* ‖ εἴ οἱ *Rz* ‖ 22. βυβλία *AB*: βιβλία ‖ 23. βυβλίων *AB*: βιβλίων ‖ 24. μειζόνως *AB* ‖ τάδε *ABR*: τοιάδε

λεὺς Δαρεῖος ἀπαγορεύει ὑμῖν μὴ δορυφορέειν Ὀροίτεα.” οἱ δὲ ἀκούσαντες τούτων μετῆκάν οἱ τὰς αἰχμάς. ἰδὼν δὲ τοῦτό σφεας ὁ Βαγαῖος πειθομένους τῷ βυβλίῳ, ἐνθαῦτα δὴ θαρσήσας τὸ τελευταῖον τῶν βυβλίων διδοῖ τῷ γραμματιστῇ, ἐν τῷ ἐγέγραπτο “βασιλεὺς Δαρεῖος Πέρσῃσι τοῖσι ἐν Σάρδισι ἐντέλλεται κτείνειν Ὀροίτεα.” οἱ δὲ δορυφόροι ὡς ἤκουσαν ταῦτα, σπασάμενοι τοὺς ἀκινάκας κτείνουσι παραυτίκα μιν. οὕτω δὴ Ὀροίτεα τὸν Πέρσην Πολυκράτεος τοῦ Σαμίου τίσιες μετῆλθον.

Ἀπικομένων δὲ καὶ ἀνακομισθέντων τῶν Ὀροίτεω χρη- 129
μάτων ἐς τὰ Σοῦσα, συνήνεικε χρόνῳ οὐ πολλῷ ὕστερον βασιλέα Δαρεῖον ἐν ἄγρῃ θηρῶν ἀποθρώσκοντα ἀπ᾽ ἵππου στραφῆναι τὸν πόδα. καί κως ἰσχυροτέρως ἐστράφη· ὁ γάρ οἱ ἀστράγαλος ἐξεχώρησε ἐκ τῶν ἄρθρων. νομίζων δὲ καὶ πρότερον περὶ ἑωυτὸν ἔχειν Αἰγυπτίων τοὺς δοκέοντας εἶναι πρώτους τὴν ἰητρικήν, τούτοισι ἐχρᾶτο. οἱ δὲ στρεβλοῦντες καὶ βιώμενοι τὸν πόδα κακὸν μέζον ἐργάζοντο. ἐπ᾽ ἑπτὰ μὲν δὴ ἡμέρας καὶ ἑπτὰ νύκτας ὑπὸ τοῦ παρεόντος κακοῦ ὁ Δαρεῖος ἀγρυπνίῃσι εἴχετο· τῇ δὲ δὴ ὀγδόῃ ἡμέρῃ ἔχοντί οἱ φλαύρως παρακούσας τις πρότερον ἔτι ἐν Σάρδισι τοῦ Κροτωνιήτεω Δημοκήδεος τὴν τέχνην ἀγγέλλει τῷ Δαρείῳ· ὁ δὲ ἄγειν μιν τὴν ταχίστην παρ᾽ ἑωυτὸν ἐκέλευσε. τὸν δὲ ὡς ἐξεῦρον ἐν τοῖσι Ὀροίτεω ἀνδραπόδοισι ὅκου δὴ ἀπημελημένον, παρῆγον ἐς μέσον πέδας τε ἕλκοντα καὶ ῥάκεσι

ὅτι στρέψαντα τὸν ἀστράγαλον τοῦ ποδὸς Δαρεῖον Δημοκήδης ὁ Κροτωνιάτης ἰάσατο, καὶ περὶ τοῦ δωρηθέντος αὐτῷ χρυσοῦ

---

12. Δαρεῖον – p. 338, 11 ἔσεσθαι Suidas v. Δημοκήδης

2. τοῦτο *P* ‖ 3. τούτῳ σφέας *scorr.z* ‖ πειθόμενος *B*[1] ‖ βυβλίωι *AB*: βιβλίῳ ‖ δὴ om. *R* ‖ 4. βυβλίων *AB*: βιβλίων ‖ 5. ἐν ὧι *ABCd* ‖ 7. τὰς ἀκινάκας *Cd*, τοὺς ἀκινάκεας *Rz* ‖ 11. συνένεικε *CPd* ‖ 12. θηρίων *R* ‖ ἀπὸ *R* ‖ 13. καί κως καὶ *d* ‖ ἐστράφη om. Suid. ‖ 14. ἄθρων *R* ‖ 15. τοὺς δοκέοντας Αἰγυπτίων Suid. ‖ 16. ἐχρᾶτο *R*: ἐχρῆτο ceteri cum Suida ‖ 17. εἰργάζοντο *d* ‖ ἐπ᾽ om. *R* ‖ 18. δὴ om. *d* ‖ ἑπτὰ] ἐπ᾽ ἑπτὰ *bz* ‖ 20. παρακούσας] οἷα δὴ παρακούσας *R* ‖ 21. ἀγγέλει *d*, ἐσαγγέλλει *R* ‖ 22. ἐκέλευε *d*. Suid. ‖ 23. δὴ] δή ποτε *PR*, δή κοτε *z* ‖ 24. τε om. *R*

130 ἐσθημένον. σταθέντα δὲ ἐς μέσον εἰρώτα ὁ Δαρεῖος τὴν τέχνην εἰ ἐπίσταιτο· ὁ δὲ οὐκ ὑπεδέκετο, ἀρρωδέων μὴ ἑωυτὸν ἐκφήνας τὸ παράπαν τῆς Ἑλλάδος ᾖ ἀπεστερημένος· κατεφάνη τε τῷ Δαρείῳ τεχνάζειν ἐπιστάμενος, καὶ τοὺς ἀγαγόντας αὐτὸν ἐκέλευσε μάστιγάς τε καὶ κέντρα παραφέρειν ἐς τὸ μέσον. ὁ δὲ ἐνθαῦτα δὴ ὦν ἐκφαίνει, φὰς ἀτρεκέως μὲν οὐκ ἐπίστασθαι, ὁμιλήσας δὲ ἰητρῷ φλαύρως ἔχειν τὴν τέχνην. μετὰ δέ, ὥς οἱ ἐπέτρεψε, Ἑλληνικοῖσι ἰήμασι χρεώμενος καὶ ἤπια μετὰ τὰ ἰσχυρὰ προσάγων ὕπνου τέ μιν λαγχάνειν ἐποίεε καὶ ἐν χρόνῳ ὀλίγῳ ὑγιέα μιν ἐόντα ἀπέδεξε, οὐδαμὰ ἔτι ἐλπίζοντα ἀρτίπουν ἔσεσθαι. δωρέεται δή μιν μετὰ ταῦτα ὁ Δαρεῖος πεδέων χρυσέων δύο ζεύγεσι· ὁ δέ μιν ἐπείρετο εἴ οἱ διπλήσιον τὸ κακὸν ἐπίτηδες νέμει, ὅτι μιν ὑγιέα ἐποίησε. ἡσθεὶς δὲ τῷ ἔπεϊ ὁ Δαρεῖος ἀποπέμπει μιν παρὰ τὰς ἑωυτοῦ γυναῖκας· παράγοντες δὲ οἱ εὐνοῦχοι ἔλεγον πρὸς τὰς γυναῖκας ὡς βασιλέι οὗτος εἴη ὃς τὴν ψυχὴν ἀπέδωκε. ὑποτύπτουσα δὲ αὐτέων ἑκάστη φιάλῃ τοῦ χρυσοῦ ἐς θήκην ἐδωρέετο Δημοκήδεα οὕτω δή τι δαψιλέι δωρεῇ ὡς τοὺς ἀποπίπτοντας ἀπὸ τῶν φιαλέων στατῆρας ἑπόμενος ὁ οἰκέτης, τῷ οὔνομα ἦν Σκίτων, ἀνελέγετο καί οἱ χρῆμα πολλόν τι χρυσοῦ συνελέχθη.

131 Ὁ δὲ Δημοκήδης οὗτος ὧδε ἐκ Κρότωνος ἀπιγμένος Πολυκράτεϊ ὡμίλησε. πατρὶ συνείχετο ἐν τῇ Κρότωνι ὀργὴν χαλεπῷ· τοῦτον ἐπείτε οὐκ ἐδύνατο φέρειν, ἀπολιπὼν οἴχετο

---

5. ἐκέλευσε - παραφέρειν Lexicon Vindob. p. 121. — 15. ἔλεγον - 17 ἀπέδωκε Thomas M. p. 404

1. ἠρώτα *CPz*. Suid. ‖ 2. ἐπίσταται *R* ‖ ὁ δ' *R*, ὃδ' *Pz* ‖ ἀπεδέκετο Suid. ‖ 4. τε] δὲ *PR* ‖ 5. ἄγοντας *R* ‖ ἐκέλευσε post κέντρα Lex. Vind. ‖ 6. ὃ δ' *R* ‖ ἐνθαῦτα] ἐν ἑωυτῷ Suid. ‖ ἀνεκφαίνει *R* ‖ 8. ὥς οἱ *PRz*: ὡς ceteri cum Suida ‖ χρεόμενος *P* ‖ 9. ἤπια μετὰ *PR*: ἠπιάματα *ABz*, ἠπιάματα *Cd*. Suid. ‖ προσαγαγὼν *P* ‖ μιν λαγχάνειν] μεταλαγχάνειν Suid. ‖ 10. ὄντα *ABPd*. Suid. ‖ 11. οὐδαμᾶ *CRdz* ‖ δέ *dz* ‖ 12. ζεύγεα *dz* ‖ 14. ἔπει *ABPdz* ‖ 16. βασιλεῖ *ABPd* ‖ ψυχήν οἱ *z* ‖ 17. φιάλην *sz* ‖ τοῦ χρυσοῦ ἐς θήκην correxi: τοῦ χρυσοῦ τὴν θήκην *R*, τοῦ χρυσοῦ σὺν θήκῃ ceteri. ἐς τὴν χρυσοθήκην Toup, ἐς τοῦ χρυσοῦ τὴν θήκην Porson ‖ 18. ἐδωρέατο *R* ‖ τὸν Δημοκήδεα *z* ‖ δαψιλέϊ *z*: δαψιλεῖ *AB*, δαψιλῆϊ *R*, δαψιλέηι *CP*, δαψιλῆ *d* ‖ 23. πολυκράτει *ABP* ‖ πατρὶ. ὃς συνείχετο *dz* ‖ τῇ om. *ABCd* ‖ 24. οἴχετο *Rz*: ᾤχετο *d*, ᾤιχετο reliqui

ἐς Αἴγιναν. καταστὰς δὲ ἐς ταύτην πρώτῳ ἔτεϊ ὑπερεβάλετο
τοὺς ἄλλους ἰητρούς, ἀσκευής περ ἐὼν καὶ ἔχων οὐδὲν τῶν
ὅσα περὶ τὴν τέχνην ἐστὶ ἐργαλήια. καί μιν δευτέρῳ ἔτεϊ
ταλάντου Αἰγινῆται δημοσίῃ μισθοῦνται, τρίτῳ δὲ ἔτεϊ
Ἀθηναῖοι ἑκατὸν μνέων, τετάρτῳ δὲ ἔτεϊ Πολυκράτης δυῶν
ταλάντων. οὕτω μὲν ἀπίκετο ἐς τὴν Σάμον, καὶ ἀπὸ τούτου
τοῦ ἀνδρὸς οὐκ ἥκιστα Κροτωνιῆται ἰητροὶ εὐδοκίμησαν·
ἐγένετο γὰρ ὦν τοῦτο ὅτε πρῶτοι μὲν Κροτωνιῆται ἰητροὶ
ἐλέγοντο ἀνὰ τὴν Ἑλλάδα εἶναι, δεύτεροι δὲ Κυρηναῖοι.
κατὰ τὸν αὐτὸν δὲ τοῦτον χρόνον καὶ Ἀργεῖοι ἤκουον μουσι-
κὴν εἶναι Ἑλλήνων πρῶτοι. τότε δὴ ὁ Δημοκήδης ἐν τοῖσι 132
Σούσοισι ἐξιησάμενος Δαρεῖον οἶκόν τε μέγιστον εἶχε καὶ
ὁμοτράπεζος βασιλέι ἐγεγόνεε, πλήν τε ἑνὸς τοῦ ἐς Ἕλληνας
ἀπιέναι πάντα τἆλλά οἱ παρῆν. καὶ τοῦτο μὲν τοὺς Αἰγυ-
πτίους ἰητρούς, οἳ βασιλέα πρότερον ἰῶντο, μέλλοντας ἀνα-
σκολοπιεῖσθαι ὅτι ὑπὸ Ἕλληνος ἰητροῦ ἑσσώθησαν, τούτους
βασιλέα παραιτησάμενος ἐρρύσατο· τοῦτο δὲ μάντιν Ἠλεῖον
Πολυκράτεϊ ἐπισπόμενον καὶ ἀπημελημένον ἐν τοῖσι ἀνδρα-
πόδοισι ἐρρύσατο. ἦν δὲ μέγιστον πρῆγμα Δημοκήδης παρὰ
βασιλέι.

Ἐν χρόνῳ δὲ ὀλίγῳ μετὰ ταῦτα τάδε ἄλλα συνήνεικε 133
γενέσθαι. Ἀτόσσῃ τῇ Κύρου μὲν θυγατρὶ Δαρείου δὲ γυναικὶ
ἐπὶ τοῦ μαστοῦ ἔφυ φῦμα, μετὰ δὲ ἐκραγὲν ἐνέμετο πρόσω.
ὅσον μὲν δὴ χρόνον ἦν ἔλασσον, ἡ δὲ κρύπτουσα καὶ αἰσχυ-
νομένη ἔφραζε οὐδενί· ἐπείτε δὲ ἐν κακῷ ἦν, μετεπέμψατο

9. Eustathius Dion. 213. — 10 sq. ibidem 419. — 21. - p. 340, 4 Suidas v. Δημοκήδης

1. τῷ πρώτῳ *Rz* ‖ ἔτει *AB* ut infra ter ‖ ὑπερεβάλλετο *d* ‖ 2. ἄλλους] πρώτους *Rz*, γρ. πρώτους *Pm* ‖ 3. ἐστὶ om. *R* ‖ 4. μισθεῦνται *CPdz* ‖ 5. Ἀθηναῖοι - ἔτεϊ om. *C* ‖ δοιῶν *d*, δυοῖν *z* ‖ 7. εὐδοκίμησαν - 8 ἰητροὶ om. *C* ‖ 8. κροτωνοῆται *AB* ‖ 10. δὴ *C* ‖ τοῦτον om. *ABCd* ‖ 11. δὲ *CR* ‖ 13. βασιλεῖ *AB* ‖ τοῦ ἐς] τούτου τοὺς *R* ‖ 14. τἄλλα *R*, τὰ ἄλλα *CPd* ‖ 15. ἰατροὺς *d* ‖ ἀνακολοπίζεσθαι *R* ‖ 16. διότι *Rz* ‖ ὑπὲρ *d* ἰατροῦ *d* ‖ εσσώθησαν *AB*, ἐσσώθησαν *d*, ἐσώθησαν *R* ‖ 17. ἠλεῖον *PR* ‖ 18. πολυκράτει *AB* ‖ ἐπισπώμενον *dz* ‖ 20. βασιλεῖ *AB*, τῷ βασιλέϊ *bz* ‖ 25. δὴ Suid.

τὸν Δημοκήδεα καί οἱ ἐπέδεξε. ὁ δὲ φὰς ὑγιέα ποιήσειν ἐξορκοῖ μιν ἦ μέν οἱ ἀντυπουργήσειν ἐκείνην τοῦτο τὸ ἂν αὐτῆς δεηθῇ· δεήσεσθαι δὲ οὐδενὸς τῶν ὅσα ἐς αἰσχύνην
134 ἐστὶ φέροντα. ὡς δὲ ἄρα μιν μετὰ ταῦτα ἰώμενος ὑγιέα ἀπέδεξε, ἐνθαῦτα δὴ διδαχθεῖσα ὑπὸ τοῦ Δημοκήδεος ἡ Ἄτοσσα προσέφερε ἐν τῇ κοίτῃ Δαρείῳ λόγον τοιόνδε. "ὦ βασιλεῦ, ἔχων δύναμιν τοσαύτην κάτησαι, οὔτε τι ἔθνος προσκτώμενος οὔτε δύναμιν Πέρσῃσι. οἰκὸς δέ ἐστι ἄνδρα καὶ νέον καὶ χρημάτων μεγάλων δεσπότην φαίνεσθαί τι ἀποδεικνύμενον, ἵνα καὶ Πέρσαι ἐκμάθωσι ὅτι ὑπ' ἀνδρὸς ἄρχονται. ἐπ' ἀμφότερα δέ τοι φέρει ταῦτα ποιέειν, καὶ ἵνα σφέων Πέρσαι ἐπιστέωνται ἄνδρα εἶναι τὸν προεστεῶτα, καὶ ἵνα τρίβωνται πολέμῳ μηδὲ σχολὴν ἄγοντες ἐπιβουλεύωσί τοι. νῦν γὰρ ἄν τι καὶ ἀποδέξαιο ἔργον, ἕως νέος εἷς ἡλικίην· αὐξομένῳ γὰρ τῷ σώματι συναύξονται καὶ αἱ φρένες, γηράσκοντι δὲ συγγηράσκουσι καὶ ἐς τὰ πρήγματα πάντα ἀπαμβλύνονται." ἡ μὲν δὴ ταῦτα ἐκ διδαχῆς ἔλεγε, ὁ δ' ἀμείβετο τοῖσιδε. "ὦ γύναι, πάντα ὅσα περ αὐτὸς ἐπινοέω ποιήσειν εἴρηκας· ἐγὼ γὰρ βεβούλευμαι ζεύξας γέφυραν ἐκ τῆσδε τῆς ἠπείρου ἐς τὴν ἑτέρην ἤπειρον ἐπὶ Σκύθας στρατεύεσθαι· καὶ ταῦτα ὀλίγου χρόνου ἔσται τελεύμενα." λέγει Ἄτοσσα τάδε. "ὅρα νυν, ἐπὶ Σκύθας μὲν τὴν πρώτην ἰέναι

συμβουλὴ Ἀτόσσης πρὸς Δαρεῖον περὶ τῆς εἰς Ἑλλάδα στρατείας

15. αὐξομένῳ - 16 ἀμβλύνονται (Stobaeus floril. CXVI 45). αὐξομένῳ - 16 συγγηράσκουσι Eustathius Od. p. 1447. αὐξομένῳ - φρένες Schol. Od. β 315. — 17. Suidas v. διδαχή

1. Δημοκήδην Suid. ‖ ἐπέδειξε *ABz*, ἐπέδειξεν Suid. ‖ 2. ἐξορκεῖ *sz* ‖ μὲν οἵ *d*, μὴν οἱ *z* ‖ τὸ] ὃ *AB*. Suid. ‖ 3. ἐς om. *PRdz* ‖ 4. μιν post ταῦτα iterum *R* ‖ 5. ἀπεδέξατο *z* ‖ 7. τοσαύτηι *A*^{1} ‖ κάθησαι *ABd* ‖ 8. εἰκὸς *dz* ‖ δ' *AB* ‖ 9. δεσπότην μεγάλων *Pdz* ‖ 10. ὑπὸ *R* ‖ 11. ἐπαμφότερα *ABRd* ‖ συμφέρει cod. Cantabrig. et margo Stephanianae ‖ 12. ἐπίστωνται Bredovius ‖ προεστῶτα *AB* ‖ 14. εἷς] ἧς *s*, ᾗς *z* ‖ 15. αὐξανομένῳ *Rz*. Stob. Schol. Od. ‖ καὶ αἱ om. Stob. ‖ συναυξάνονται Eust. ‖ 16. γηράσκουσι *R* ‖ καὶ] καί ἐ καὶ *z* ‖ εἰς τὰ πράγματα ἀπαμβλύνονται Stob. ‖ 17. ὁ δὲ *R*, ὃδ *z* ‖ ἀμείβεται *Cbz* ‖ 18. τοῖσδε *L* ‖ 19. εἴρηκα *d* ‖ γὰρ om. *d* ‖ ζεύξαι *z* ‖ 20. τῆσδε] δὲ *z* ‖ 21. καὶ ταῦτα - p. 341, 2 στρατεύεσθαι om. *d*^{1} ‖ τελεόμενα *d*^{2} ‖ λέγει δὲ *z* ‖ 22. νῦν *L* ‖ ἐς *ABC* ‖ μὲν om. *Rd*^{2} ‖ ἰέναι] 'nescio an εἶναι praestet.' Bekker

ἔασον· οὗτοι γάρ, ἐπεὰν σὺ βούλῃ, ἔσονταί τοι· σὺ δέ μοι ἐπὶ τὴν Ἑλλάδα στρατεύεσθαι. ἐπιθυμέω γὰρ λόγῳ πυνθανομένη Λακαίνας τέ μοι γενέσθαι θεραπαίνας καὶ Ἀργείας καὶ Ἀττικὰς καὶ Κορινθίας. ἔχεις δὲ ἄνδρα ἐπιτηδεότατον ἀνδρῶν πάντων δέξαι τε ἕκαστα τῆς Ἑλλάδος καὶ κατηγήσασθαι, τοῦτον ὅς σευ τὸν πόδα ἐξιήσατο.” ἀμείβεται Δαρεῖος “ὦ γύναι, ἐπεὶ τοίνυν τοι δοκέει τῆς Ἑλλάδος ἡμέας πρῶτα ἀποπειρᾶσθαι, κατασκόπους μοι δοκέει Περσέων πρῶτον ἄμεινον εἶναι ὁμοῦ τούτῳ τῷ σὺ λέγεις πέμψαι ἐς αὐτούς, οἳ μαθόντες καὶ ἰδόντες ἐξαγγελέουσι ἕκαστα αὐτῶν ἡμῖν· καὶ ἔπειτα ἐξεπιστάμενος ἐπ' αὐτοὺς τρέψομαι.” ταῦτα εἶπε 135
καὶ ἅμα ἔπος τε καὶ ἔργον ἐποίεε. ἐπείτε γὰρ τάχιστα ἡμέρη ἐπέλαμψε, καλέσας Περσέων ἄνδρας δοκίμους πεντεκαίδεκα ἐνετέλλετό σφι ἑπομένους Δημοκήδεϊ διεξελθεῖν τὰ παραθαλάσσια τῆς Ἑλλάδος, ὅκως τε μὴ διαδρήσεταί σφεας ὁ Δημοκήδης, ἀλλά μιν πάντως ὀπίσω ἀπάξουσι. ἐντειλάμενος δὲ τούτοισι ταῦτα, δεύτερα καλέσας αὐτὸν Δημοκήδεα ἐδέετο αὐτοῦ ὅκως ἐξηγησάμενος πᾶσαν καὶ ἐπιδέξας τὴν Ἑλλάδα τοῖσι Πέρσῃσι ὀπίσω ἥξει· δῶρα δέ μιν τῷ πατρὶ καὶ τοῖσι ἀδελφεοῖσι ἐκέλευε πάντα τὰ ἐκείνου ἔπιπλα λαβόντα ἄγειν, φὰς ἄλλα οἱ πολλαπλήσια ἀντιδώσειν· πρὸς δὲ ἐς τὰ δῶρα ὁλκάδα οἱ ἔφη συμβαλέεσθαι πλήσας ἀγαθῶν παντοίων, τὴν ἅμα οἱ πλεύσεσθαι. Δαρεῖος μὲν δή, δοκέειν ἐμοί, ἀπ' οὐ-

περὶ τῶν πεμφθέντων ὑπὸ Δαρείου κατασκόπων εἰς τὴν Ἑλλάδα μετὰ Δημοκήδους

---

11. ταῦτα - 12 ἐποίεε Eustathius Il. p. 1182. — 22. ibidem p. 741

1. οὕτω d^2 ‖ βούλει Rd^2 ‖ 4. ἀττικάς τε καὶ *R* ‖ ἄνδρας *R* ‖ ἐπιτηδεώτατον *Pdz* ‖ 5. δεῖξαί *ABR* ‖ καταγήσασθαι *R* ‖ 6. ἀμείβετο *R* ‖ 7. τοι om. *d* ‖ 8. πρῶτον] πρῶτον μὲν *R* ‖ 10. ἐξαγγελέουσι ἕκαστα αὐτῶν ἡμῖν *AB*: ἐξαγγελέουσι αὐτῶν ἕκαστα ἡμῖν *C*, ἐξαγγελέουσι ἡμῖν ἕκαστα αὐτῶν *d*, ἕκαστα αὐτῶν ἐξαγγελέουσι ἡμῖν *Pz*, ἕκαστα ἐξαγγελέουσιν αὐτῶν ἡμῖν *R* ‖ 12. ἔπος - ἡμέρη om. *d* ‖ ἔπος τε *R*. Eust.: τ' ἔπος τ' ἔφα *AB*, τ' ἔπος τ' εἶπε *C*, ἔπος τ' εἶπε *Pz* ‖ 15. διαδρήσηταί *z* ‖ 16. ἀπάξουσι *PR*: ἀπάξωσι ‖ 17. αὐτὸν καλέσας *R* ‖ 18. ἐπιδείξας *ABR* ‖ 19. τῆσι πέρσῃσι *R* ‖ 20. ἐκείνου ἐπιλαβόντα *d* ‖ 21. σφας A^1 ‖ πολλαπλάσια *ABR*, πολληπλήσια *z* ‖ 22. συμβαλέσθαι *AB*, συμβάλεσθαι *C*, συμβαλλέεσθαι *z* ‖ πάντων *ABCd* ‖ 23. πλεύσασθαι *R*

δενὸς δολεροῦ νόου ἐπαγγέλλετό οἱ ταῦτα. Δημοκήδης δὲ δείσας μή εὐ ἐκπειρῷτο Δαρεῖος, οὔτι ἐπιδραμὼν πάντα τὰ διδόμενα ἐδέκετο, ἀλλὰ τὰ μὲν ἑωυτοῦ κατὰ χώρην ἔφη καταλείψειν, ἵνα ὀπίσω σφέα ἀπελθὼν ἔχοι, τὴν μέντοι ὁλκάδα, τήν οἱ Δαρεῖος ἐπαγγέλλετο ἐς τὴν δωρεὴν τοῖσι ἀδελφεοῖσι, δέκεσθαι ἔφη. ἐντειλάμενος δὲ καὶ τούτῳ ταῦτα
136 ὁ Δαρεῖος ἀποστέλλει αὐτοὺς ἐπὶ θάλασσαν. καταβάντες δὲ οὗτοι ἐς Φοινίκην καὶ Φοινίκης ἐς Σιδῶνα πόλιν αὐτίκα μὲν τριήρεας δύο ἐπλήρωσαν, ἅμα δὲ αὐτῇσι καὶ γαῦλον μέγαν παντοίων ἀγαθῶν· παρεσκευασμένοι δὲ πάντα ἔπλεον ἐς τὴν Ἑλλάδα, προσίσχοντες δὲ αὐτῆς τὰ παραθαλάσσια ἐθηεῦντο καὶ ἀπεγράφοντο, ἐς ὃ τὰ πολλὰ αὐτῆς καὶ ὀνομαστὰ θεησάμενοι ἀπίκοντο τῆς Ἰταλίης ἐς Τάραντα. ἐνθαῦτα δὲ ἐκ ῥηστώνης τῆς Δημοκήδεος Ἀριστοφιλίδης τῶν Ταραντίνων ὁ βασιλεὺς τοῦτο μὲν τὰ πηδάλια παρέλυσε τῶν Μηδικέων νεῶν, τοῦτο δὲ αὐτοὺς τοὺς Πέρσας εἷρξε ὡς κατασκόπους δῆθεν ἐόντας. ἐν ᾧ δὲ οὗτοι ταῦτα ἔπασχον, ὁ Δημοκήδης ἐς τὴν Κρότωνα ἀπικνέεται· ἀπιγμένου δὲ ἤδη τούτου ἐς τὴν ἑωυτοῦ ὁ Ἀριστοφιλίδης ἔλυσε τοὺς Πέρσας, καὶ τὰ
137 παρέλαβε τῶν νεῶν ἀπέδωκέ σφι. πλέοντες δὲ ἐνθεῦτεν οἱ Πέρσαι καὶ διώκοντες Δημοκήδεα ἀπικνέονται ἐς τὴν Κρότωνα, εὑρόντες δέ μιν ἀγοράζοντα ἅπτοντο αὐτοῦ. τῶν δὲ Κροτωνιητέων οἱ μὲν καταρρωδέοντες τὰ Περσικὰ πρήγματα προϊέναι ἕτοιμοι ἦσαν, οἱ δὲ ἀντάπτοντο καὶ τοῖσι σκυτάλοισι ἔπαιον τοὺς Πέρσας προϊσχομένους ἔπεα τάδε. "ἄνδρες

9. Etym. M. p. 222, 29. Λέξεις. — 24. καὶ τοῖσι - 25 Πέρσας Suidas v. σκύταλον. — Λέξεις

1. ἀπαγγέλλετο *R* ‖ 2. εὖ *P*, εὖ *dz* ‖ πάντως *dz* ‖ 4. καταλείπειν *R* ‖ ἔχηι *ABCd* ‖ 5. τήν οἱ *z*: τὴν ὁ ‖ ἐπηγγέλλετο *d*, ἐπαγγέλλεται *R*, om. *P*[2] ‖ 6. ταυτὰ *AB*. Reiske ‖ 7. ἀπέστελλεν *R* ‖ δὲ οὗτοι *PR*: δ' οὗτοι *sz*, δὲ οὕτω reliqui ‖ 8. καὶ] καὶ ἐκ *R* ‖ 9. αὐτοῖσι *R* ‖ γαῦλον *R*. Etym.: γαυλὸν ‖ 10 παρασκευασάμενοι *R* ‖ 11. προΐσχοντες *R* ‖ αὐτῇ *z* ‖ θειεῦντο *R* ‖ 12. ὀνομαστότατα *R*, οὐνομαστὰ *z* ‖ 13. ῥηστώνης Wesseling e cod. Cantabr.: κρότωνος *R*, χρηστώνης ceteri. χρησμοσύνης Herold ‖ 16. ειρξε *AB*, εἷρξεν *R*: ἔρξε *P*, ἔρξε *Cdz* ‖ 18. τούτου ἤδη *B* ‖ 20. τῶν] τὸν *R* ‖ 23. κροτωνητέων *B*[1] ‖ 24. ἑτοῖμοι *CPz* ‖ ἔσαν *z* ‖ καὶ] τε καὶ *Pcorr.Rz* ‖ τῇισι σκυτάληισι *P*, τῇσι σκυτάλησιν *d*, ταῖσι σκυτάλεσι *C*, τῇσι σκυτάλῃσι *z*

Κροτωνιῆται, ὁρᾶτε τὰ ποιέετε. ἄνδρα βασιλέος δρηπέτην γενόμενον ἐξαιρέεσθε. κῶς ταῦτα βασιλέι Δαρείῳ ἐκχρήσει περιυβρίσθαι; κῶς δὲ ὑμῖν τὰ ποιεύμενα ἕξει καλῶς, ἢν ἀπέλησθε ἡμέας; ἐπὶ τίνα δὲ τῆσδε προτέρην στρατευσόμεθα πόλιν; τίνα δὲ προτέρην ἀνδραποδίζεσθαι πειρησόμεθα;" ταῦτα λέγοντες τοὺς Κροτωνιήτας οὔκων ἔπειθον, ἀλλ' ἐξαιρεθέντες τε τὸν Δημοκήδεα καὶ τὸν γαῦλον τὸν ἅμα ἤγοντο ἀπαιρεθέντες ἀπέπλεον ὀπίσω ἐς τὴν Ἀσίην οὐδ' ἔτι ἐζήτησαν τὸ προσωτέρω τῆς Ἑλλάδος ἀπικόμενοι ἐκμαθεῖν, ἐστερημένοι τοῦ ἡγεμόνος. τοσόνδε μέντοι ἐνετείλατό σφι Δημοκήδης ἀναγομένοισι, κελεύων εἰπεῖν σφεας Δαρείῳ ὅτι ἅρμοσται τὴν Μίλωνος θυγατέρα Δημοκήδης γυναῖκα. τοῦ γὰρ δὴ παλαιστέω Μίλωνος ἦν οὔνομα πολλὸν παρὰ βασιλέι· κατὰ δὲ τοῦτό μοι δοκέει σπεῦσαι τὸν γάμον τοῦτον τελέσας χρήματα μεγάλα Δημοκήδης, ἵνα φανῇ πρὸς Δαρείου ἐὼν καὶ ἐν τῇ ἑωυτοῦ δόκιμος. ἀναχθέντες δὲ ἐκ τῆς Κρότωνος οἱ 138
Πέρσαι ἐκπίπτουσι τῇσι νηυσὶ ἐς Ἰηπυγίην, καί σφεας δουλεύοντας ἐνθαῦτα Γίλλος ἀνὴρ Ταραντῖνος φυγὰς ῥυσάμενος ἀπήγαγε παρὰ βασιλέα Δαρεῖον. ὁ δὲ ἀντὶ τούτων ἕτοιμος ἦν διδόναι τοῦτο ὅ τι βούλοιτο αὐτός. Γίλλος δὲ αἱρέεται κάτοδόν οἱ ἐς Τάραντα γενέσθαι, προαπηγησάμενος τὴν συμφορήν· ἵνα δὲ μὴ συνταράξῃ τὴν Ἑλλάδα, ἢν δι' αὐτὸν στόλος μέγας πλέῃ ἐπὶ τὴν Ἰταλίην, Κνιδίους μούνους ἀποχρᾶν οἱ ἔφη τοὺς κατάγοντας γίνεσθαι, δοκέων ἀπὸ τούτων ἐόντων τοῖσι Ταραντίνοισι φίλων μάλιστα τὴν κάτοδόν οἱ

---

20. Herodianus περὶ μον. λέξ. p. 11. — 23. Bekkeri Anecd. p. 439. Suidas v. ἀποχρᾶν

1. βασιλέως *d*, βασιλῆος *z* ‖ 2. γινόμενον *B* ‖ ἐξαιρέεσθαι B^1 ‖ καὶ κῶς *R* ‖ βασιλεῖ *ABR* ‖ 3. ὑμῖν - ἕξει om. *R* ‖ 4. ἀπέλησθε *Pcorr.Rz*: ἀφέλησθαι B^1, ἀφέλησθε AB^2Cd ‖ τῆσδε] om. *R*, ταύτης *z* ‖ 6. ταῦτα δὲ *Rz* ‖ ἔπιθον *R* ‖ 7. τε om. *d* ‖ γαῦλον *R*: γαυλὸν ‖ ἄγοντο *CPdz* ‖ 8. ἀφαιρεθέντες *ABd* ‖ οὐδέτι *Rz*, οὐδέ τι *Cd* ‖ ἐζητήσαντο B^1, ἐζήτησαν τῶ *R* ‖ 9. προσωτέρωι *AB*, προσωτέρῳ *z* ‖ 11. σφέας δαρείῳ codices, Δαρείῳ σφέας *z* ‖ 13. βασιλεῖ *ABR* ‖ 14. δὴ *z* ‖ 17. ἐμπίπτουσι *dz* ‖ σφέας *Apr.B* ‖ 18. γῖλλος *dz* ‖ Ταραντῖνος] παρά τίνος *C* ‖ 19. ἑτοῖμος *C* ‖ 20. Γῖλλος *z* ‖ τούτῳ *dz* ‖ 22. αὐτῶν *bz* ‖ 23. μούνους *B*: μόνους ‖ ἀποχρᾶιν *P* ut fere ‖ 25. μάλιστα] μάλιστα δὲ *R*, μάλιστα δὴ *s*

ἔσεσθαι. Δαρεῖος δὲ ὑποδεξάμενος ἐπετέλεε· πέμψας γὰρ ἄγγελον ἐς Κνίδον κατάγειν σφέας ἐκέλευε Γίλλον ἐς Τάραντα. πειθόμενοι δὲ Δαρείῳ Κνίδιοι Ταραντίνους οὔκων ἔπειθον, βίην δὲ ἀδύνατοι ἦσαν προσφέρειν. ταῦτα μέν νυν οὕτω ἐπρήχθη, οὗτοι δὲ πρῶτοι ἐκ τῆς Ἀσίης ἐς τὴν Ἑλλάδα ἀπίκοντο Πέρσαι, καὶ οὗτοι διὰ τοιόνδε πρῆγμα κατάσκοποι ἐγένοντο.

139 Μετὰ δὲ ταῦτα Σάμον βασιλεὺς Δαρεῖος αἱρέει, πολίων πασέων πρώτην Ἑλληνίδων καὶ βαρβάρων, διὰ τοιήνδε τινὰ αἰτίην. Καμβύσεω τοῦ Κύρου στρατευομένου ἐπ' Αἴγυπτον ἄλλοι τε συχνοὶ ἐς τὴν Αἴγυπτον ἀπίκοντο Ἑλλήνων, οἱ μέν, ὡς οἰκός, κατ' ἐμπορίην στρατευόμενοι, οἱ δέ τινες καὶ αὐτῆς τῆς χώρης θεηταί· τῶν ἦν καὶ Συλοσῶν ὁ Αἰάκεος, Πολυκράτεός τε ἐὼν ἀδελφεὸς καὶ φεύγων ἐκ Σάμου. τοῦτον τὸν Συλοσῶντα κατέλαβε εὐτυχίη τις τοιήδε. λαβὼν χλανίδα καὶ περιβαλόμενος πυρρὴν ἠγόραζε ἐν τῇ Μέμφι· ἰδὼν δὲ αὐτὸν Δαρεῖος, δορυφόρος τε ἐὼν Καμβύσεω καὶ λόγου οὐδενός κω μεγάλου, ἐπεθύμησε τῆς χλανίδος καὶ αὐτὴν προσελθὼν ὠνέετο. ὁ δὲ Συλοσῶν ὁρέων τὸν Δαρεῖον μεγάλως ἐπιθυμέοντα τῆς χλανίδος, θείῃ τύχῃ χρεώμενος λέγει "ἐγὼ ταύτην πωλέω μὲν οὐδενὸς χρήματος, δίδωμι δὲ ἄλλως, εἴ περ οὕτω δεῖ γενέσθαι πάντως τοι." αἰνέσας ταῦτα ὁ
140 Δαρεῖος παραλαμβάνει τὸ εἷμα. ὁ μὲν δὴ Συλοσῶν ἠπίστατο τοῦτό οἱ ἀπολωλέναι δι' εὐηθείην. ὡς δὲ τοῦ χρόνου προβαίνοντος Καμβύσης τε ἀπέθανε καὶ τῷ Μάγῳ ἐπανέστησαν οἱ ἑπτὰ καὶ ἐκ τῶν ἑπτὰ Δαρεῖος τὴν βασιληίην ἔσχε, πυνθάνεται ὁ Συλοσῶν ὡς ἡ βασιληίη περιεληλύθοι ἐς τοῦτον

ὅτι Σάμον ἔλαβεν Δαρεῖος καὶ τίνος χάριν περὶ Συλοσῶντος τοῦ Πολυκράτους ἀδελφοῦ

2. Γῖλλον z ‖ 4. προφέρειν z ‖ 5. οὕτω ἐστάθη *R* ‖ ἐς τὴν Ἑλλάδα ἐς τῆς Ασίης z ‖ 9. ἑλληνίδα *dz* ‖ 11. ἀπίκοντο ἐς τὴν Ἑλλάδα *d* ‖ 12. εἰκὸς *sz* ‖ ἐμπορίην] ἐμπορίην, οἱ δὲ *R* ‖ 13. αἰακέος *C*, αἰακαῖος *dz* ‖ 15. τοιήδέ τις z ‖ 16. περιβαλλόμενος *dz* ‖ 19. ὁρῶν *AB* ‖ 20. χρεόμενος *P* ‖ 22. οὗτοι *R* ‖ δὴ *C* ‖ γενέσθαι". πάντως τοι H. Stephanus ‖ αἰνέσας δὲ *R* ‖ 23. δὴ] ὧν z ‖ ἠπίστατό οἱ τοῦτο *PRz* ‖ 24. εὐηθίην *PR* ‖ 27. ἐς *PRz*: ὡς

τὸν ἄνδρα τῷ κοτὲ αὐτὸς ἔδωκε ἐν Αἰγύπτῳ δεηθέντι τὸ εἷμα. ἀναβὰς δὲ ἐς τὰ Σοῦσα ἵζετο ἐς τὰ πρόθυρα τῶν βασιλέος οἰκίων καὶ ἔφη Δαρείου εὐεργέτης εἶναι. ἀγγέλλει ταῦτα ἀκούσας ὁ πυλουρὸς τῷ βασιλέι· ὁ δὲ θωυμάσας λέγει πρὸς αὐτόν "καὶ τίς ἐστι Ἑλλήνων εὐεργέτης τῷ ἐγὼ προαιδεῦμαι, νεωστὶ μὲν τὴν ἀρχὴν ἔχων, ἀναβέβηκε δὲ ἤ τις ἢ οὐδείς κω παρ' ἡμέας αὐτῶν, ἔχω δὲ χρέος ὡς εἰπεῖν οὐδὲν ἀνδρὸς Ἕλληνος. ὅμως δὲ αὐτὸν παράγετε ἔσω, ἵνα εἰδέω τί θέλων λέγει ταῦτα." παρῆγε ὁ πυλουρὸς τὸν Συλοσῶντα, στάντα δὲ ἐς μέσον εἰρώτευν οἱ ἑρμηνέες τίς τε εἴη καὶ τί ποιήσας εὐεργέτης φησὶ εἶναι βασιλέος. εἶπε ὦν ὁ Συλοσῶν πάντα τὰ περὶ τὴν χλανίδα γενόμενα, καὶ ὡς αὐτὸς εἴη κεῖνος ὁ δούς. ἀμείβεται πρὸς ταῦτα Δαρεῖος "ὦ γενναιότατε ἀνδρῶν, σὺ κεῖνος εἷς ὃς ἐμοὶ οὐδεμίαν ἔχοντί κω δύναμιν ἔδωκας εἰ καὶ σμικρά, ἀλλ' ὦν ἴση γε ἡ χάρις ὁμοίως ὡς εἰ νῦν κοθέν τι μέγα λάβοιμι· ἀντ' ὧν τοι χρυσὸν καὶ ἄργυρον ἄπλετον δίδωμι, ὡς μή κοτέ τοι μεταμελήσῃ Δαρεῖον τὸν Ὑστάσπεος εὖ ποιήσαντι." λέγει πρὸς ταῦτα ὁ Συλοσῶν "ἐμοὶ μήτε χρυσὸν ὦ βασιλεῦ μήτε ἄργυρον δίδου, ἀλλ' ἀνασωσάμενός μοι δὸς τὴν πατρίδα Σάμον, τὴν νῦν ἀδελφεοῦ τοῦ ἐμοῦ Πολυκράτεος ἀποθανόντος ὑπὸ Ὀροίτεω ἔχει δοῦλος ἡμέτερος, ταύτην μοι δὸς ἄνευ τε φόνου καὶ ἐξανδραποδίσιος."

ταῦτα ἀκούσας Δαρεῖος ἀπέστελλε στρατιήν τε καὶ στρατηγὸν 141
Ὀτάνεα ἀνδρῶν τῶν ἑπτὰ γενόμενον, ἐντειλάμενος, ὅσων ἐδεήθη ὁ Συλοσῶν, ταῦτά οἱ ποιέειν ἐπιτελέα. καταβὰς δὲ ἐπὶ τὴν θάλασσαν ὁ Ὀτάνης ἔστελλε τὴν στρατιήν.

---

1. ἐν αἰγύπτω ἔδωκε *R* ‖ 2. βασιλέως *Apr.C*, βασιλῆος *sz* ‖ 3. ἀναγγέλλει *dz* ‖ 4. βασιλεῖ *AB* ‖ θωμάσας *d* ‖ 5. ἑωυτόν *dz* ‖ τῷ] ᾧ codices, ὃν *z* ‖ 6. δὲ ἤ τις scripsi: δ' ἤ τις *AB*, δή τις *Cd*, δέ τις *Rz*, δὲ τίς. *P* ‖ 7. ὡς εἰπεῖν *PRz*: εἰπεῖν ‖ οὐδὲν om. *d* ‖ 10. εἰρώτευν *B²d*: εἰρώτων *AB¹R*, ἠρώτευν *CPz* ‖ 11. φήσεις *R* ‖ βασιλέως *d*, βασιλῆος *z* ‖ 13. ὁ δαρεῖος *R* ‖ γενναιότατ' *z* ‖ 14. εἷς] ἧ *R*, εἷ ceteri ‖ οὐδεμίην sine ἐμοὶ *z* ‖ 15. ὁμοίως ὡς om. *R* ‖ 16. ἀνθ' *L* ‖ 17. τι *R* ‖ μεταμελήση *A²R*, μεταμελήσῃ *z*: μεταμελήσει *A¹BP*, μεταμελήσοι *d*, καταμελήσει *C* ‖ 19. μήτ' *AB* ‖ ἀλλὰ *R* ‖ 22. ταύτην - ἐξανδραποδίσιος om. *R* ‖ 23. ἀπέστελε *C*, ἀπέστειλε *dz* ‖ 25. ὁ om. *ABd* ‖ δ' *z*

142 Τῆς δὲ Σάμου Μαιάνδριος ὁ Μαιανδρίου εἶχε τὸ κράτος, ἐπιτροπαίην παρὰ Πολυκράτεος λαβὼν τὴν ἀρχήν· τῷ δικαιοτάτῳ ἀνδρῶν βουλομένῳ γενέσθαι οὐκ ἐξεγένετο. ἐπειδὴ γάρ οἱ ἐξαγγέλθη ὁ Πολυκράτεος θάνατος, ἐποίεε τοιάδε. πρῶτα μὲν Διὸς ἐλευθερίου βωμὸν ἱδρύσατο καὶ τέμενος περὶ αὐτὸν οὔρισε τοῦτο τὸ νῦν ἐν τῷ προαστείῳ ἐστί· μετὰ δέ, ὥς οἱ ἐπεποίητο, ἐκκλησίην συναγείρας πάντων τῶν ἀστῶν ἔλεξε τάδε. "ἐμοί, ὡς ἴστε καὶ ὑμεῖς, σκῆπτρον καὶ δύναμις πᾶσα ἡ Πολυκράτεος ἐπιτέτραπται, καί μοι παρέχει νῦν ὑμέων ἄρχειν. ἐγὼ δὲ τὰ τῷ πέλας ἐπιπλήσσω, αὐτὸς κατὰ δύναμιν οὐ ποιήσω· οὔτε γάρ μοι Πολυκράτης ἤρεσκε δεσπόζων ἀνδρῶν ὁμοίων ἑωυτῷ οὔτε ἄλλος ὅστις τοιαῦτα ποιέει. Πολυκράτης μέν νυν ἐξέπλησε μοῖραν τὴν ἑωυτοῦ, ἐγὼ δὲ ἐς μέσον τὴν ἀρχὴν τιθεὶς ἰσονομίην ὑμῖν προαγορεύω. τοσάδε μέντοι δικαιῶ γέρεα ἐμεωυτῷ γενέσθαι, ἐκ μέν γε τῶν Πολυκράτεος χρημάτων ἐξαίρετα ἓξ τάλαντά μοι γενέσθαι, ἱρωσύνην δὲ πρὸς τούτοισι αἱρεῦμαι αὐτῷ τέ μοι καὶ τοῖσι ἀπ' ἐμεῦ αἰεὶ γινομένοισι τοῦ Διὸς τοῦ ἐλευθερίου· τῷ αὐτός τε ἱρὸν ἱδρυσάμην καὶ τὴν ἐλευθερίην ὑμῖν περιτίθημι." ὁ μὲν δὴ ταῦτα τοῖσι Σαμίοισι ἐπαγγέλλετο· τῶν δέ τις ἐξαναστὰς εἶπε "ἀλλ' οὐδ' ἄξιος εἶς σύ γε ἡμέων ἄρχειν, γεγονώς τε κακῶς καὶ ἐὼν ὄλεθρος· ἀλλὰ μᾶλλον ὅκως λόγον
143 δώσεις τῶν μετεχείρισας χρημάτων." ταῦτα εἶπε ἐὼν ἐν τοῖσι ἀστοῖσι δόκιμος, τῷ οὔνομα ἦν Τελέσαρχος. Μαιάνδριος

τὰ μετὰ τὴν Πολυκράτους τελευτὴν ἐν Σάμῳ γενόμενα καὶ τὰ κατὰ Μαιάνδριον

---

22. λόγον – 23 χρημάτων Eustathius Od. p. 429

1. μαίανδρος *Cdz* || ὁ om. *P* || 2. ἐπιτροπαίην *R*: ἐπιτροπέειν *AB*, ἐπιτροπεύειν *CPdz* || 6. οὔρισε z || προαστηΐῳ *dz* || 7. ὥς οἱ *PRz*: ὡς || ἐπεποίητο ταῦτα? || ἐκκλησίαν *ABd* || 8. ἔλεγε *R* || ἐμοί, ὡς] ὁμοίως z || 10. τὰ τῷ] τἀύτῶ *R* || ἐπιπλήσω *R* || 11. ἤρκεσε *R* || 13. ἐξέπλησσε z || μοίρην *C*(?) z || 15. γεγενῆσθαι *dz* || 17. ἱερεωσύνην *R*, ἱεροσύνην z, ἱερωσύνην ceteri || δὲ] τε *R* || ἐρεῦμαι *B* || αὐτῷ τέ μοι Bekker: ἐμοί τε αὐτῷ *R*, αὐτῷ τ' ἐμοὶ ceteri || 19. καὶ] καὶ αὐτὸς *R* || 20. ἐπήγγελλετο (a sup.) *C*, ἐπηγγέλλετο *R*, ἐπαγγέλετο z || τῶν *CR*: τῷ || 21. εἰ *L* || 22. κακὸς *PRdz* || 23. δόσης *R* || ὧν Eust. || 24. Τελεσέαρχος

δὲ νόῳ λαβὼν ὡς, εἰ μετήσει τὴν ἀρχήν, ἄλλος τις ἀντ' αὐτοῦ τύραννος καταστήσεται, οὐ δή τι ἐν νόῳ εἶχε μετιέναι αὐτήν, ἀλλ' ὡς ἀνεχώρησε ἐς τὴν ἀκρόπολιν, μεταπεμπόμενος ἕνα ἕκαστον ὡς δὴ λόγον τῶν χρημάτων δώσων, συνέλαβέ σφεας καὶ κατέδησε. οἱ μὲν δὴ ἐδεδέατο, Μαιάνδριον δὲ μετὰ ταῦτα κατέλαβε νοῦσος. ἐλπίζων δέ μιν ἀποθανέεσθαι ὁ ἀδελφεός, τῷ οὔνομα ἦν Λυκάρητος, ἵνα εὐπετεστέρως κατάσχῃ τὰ ἐν τῇ Σάμῳ πρήγματα, κατακτείνει τοὺς δεσμώτας πάντας· οὐ γὰρ δή, ὡς οἴκασι, ἐβούλοντο εἶναι ἐλεύθεροι.

Ἐπειδὴ ὦν ἀπίκοντο ἐς τὴν Σάμον οἱ Πέρσαι κατάγοντες 144
Συλοσῶντα, οὔτε τίς σφι χεῖρας ἀνταείρεται, ὑπόσπονδοί τε ἔφασαν εἶναι ἕτοιμοι οἱ τοῦ Μαιανδρίου στασιῶται καὶ αὐτὸς Μαιάνδριος ἐκχωρῆσαι ἐκ τῆς νήσου. καταινέσαντος δὲ ἐπὶ τούτοισι Ὀτάνεω καὶ σπεισαμένου, τῶν Περσέων οἱ πλείστου ἄξιοι θρόνους θέμενοι κατεναντίον τῆς ἀκροπόλιος κατέατο.
Μαιανδρίῳ δὲ τῷ τυράννῳ ἦν ἀδελφεὸς ὑπομαργότερος, τῷ 145
οὔνομα ἦν Χαρίλεως· οὗτος ὅ-τι δὴ ἐξαμαρτὼν ἐν γοργύρῃ ἐδέδετο, καὶ δὴ τότε ἐπακούσας τε τὰ πρησσόμενα καὶ διακύψας διὰ τῆς γοργύρης, ὡς εἶδε τοὺς Πέρσας εἰρηναίως κατημένους, ἐβόα τε καὶ ἔφη λέγων Μαιανδρίῳ θέλειν ἐλθεῖν ἐς λόγους. ἐπακούσας δὲ ὁ Μαιάνδριος λύσαντας αὐτὸν ἐκέλευε ἄγειν παρ' ἑωυτόν· ὡς δὲ ἄχθη τάχιστα, λοιδορέων τε καὶ κακίζων μιν ἀνέπειθε ἐπιθέσθαι τοῖσι Πέρσῃσι, λέγων τοιάδε. "ἐμὲ μέν, ὦ κάκιστε ἀνδρῶν, ἐόντα σεωυτοῦ ἀδελφεὸν καὶ ἀδικήσαντα οὐδὲν ἄξιον δεσμοῦ δήσας γοργύρης

---

17. τῷ - ὑπομαργότερος Lexicon Vindob. p. 123. — 18. Λέξεις

2. οὐδ' ἔτι s ‖ 7. ἀδελφός *d* ‖ ἔην z ‖ εὐπετέστερος *Apr*. ‖ 9. ἐοίκασι z ‖ ἐβουλέατο *L* ‖ εἶναι om. *C* ‖ 11. ἐπεὶ δὲ *ABd* ‖ 12. οὔτε] ἀεί τέ *R* ‖ τι *B*¹*Cz* ‖ χεῖρά σφιν ἀνάτ' ἀείρετο *R* ‖ τ' *R* ‖ 13. ἑτοῖμοι *Cz*, om. *PR* ‖ οἱ] οἵ τε? ‖ στρατιῶται *ABCd* ‖ 14. ἐκχωρήσας z ‖ δὲ *R*: δ' ‖ 15. ὀτάνεω *Pz*: ὀτάνεος ‖ 16. κατεναντίων *R* ‖ ἐκατέατο *CPcorr.Rz*, ἐκαθέατο *ABPpr.d* ‖ 18. χαρίλλος *R* ‖ 19. τότε om. *R* ‖ 20. γοργύης *C* ‖ εἰρηνέως *B* ‖ 26. δῆσαι qz ‖ γοργύης *C*, γοργύρη *R*

ἠξίωσας· ὁρέων δὲ τοὺς Πέρσας ἐκβάλλοντάς τέ σε καὶ ἄνοικον ποιέοντας οὐ τολμᾷς τίσασθαι, οὕτω δή τι ἐόντας εὐπετέας χειρωθῆναι; ἀλλ' εἴ τοι σύ σφεας καταρρώδηκας, ἐμοὶ δὸς τοὺς ἐπικούρους, καί σφεας ἐγὼ τιμωρήσομαι τῆς ἐνθάδε ἀπίξιος· αὐτὸν δέ σε ἐκπέμψαι ἐκ τῆς νήσου ἕτοιμός εἰμι."

146 ταῦτα δὲ ἔλεξε ὁ Χαρίλεως· Μαιάνδριος δὲ ὑπέλαβε τὸν λόγον, ὡς μὲν ἐγὼ δοκέω, οὐκ ἐς τοῦτο ἀφροσύνης ἀπικόμενος ὡς δόξαι τὴν ἑωυτοῦ δύναμιν περιέσεσθαι τῆς βασιλέος, ἀλλὰ φθονήσας μᾶλλον Συλοσῶντι εἰ ἀπονητὶ ἔμελλε ἀπολάμψεσθαι ἀκέραιον τὴν πόλιν. ἐρεθίσας ὦν τοὺς Πέρσας ἤθελε ὡς ἀσθενέστατα ποιῆσαι τὰ Σάμια πρήγματα καὶ οὕτω παραδιδόναι, εὖ ἐξεπιστάμενος ὡς παθόντες οἱ Πέρσαι κακῶς προσεμπικρανέεσθαι ἔμελλον τοῖσι Σαμίοισι, εἰδώς τε ἑωυτῷ ἀσφαλέα ἔκδυσιν ἐοῦσαν ἐκ τῆς νήσου τότε ἐπεὰν αὐτὸς βούληται· ἐπεποίητο γάρ οἱ κρυπτὴ διῶρυξ ἐκ τῆς ἀκροπόλιος φέρουσα ἐπὶ θάλασσαν. αὐτὸς μὲν δὴ ὁ Μαιάνδριος ἐκπλέει ἐκ τῆς Σάμου· τοὺς δ' ἐπικούρους πάντας ὁπλίσας ὁ Χαρίλεως, καὶ ἀναπετάσας τὰς πύλας, ἐξῆκε ἐπὶ τοὺς Πέρσας οὔτε προσδεκομένους τοιοῦτο οὐδὲν δοκέοντάς τε δὴ πάντα συμβεβάναι. ἐμπεσόντες δὲ οἱ ἐπίκουροι τῶν Περσέων τοὺς διφροφορευμένους τε καὶ λόγου πλείστου ἐόντας ἔκτεινον. καὶ οὗτοι μὲν ταῦτα ἐποίευν, ἡ δὲ ἄλλη στρατιὴ ἡ Περσικὴ ἐπεβοήθεε· πιεζεύμενοι δὲ οἱ ἐπίκουροι ὀπίσω κατειλήθησαν

147 ἐς τὴν ἀκρόπολιν. Ὀτάνης δὲ ὁ στρατηγὸς ἰδὼν πάθος μέγα Πέρσας πεπονθότας, ἐντολάς τε τὰς Δαρεῖός οἱ ἀποστέλλων ἐνετέλλετο, μήτε κτείνειν μηδένα Σαμίων μήτε ἀνδραποδίζεσθαι ἀπαθέα τε κακῶν ἀποδοῦναι τὴν νῆσον Συλοσῶντι,

---

6. Μαιάνδριος - 7 λόγον Thomas M. p. 370. — 21. Λέξεις

1. δὲ] τε *d* || τε om. *R* || 2. ποιεῦντας *R* || τοι *d* || 3. τοι] τι *B*[1]*z* || καταῤῥώδησας *C* || 5. δέ σε *Cd*: τέ σε *z*, δὲ σὲ reliqui || 6. δὲ om. *R* || χαρίλησς *R* || 8. βασιλέως *C* || 10. ἀπολάμψεσθε *C*, ἀπολάμψασθαι *z* || 11. ἔθελε *z* || ὡς] ἐς *R* || 12. κακῶς om. *ABCd* || 13. πάρος ἐμπικρανέεσθαι *Pm R* || 16. ἐκπλεῖ *R* || 17. δὲ *dz* || χαρίλησς *R* || 19. τοιοῦτον *R*, τοῦτο *d* || 23. πιεζεύμενοι *ABR*: πιεζόμενοι || 25. πεπονθότας πέρσας *d* || τὰς ἐντολὰς μὲν τὰς Herold || οἱ om. *ABCd*

τουτέων μὲν τῶν ἐντολέων μεμνημένος ἐπελανθάνετο, ὁ δὲ
παρήγγειλε τῇ στρατιῇ πάντα τὸν ἂν λάβωσι καὶ ἄνδρα καὶ
παῖδα ὁμοίως κτείνειν. ἐνθαῦτα τῆς στρατιῆς οἱ μὲν τὴν
ἀκρόπολιν ἐπολιόρκεον, οἱ δὲ ἔκτεινον πάντα τὸν ἐμποδὼν
γινόμενον ὁμοίως ἔν τε ἱρῷ καὶ ἔξω ἱροῦ. Μαιάνδριος δὲ 148
ἀποδρὰς ἐκ τῆς Σάμου ἐκπλέει ἐς Λακεδαίμονα· ἀπικόμενος
δὲ ἐς αὐτὴν καὶ ἀνενεικάμενος τὰ ἔχων ἐξεχώρησε, ἐποίεε
τοιάδε. ὅκως ποτήρια ἀργύρεά τε καὶ χρύσεα προθεῖτο, οἱ
μὲν θεράποντες αὐτοῦ ἐξέσμων αὐτά, ὁ δ' ἂν τὸν χρόνον
τοῦτον τῷ Κλεομένεϊ τῷ Ἀναξανδρίδεω ἐν λόγοισι ἐών,
βασιλεύοντι Σπάρτης, προῆγέ μιν ἐς τὰ οἰκία· ὅκως δὲ ἴδοιτο
Κλεομένης τὰ ποτήρια, ἀπεθώυμαζέ τε καὶ ἐξεπλήσσετο· ὁ
δὲ ἂν ἐκέλευε αὐτὸν ἀποφέρεσθαι αὐτῶν ὅσα βούλοιτο. τοῦτο
καὶ δὶς καὶ τρὶς εἴπαντος Μαιανδρίου ὁ Κλεομένης δικαιό-
τατος ἀνδρῶν γίνεται, ὃς λαβεῖν μὲν διδόμενα οὐκ ἐδικαίου,
μαθὼν δὲ ὡς ἄλλοισι διδοὺς τῶν ἀστῶν εὑρήσεται τιμωρίην,
βὰς ἐπὶ τοὺς ἐφόρους ἄμεινον εἶναι ἔφη τῇ Σπάρτῃ τὸν
ξεῖνον τὸν Σάμιον ἀπαλλάσσεσθαι ἐκ τῆς Πελοποννήσου, ἵνα
μὴ ἀναπείσῃ ἢ αὐτὸν ἢ ἄλλον τινὰ Σπαρτιητέων κακὸν
γενέσθαι. οἱ δ' ὑπακούσαντες ἐξεκήρυξαν Μαιάνδριον. τὴν 149
δὲ Σάμον [σαγηνεύσαντες] οἱ Πέρσαι παρέδοσαν Συλοσῶντι
ἔρημον ἐοῦσαν ἀνδρῶν. ὑστέρῳ μέντοι χρόνῳ καὶ συγκατοί-
κισε αὐτὴν ὁ στρατηγὸς Ὀτάνης ἔκ τε ὄψιος ὀνείρου καὶ
νούσου ἤ μιν κατέλαβε νοσῆσαι τὰ αἰδοῖα.
Ἐπὶ δὲ Σάμον στρατεύματος ναυτικοῦ οἰχομένου Βαβυ- 150

ἀπόστασις Βαβυλωνίων καὶ πολιορκία καὶ ἅλωσις διὰ Ζωπύρου

---

11. Bekkeri Anecd. p. 100. — 20. (Hesychius v. σαγηνεύσαντες?)

1. τούτων *ABR* ‖ 3. κτανέειν *d*, κτενέειν *z* ‖ 4. ἔκτανον *d* ‖ ἐμποδῶν *AB* ‖ 5. δὲ *R*: δ' ‖ 7. δ' *Pz* ‖ καὶ om. *d* ‖ ἐνενεικάμενος *R* ‖ 8. τε om. *AB* ‖ προθέοιτο Bredovius ‖ 9. ἐξέσμον *R* ‖ ὁ δὲ ἂν *C*, ὅδ' ἂν *z* ‖ 10. κλεομένει *AB* ‖ 11. οἰκήϊα *z* ‖ 12. ἀπεθώυμαζέ *P*, ἀπεθωῦμαζέ *z*: ἀπεθώμαζέ *Rd*, ἐπεθώυμαζέ *C*, ἐπεθώμαζε *AB* ‖ ὃς δὲ *ABC*, ὃς, δ' *d* ‖ 13. ἀνεκέλευε *Cd* ‖ αὐτέων ἀποφέρεσθαι αὐτὸν *z* ‖ 15. ὃς om. *R* ‖ ἐδικαίου *ABR*: ἐδικαίευ ‖ 16. διαδιδοῖ *R* ‖ 18. πελοπονήσου *Rd* ‖ 19. ἢ αὐτὸν *PRz*: αὐτὸν ‖ 20. οἳ πακούσαντες *R* ‖ ἐξεκήρυξαν - 21 σαγηνεύσαντες om. *R* ‖ 21. σαγηνεύσαντες seclusi ‖ 22. ἔρημον om. *dt*, ἐρῆμον *C* ‖ συγκατοίκησεν *R* ‖ 23. νόσου *R*

λώνιοι ἀπέστησαν, κάρτα εὖ παρεσκευασμένοι· ἐν ὅσῳ γὰρ ὅ τε Μάγος ἦρχε καὶ οἱ ἑπτὰ ἐπανέστησαν, ἐν τούτῳ παντὶ τῷ χρόνῳ καὶ τῇ ταραχῇ ἐς τὴν πολιορκίην παρεσκευάζοντο. καί κως ταῦτα ποιεῦντες ἐλάνθανον. ἐπείτε δὲ ἐκ τοῦ ἐμφανέος ἀπέστησαν, ἐποίησαν τοιόνδε. τὰς μητέρας ἐξελόντες, γυναῖκα ἕκαστος μίαν προσεξαιρέετο τὴν ἐβούλετο ἐκ τῶν ἑωυτοῦ οἰκίων, τὰς δὲ λοιπὰς ἁπάσας συναγαγόντες ἀπέπνιξαν· τὴν δὲ μίαν ἕκαστος σιτοποιὸν ἐξαιρέετο· ἀπέπνιξαν δὲ
151 αὐτάς, ἵνα μή σφεων τὸν σῖτον ἀναισιμώσωσι. πυθόμενος δὲ ταῦτα ὁ Δαρεῖος, καὶ συλλέξας πᾶσαν τὴν ἑωυτοῦ δύναμιν ἐστρατεύετο ἐπ' αὐτούς, ἐπελάσας δὲ ἐπὶ τὴν Βαβυλῶνα ἐπολιόρκεε φροντίζοντας οὐδὲν τῆς πολιορκίης. ἀναβαίνοντες γὰρ ἐπὶ τοὺς προμαχεῶνας τοῦ τείχεος οἱ Βαβυλώνιοι κατωρχέοντο καὶ κατέσκωπτον Δαρεῖον καὶ τὴν στρατιὴν αὐτοῦ, καί τις αὐτῶν εἶπε τοῦτο τὸ ἔπος. "τί κάτησθε ὦ Πέρσαι ἐνθαῦτα, ἀλλ' οὐκ ἀπαλλάσσεσθε; τότε γὰρ αἱρήσετε ἡμέας, ἐπεὰν ἡμίονοι τέκωσι." τοῦτο εἶπε τῶν τις Βαβυλωνίων
152 οὐδαμὰ ἐλπίζων ἂν ἡμίονον τεκεῖν. ἑπτὰ δὲ μηνῶν καὶ ἐνιαυτοῦ διεληλυθότος ἤδη ὁ Δαρεῖός τε ἤσχαλλε καὶ ἡ στρατιὴ πᾶσα οὐ δυνατὴ ἐοῦσα ἑλεῖν τοὺς Βαβυλωνίους. καίτοι πάντα σοφίσματα καὶ πάσας μηχανὰς ἐπεποιήκεε ἐς αὐτοὺς Δαρεῖος· ἀλλ' οὐδ' ὣς ἐδύνατο ἑλεῖν σφεας, ἄλλοισί τε σοφίσμασι πειρησάμενος, καὶ δὴ καὶ τῷ Κῦρος εἷλέ σφεας, καὶ τούτῳ ἐπειρήθη. ἀλλὰ γὰρ δεινῶς ἦσαν ἐν φυλακῇσι
153 οἱ Βαβυλώνιοι, οὐδέ σφεας οἷός τε ἦν ἑλεῖν. ἐνθαῦτα εἰκοστῷ μηνὶ Ζωπύρῳ τῷ Μεγαβύζου τούτου ὃς τῶν ἑπτὰ ἀνδρῶν

---

8 sq. Suidas v. ἀναισίμου. (Eustathius Od. p. 1595)

3. τὴν om. *R* ‖ παρεσκευάδατο *CP*, παρεσκευάσαντο *dz* ‖ 5. μητέρας] γυναῖκας *d* ‖ 6. μίην *z* ‖ τὴν] τὴν ἂν *z* ‖ 7. οἰκηΐων *z* ‖ 8. μίην *z* ‖ 9. ἀναισιμῶσι Suid. Eust. ‖ 10. ἅπασαν *Rz* ‖ 12. ἐπολιόρκεεν *AB* ‖ 15. κάθησθε *AR* ‖ ἐνθαῦτα ὦ πέρσαι *CPdz* ‖ 18. οὐδαμᾶ *Rdz* ‖ ἂν om. *dz* ‖ 19. ἐληλυθότος *d* ‖ ἤσχαλε *ACdz* ‖ 21. πάντα τε? ‖ ἐπεποίηκε *A*, ἐποίκεεν *R* ‖ 22. ἑλεῖν] λαβεῖν *B²* ‖ σφέας *L* ‖ 24. τοῦτο *R* ‖ ἀλλὰ γὰρ ἠσφαλισμένοι δεινῶς ἦσαν οἱ βαβυλώνιοι *d* ‖ ἔσαν *z* ‖ 25. τ' *PR* ‖ 26. μεγαβύξου *A* ‖ τούτου om. *ABCd*

ἐγένετο τῶν τὸν Μάγον κατελόντων, τούτῳ τῷ Μεγαβύζου παιδὶ Ζωπύρῳ ἐγένετο τέρας τόδε· τῶν οἱ σιτοφόρων ἡμιόνων μία ἔτεκε. ὡς δέ οἱ ἐξαγγέλθη καὶ ὑπὸ ἀπιστίης αὐτὸς ὁ Ζώπυρος εἶδε τὸ βρέφος, ἀπείπας τοῖσι ἰδοῦσι μηδενὶ φράζειν τὸ γεγονὸς ἐβουλεύετο. καί οἱ πρὸς τὰ τοῦ Βαβυλωνίου ῥήματα, ὃς κατ' ἀρχὰς ἔφησε, ἐπεάν περ ἡμίονοι τέκωσι, τότε τὸ τεῖχος ἁλώσεσθαι, πρὸς ταύτην τὴν φήμην Ζωπύρῳ ἐδόκεε εἶναι ἁλώσιμος ἡ Βαβυλών· σὺν γὰρ θεῷ ἐκεῖνόν τε εἰπεῖν καὶ ἑωυτῷ τεκεῖν τὴν ἡμίονον. ὡς δέ οἱ ἐδόκεε 154
μόρσιμον εἶναι ἤδη τῇ Βαβυλῶνι ἁλίσκεσθαι, προσελθὼν Δαρείου ἀπεπυνθάνετο εἰ περὶ πολλοῦ κάρτα ποιέεται τὴν Βαβυλῶνα ἑλεῖν. πυθόμενος δὲ ὡς πολλοῦ τιμῷτο, ἄλλο ἐβουλεύετο, ὅκως αὐτός τε ἔσται ὁ ἑλὼν αὐτὴν καὶ ἑωυτοῦ τὸ ἔργον ἔσται· κάρτα γὰρ ἐν τοῖσι Πέρσῃσι αἱ ἀγαθοεργίαι ἐς τὸ πρόσω μεγάθεος τιμῶνται. ἄλλῳ μέν νυν οὐκ ἐφράζετο ἔργῳ δυνατὸς εἶναί μιν ὑποχειρίην ποιῆσαι, εἰ δ' ἑωυτὸν λωβησάμενος αὐτομολήσειε ἐς αὐτούς. ἐνθαῦτα ἐν ἐλαφρῷ ποιησάμενος ἑωυτὸν λωβᾶται λώβην ἀνήκεστον· ἀποταμὼν γὰρ ἑωυτοῦ τὴν ῥῖνα καὶ τὰ ὦτα καὶ τὴν κόμην κακῶς περικείρας καὶ μαστιγώσας ἦλθε παρὰ Δαρεῖον. Δα- 155
ρεῖος δὲ κάρτα βαρέως ἤνεικε ἰδὼν ἄνδρα δοκιμώτατον λελωβημένον, ἔκ τε τοῦ θρόνου ἀναπηδήσας ἀνέβωσέ τε καὶ εἴρετό μιν ὅστις εἴη ὁ λωβησάμενος καὶ ὅ τι ποιήσαντα. ὁ δὲ εἶπε "οὐκ ἔστι οὗτος ἀνήρ, ὅτι μὴ σύ, τῷ ἔστι δύναμις τοσαύτη ἐμὲ δὴ ὧδε διαθεῖναι· οὐδέ τις ἀλλοτρίων ὦ βασιλεῦ τάδε

4. Bekkeri Anecd. p. 84. — 22. ἐκ - ἀνέβωσε Eustathius Il. p. 288. — 24. οὐκ - τοσαύτη idem Od. p. 1559.

1. τούτου τοῦ *R* ‖ μεγαβύξου *A* ‖ 3. μία] ἡ μίη *z* ‖ 4. ἰδοῦσι] ἰοῦσι *P*ᵗ*corr.*, δούλοισι *P*ᵐ *R* ‖ 5. τοῦ om. *Apr.* ‖ 7. φήμιν *R* ‖ 8. ἁλώσιμος εἶναι *z* ‖ ἡ] ἤδη ἡ *R* ‖ 10. ἤδη εἶναι *R* ‖ 11. δαρεῖον *R*, Δαρείῳ *z* ‖ 13. βουλεύεται *R* ‖ 14. τοῖσι om. *R* ‖ ἀγαθοεργίαι *PR*: ἀγαθουργίαι ‖ 15. μέν νυν *PR*: μὲν γὰρ *z*, μὲν *ABCd* ‖ 16. εἶναί μιν δυνατὸς *d*, δυνατὸν εἶναί μιν *z* ‖ ὑποχειρίην *PR*: αὐτοχειρίην *AB*, αὐτοχειρίῃ *Cdz* ‖ δὲ *R* ‖ 19. τὴν ῥῖνα ἑωυτοῦ *R* ‖ 21. ἤνεγκεν *Cdz* ‖ 22. ἔκ] καὶ ἐκ *R* ‖ πηδήσας *R*. Eust. ‖ τε om. *ABCd* ‖ 24. ἀνὴρ *R*. Eust.: ωνὴρ *AB*, ὡνὴρ *Cdz*, ὡνὴρ *P* ‖ ὦ Eust. ‖ ἔστι *ABP*: ἐστι vel ἐστὶ ‖ 25. οὐδέ *ABPd*: οὔτε ‖ ἀλλοτρίων τάδε εἴργασται βασιλεῦ *R*

ἔργασται, ἀλλ' αὐτὸς ἐγὼ ἐμεωυτόν, δεινόν τι ποιεύμενος Ἀσσυρίους Πέρσῃσι καταγελᾶν." ὁ δ' ἀμείβετο "ὦ σχετλιώτατε ἀνδρῶν, ἔργῳ τῷ αἰσχίστῳ οὔνομα τὸ κάλλιστον ἔθευ, φὰς διὰ τοὺς πολιορκεομένους σεωυτὸν ἀνηκέστως διαθεῖναι. τί δ', ὦ μάταιε, λελωβημένου σεῦ θᾶσσον οἱ πολέμιοι παραστήσονται; κῶς οὐκ ἐξέπλωσας τῶν φρενῶν σεωυτὸν διαφθείρας;" ὁ δὲ εἶπε "εἰ μέν τοι ὑπερετίθεα τὰ ἔμελλον ποιήσειν, οὐκ ἄν με περιεῖδες· νῦν δ' ἐπ' ἐμεωυτοῦ βαλόμενος ἔπρηξα. ἤδη ὦν ἢν μὴ τῶν σῶν δεήσῃ, αἱρέομεν Βαβυλῶνα. ἐγὼ μὲν γὰρ ὡς ἔχω αὐτομολήσω ἐς τὸ τεῖχος καὶ φήσω πρὸς αὐτοὺς ὡς ὑπὸ σεῦ τάδε ἔπαθον· καὶ δοκέω, πείσας σφέας ταῦτα ἔχειν οὕτω, τεύξεσθαι στρατιῆς. σὺ δέ, ἀπ' ἧς ἂν ἡμέρης ἐγὼ ἐσέλθω ἐς τὸ τεῖχος, ἀπὸ ταύτης ἐς δεκάτην ἡμέρην τῆς σεωυτοῦ στρατιῆς, τῆς οὐδεμία ἔσται ὤρη ἀπολλυμένης, ταύτης χιλίους τάξον κατὰ τὰς Σεμιράμιος καλεομένας πύλας· μετὰ δὲ αὖτις ἀπὸ τῆς δεκάτης ἐς ἑβδόμην ἄλλους μοι τάξον δισχιλίους κατὰ τὰς Νινίων καλεομένας πύλας· ἀπὸ δὲ τῆς ἑβδόμης διαλείπειν εἴκοσι ἡμέρας, καὶ ἔπειτα ἄλλους κάτισον ἀγαγὼν κατὰ τὰς Χαλδαίων καλεομένας πύλας, τετρακισχιλίους. ἐχόντων δὲ μήτε οἱ πρότεροι μηδὲν τῶν ἀμυνεύντων μήτε οὗτοι, πλὴν ἐγχειριδίων· τοῦτο δὲ ἐᾶν ἔχειν. μετὰ δὲ τὴν εἰκοστὴν ἡμέρην ἰθέως τὴν μὲν ἄλλην στρατιὴν κελεύειν πέριξ προσβάλλειν πρὸς τὸ τεῖχος, Πέρσας δέ μοι τάξον κατά τε τὰς Βηλίδας καλεομένας καὶ Κισσίας πύλας. ὡς γὰρ ἐγὼ δοκέω, ἐμέο μεγάλα ἔργα ἀπο-

6. κῶς – διαφθείρας Suidas v. ἐξέπλωσας

1. ἔργασται z: εἴργασται ‖ 2. δδ' z ut fere ‖ 4. πολιορκευμένους *Rz* ‖ 5. δ' om. *ABCd* ‖ 6. πῶς *ABCdz*. Suid. ‖ ἐξάμβλωσας *R* ‖ 7. μέν ἔτοι *A*, μέντοι *R*. μὲν σοὶ Krueger ‖ 8. δὲ *R* ‖ βαλλόμενος *BRz* ‖ 9. δεήσει *AB*. malim τι ἐνδεήσῃ ‖ 10. ἐς βαβυλᾶνα *d* ‖ 11. πέπονθα *PR* ‖ 14. ἑωυτοῦ *R* ‖ τῆς οὐδὲ μία *AB*, τῆς μηδεμία *R*, τῇ οὐδεμιᾶ b, τῇ, οὐδεμίῃ z ‖ 15. ὡρη *AB*, ὥρη reliqui ‖ ταύτῃ z ‖ τὰς] τῆς *R* ‖ σεμιράμιδος (δισ) *C* ‖ 17. χιλίους *C*, χιλίους *P* ‖ 18. διαλείπειν *PR*: διαλιπὼν ‖ 19. Χαλκιδέων z ‖ 20. πύλας ante καλεομένας *R*, om. *C* ‖ 21. μηδ' ἓν *R* ‖ ἀμυνούντων *L*. ἀμυνόντων Bähr ‖ 22. ἰθείως *d* ‖ 24. τε om. *R* ‖ βηλῖδας *P* ‖ πύλας καὶ κισσίας *CPz*

δεξαμένου, τά τε ἄλλα ἐπιτρέψονται ἐμοὶ Βαβυλώνιοι καὶ δὴ καὶ τῶν πυλέων τὰς βαλανάγρας· τὸ δὲ ἐνθεῦτεν ἐμοί τε καὶ Πέρσῃσι μελήσει τὰ δεῖ ποιέειν." ταῦτα ἐντειλάμενος ἤιε 156
ἐπὶ τὰς πύλας, ἐπιστρεφόμενος ὡς δὴ ἀληθέως αὐτόμολος. ὁρέοντες δὲ ἀπὸ τῶν πύργων οἱ κατὰ τοῦτο τεταγμένοι κατέτρεχον κάτω καὶ ὀλίγον τι παρακλίναντες τὴν ἑτέρην πύλην εἰρώτεον τίς τε εἴη καὶ ὅτευ δεόμενος ἥκοι. ὁ δέ σφι ἠγόρευε ὡς εἴη τε Ζώπυρος καὶ αὐτομολέοι ἐς ἐκείνους. ἦγον δή μιν οἱ πυλουροί, ταῦτα ὡς ἤκουσαν, ἐπὶ τὰ κοινὰ τῶν Βαβυλωνίων· καταστὰς δὲ ἐπ' αὐτὰ κατοικτίζετο, φὰς ὑπὸ Δαρείου πεπονθέναι τὰ ἐπεπόνθεε ὑπ' ἑωυτοῦ, παθεῖν δὲ ταῦτα διότι συμβουλεῦσαί οἱ ἀπανιστάναι τὴν στρατιήν, ἐπείτε δὴ οὐδεὶς πόρος ἐφαίνετο τῆς ἁλώσιος. "νῦν τε" ἔφη λέγων "ἐγὼ ὑμῖν ὦ Βαβυλώνιοι ἥκω μέγιστον ἀγαθόν, Δαρείῳ δὲ καὶ τῇ στρατιῇ καὶ Πέρσῃσι μέγιστον κακόν· οὐ γὰρ δὴ ἐμέ γε ὧδε λωβησάμενος καταπροΐξεται· ἐπίσταμαι δ' αὐτοῦ πάσας τὰς διεξόδους τῶν βουλευμάτων." τοιαῦτα ἔλεγε. οἱ δὲ 157
Βαβυλώνιοι ὁρέοντες ἄνδρα τὸν ἐν Πέρσῃσι δοκιμώτατον ῥινός τε καὶ ὤτων ἐστερημένον μάστιξί τε καὶ αἵματι ἀναπεφυρμένον, πάγχυ ἐλπίσαντες λέγειν μιν ἀληθέα καί σφι ἥκειν σύμμαχον, ἐπιτράπεσθαι ἕτοιμοι ἦσαν τῶν ἐδέετό σφεων· ἐδέετο δὲ στρατιῆς. ὁ δὲ ἐπείτε αὐτῶν τοῦτο παρέλαβε, ἐποίεε τά περ τῷ Δαρείῳ συνεθήκατο. ἐξαγαγὼν γὰρ τῇ δεκάτῃ ἡμέρῃ τὴν στρατιὴν τῶν Βαβυλωνίων καὶ κυκλωσάμενος τοὺς χιλίους, τοὺς πρώτους ἐνετείλατο Δαρείῳ τάξαι, τούτους κατεφόνευσε. μαθόντες δέ μιν οἱ Βαβυλώνιοι

2. Λέξεις. — 10. Suidas v. κατοικτίζετο. — 15. οὐ - 16 καταπροΐξεται idem v. καταπροΐξεται. — 16. Λέξεις

1. ἐπιτρέψονται A^2R: ἐπιτράψονται || 2. δ' *Pdz* || 3. τὰ δεῖ Reiske: ταῦτα *d*, τάδε ceteri || 4. ἐπὶ] πρὸς *R* || 5. ὁρῶντες *AB*, ὁρέωντες z || 6. τι om. *R* || 7. εἰρώτεον *d*: εἰρώτων AB^1R, εἰρώτευν B^2, ἠρώτεον *CPz* || 8. αὐτομολέει *d* || 9. πυλωροὶ *Rz* || 11. πεπόνθεε z || 12. συμβουλεῦσαι inde ab H. Stephano || δὴ Schweighaeuser: om. *Pz*, δὲ ceteri || 15. καὶ Πέρσῃσι secluserim: om. *PR* || 18. ὁρέοντες *CPd*: ὁρῶντες *ABR*, ὁρέωντες z || τὸν] τῶν *CPz* || 19. καὶ μάστιξι? || 21. ἐπιτράπεσθαι *P*, ἐπιτραπέσθαι *Rdz* || ἑτοῖμοι *CP* || ἔσαν z || ἐδέετό σφεων *AB*: ἐδέετο σφέων || 22. αὐτέων z || 26. τάξαι om. *R*

τοῖσι ἔπεσι τὰ ἔργα παρεχόμενον ὅμοια, πάγχυ περιχαρέες ἐόντες πᾶν δὴ ἕτοιμοι ἦσαν ὑπηρετέειν. ὁ δὲ διαλιπὼν ἡμέρας τὰς συγκειμένας, αὖτις ἐπιλεξάμενος τῶν Βαβυλωνίων ἐξήγαγε καὶ κατεφόνευσε τῶν Δαρείου στρατιωτέων τοὺς δισχιλίους. ἰδόντες δὲ καὶ τοῦτο τὸ ἔργον οἱ Βαβυλώνιοι πάντες Ζώπυρον εἶχον ἐν στόμασι αἰνέοντες. ὁ δὲ αὖτις διαλιπὼν τὰς συγκειμένας ἡμέρας ἐξήγαγε ἐς τὸ προειρημένον, καὶ κυκλωσάμενος κατεφόνευσε τοὺς τετρακισχιλίους. ὡς δὲ καὶ τοῦτο κατέργαστο, πάντα δὴ ἦν ἐν τοῖσι Βαβυλωνίοισι Ζώπυρος, καὶ στρατάρχης τε οὗτός σφι καὶ τειχοφύλαξ ἀπε-
158 δέδεκτο. προσβολὴν δὲ Δαρείου κατὰ τὰ συγκείμενα ποιευμένου πέριξ τὸ τεῖχος, ἐνθαῦτα δὴ πάντα τὸν δόλον ὁ Ζώπυρος ἐξέφαινε. οἱ μὲν γὰρ Βαβυλώνιοι ἀναβάντες ἐπὶ τὸ τεῖχος ἠμύνοντο τὴν Δαρείου στρατιὴν προσβάλλουσαν, ὁ δὲ Ζώπυρος τάς τε Κισσίας καὶ Βηλίδας καλεομένας πύλας ἀναπετάσας ἐσῆκε τοὺς Πέρσας ἐς τὸ τεῖχος. τῶν δὲ Βαβυλωνίων οἳ μὲν εἶδον τὸ ποιηθέν, οὗτοι ἔφευγον ἐς τοῦ Διὸς τοῦ Βήλου τὸ ἱρόν· οἳ δὲ οὐκ εἶδον, ἔμενον ἐν τῇ ἑωυτοῦ τάξι ἕκαστος, ἐς ὃ δὴ καὶ οὗτοι ἔμαθον προδεδομένοι.

159 Βαβυλὼν μέν νυν οὕτω τὸ δεύτερον αἱρέθη. Δαρεῖος δὲ ἐπείτε ἐκράτησε τῶν Βαβυλωνίων, τοῦτο μέν σφεων τὸ τεῖχος περιεῖλε καὶ τὰς πύλας πάσας ἀπέσπασε· τὸ γὰρ πρότερον ἑλὼν Κῦρος τὴν Βαβυλῶνα ἐποίησε τούτων οὐδέτερον· τοῦτο δὲ ὁ Δαρεῖος τῶν ἀνδρῶν τοὺς κορυφαίους μάλιστα ἐς τρισχιλίους ἀνεσκολόπισε, τοῖσι δὲ λοιποῖσι Βαβυλωνίοισι ἀπέδωκε τὴν πόλιν οἰκέειν. ὡς δ' ἕξουσι γυναῖκας οἱ Βαβυλώνιοι ἵνα σφι γενεὴ ὑπογίνηται, τάδε Δαρεῖος προϊδὼν ἐποίησε·

---

1. ὁμοῖα *CPdz* ‖ 2. ἕτοιμοι *Rz*: ἑτοῖμοι ‖ ἔσαν z ‖ διαλειπὼν *P* 4. ἐξήγαγε – 5. Βαβυλώνιοι om. *R* ‖ στρατιωτῶν *d* ‖ 5. χιλίους *d*[1] in textu ‖ 6. πάντα *R* ‖ 7. ἐγκειμένας *dz* ‖ 9. κατεργάσατο *R* ‖ 10. στρατάρχης *PtR*: στρατιάρχης ‖ ἀπέδεκτο *d*, ἀπεδέκετο *R* ‖ 13. ἐξέφαινε – 15 Ζώπυρος om. *d* ‖ γὰρ] γὰρ δὴ *sz* ‖ 15. βηλῖδας *P*, τὰς βηλῖδας *R* ‖ 17. ἴδον *R* ‖ οὗτοι] οὗτοι μὲν *R* ‖ 19. τάξι *AB*: τάξει ‖ 21. μὲν σφέων *R* ‖ 23. κύρος *d* ‖ τουτέων z ‖ 24. μάλιστα om. *C* ‖ 25. τοῖς δὲ λοιποῖς βαβυλωνίοις *R* ‖ 26. δὲ *R* ‖ 27. γενεὴ Bekker: γένεα *sz*, γένη ceteri

τὰς γὰρ ἑωυτῶν, ὡς καὶ κατ' ἀρχὰς δεδήλωται, ἀπέπνιξαν οἱ Βαβυλώνιοι τοῦ σίτου προορέοντες. ἐπέταξε τοῖσι περιοίκοισι ἔθνεσι γυναῖκας ἐς Βαβυλῶνα κατιστάναι, ὅσας δὴ ἑκάστοισι ἐπιτάσσων, ὥστε πέντε μυριάδων τὸ κεφαλαίωμα τῶν γυναικῶν συνῆλθε· ἐκ τουτέων δὲ τῶν γυναικῶν οἱ νῦν Βαβυλώνιοι γεγόνασι.

Ζωπύρου δὲ οὐδεὶς ἀγαθοεργίην Περσέων ὑπερεβάλετο 160
παρὰ Δαρείῳ κριτῇ οὔτε τῶν ὕστερον γενομένων οὔτε τῶν πρότερον, ὅτι μὴ Κῦρος μοῦνος· τούτῳ γὰρ οὐδεὶς Περσέων ἠξίωσέ κω ἑωυτὸν συμβαλεῖν. πολλάκις δὲ Δαρεῖον λέγεται γνώμην τήνδε ἀποδέξασθαι, ὡς βούλοιτο ἂν Ζώπυρον εἶναι ἀπαθέα τῆς ἀεικείης μᾶλλον ἢ Βαβυλῶνάς οἱ εἴκοσι πρὸς τῇ ἐούσῃ προσγενέσθαι. ἐτίμησε δέ μιν μεγάλως· καὶ γὰρ δῶρά οἱ ἀνὰ πᾶν ἔτος ἐδίδου ταῦτα τὰ Πέρσῃσι ἐστὶ τιμιώτατα, καὶ τὴν Βαβυλῶνά οἱ ἔδωκε ἀτελέα νέμεσθαι μέχρι τῆς ἐκείνου ζόης, καὶ ἄλλα πολλὰ ἐπέδωκε. Ζωπύρου δὲ τούτου γίνεται Μεγάβυζος, ὃς ἐν Αἰγύπτῳ ἀντία Ἀθηναίων καὶ τῶν συμμάχων ἐστρατήγησε· Μεγαβύζου δὲ τούτου γίνεται Ζώπυρος, ὃς ἐς Ἀθήνας ηὐτομόλησε ἐκ Περσέων.

---

2. Thomas M. p. 319. — 7. Bekkeri Anecd. p. 78

1. καταρχὰς *L* ‖ 2. προορῶντες *R*, προορέωντες *z* ‖ 3. γυναῖκα *ABCd* | καθιστάναι *AB*, καθιστᾶναι *d*, κατεστάναι *z* ‖ ὅσας δὴ om. *ABCd* ‖ 7. ἀγαθοεργείην *ABC* ‖ 8. bis οὔτε] οὐδὲ *ABCd* ‖ 9. κύρος *Rd* ‖ μόνος *ABC* | τοῦτο *d* ‖ 10. συμβαλέειν *L* ‖ Δαρεῖον om. *ABCd* ‖ 12. ἀεικίης *d*, ἀϊκίης *R* ‖ 14. ἀν' ἅπαν *R* ‖ ταῦτα om. *R* ‖ 16. ζάης *Bpr.C*, ζωῆς *d* ‖ ἀπέδωκε *z* ‖ 17. μεγάβυξος *A* ‖ 18. μεγαβύξου *A* ‖ 19. αὐτομόλησε *R* ‖ Περσέων] περσέων. μετὰ δὲ τὴν βαβυλῶνος αἵρεσιν *R*

ΗΡΟΔΟΤΟΥ Γ *AB*, ἡροδότου ἱστοριῶν τρίτη *PR*, τέλος ἡροδότου ἱστοριῶν τρίτης *d*, ΗΡΟΔΟΤΟΥ ΙΣΤΟΡΙΩΝ ΤΡΙΤΗ. *z*

Δ

1 Μετὰ δὲ τὴν Βαβυλῶνος αἵρεσιν ἐγένετο ἐπὶ Σκύθας
αὐτοῦ Δαρείου ἔλασις. ἀνθεύσης γὰρ τῆς Ἀσίης ἀνδράσι
καὶ χρημάτων μεγάλων συνιόντων, ἐπεθύμησε ὁ Δαρεῖος
τίσασθαι Σκύθας, ὅτι ἐκεῖνοι πρότεροι ἐσβαλόντες ἐς τὴν
Μηδικὴν καὶ νικήσαντες μάχῃ τοὺς ἀντιουμένους ὑπῆρξαν
ἀδικίης. τῆς γὰρ ἄνω Ἀσίης ἦρξαν, ὡς καὶ πρότερόν μοι
εἴρηται, Σκύθαι ἔτεα δυῶν δέοντα τριήκοντα. Κιμμερίους
γὰρ ἐπιδιώκοντες ἐσέβαλον ἐς τὴν Ἀσίην, καταπαύσαντες
τῆς ἀρχῆς Μήδους· οὗτοι γὰρ πρὶν ἢ Σκύθας ἀπικέσθαι
ἦρχον τῆς Ἀσίης. τοὺς δὲ Σκύθας ἀποδημήσαντας ὀκτὼ
καὶ εἴκοσι ἔτεα καὶ διὰ χρόνου τοσούτου κατιόντας ἐς τὴν
σφετέρην ἐξεδέξατο οὐκ ἐλάσσων πόνος τοῦ Μηδικοῦ· εὗρον
γὰρ ἀντιουμένην σφίσι στρατιὴν οὐκ ὀλίγην. αἱ γὰρ τῶν
Σκυθέων γυναῖκες, ὥς σφι οἱ ἄνδρες ἀπῆσαν χρόνον πολλόν,
2 ἐφοίτεον παρὰ τοὺς δούλους. τοὺς δὲ δούλους οἱ Σκύθαι
πάντας τυφλοῦσι τοῦ γάλακτος εἵνεκεν τοῦ πίνουσι ποιεῦντες

περὶ Σκυθέων καὶ τῆς κατ' αὐτῶν Δαρείου στρατείας   περὶ τῆς γενομένης ἐκ τῶν οἰκετῶν τοῖς Σκύθαις ἐπαναστάσεως

---

5. Suidas v. ὑπῆρξαν. — 15. Plutarchus mor. p. 440

ΜΕΛΠΟΜΕΝΗ Δ̄ *AB*, μελπομένη :· τεράρτη :· *P*, λόγος δ' *R*, μελπομένη. ἡροδότου ἱστοριῶν τετάρτη *d*, ΗΡΟΔΟΤΟΥ ΙΣΤΟΡΙΩΝ ΤΕΤΑΡΤΗ. ΜΕΛΠΟΜΕΝΗ. *z*

1. ετὰ *P* ‖ δὲ om. *d* ‖ ἐπὶ σκύθας ἐγένετο *R* ‖ 2. αὐτοῦ] αὖ τοῦ Schweighaeuser, coniectabam αὐτίκα vel αὖτις ‖ 4. πρότεροι *PRz*: πρῶτον ‖ ἐσβαλόντες P^m *Rz*: ἐμβαλόντες ‖ 7. δοιῶν *d* ‖ 8. καταπαύσοντες Reiske ‖ 9. πρινὴ *R* ‖ 11. καὶ διὰ] διὰ *C* ‖ 13. σφίσι scripsi: σφι 15. ἐφοίτων *R*, ἐφοίτεων *C* ‖ τοὺς δὲ δούλους οἱ] οὓς *R* ‖ 16. τυφλοῦσι πάντας *R* ‖ εἵνεκα *R*, εἵνεκε *z*

ὧδε. ἐπεὰν φυσητῆρας λάβωσι ὀστεΐνους αὐλοῖσι προσεμφερεστάτους, τούτους ἐσθέντες ἐς τῶν θηλέων ἵππων τὰ ἄρθρα φυσῶσι τοῖσι στόμασι, ἄλλοι δὲ ἄλλων φυσώντων ἀμέλγουσι. φασὶ δὲ τοῦδε εἵνεκα τοῦτο ποιέειν· τὰς φλέβας τε πίμπλασθαι φυσωμένας τῆς ἵππου καὶ τὸ οὖθαρ κατίεσθαι. ἐπεὰν δὲ ἀμέλξωσι τὸ γάλα, ἐσχέαντες ἐς ξύλινα ἀγγήια κοῖλα καὶ περιστίξαντες κατὰ τὰ ἀγγήια τοὺς τυφλοὺς δονέουσι τὸ γάλα, καὶ τὸ μὲν αὐτοῦ ἐπιστάμενον ἀπαρύσαντες ἡγεῦνται εἶναι τιμιώτερον, τὸ δ' ὑπιστάμενον ἧσσον τοῦ ἑτέρου. τούτων μὲν εἵνεκα ἅπαντα τὸν ἂν λάβωσι οἱ Σκύθαι ἐκτυφλοῦσι· οὐ γὰρ ἀρόται εἰσὶ ἀλλὰ νομάδες. ἐκ τούτων δὴ ὦν σφι τῶν 3
δούλων καὶ τῶν γυναικῶν ἐτράφη νεότης· οἳ ἐπείτε ἔμαθον τὴν σφετέρην γένεσιν, ἠντιοῦντο αὐτοῖσι κατιοῦσι ἐκ τῶν Μήδων. καὶ πρῶτα μὲν τὴν χώρην ἀπετάμοντο, τάφρον ὀρυξάμενοι εὐρέαν κατατείνουσαν ἐκ τῶν Ταυρικῶν ὀρέων ἐς τὴν Μαιῆτιν λίμνην, τῇ περ ἐστὶ μεγίστη· μετὰ δὲ πειρωμένοισι ἐσβάλλειν τοῖσι Σκύθῃσι ἀντικατιζόμενοι ἐμάχοντο. γινομένης δὲ μάχης πολλάκις καὶ οὐ δυναμένων οὐδὲν πλέον ἔχειν τῶν Σκυθέων τῇ μάχῃ, εἷς αὐτῶν ἔλεξε τάδε. "οἷα ποιεῦμεν, ἄνδρες Σκύθαι. δούλοισι τοῖσι ἡμετέροισι μαχόμενοι αὐτοί τε κτεινόμενοι ἐλάσσονες γινόμεθα καὶ ἐκείνους κτείνοντες ἐλασσόνων τὸ λοιπὸν ἄρξομεν. νῦν ὦν μοι δοκέει αἰχμὰς

---

15. **Eustathius Dion. 163**

1. φυσιτῆρας *B*, φυσσητῆρας *Rdz* ‖ 2. τοῦτον *d* ‖ θηλέων *Cdz*: θηλεῶν 3. φυσσῶσι *dz* ‖ τοῖς στόμασι *AB*, om. *R* ‖ φυσώντων *AB*: φυσσώντων *R*, φυσεόντων *P*, συφεόντων *C*, φυσσεόντων *dz* ‖ 4. ἕνεκα *AB* ‖ ποιεῖν *A* ‖ τὰς] τοῦ τὰς *R* ‖ ἐμπίπλασθαι *R* ‖ 5. φυσωμένας *AB*: φυσσωμένας *R*, φυσεωμένας *C*, φυσευμένας *P*, φυσσεωμένας *dz* ‖ τοῦ ἵππου *d* ‖ ἐπὰν *z* ‖ 6. ἀμέλγωσι *ABd* ‖ 7. περιστίξαντες *AB*: περιστήξαντες *Cdz*, περιστήσαντες *PR*. πέριξ στήσαντες Dobree ‖ κατὰ om. *PR* ‖ 8. ἡγέονται *PRz* ‖ 9. τιμιώτεροι· τὸ δὲ *R* ‖ 10. οἱ om. *ABCd* ‖ 11. τουτέων *PRz* ‖ δὲ *AB* 12. ἐπετράφη *v*, ἐπεστράφη *R* ‖ 13. αὐτοῖσι] τοῖσι *z* ‖ 15. οὐρέων *CPdz* ‖ 16. μαιῶτιν *L* ‖ τῇ Dobree: ᾗ ‖ πειρεωμένοισι *Cdz*, πειρεομένοισι *P* 17. ἐσβαλεῖν *R* ‖ ἀντικατιζόμενοι *Pt*: ἀντικαθιζόμενοι *R*, ἀντικατιεύμενοι *ABCd*, ἐν ἄλλοις, ἀντικατιεύμενοι *P*[m], ἀντικατιζεύμενοι *z*· ‖ 21. αὐτοί τε κτεινόμενοι ἐλάσσονες (β) γινόμεθα (α) *R*: ἐλάσσονες γινόμεθα αὐτοί τε κτεινόμενοι *P*, αὐτοί τε ἐλάσσονες κτεινόμενοι γινόμεθα *qz*, αὐτοί τε ἐλάσσονες γινόμεθα *C*, ἐλάσσονες γινόμεθα *ABd*

μὲν καὶ τόξα μετεῖναι, λαβόντα δὲ ἕκαστον τοῦ ἵππου τὴν μάστιγα ἰέναι ἆσσον αὐτῶν. μέχρι μὲν γὰρ ὥρων ἡμέας ὅπλα ἔχοντας, οἱ δὲ ἐνόμιζον ὅμοιοί τε καὶ ἐξ ὁμοίων ἡμῖν εἶναι· ἐπεὰν δὲ ἴδωνται μάστιγας ἀντὶ ὅπλων ἔχοντας, μαθόντες ὡς εἰσὶ ἡμέτεροι δοῦλοι, καὶ συγγνόντες τοῦτο, οὐχ

4 ὑπομενέουσι." ταῦτα ἀκούσαντες οἱ Σκύθαι ἐποίευν ἐπιτελέα· οἱ δὲ ἐκπλαγέντες τῷ γινομένῳ τῆς μάχης τε ἐπελάθοντο καὶ ἔφευγον. οὕτω οἱ Σκύθαι τῆς τε Ἀσίης ἦρξαν καὶ ἐξελασθέντες αὖτις ὑπὸ Μήδων κατῆλθον τρόπῳ τοιούτῳ ἐς τὴν σφετέρην. τῶνδε εἵνεκα ὁ Δαρεῖος τίσασθαι βουλόμενος συνήγειρε ἐπ' αὐτοὺς στράτευμα.

5 Ὡς δὲ Σκύθαι λέγουσι, νεώτατον ἁπάντων ἐθνέων εἶναι τὸ σφέτερον, τοῦτο δὲ γενέσθαι ὧδε. ἄνδρα γενέσθαι πρῶτον ἐν τῇ γῇ ταύτῃ ἐούσῃ ἐρήμῳ τῷ οὔνομα εἶναι Ταργιτάον· τοῦ δὲ Ταργιτάου τούτου τοὺς τοκέας λέγουσι εἶναι, ἐμοὶ μὲν οὐ πιστὰ λέγοντες, λέγουσι δ' ὦν, Δία τε καὶ Βορυσθένεος τοῦ ποταμοῦ θυγατέρα. γένεος μὲν τοιούτου δή τινος γενέσθαι τὸν Ταργιτάον, τούτου δὲ γενέσθαι παῖδας τρεῖς, Λιπόξαϊν καὶ Ἀρπόξαϊν καὶ νεώτατον Κολάξαϊν. ἐπὶ τούτων [ἀρχόντων] ἐκ τοῦ οὐρανοῦ φερόμενα χρύσεα ποιήματα, ἄροτρόν τε καὶ ζυγὸν καὶ σάγαριν καὶ φιάλην, πεσεῖν ἐς τὴν Σκυθικήν. καὶ τῶν ἰδόντα πρῶτον τὸν πρεσβύτατον ἆσσον ἰέναι βουλόμενον αὐτὰ λαβεῖν, τὸν δὲ χρυσὸν ἐπιόντος καίεσθαι· ἀπαλλαχθέντος δὲ τούτου προσιέναι τὸν δεύτερον, καὶ τὸν αὖτις ταὐτὰ ποιέειν. τοὺς μὲν δὴ καιόμενον τὸν

περὶ τῆς Σκυθῶν ἀρχαιογονίας (*B*)

---

1. λαβόντας δὲ sine ἕκαστον *R* ‖ 2. ἄσσον *AB* ‖ αὐτῶ *R* ‖ ὥρεων *C*, ὥρεον *Pdz* ‖ ἡμᾶς *d* ‖ ὁμοῖοί *CPdz* ‖ 5. ὥς εἰσι *z* ‖ οὐχ *ABd* ‖ 6. ὑπομενοῦσι *Cd* ‖ 7. δὲ *ABd*: δ' ‖ ἐπὶ τῷ *PRz* ‖ 8. οὕτως *ABd* ‖ 9. ἐξελαθέντες *z* ‖ τοιούτω τρόπω *R*, τρόπωι τοιῶιδε *CPz* ‖ 10. τῶν δὲ *Cd* ‖ 12. πάντων *ABCd* ‖ 14. ταργιτάον *ABR*: ταργίταον ‖ 15. τοκέας *ABR*: γονέας ‖ 16. πιθανὰ *R* ‖ 17. γένος *R*, γενόμενος *C* ‖ 18. ταργιτάον (*AB*)*R*: ταργίταον ‖ παῖδα γενέσθαι *R* ‖ νιτόξαϊν *R*, Λειπόξαϊν *z* ‖ 19. ἀρπόξαϊν *Pd* ‖ 20. ἀρχόντων exclusi: om. *sv* ‖ 21. σάγγαριν *R* ‖ πεσέειν *dz* ‖ τὴν] γῆν τὴν *R* ‖ 22. τῶν *R*. Reiske: τὸν ‖ ἰέναι ἄσσον αὐτῶν *R* ‖ 24. ἀπαλλαγέντες *C* ‖ 25. ταῦτα *Bd*

χρυσὸν ἀπώσασθαι, τρίτῳ δὲ τῷ νεωτάτῳ ἐπελθόντι κατασβῆναι, καί μιν ἐκεῖνον κομίσαι ἐς ἑωυτοῦ· καὶ τοὺς πρεσβυτέρους ἀδελφεοὺς πρὸς ταῦτα συγγνόντας τὴν βασιληίην πᾶσαν παραδοῦναι τῷ νεωτάτῳ. ἀπὸ μὲν δὴ Λιποξάιος 6 γεγονέναι τούτους τῶν Σκυθέων οἳ Αὐχάται γένος καλέονται, ἀπὸ δὲ τοῦ μέσου Ἀρποξάιος οἳ Κατίαροί τε καὶ Τράσπιες καλέονται, ἀπὸ δὲ τοῦ νεωτάτου αὐτῶν τοῦ βασιλέος οἳ καλέονται Παραλάται· σύμπασι δὲ εἶναι οὔνομα Σκολότους, τοῦ βασιλέος ἐπωνυμίην. Σκύθας δὲ Ἕλληνες ὠνόμασαν. γεγονέναι μέν νυν σφέας ὧδε λέγουσι οἱ Σκύθαι, ἔτεα δὲ 7 σφίσι ἐπείτε γεγόνασι τὰ σύμπαντα λέγουσι εἶναι ἀπὸ τοῦ πρώτου βασιλέος [Ταργιτάου] ἐς τὴν Δαρείου διάβασιν τὴν ἐπὶ σφέας χιλίων οὐ πλέω ἀλλὰ τοσαῦτα. τὸν δὲ χρυσὸν τοῦτον τὸν ἱρὸν φυλάσσουσι οἱ βασιλέες ἐς τὰ μάλιστα, καὶ θυσίῃσι μεγάλῃσι ἱλασκόμενοι μετέρχονται ἀνὰ πᾶν ἔτος. ὃς δ' ἂν ἔχων τὸν χρυσὸν τὸν ἱρὸν ἐν τῇ ὁρτῇ ὑπαίθριος κατακοιμηθῇ, οὗτος λέγεται ὑπὸ Σκυθέων οὐ διενιαυτίζειν· δίδοσθαι δέ οἱ διὰ τοῦτο ὅσα ἂν ἵππῳ ἐν ἡμέρῃ μιῇ περιελάσῃ αὐτός. τῆς δὲ χώρης ἐούσης μεγάλης τριφασίας τὰς βασιληίας τοῖσι παισὶ τοῖσι ἑωυτοῦ καταστήσασθαι Κολάξαϊν, καὶ τουτέων μίαν ποιῆσαι μεγίστην, ἐν τῇ τὸν χρυσὸν φυλάσσεσθαι. τὰ δὲ κατύπερθε πρὸς βορέην λέγουσι ἄνεμον τῶν ὑπεροίκων τῆς χώρης οὐκ οἷά τε εἶναι ἔτι προσωτέρω οὔτε ὁρᾶν οὔτε διεξιέναι ὑπὸ πτερῶν κεχυμένων· πτερῶν γὰρ καὶ

1 sq. Eustathius Il. p. 513

1. ἀπαλλάσσεσθαι *R* ‖ τρίτον *d* ‖ καταοβῆναι *PR*. (Eust.): καταστῆναι ‖ 4. νιτοξάϊος *R*, Λειποξάϊος *z* ‖ 5. αὐχᾶται *AB* ‖ 6. ἀρποξάϊος *Pd* ‖ τράπιες *CP*, τράπιοι *R* ‖ 7. αὐτέων *Rz* ‖ τοῦ βασιλῆος Jo. le Febvre: τοὺς βασιλέας codices, τοὺς βασιλῆας *sz*. τοὺς βασιληΐους Wesseling ‖ 8. ὄνομα *P* ‖ 9. τοῦ] om. *PR*. an Σκολότου? ‖ βασιλέως *Cd*, βασιλῆος *sz* ‖ ὁμωνυμίην *ABCd* ‖ οὐνόμασαν *Cdz* ‖ 10. ὧδε σφέας *AB*, σφέας οὕτω *z* ‖ 11. σφίσι scripsi: σφι ‖ 12. βασιλέως *Cd*, βασιλῆος *sz* ‖ Ταργιτάου seiunxi ‖ 13. χρόνον *ABCd* ‖ 14. τὸν ἱρὸν om. *ABCd* ‖ βασιλῆες *sz* ‖ ἐς om. *R* ‖ 16. τὸν ἱρὸν τὸν χρυσὸν *d* ‖ 17. διεναυτίζειν *R* ‖ 18. ὅσα] ὡς *C* ‖ ἵππων *R* ‖ περιελάσῃ *B* ‖ 20. καταστήσεσθαι *dz* ‖ 21. μίην *z* ‖ μεγίστην ποιῆσαι *PRz* ‖ 22. κατύπερτε *s* ‖ βορῆν ἄνεμον λέγουσι *R* ‖ 23. τ' *R* ‖ προσωτέρων *AB*

τὴν γῆν καὶ τὸν ἠέρα εἶναι πλέον, καὶ ταῦτα εἶναι τὰ ἀποκληίοντα τὴν ὄψιν.

8 Σκύθαι μὲν ὧδε ὑπὲρ σφέων τε αὐτῶν καὶ τῆς χώρης τῆς κατύπερθε λέγουσι, Ἑλλήνων δὲ οἱ τὸν Πόντον οἰκέοντες ὧδε. Ἡρακλέα ἐλαύνοντα τὰς Γηρυόνεω βοῦς ἀπικέσθαι ἐς γῆν ταύτην ἐοῦσαν ἐρήμην, ἥντινα νῦν Σκύθαι νέμονται. Γηρυόνεα δὲ οἰκέειν ἔξω τοῦ Πόντου, κατοικημένον τὴν Ελληνες λέγουσι Ἐρύθειαν νῆσον τὴν πρὸς Γαδείροισι τοῖσι ἔξω Ἡρακλέων στηλέων ἐπὶ τῷ Ὠκεανῷ. τὸν δὲ Ὠκεανὸν λόγῳ μὲν λέγουσι ἀπὸ ἡλίου ἀνατολέων ἀρξάμενον γῆν πέρι πᾶσαν ῥέειν, ἔργῳ δὲ οὐκ ἀποδεικνῦσι. ἐνθεῦτεν τὸν Ἡρακλέα ἀπικέσθαι ἐς τὴν νῦν Σκυθίην χώρην καλεομένην, καὶ καταλαβεῖν γὰρ αὐτὸν χειμῶνά τε καὶ κρυμόν, ἐπειρυσάμενον τὴν λεοντέην κατυπνῶσαι, τὰς δέ οἱ ἵππους [τὰς] ὑπὸ τοῦ ἅρματος νεμομένας ἐν τούτῳ τῷ χρόνῳ ἀφανισθῆναι θείῃ
9 τύχῃ. ὡς δ' ἐγερθῆναι τὸν Ἡρακλέα, δίζησθαι, πάντα δὲ τῆς χώρης ἐπεξελθόντα τέλος ἀπικέσθαι ἐς τὴν Ὑλαίην καλεομένην γῆν· ἐνθαῦτα δὲ αὐτὸν εὑρεῖν ἐν ἄντρῳ μιξοπάρθενόν τινα ἔχιδναν διφυέα, τῆς τὰ μὲν ἄνω ἀπὸ τῶν γλουτῶν εἶναι γυναικός, τὰ δὲ ἔνερθε ὄφιος. ἰδόντα δὲ καὶ θωυμάσαντα ἐπείρεσθαί μιν εἴ κου ἴδοι ἵππους πλανωμένας· τὴν δὲ φάναι ἑωυτὴν ἔχειν καὶ οὐκ ἀποδώσειν ἐκείνῳ πρὶν ἤ οἱ μιχθῆναι· τὸν δὲ Ἡρακλέα μιχθῆναι ἐπὶ τῷ μισθῷ τούτῳ. κείνην τε δὴ ὑπερβάλλεσθαι τὴν ἀπόδοσιν τῶν ἵππων,

---

5 sqq. (Hippolytus) αἱρέσ. ἐλεγχ. V 25 p. 216 Gott. — 18. - 20 Eustathius Dion. 310

1. ἀέρα εἶναι πλέων *d* ‖ ἀποκλήοντα *R* ‖ 3. ὧιδε *C* ut fere ‖ αὐτέων *R* ‖ 4. οἰκέουσι *R* ‖ 5. γηρυόναο βόας ἐπικέσθαι *R* ‖ 7. γηρυόνην *R* 8. οἱ Ἕλληνες *R* ‖ γαδείροισι *ABPd*: γειδείροισι *C* (?), γηδείροισι *Rz* ‖ 9. ἔξω *PR*: ἔξω ἐπὶ ‖ ἡρακληίων *z* ‖ 10. περὶ *L* ‖ 11. ἐνθεῦτε *R* ‖ 12. ὡς ἀπικέσθαι *R* ‖ σκυθικὴν *R* ‖ καὶ καταλαβεῖν Herold: καταλαβεῖν ‖ 13. χειμῶνα καὶ κρυμμὸν *R* ‖ 14. τὴν *R*: δὲ τὴν ceteri ‖ λεοντὴν *Rz*, λεοντῆν ceteri ‖ τὰς damnavit Krueger ‖ ἀπὸ *Rdz* ‖ 15. χρόνῳ] χώρῳ *bz* ‖ θείῃ τύχῃ ἀφανισθῆναι *R* ‖ 16. δὲ *R* ‖ δίζεσθαι *dz* ‖ τὰ πάντα δὲ *R*, πάντα δὲ τὰ *z* ‖ 18. καλεομένην γῆν om. *R* ‖ 19. τινα om. *R* ‖ 20. γλουτῶν *ABd*. Eust.: γλουτέων ‖ δ' ἔνερθε *AB*, δὲ ἔνερθεν ceteri ‖ 21. θωμάσαντα *Rd* ‖ που εἶδεν *ABd* ‖ 22. πρὶν ἤ *PRz*: πρίν ‖ 23. μιχθῆ *R* ‖ 24. ὑπερβαλέσθαι *z*

βουλομένην ὡς πλεῖστον χρόνον συνεῖναι τῷ Ἡρακλέι, καὶ τὸν κομισάμενον ἐθέλειν ἀπαλλάσσεσθαι· τέλος δὲ ἀποδιδοῦσαν αὐτὴν εἰπεῖν "ἵππους μὲν δὴ ταύτας ἀπικομένας ἐνθάδε ἔσωσά τοι ἐγώ, σῶστρά τε σὺ παρέσχες· ἐγὼ γὰρ ἐκ σεῦ τρεῖς παῖδας ἔχω. τούτους, ἐπεὰν γένωνται τρόφιες, ὅ τι χρὴ ποιέειν, ἐξηγέο σύ, εἴτε αὐτοῦ κατοικίζω (χώρης γὰρ τῆσδε ἔχω τὸ κράτος αὐτή) εἴτε ἀποπέμπω παρὰ σέ." τὴν μὲν δὴ ταῦτα ἐπειρωτᾶν, τὸν δὲ λέγουσι πρὸς ταῦτα εἰπεῖν "ἐπεὰν ἀνδρωθέντας ἴδῃ τοὺς παῖδας, τάδε ποιεῦσα οὐκ ἂν ἁμαρτάνοις. τὸν μὲν ἂν ὁρᾷς αὐτῶν τόδε τὸ τόξον ὧδε διατεινόμενον καὶ τῷ ζωστῆρι τῷδε καταζωννύμενον, τοῦτον μὲν τῆσδε τῆς χώρης οἰκήτορα ποιεῦ· ὃς δ' ἂν τούτων τῶν ἔργων τῶν ἐντέλλομαι λείπηται, ἔκπεμπε ἐκ τῆς χώρης. καὶ ταῦτα ποιεῦσα αὐτή τε εὐφρανέεαι καὶ τὰ ἐντεταλμένα ποιήσεις." τὸν μὲν δὴ εἰρύσαντα τῶν τόξων τὸ ἕτερον (δύο γὰρ 10
δὴ φορέειν τέως Ἡρακλέα) καὶ τὸν ζωστῆρα προδέξαντα, παραδοῦναι τὸ τόξον τε καὶ τὸν ζωστῆρα ἔχοντα ἐπ' ἄκρης τῆς συμβολῆς φιάλην χρυσέην, δόντα δὲ ἀπαλλάσσεσθαι. τὴν δ', ἐπεί οἱ γενομένους τοὺς παῖδας ἀνδρωθῆναι, τοῦτο μέν σφι οὐνόματα θέσθαι, τῷ μὲν Ἀγάθυρσον αὐτῶν, τῷ δ' ἑπομένῳ Γελωνόν, Σκύθην δὲ τῷ νεωτάτῳ, τοῦτο δὲ τῆς ἐπιστολῆς μεμνημένην αὐτὴν ποιῆσαι τὰ ἐντεταλμένα. καὶ δὴ δύο μέν οἱ τῶν παίδων, τόν τε Ἀγάθυρσον καὶ τὸν Γελωνόν, οὐκ οἵους τε γενομένους ἐξικέσθαι πρὸς τὸν προκείμενον ἄεθλον, οἴχεσθαι ἐκ τῆς χώρης ἐκβληθέντας ὑπὸ τῆς γεινα-

---

4. Λέξεις. — 5. Eustathius Od. p. 1468. — 15. Schol. Aristid. p. 481. — 20. Probus ad Vergil. georg. II 115

1. ἡρακλεῖ *ABd* ‖ 3. δὴ om. *Rd* ‖ 4. σῶστρα δὲ *R* ‖ ἔγω γὰρ ἐκ σέο *R* ‖ 5. παῖδας τρεῖς ἔγω *P*, παῖδας τρεῖς *R* ‖ γίνωνται *d* ‖ 7. αὐτὴ *R* ‖ 9. ἴδοιε *d*, ἴδηαι ceteri ‖ τοὺς παῖδας post ἀνδρωθέντας *R* ‖ ποιέουσα *CPR* ‖ 10. αὐτέων *z* ‖ τὸ om. *ABC* ‖ διατεινάμενον *R* ‖ 11. τόδε *z* ‖ κατὰ τάδε ζωννύμενον *P*ᵐ*R* ‖ 12. μὲν δὴ *R* ‖ ποίευ *C*, πόειν *d* ‖ τούτων *Pd*: τουτέων ‖ 13. λείπηται *ABP*: λίπηται ‖ ἐκ om. *B*¹ ‖ 14. ποιέουσα *P* ‖ αὕτη *R* ‖ εὐφρανέεαι *Pz*: εὐφρανέαι *ABd*, εὐφράνεαι *CR* ‖ 16. τῷ ζωστῆρι *R* ‖ προδείξαντα *R*, πρὸς δείξαντα *AB*, προσδείξαντα ceteri ‖ 17. τε om. *ABCd* ‖ 18. χρυσέαν *Bpr.* ‖ δόντα *R*: διδόντα ‖ 19. γινομένους *d* ‖ 20. θεῖναι *R* ‖ αὐτέων *z* ‖ 22. ἐπιτολῆς *bz* ‖ 23. δὴ om. *Ppr.R* ‖ οἱ om. *ABCd*

μένης. τὸν δὲ νεώτατον αὐτῶν Σκύθην ἐπιτελέσαντα καταμεῖναι ἐν τῇ χώρῃ. καὶ ἀπὸ μὲν Σκύθεω τοῦ Ἡρακλέος γενέσθαι τοὺς αἰεὶ βασιλέας γινομένους Σκυθέων, ἀπὸ δὲ τῆς φιάλης ἔτι καὶ ἐς τόδε φιάλας ἐκ τῶν ζωστήρων φορέειν Σκύθας· τὸ δὴ μοῦνον μηχανήσασθαι τὴν μητέρα Σκύθῃ. ταῦτα δὲ Ἑλλήνων οἱ τὸν Πόντον οἰκέοντες λέγουσι.

11 Ἔστι δὲ καὶ ἄλλος λόγος ἔχων ὧδε, τῷ μάλιστα λεγομένῳ αὐτὸς πρόσκειμαι. Σκύθας τοὺς νομάδας οἰκέοντας ἐν τῇ Ἀσίῃ, πολέμῳ πιεσθέντας ὑπὸ Μασσαγετέων, οἴχεσθαι διαβάντας ποταμὸν Ἀράξην ἐπὶ γῆν τὴν Κιμμερίην (τὴν γὰρ νῦν νέμονται Σκύθαι, αὕτη λέγεται τὸ παλαιὸν εἶναι Κιμμερίων), τοὺς δὲ Κιμμερίους ἐπιόντων Σκυθέων βουλεύεσθαι ὡς στρατοῦ ἐπιόντος μεγάλου, καὶ δὴ τὰς γνώμας σφέων κεχωρισμένας, ἐντόνους μὲν ἀμφοτέρας, ἀμείνω δὲ τὴν τῶν βασιλέων· τὴν μὲν γὰρ δὴ τοῦ δήμου φέρειν γνώμην ὡς ἀπαλλάσσεσθαι πρῆγμα εἴη μηδὲ πρὸ σποδοῦ δεόμενον κινδυνεύειν, τὴν δὲ τῶν βασιλέων διαμάχεσθαι περὶ τῆς χώρης τοῖσι ἐπιοῦσι. οὔκων δὴ ἐθέλειν πείθεσθαι οὔτε τοῖσι βασιλεῦσι τὸν δῆμον οὔτε τῷ δήμῳ τοὺς βασιλέας· τοὺς μὲν δὴ ἀπαλλάσσεσθαι βουλεύεσθαι ἀμαχητὶ τὴν χώρην παραδόντας τοῖσι ἐπιοῦσι· τοῖσι δὲ βασιλεῦσι δόξαι ἐν τῇ ἑωυτῶν κέεσθαι ἀποθανόντας μηδὲ συμφεύγειν τῷ δήμῳ, λογισαμένους ὅσα τε ἀγαθὰ πεπόνθασι καὶ ὅσα φεύγοντας ἐκ τῆς πατρίδος κακὰ ἐπίδοξα καταλαμβάνειν. ὡς δὲ δόξαι σφι ταῦτα, διαστάντας καὶ ἀριθμὸν ἴσους γενομένους μάχεσθαι πρὸς ἀλλήλους. καὶ τοὺς μὲν ἀποθανόντας πάντας ὑπ' ἑωυτῶν θάψαι τὸν δῆμον

---

1. νεώτερον z ‖ αὐτέων Rz ‖ 2. καὶ - τοῦ om. B¹ ‖ 3. ἀεὶ ABR βασιλῆας sz ‖ 4. ἔτι] ἔτι δὲ z ‖ 5. τὸν z ‖ μηχανήσασθαι PR: μηχανᾶσθαι ‖ σκύθηι P, σκύθη R: σκύθην ‖ 7. ἄλλος] ἕτερος z ‖ 9. πιασθέντας dz ‖ Μασαγετέων z ‖ 10. ἀράξιν C, Ἀράξεα z ‖ 14. ἀμφοτέρους C ‖ 15. βασιλήων z ‖ δὴ om. PR ‖ 16. πρᾶγμα AB ‖ εἴη] εἰ R ‖ μὴ δὲ ABRdz ‖ πρὸ σποδοῦ correxi: προπολλοῦ AB, πρὸ πολλοῦ Cdz, πρὸς πολλοὺς PR ‖ δεόμενον PRz: δεόμενα AB²Cd, γινόμενα B¹. οὐδὲν δέον μένοντας Valckenaer, δέοι μένοντας Buttmann, μένοντας Bredovius ‖ 17. βασιλήων z ‖ 18. ἐπιεῦσι z ‖ 19. τὸν δῆμον οὔτε om. R ‖ βασιλῆας z ‖ 20. παραδιδόντας Rz ‖ 21. κεῖσθαι ABR ‖ 24. καταλαμβάνειν Reiske: καταλαμβάνει ‖ δ' ἔδοξε R

τῶν Κιμμερίων παρὰ ποταμὸν Τύρην (καί σφεων ἔτι δῆλός ἐστι ὁ τάφος), θάψαντας δὲ οὕτω τὴν ἔξοδον ἐκ τῆς χώρης ποιέεσθαι· Σκύθας δὲ ἐπελθόντας λαβεῖν ἐρήμην τὴν χώρην. καὶ νῦν ἔστι μὲν ἐν τῇ Σκυθικῇ Κιμμέρια τείχεα, ἔστι δὲ 12
πορθμήια Κιμμέρια, ἔστι δὲ καὶ χώρη οὔνομα Κιμμερίη, ἔστι δὲ Βόσπορος Κιμμέριος καλεόμενος. φαίνονται δὲ οἱ Κιμμέριοι φεύγοντες ἐς τὴν Ἀσίην τοὺς Σκύθας καὶ τὴν χερσόνησον κτίσαντες, ἐν τῇ νῦν Σινώπη πόλις Ἑλλὰς οἴκισται. φανεροὶ δέ εἰσι καὶ οἱ Σκύθαι διώξαντες αὐτοὺς καὶ ἐσβαλόντες ἐς γῆν τὴν Μηδικήν, ἁμαρτόντες τῆς ὁδοῦ· οἱ μὲν γὰρ Κιμμέριοι αἰεὶ τὴν παρὰ θάλασσαν ἔφευγον, οἱ δὲ Σκύθαι ἐν δεξιῇ τὸν Καύκασον ἔχοντες ἐδίωκον ἐς ὃ ἐσέβαλον ἐς γῆν τὴν Μηδικήν, ἐς μεσόγαιαν τῆς ὁδοῦ τραφθέντες. οὗτος δὲ ἄλλος ξυνὸς Ἑλλήνων τε καὶ βαρβάρων λεγόμενος λόγος εἴρηται.

Ἔφη δὲ Ἀριστέης ὁ Καϋστροβίου ἀνὴρ Προκοννήσιος 13
ποιέων ἔπεα, ἀπικέσθαι ἐς Ἰσσηδόνας φοιβόλαμπτος γενόμενος, Ἰσσηδόνων δὲ ὑπεροικέειν Ἀριμασποὺς ἄνδρας μουνοφθάλμους, ὑπὲρ δὲ τούτων τοὺς χρυσοφύλακας γρῦπας, τούτων δὲ τοὺς Ὑπερβορέους κατήκοντας ἐπὶ θάλασσαν. τούτους ὦν πάντας πλὴν Ὑπερβορέων, ἀρξάντων Ἀριμασπῶν, αἰεὶ τοῖσι πλησιοχώροισι ἐπιτίθεσθαι, καὶ ὑπὸ μὲν Ἀριμασπῶν ἐξωθέεσθαι ἐκ τῆς χώρης Ἰσσηδόνας, ὑπὸ δὲ Ἰσσηδόνων Σκύθας, Κιμμερίους δὲ οἰκέοντας ἐπὶ τῇ νοτίῃ θαλάσσῃ ὑπὸ Σκυθέων πιεζομένους ἐκλείπειν τὴν χώρην. οὕτω οὐδὲ

---

7. Κιμμέριοι - 9 οἴκισται Eustathius Dion. 772

1. τῶν] τὸν *R* ‖ δῆλος ἐστὶ *P*, δῆλος ἔστι *R* ‖ 2. διέξοδον *R* ‖ 3. ποιέεσθαι *R* ‖ τὴν χώρην ἐρήμην *ABd* ‖ 4. τῇ om. *C* ‖ 5. χώρη] τῶ χώρω *R* ‖ κιμμερία *R* ‖ 6. βοόσπορος *R* ‖ 8. χερσόννησον *C*, χερόννησον *R* ‖ 9. οἴκηται *R*. οἰκεῖται Eust. ‖ καὶ om. *R* ‖ 10. ἐμβαλόντες *R* ‖ 11. ἀεὶ *R* ‖ 12. ἐς ὃ *Pz*: ἐσοῦ *AB*, ἐς οὗ *Cd*, ἐς τ' *R* ‖ 13. γῆν] om. *R*, post Μηδικὴν z ‖ μεσόγεαν *R* ‖ τραφθέντας *B*[1], τραφέντες *C*, στραφέντες *R* ‖ 14. γενόμενος *dz* ‖ 16. ἀρισταίης *d* ‖ 17. σηδόνας *B*[1] ‖ φοιβόληπτος *R*, φοιβόλαμπος z ‖ 18. δὲ *B*[2]*CR*: δ' *Pdz*, om. *AB*[1] ‖ 19. τούτων *AB*: τουτέων ‖ γρύπας *Cdz* ‖ 20. τουτέων *Rz* ‖ 22. ἀεὶ *AB* ‖ 25. ἐκλιπεῖν *R* ‖ οὐδὲ] δὲ *C*, οὐδὲ δὲ *R*

14 οὗτος συμφέρεται περὶ τῆς χώρης ταύτης Σκύθῃσι. καὶ ὅθεν μὲν ἦν Ἀριστέης ὁ ταῦτα εἴπας, εἴρηκα. τὸν δὲ περὶ αὐτοῦ ἤκουον λόγον ἐν Προκοννήσῳ καὶ Κυζίκῳ, λέξω. Ἀριστέην γὰρ λέγουσι, ἐόντα τῶν ἀστῶν οὐδενὸς γένος ὑποδεέστερον, ἐσελθόντα ἐς κναφήιον ἐν Προκοννήσῳ ἀποθανεῖν, καὶ τὸν κναφέα κατακληίσαντα τὸ ἐργαστήριον οἴχεσθαι ἀγγελέοντα τοῖσι προσήκουσι τῷ νεκρῷ. ἐσκεδασμένου δὲ ἤδη τοῦ λόγου ἀνὰ τὴν πόλιν ὡς τεθνεὼς εἴη ὁ Ἀριστέης, ἐς ἀμφισβασίας τοῖσι λέγουσι ἀπικνέεσθαι ἄνδρα Κυζικηνὸν ἥκοντα ἐξ Ἀρτάκης πόλιος, φάντα συντυχεῖν τέ οἱ ἰόντι ἐπὶ Κυζίκου καὶ ἐς λόγους ἀπικέσθαι. καὶ τοῦτον μὲν ἐντεταμένως ἀμφισβατέειν, τοὺς δὲ προσήκοντας τῷ νεκρῷ ἐπὶ τὸ κναφήιον παρεῖναι ἔχοντας τὰ πρόσφορα ὡς ἀναιρησομένους· ἀνοιχθέντος δὲ τοῦ οἰκήματος οὔτε τεθνεῶτα οὔτε ζῶντα φαίνεσθαι Ἀριστέην. μετὰ δὲ ἑβδόμῳ ἔτεϊ φανέντα αὐτὸν ἐς Προκόννησον ποιῆσαι τὰ ἔπεα ταῦτα τὰ νῦν ὑπ' Ἑλλήνων Ἀριμάσπεα καλέεται,
15 ποιήσαντα δὲ ἀφανισθῆναι τὸ δεύτερον. ταῦτα μὲν αἱ πόλιες αὗται λέγουσι. τάδε δὲ οἶδα Μεταποντίνοισι τοῖσι ἐν Ἰταλίῃ συγκυρήσαντα μετὰ τὴν ἀφάνισιν τὴν δευτέρην Ἀριστέω ἔτεσι τεσσεράκοντα καὶ διηκοσίοισι. ὡς ἐγὼ συμβαλλόμενος ἐν Προκοννήσῳ τε καὶ Μεταποντίῳ εὕρισκον. Μεταποντῖνοί

---

1. καὶ ὅθεν - p. 365, 14 εἰρήσθω Origenes c. Cels. III 26. — 3 sqq. Aeneas Gaz. p. 72 Boiss. — 9. Eustathius Od. p. 1650. — 20. Tzetzes Chiliad. II 733

1. Σκύθῃσι post συμφέρεται *R* ‖ 2. ἔην *z* ‖ εἴπας *PtR*. Orig.: ποιήσας εἴρηκα *ABC*. Orig.: εἴρηται ‖ ὃν Orig. ‖ 3. προκονήσῳ Orig. ‖ 4. γένους *q*, γένεος *z*. Orig. ‖ 5. εἰσελθόντα Orig. ‖ 8. τεθνεὼς *R*. Orig.: τεθνηὼς *AB*, τεθνηκὼς reliqui ‖ ὁ om. *ABd* ‖ ἀμφιβάσιας *C*, ἀμφιβασίας *z* ‖ 9. ἀπικέσθαι *PR*, ἀφικέσθαι Orig. ‖ ἀρτακίης *R*. Eust. ‖ 10. φάντα] φάντασμα Orig. ‖ ὄντι *R* ‖ ἐς ᾅδου ἀφικέσθαι Orig. ‖ 11. ἀμφισβατέειν Orig.: ἀμφισβητεῖν *R*, ἀμφισβητέειν ceteri ‖ 12. νέκυϊ Orig. ‖ 13. ἀναιρησόμενον *d* ‖ 14. οὔτε ζῶντα οὔτε τεθνεῶτα Orig. ‖ 15. ἔτει *AB* ‖ εἰς Orig. ‖ 16. τὰ] ἃ δὴ Orig. ‖ ὑπὸ Orig. ‖ Ἀριμάσπεια Orig. Tzetz. ‖ καλέονται *Cpr*. ‖ 17. τὸ δεύτερον om. *ABCd* ‖ μὲν] μὲν οὖν Orig. ‖ 18. αἵδε *R* ‖ τάδε δὲ *R*. Orig.: τὰ. δε δὲ *P*, τὰ δὲ reliqui ‖ Ἰταλίᾳ Orig. ‖ 19. συγκυράσαντα *R* ‖ δευτέραν Orig. ‖ Ἀριστέως Orig., ἀριστέω τοῦ προκοννησίου *qz* ‖ 20. τεσσαράκοντα *CRd*. Orig. ‖ διηκοσίοισι *ABCd*. Orig. Aen. Tzetz.: τριηκοσίοισι ‖ συμβαλόμενος *R* ‖ 21. ἐν] τὰ ἐν Reiske ‖ μεταποντίνοισιν *R*, Μεταποντίνοις Orig.

φασι αὐτὸν Ἀριστέην φανέντα σφι ἐς τὴν χώρην κελεῦσαι βωμὸν Ἀπόλλωνος ἱδρύσασθαι καὶ Ἀριστέω τοῦ Προκοννησίου ἐπωνυμίην ἔχοντα ἀνδριάντα παρ' αὐτὸν ἱστάναι· φάναι γάρ σφι τὸν Ἀπόλλωνα Ἰταλιωτέων μούνοισι δὴ ἀπικέσθαι ἐς τὴν χώρην, καὶ αὐτός οἱ ἕπεσθαι ὁ νῦν ἐὼν Ἀριστέης· τότε δέ, ὅτε εἵπετο τῷ θεῷ, εἶναι κόραξ. καὶ τὸν εἰπόντα ταῦτα ἀφανισθῆναι, σφέας δὲ Μεταποντῖνοι λέγουσι ἐς Δελφοὺς πέμψαντας τὸν θεὸν ἐπειρωτᾶν ὅ τι τὸ φάσμα τοῦ ἀνθρώπου εἴη. τὴν δὲ Πυθίην σφέας κελεύειν πείθεσθαι τῷ φάσματι, πειθομένοισι δὲ ἄμεινον συνοίσεσθαι. καὶ σφέας δεξαμένους ταῦτα ποιῆσαι ἐπιτελέα. καὶ νῦν ἕστηκε ἀνδριὰς ἐπωνυμίην ἔχων Ἀριστέω παρ' αὐτῷ τῷ ἀγάλματι τοῦ Ἀπόλλωνος, πέριξ δὲ αὐτὸν δάφναι ἑστᾶσι· τὸ δὲ ἄγαλμα ἐν τῇ ἀγορῇ ἵδρυται. Ἀριστέω μέν νυν πέρι τοσαῦτα εἰρήσθω.

Τῆς δὲ γῆς, τῆς πέρι ὅδε ὁ λόγος ὥρμηται λέγεσθαι, 16 οὐδεὶς οἶδε ἀτρεκέως ὅ τι τὸ κατύπερθέ ἐστι· οὐδενὸς γὰρ δὴ αὐτόπτεω εἰδέναι φαμένου δύναμαι πυθέσθαι· οὐδὲ γὰρ οὐδὲ Ἀριστέης, τοῦ περ ὀλίγῳ πρότερον τούτων μνήμην ἐποιεύμην, οὐδὲ οὗτος προσωτέρω Ἰσσηδόνων ἐν αὐτοῖσι τοῖσι ἔπεσι ποιέων ἔφησε ἀπικέσθαι· ἀλλὰ τὰ κατύπερθε ἔλεγε ἀκοῇ, φὰς Ἰσσηδόνας εἶναι τοὺς ταῦτα λέγοντας. ἀλλ' ὅσον μὲν ἡμεῖς ἀτρεκέως ἐπὶ μακρότατον οἷοί τε ἐγενόμεθα ἀκοῇ ἐξικέσθαι, πᾶν εἰρήσεται.

Ἀπὸ τοῦ Βορυσθενεϊτέων ἐμπορίου (τοῦτο γὰρ τῶν πα- 17

---

1. γάρ φασι *Rz*, δέ φασι Orig. ‖ χώρην] πόλιν *dz* ‖ 2. ἀπόλλωνός *P*, ἀπόλλωνος *R*. Orig.: ἀπόλλωνι ‖ ἀριστέου *ABCd* ‖ 3. καὶ ἀνδριάντα *R* ‖ παρ' αὐτὸν στῆσαι *R*, παραστῆναι Orig. ‖ 4. σφιν Orig. ‖ ἰταλεωτέων *d* ‖ δὴ om. *CP* ‖ 6. δέ] δέ οἱ *R* ‖ τὸν] τὸν μὲν *R*. Orig. ‖ εἴπαντα *R* ‖ 8. ἐπειρωτᾶιν *P* ut fere, ἐπερωτᾶν Orig. ‖ ὅτι τε φάντασμα Orig. ‖ 9. τήν τε *z* ‖ 10. πειθομένοισί τε Orig. ‖ καὶ σφέας *P*. Orig.: καὶ σφεα *R*, καί σφεας reliqui ‖ 11. ἐπιτέλειον Orig. ‖ 12. ἀρίστεω *d*, Ἀριστέης Orig., Ἀριστέας sine ἔχων Aen. ‖ τὠγάλματι *C* ‖ 13. περὶ *ABCd* ‖ αὐτῶν *R* ‖ δάφναι εἰσι Orig. ‖ 14. ἀρίστεω *d* ‖ 15. ὁ λόγος ὅδε *z* ‖ ὅρμηται *AB* ‖ 16. ἀτρεκέως ὅ τι Bekker: ἀτρεκὲς· ὡσότι *AB*, ἀτρεκὲς ὡς ὅ τι *C*, ἀτρεκέως ὡς ὅ τι *bz*, ἀτρεκὲς *PRd* ‖ κατύπερθέν *d* ‖ 17. οὐδὲ γὰρ *PR*: οὐδενὸς γὰρ ‖ 18. τοῦ πέρι ὀλίγω τούτων πρότερον *R* ‖ 19. προσωτέρωι *AB* ‖ ἐν αὐτοῖσι] αὐτὸς ἐν *R* ‖ 20. κατύπερθεν *Rd* ‖ 21. ἀκοῇ om. *ABCd* ‖ 22. ἐπιμακρότατον *A* ‖ τ' ἐγενόμεθα *CPz*, τε γενόμεθα *R* ‖ ἀκοῇ om. *R* ‖ 24. βορυσθενεητέων *AB*, βορυσθενιτέων *R*

ραθαλασσίων μεσαίτατόν ἐστι πάσης τῆς Σκυθίης), ἀπὸ τούτου πρῶτοι Καλλιππίδαι νέμονται ἐόντες Ἕλληνες Σκύθαι, ὑπὲρ δὲ τούτων ἄλλο ἔθνος οἳ Ἀλαζόνες καλέονται. οὗτοι δὲ καὶ οἱ Καλλιππίδαι τὰ μὲν ἄλλα κατὰ ταὐτὰ Σκύθῃσι ἐπασκέουσι, σῖτον δὲ καὶ σπείρουσι καὶ σιτέονται, καὶ κρόμμυα καὶ σκόροδα καὶ φακοὺς καὶ κέγχρους. ὑπὲρ δὲ Ἀλαζόνων οἰκέουσι Σκύθαι ἀροτῆρες, οἳ οὐκ ἐπὶ σιτήσι σπείρουσι τὸν σῖτον ἀλλ' ἐπὶ πρήσι. τούτων δὲ κατύπερθε οἰκέουσι Νευροί. Νευρῶν δὲ τὸ πρὸς βορέην ἄνεμον ἔρημον
18 ἀνθρώπων, ὅσον ἡμεῖς ἴδμεν. ταῦτα μὲν παρὰ τὸν Ὕπανιν ποταμόν ἐστι ἔθνεα πρὸς ἑσπέρης τοῦ Βορυσθένεος· ἀτὰρ διαβάντι τὸν Βορυσθένεα ἀπὸ θαλάσσης πρῶτον μὲν ἡ Ὑλαίη, ἀπὸ δὲ ταύτης ἄνω ἰόντι οἰκέουσι Σκύθαι γεωργοί, τοὺς Ἕλληνες οἱ οἰκέοντες ἐπὶ τῷ Ὑπάνι ποταμῷ καλέουσι Βορυσθενεΐτας, σφέας δὲ αὐτοὺς Ὀλβιοπολίτας. οὗτοι ὦν οἱ γεωργοὶ Σκύθαι νέμονται τὸ μὲν πρὸς τὴν ἠῶ ἐπὶ τρεῖς ἡμέρας ὁδοῦ, κατήκοντες ἐπὶ ποταμὸν τῷ οὔνομα κέεται Παντικάπης, τὸ δὲ πρὸς βορέην ἄνεμον πλόον ἀνὰ τὸν Βορυσθένεα ἡμερέων ἕνδεκα. ἤδη δὲ κατύπερθε τούτων ἡ ἔρημός ἐστι ἐπὶ πολλόν. μετὰ δὲ τὴν ἔρημον Ἀνδροφάγοι οἰκέουσι, ἔθνος ἐὸν ἴδιον καὶ οὐδαμῶς Σκυθικόν. τὸ δὲ τού-

περὶ τῶν Σκυθικῶν γενῶν καὶ τῆς αὐτῶν ὑπερκειμένης χώρας

---

2 sq. Strabo p. 550. — 12 sqq. (Ephorus apud Scymnum perieg. 804 sqq.)

1. σκυθικῆς *R* ‖ 2. καλλιππίδαι *ABR*: καλλιπίδαι ‖ ἑλληνοσκύθαι *R* ‖ 3. τούτων] αὐτέων *R* ‖ ἀλιζῶνες *R*. Strab., Ἀλαζῶνες Reiz ‖ 4. καλλιππίδαι *ABR*: καλλιπίδαι reliqui cum Strabone ‖ 5. σῖτον] κατὰ τὰ αὐτὰ *R* ‖ 6. σκόρδα *AB*[1] ‖ κέγχρη *R* ‖ 7. ἀλιζώνων *R* ‖ σιτήσει *L* ‖ 8. τὸν om. *AR* ‖ πρήσει *L* ‖ τουτέων *R* ‖ κατύπερθεν *d*, κατύπερτε *z* ‖ 9. τὰ πρὸς βορῆν *R* ‖ ἔρημον *ABz*: ἐρῆμον *CPd*, ἔρημος *R* ‖ 10. ὕσπανιν *R* ‖ 11. ποταμὸν ἐστὶ *AB*, ποταμὸν εἰσὶν *d* ‖ ἑσπέρην *z* ‖ 12. ἡ om. *R* ‖ 13. ἄνω ἰόντι Herold: ἄνθρωποι *ABPdz*, ἄνοι *CR*. ἄνω Valckenaer ‖ 14. οἱ Ἕλληνες *R* ‖ οἱ οἰκέοντες *Rz*: οἰκέοντες ‖ ὑπὸ *R* ‖ 15. βορυσθενεΐτας *AB*, βορυσθενῖται *A*[m], βορυσθενίτας *R* ‖ 16. ἠῶ *R*: ἕω ‖ 17. ποταμοῦ *d* ‖ κεῖται *L* ‖ 18. βορῆν νέμονται πλόον *R* ‖ 19. ἡμερῶν *R* ‖ ἤδη] ἡ *P*[t]*R* ‖ κατύπερτε *z* ‖ ἡ om. *P*[t]*R* ‖ 20. ἐρῆμος ἐστὶ *P*[t], ἔρημός ἐστι *R* ‖ ἐρῆμον *CP*

των κατύπερθε ἔρημον ἤδη ἀληθέως καὶ ἔθνος ἀνθρώπων οὐδέν, ὅσον ἡμεῖς ἴδμεν. τὸ δὲ πρὸς τὴν ἠῶ τῶν γεωργῶν τούτων Σκυθέων, διαβάντι τὸν Παντικάπην ποταμόν, νομάδες ἤδη Σκύθαι νέμονται, οὔτε τι σπείροντες οὐδὲν οὔτε ἀροῦντες· ψιλὴ δὲ δενδρέων ἡ πᾶσα αὕτη πλὴν τῆς Ὑλαίης. οἱ δὲ νομάδες οὗτοι τὸ πρὸς τὴν ἠῶ ἡμερέων τεσσέρων καὶ δέκα ὁδὸν νέμονται χώρην κατατείνουσαν ἐπὶ ποταμὸν Γέρρον. πέρην δὲ τοῦ Γέρρου ταῦτα δὴ τὰ καλεύμενα βασιλήιά ἐστι 20
καὶ Σκύθαι οἱ ἄριστοί τε καὶ πλεῖστοι καὶ τοὺς ἄλλους νομίζοντες Σκύθας δούλους σφετέρους εἶναι· κατήκουσι δὲ οὗτοι τὸ μὲν πρὸς μεσαμβρίην ἐς τὴν Ταυρικήν, τὸ δὲ πρὸς ἠῶ ἐπί τε τάφρον, τὴν δὴ οἱ ἐκ τῶν τυφλῶν γενόμενοι ὤρυξαν, καὶ ἐπὶ τῆς λίμνης τῆς Μαιήτιδος τὸ ἐμπόριον τὸ καλέεται Κρημνοί· τὰ δὲ αὐτῶν κατήκουσι ἐπὶ ποταμὸν Τάναϊν. τὰ δὲ κατύπερθε πρὸς βορέην ἄνεμον τῶν βασιληίων Σκυθέων οἰκέουσι Μελάγχλαινοι, ἄλλο ἔθνος καὶ οὐ Σκυθικόν. Μελαγχλαίνων δὲ τὸ κατύπερθε λίμναι καὶ ἔρημός ἐστι ἀνθρώπων, κατ' ὅσον ἡμεῖς ἴδμεν.

Τάναϊν δὲ ποταμὸν διαβάντι οὐκέτι Σκυθική, ἀλλ' ἡ μὲν 21
πρώτη τῶν λαξίων Σαυροματέων ἐστί, οἳ ἐκ τοῦ μυχοῦ ἀρξάμενοι τῆς Μαιήτιδος λίμνης νέμονται τὸ πρὸς βορέην ἄνεμον, ἡμερέων πεντεκαίδεκα ὁδόν, πᾶσαν ἐοῦσαν ψιλὴν καὶ ἀγρίων καὶ ἡμέρων δενδρέων· ὑπεροικέουσι δὲ τούτων δευτέρην λάξιν ἔχοντες Βουδῖνοι, γῆν νεμόμενοι πᾶσαν δασέαν

17 sq. Eustathius Dion. 309. — 19. Τάναϊν - Σκυθική Schol. Dionys. Perieg. 303. — 20. (Hesychius v. λαξίων). — 24. Λέξεις

1. κατύπερθεν *Rd*, κατύπερτε *z* ‖ ἐρῆμον *CP*, ἔρημος *R* ‖ οὐδὲν ἀνθρώπων *R* ‖ 2. τὴν ἠῶ *R*: τὴν ἕω *ABdz*, ἕω *CP* ‖ 4. οὔτ' ἔτι Bekker ‖ 5. δὲ om. *C* ‖ ἡ πᾶσα bis *C* ‖ αὕτη πλὴν *PR*: αὕτη γῆ πλὴν *z*, αὕτη reliqui ‖ 6. οὗτοι om. *R* ‖ ἠῶ *R*: ἕω ‖ καὶ δέκα delebat Rennel ‖ 7. νέμοντα *R* ‖ 8. πέριν *B* ‖ καλεόμενα *R* ‖ 9. οἱ om. *R* ‖ 10. κατοικοῦσι *ABC* ‖ 11. μεσημβρίην *ABd* ‖ ἠῶ *C*, ἕων *R* ‖ 12. τε om. *ABCd* ‖ 13. μαιώτιδος *AB* ‖ 15. κατύπερτε *z* ‖ βορέειν *B*, βορῆν *R* ‖ 16. Μελάγχλαινοι - Σκυθικόν om. *ABCd* ‖ 17. κατύπερτε *z* ‖ ἐρῆμος ἐστὶ *CP*, ἔρημος sine ἐστι *R* ‖ 18. καθ' *R* ‖ 19. δὲ] γὰρ Schol. Dion. ‖ οὐκ ἔστι *P¹R* ‖ Σκυθία Schol. Dion. ‖ 21. μαιώτιδος *AB* ‖ τὸ *ABR*: τὰ ‖ βορῆν *R* ‖ 23. ἡμερέων *R* ‖ τούτων *P*: τουτέων *R*, τούτοισι ceteri ‖ 24. λᾶξιν *P* ‖ δασείην *ABR*, δασέην reliqui

22 ὕλῃ παντοίῃ. Βουδίνων δὲ κατύπερθε πρὸς βορέην ἐστὶ πρώτη μὲν ἔρημος ἐπ' ἡμερέων ἑπτὰ ὁδόν, μετὰ δὲ τὴν ἔρημον ἀποκλίνοντι μᾶλλον πρὸς ἀπηλιώτην ἄνεμον νέμονται Θυσσαγέται, ἔθνος πολλὸν καὶ ἴδιον· ζῶσι δὲ ἀπὸ θήρης. συνεχέες δὲ τούτοισι ἐν τοῖσι αὐτοῖσι τόποισι κατοικημένοι εἰσὶ τοῖσι οὔνομα κέεται Ἰύρκαι, καὶ οὗτοι ἀπὸ θήρης ζῶντες τρόπῳ τοιῷδε. λοχᾷ ἐπὶ δένδρεον ἀναβάς, τὰ δέ ἐστι πυκνὰ ἀνὰ πᾶσαν τὴν χώρην· ἵππος δὲ ἑκάστῳ δεδιδαγμένος ἐπὶ γαστέρα κέεσθαι ταπεινότητος εἵνεκα ἕτοιμός ἐστι καὶ κύων· ἐπεὰν δὲ ἀπίδῃ τὸ θηρίον ἀπὸ τοῦ δενδρέου, τοξεύσας ἐπιβὰς ἐπὶ τὸν ἵππον διώκει, καὶ ὁ κύων ἔχεται. ὑπὲρ δὲ τούτων τὸ πρὸς τὴν ἠῶ ἀποκλίνοντι οἰκέουσι Σκύθαι ἄλλοι, ἀπὸ τῶν βασιληίων Σκυθέων ἀποστάντες καὶ οὕτω ἀπικόμενοι ἐς τοῦτον τὸν χῶρον.

23 Μέχρι μὲν δὴ τῆς τούτων τῶν Σκυθέων χώρης ἐστὶ ἡ καταλεχθεῖσα πᾶσα πεδιάς τε γῆ καὶ βαθύγαιος, τὸ δ' ἀπὸ τούτου λιθώδης τ' ἐστὶ καὶ τρηχέα. διεξελθόντι δὲ καὶ τῆς τρηχέης χώρης πολλὸν οἰκέουσι ὑπώρεαν ὀρέων ὑψηλῶν ἄνθρωποι λεγόμενοι εἶναι πάντες φαλακροὶ ἐκ γενετῆς γινόμενοι, καὶ ἔρσενες καὶ θήλεαι ὁμοίως, καὶ σιμοὶ καὶ γένεια ἔχοντες μεγάλα, φωνὴν δὲ ἰδίην ἱέντες, ἐσθῆτι δὲ χρεώμενοι

ὅτι Ἀργιππαῖοι καὶ φαλακροὶ καὶ γενετῆται ἄνδρες καὶ γυναῖκες γεννῶνται καὶ ἱεροὶ λέγονται

---

6. (Pomponius Mela I 116). — 17 sqq. (idem I 117). — 20. Zosimus histor. IV 20

1. κατύπερτε *z* ‖ βορέην *P*: βορῆν ‖ ἔστι *PRz* ‖ 2. ἐρῆμος *CP* ‖ 3. ἐρῆμον *CP* ‖ ἀποκλίναντι *Rdz* ‖ 4. ζῶσι *ABR*: ζώουσι ‖ 5. κατοικημένοισι sine εἰσὶ *R*, κατοικημένοισι εἰσὶ *z* ‖ 6. κεῖται *L* ‖ Ἰῦρκαι *z*. '*Turcae*' Mela ‖ ζῶντες *ABRd*: ζώοντες ‖ 7. δενδρέων *C* ‖ 8. ἑκάστω ἔστι *R* ‖ 9. κεῖσθαι *L* ‖ ἑτοῖμος ἐστὶ *CP*, ἕτοιμος sine ἐστι *R* ‖ 10. ἐπειδὰν *Rz* ‖ ἀπίδοι *z* ‖ δένδρου *AB* ‖ τοξεύσας καὶ ἐπιβὰς *R* ‖ 11. ἕπεται *PRz* ‖ τουτέων *R* ‖ τῶν
12. τὸ *C*, τῶ *R* ‖ ἠὼ *C* ut fere solet ‖ ἀποκλίναντι *C*, ἀποκλίνον *d*, τετραμμένον *z* ‖ 13. οὕτως *ABd* ‖ 15. ἔστι *PRz* ‖ 16. βαθύγαιος Bekker: βαθύγεως *dz*, βαθύγεος ceteri ‖ 17. τ' om. *ABCd* ‖ ἔστι *P* ‖ τρηχεῖα *R*, τρηχείη *z*, τρηχέη ceteri ‖ καὶ om. *R* ‖ 18. τρηχείης *Rz* ‖ χῶρον *R* ‖ οὐρέων *Cdz* ‖ 19. γενετῆς *R* ‖ γενόμενοι *d* ‖ 20. θήλειαι *R* ‖ 21. ἰδίαν *B* ‖ χρεωμένοισι *C*, χρεόμενοι *P*

Σκυθικῇ, ζῶντες δὲ ἀπὸ δενδρέων. ποντικὸν μὲν οὔνομα τῷ δενδρέῳ ἀπ' οὗ ζῶσι, μέγαθος δὲ κατὰ συκέην μάλιστά κῃ· καρπὸν δὲ φορέει κυάμῳ ἴσον, πυρῆνα δὲ ἔχει. τοῦτο ἐπεὰν γένηται πέπον, σακκέουσι ἱματίοισι, ἀπορρέει δὲ ἀπ' αὐτοῦ παχὺ καὶ μέλαν· οὔνομα δὲ τῷ ἀπορρέοντί ἐστι ἄσχυ· τοῦτο καὶ λείχουσι καὶ γάλακτι συμμίσγοντες πίνουσι, καὶ ἀπὸ τῆς παχύτητος αὐτοῦ τῆς τρυγὸς παλάθας συντιθεῖσι καὶ ταύτας σιτέονται. πρόβατα γάρ σφι οὐ πολλά ἐστι· οὐ γάρ τι σπουδαῖαι αἱ νομαὶ αὐτόθι εἰσί. ὑπὸ δενδρέῳ δὲ ἕκαστος κατοίκηται, τὸν μὲν χειμῶνα ἐπεὰν τὸ δένδρεον περικαλύψῃ πίλῳ στεγνῷ λευκῷ, τὸ δὲ θέρος ἄνευ πίλου. τούτους οὐδεὶς ἀδικέει ἀνθρώπων· ἱροὶ γὰρ λέγονται εἶναι· οὐδέ τι ἀρήιον ὅπλον ἐκτέαται. καὶ τοῦτο μὲν τοῖσι περιοικέουσι οὗτοί εἰσι οἱ τὰς διαφορὰς διαιρέοντες, τοῦτο δέ, ὃς ἂν φεύγων καταφύγῃ ἐς τούτους, ὑπ' οὐδενὸς ἀδικέεται. οὔνομα δέ σφι ἐστὶ Ἀργιππαῖοι.

Μέχρι μέν νυν τῶν φαλακρῶν τούτων πολλὴ περιφανείη 24 τῆς χώρης ἐστὶ καὶ τῶν ἔμπροσθε ἐθνέων· καὶ γὰρ Σκυθέων τινὲς ἀπικνέονται ἐς αὐτούς, τῶν οὐ χαλεπόν ἐστι πυθέσθαι καὶ Ἑλλήνων τῶν ἐκ Βορυσθένεός τε ἐμπορίου καὶ τῶν ἄλλων Ποντικῶν ἐμπορίων· Σκυθέων δὲ οἳ ἂν ἔλθωσι ἐς αὐτούς, δι' ἑπτὰ ἑρμηνέων καὶ δι' ἑπτὰ γλωσσέων διαπρήσσονται. μέχρι μὲν δὴ τούτων γινώσκεται, τὸ δὲ τῶν φαλα-

---

3. πυρῆνα - 4 πέπον Athenaeus p. 57[c]. — Eustathius Il. p. 624. — 4. Aelius Dionysius apud Eustath. Il. p. 940. Photius ac Suidas v. σακεύουσι. Bachmanni Anecd. I p. 365. Bekkeri Anecd. p. 113. — 5. (Theognostus can. 488). — 7. Λέξεις. — 16. (Zenobius prov. V 25)

1. πάντοικον *R* ‖ μὲν om. *R* ‖ 2. ἀπὸ τοῦ ζώουσι *R* ‖ 3. ἴσον *Rd* ‖ δ' ἔχει τοῦτο Athen. ‖ ἐπὰν Athen. Eust. ‖ 4. πέπων *d* ‖ σακκέοισιν *R*, σκέουσι Bachm. An., σακκεύουσι Bekk. An., σακεύουσι Photius ac Suidas, et ipsi scilicet ex Aelio perperam ut videtur sive lecto sive intellecto ‖ δὲ *ABd*: δ' ‖ 5. ἐστὶ *Pz*, ἐστὶν *d*, ἔστιν *R* ‖ 6. καὶ] δὲ καὶ *z* ‖ λείχουσα *B*[1] ‖ 7. παχυτῆτος *dz* ‖ παλλάθας *dz* ‖ συντιθεῖσι *R*: συντιθέασι ‖ 8. τι] σφι *PR*, τοι *z* ‖ σπουδέαι *B* ‖ 9. αἱ om. *ABCd* ‖ 11. στενῷ *R* ‖ 13. ἔκταται *R* ‖ 14. ὡς *d* ‖ φεύγων *R*: καταφεύγων *P*, καταφεύγων reliqui ‖ καταφύγοι *z* ‖ 16. Ὀργεμπαῖοι Zenob. *R*. '*Aremphaei*' Mela. fortasse Ἀργεμπαῖοι ‖ 17. τουτέων *z* ‖ πολλὴν *B*[1] ‖ περιφάνεια *L* ‖ 18. ἔμπροσθε *AB*: ἔμπροσθεν ‖ 19. πυθέσθαι, καὶ vulgo ‖ 20. ἐμπορίου· καὶ *z* ‖ 23. τουτέων *Rz*

κρῶν κατύπερθε οὐδεὶς ἀτρεκέως οἶδε φράσαι. ὄρεα γὰρ ὑψηλὰ ἀποτάμνει ἄβατα καὶ οὐδείς σφεα ὑπερβαίνει. οἱ δὲ φαλακροὶ οὗτοι λέγουσι, ἐμοὶ μὲν οὐ πιστὰ λέγοντες, οἰκέειν τὰ ὄρεα αἰγίποδας ἄνδρας, ὑπερβάντι δὲ τούτους ἀνθρώπους ἄλλους οἳ τὴν ἑξάμηνον κατεύδουσι. τοῦτο δὲ οὐκ ἐνδέκομαι τὴν ἀρχήν. ἀλλὰ τὸ μὲν πρὸς ἠῶ τῶν φαλακρῶν γινώσκεται ἀτρεκέως ὑπὸ Ἰσσηδόνων οἰκεόμενον, τὸ μέντοι κατύπερθε πρὸς βορέην ἄνεμον οὐ γινώσκεται οὔτε τῶν φαλακρῶν οὔτε τῶν Ἰσσηδόνων, εἰ μὴ ὅσα αὐτῶν τούτων
26 λεγόντων. νόμοισι δὲ Ἰσσηδόνες τοῖσιδε λέγονται χρᾶσθαι. ἐπεὰν ἀνδρὶ ἀποθάνῃ πατήρ, οἱ προσήκοντες πάντες προσάγουσι πρόβατα, καὶ ἔπειτα ταῦτα θύσαντες καὶ καταταμόντες τὰ κρέα κατατάμνουσι καὶ τὸν τοῦ δεκομένου τεθνεῶτα γονέα, ἀναμίξαντες δὲ πάντα τὰ κρέα δαῖτα προτίθενται. τὴν δὲ κεφαλὴν αὐτοῦ ψιλώσαντες καὶ ἐκκαθήραντες καταχρυσοῦσι καὶ ἔπειτα ἅτε ἀγάλματι χρέωνται, θυσίας μεγάλας ἐπετείους ἐπιτελέοντες. παῖς δὲ πατρὶ τοῦτο ποιέει, κατά περ Ἕλληνες τὰ γενέσια. ἄλλως δὲ δίκαιοι καὶ οὗτοι λέγονται εἶναι, ἰσο-
27 κρατέες δὲ ὁμοίως αἱ γυναῖκες τοῖσι ἀνδράσι. γινώσκονται μὲν δὴ καὶ οὗτοι, τὸ δὲ ἀπὸ τούτων τὸ κατύπερθε Ἰσσηδόνες εἰσὶ οἱ λέγοντες μουνοφθάλμους ἀνθρώπους καὶ χρυσοφύλακας γρῦπας εἶναι· παρὰ δὲ τούτων Σκύθαι παραλαβόντες λέγουσι.

περὶ Ἀριμασπῶν καὶ ὅτι δυσχείμερος ἡ Σκυθικὴ χώρα

---

5. Eustathius Dion. 581. — 18. Bekkeri Anecd. p. 86

1. κατύπερθεν οὐδεὶς *R*, κατύπερτε οὐδεὶς *z*, οὐδεὶς κατύπερθε *ABC*, οὐδεὶς κατύπερθεν *d* ‖ ἀτρεκὲς *R* ‖ ὄρεά τε *R*, οὔρεα *CPdz* ‖ 2. σφεας *AB*, σφέας *Cd* ‖ 3. μὲν ἄπιστα *R* ‖ 4. οὔρεα *CPdz* ‖ αἰγίποδας *PRz*: ἱπποβάτας ὑπερβάντα *R* ‖ τούτους τοὺς *PR* ‖ 5. ἄλλους ἀνθρώπους εἶναι *z* ‖ καθεύδουσιν *A*, καθεύδουσι ceteri ‖ 6. τὴν om. *R* ‖ 7. ἀτρεκέως om. *ABCd* ‖ 8. βορῆν *R* ‖ 9. τῶν om. *R* ‖ αὐτῶν τουτέων *R*, αὐτέων τουτέων *B*²*z* ‖ 10. δὲ om. *R* ‖ τοῖσι δὲ *C*, τοιοῖσιδε *R* ‖ 11. ἀποθάνοι *z* 13. τεθνεῶτα *Rdz*: τεθνηκότα *CP*, τεθνηότα *AB* ‖ 14. τὰ om. *AB* ‖ προτιθέαται *C* ‖ 15. ἐκκαθάραντες *AB*, καθήραντες *R* ‖ καταχρυσοῦσι *PR*: ἀποχρυσοῦσι ‖ 16. ἅτε om. *R* ‖ χρέονται *P* ‖ 17. πατρὸς *z* ‖ οἱ Ἕλληνες *CPz* ‖ 20. τουτέων *B*²*R* ‖ κατύπερθεν *Rd* ‖ 21. τοὺς μουνοφθάλμους *R* τοὺς χρυσοφύλακας *R* ‖ 22. γρύπας *bz* ‖ εἶναι om. *ABCd* ‖ τουτέων *Rz*

παρὰ δὲ Σκυθέων ἡμεῖς οἱ ἄλλοι νενομίκαμεν καὶ ὀνομάζομεν αὐτοὺς σκυθιστὶ Ἀριμασπούς· ἄριμα γὰρ ἓν καλέουσι Σκύθαι, σποῦ δὲ ὀφθαλμόν.

Δυσχείμερος δὲ αὕτη ἡ καταλεχθεῖσα πᾶσα χώρη οὕτω 28 δή τι ἐστί, ἔνθα τοὺς μὲν ὀκτὼ τῶν μηνῶν ἀφόρητος οἷος γίνεται κρυμός, ἐν τοῖσι ὕδωρ ἐκχέας πηλὸν οὐ ποιήσεις, πῦρ δὲ ἀνακαίων ποιήσεις πηλόν· ἡ δὲ θάλασσα πήγνυται καὶ ὁ Βόσπορος πᾶς ὁ Κιμμέριος, καὶ ἐπὶ τοῦ κρυστάλλου οἱ ἐντὸς τάφρου Σκύθαι κατοικημένοι στρατεύονται καὶ τὰς ἁμάξας ἐπελαύνουσι πέρην ἐς τοὺς Σίνδους. οὕτω μὲν δὴ τοὺς ὀκτὼ μῆνας διατελέει χειμὼν ἐών, τοὺς δ' ἐπιλοίπους τέσσερας ψύχεα αὐτόθι ἐστί. κεχώρισται δὲ οὗτος ὁ χειμὼν τοὺς τρόπους πᾶσι τοῖσι ἐν ἄλλοισι χωρίοισι γινομένοισι χειμῶσι, ἐν τῷ τὴν μὲν ὡραίην οὐκ ὕει λόγου ἄξιον οὐδέν, τὸ δὲ θέρος ὕων οὐκ ἀνίει· βρονταί τε ἦμος τῇ ἄλλῃ γίνονται, τηνικαῦτα μὲν οὐ γίνονται, θέρεος δὲ ἀμφιλαφέες· ἢν δὲ χειμῶνος βροντὴ γένηται, ὡς τέρας νενόμισται θωυμάζεσθαι. ὣς δὲ καὶ ἢν σεισμὸς γένηται, ἤν τε θέρεος ἤν τε χειμῶνος, ἐν τῇ Σκυθικῇ τέρας νενόμισται. ἵπποι δὲ ἀνεχόμενοι φέρουσι τὸν χειμῶνα τοῦτον, ἡμίονοι δὲ οὐδὲ ὄνοι οὐκ ἀνέχονται ἀρχήν. τῇ δὲ ἄλλῃ ἵπποι μὲν ἐν κρυμῷ ἑστεῶτες ἀποσφακελίζουσι, ὄνοι δὲ καὶ ἡμίονοι ἀνέχονται. δοκέει δέ μοι καὶ τὸ γένος 29 τῶν βοῶν τὸ κόλον διὰ ταῦτα οὐ φύειν κέρεα αὐτόθι. μαρτυρέει δέ μοι τῇ γνώμῃ καὶ Ὁμήρου ἔπος ἐν Ὀδυσσείῃ ἔχον ὧδε,

---

2 sq. Eustathius Dion. 31. — 5. τοὺς μὲν - 8 Κιμμέριος et 11. τοὺς δ' - 12 ἐστί Eustathius Dion. 669. — 7 sq. Gellius XVII 8. — 22. - p. 372, 4 idem Od. p. 1485

1. οὐνομάζομεν *CPdz* ‖ 2. αὐτοὺς om. *R* ‖ 3. τὸν ὀφθαλμὸν *CPz* ‖ 5. τι] τοι *dz* ‖ 6. κρυμμὸς *R* ‖ 8. τοῦ] τούτου τοῦ *R* ‖ κρυστάλου *Pd* ‖ 9. τάφρης *R* ‖ ἀμάξας *R* ‖ 10. πέριν *B* ‖ Σίνδους Holsten: ινδους *AB*, ἰνδούς reliqui ‖ 11. δὲ *dz* ‖ τέσσαρας *CR* ‖ 12. οὗτος om. *R* ‖ 13. χώροισι *R* ‖ 15. ὗον *z* ‖ 16. θέρος *R* ‖ 17. θωμάζεσθαι $AB^{1}CR$, θωμάζεται *d* ‖ ὡς *AB* ‖ 18. καὶ om. *ABCd* ‖ θέρος $A^{1}BCd$, θέρους A^{2} ‖ 19. ὡς τέρας θωυμάζεται $P^{1}z$, ὡς τέρας θωμάζεται *R* ‖ 20. οὐδὲ om. *Bpr.C* ‖ οὐκ om. *z* ‖ τὴν ἀρχὴν *z* ‖ 21. κρυμμῷ *R* ‖ 23. τὸ κόλον *ABd*: τὸ κῶλον *C*, τοκαθόλου *Pz*, τὸ καθόλου *R* ‖ 24. μου *PRdz* ‖ καὶ om. *ABCd*

καὶ Λιβύην, ὅθι τ' ἄρνες ἄφαρ κεραοὶ τελέθουσι, ὀρθῶς εἰρημένον, ἐν τοῖσι θερμοῖσι ταχὺ παραγίνεσθαι τὰ κέρεα, ἐν δὲ τοῖσι ἰσχυροῖσι ψύχεσι ἢ οὐ φύειν κέρεα τὰ κτήνεα ἀρχὴν ἢ φύοντα φύειν μόγις.

30 Ἐνθαῦτα μέν νυν διὰ τὰ ψύχεα γίνεται ταῦτα. θωυμάζω δέ (προσθήκας γὰρ δή μοι ὁ λόγος ἐξ ἀρχῆς ἐδίζητο) ὅτι ἐν τῇ Ἠλείῃ πάσῃ χώρῃ οὐ δυνέαται γίνεσθαι ἡμίονοι, οὔτε ψυχροῦ τοῦ χώρου ἐόντος οὔτε ἄλλου φανεροῦ αἰτίου οὐδενός· φασὶ δὲ αὐτοὶ Ἠλεῖοι ἐκ κατάρης τευ οὐ γίνεσθαι σφίσι ἡμιόνους· ἀλλ' ἐπεὰν προσίῃ ἡ ὥρη κυΐσκεσθαι τὰς ἵππους, ἐξελαύνουσι ἐς τοὺς πλησιοχώρους αὐτάς, καὶ ἔπειτά σφι ἐν τῇ τῶν πέλας ἐπιεῖσι τοὺς ὄνους, ἐς ὃ ἂν σχῶσι αἱ ἵπποι ἐν γαστρί· ἔπειτα δὲ ὀπίσω ἀπελαύνουσι.

31 Περὶ δὲ τῶν πτερῶν τῶν Σκύθαι λέγουσι ἀνάπλεον εἶναι τὸν ἠέρα, καὶ τούτων εἵνεκα οὐκ οἷοί τε εἶναι οὔτε ἰδεῖν τὸ πρόσω τῆς ἠπείρου οὔτε διεξιέναι, τήνδε ἔχω περὶ αὐτῶν γνώμην. τὰ κατύπερθε ταύτης τῆς χώρης αἰεὶ νίφεται, ἐλάσσονι δὲ τοῦ θέρεος ἢ τοῦ χειμῶνος, ὥσπερ καὶ οἰκός. ἤδη ὦν ὅστις ἀγχόθεν χιόνα ἁδρὴν πίπτουσαν εἶδε οἶδε τὸ λέγω· οἶκε γὰρ ἡ χιὼν πτεροῖσι· καὶ διὰ τὸν χειμῶνα τοῦτον ἐόντα τοιοῦτον ἀνοίκητα τὰ πρὸς βορέην ἐστὶ τῆς ἠπείρου ταύτης. τὰ ὦν πτερὰ εἰκάζοντας τὴν χιόνα τοὺς Σκύθας τε καὶ τοὺς περιοίκους δοκέω λέγειν. ταῦτα μέν νυν τὰ λέγεται μακρότατα εἴρηται.

ὅτι παρὰ Ἠλείοις ἡμίονοι οὐ γίνονται — περὶ τῶν παρὰ Σκύθαις λεγομένων πτερῶν

---

9. Eustathius Dion. 409

3. 4. φύει *R*. Eust. ‖ 5. θωμάζω *AB*[1]*R* ‖ 6. ἐδίζητο *PR*: ἐδίζετο *z*, ἐζήτησε reliqui ‖ 7. ηλείηι *AB*, ἠλείηι *P*, ἠλείη *R* ‖ ἡμίονι *A*[1]*B*[1] ‖ 9. ηλεῖοι *AB*[1], ἠλεῖοι *B*[2]*PR* ‖ κατάρης τευ *PRz*. (Eust.): κατάρης ‖ γίνεσθαι σφίσι *C*: γίνεσθαί σφισι *ABd*, γίνεσθαί σφι reliqui ‖ 10. ἐὰν *A*[1]*BCd* ‖ προσῆι *ABC*, προσῇ *d* ‖ τοὺς *d* ‖ 11. τοὺς] τὰς *R* ‖ 12. ἐς ὃ *Ppr.*: ἐσοῦ *AB*, ἐς οὗ reliqui ‖ ἔχωσιν *R* ‖ 14. πτερῶν] πτερωτῶν *z* ‖ ἀνάπλεων *dz* ‖ 15. τουτέων *z* ‖ οἷά *R* ‖ εἶναι om. *d* ‖ ἰδεῖν om. *C* ‖ 16. τῆνδε *AB*, τήνδ' *R* ‖ αὐτέων *Rz* ‖ 17. τὴν γνώμην *sz* ‖ 18. ὥσπε *A*[1]*B*[1] ‖ εἰκός *dz* ‖ 20. ἔοικε *L* ‖ 21. ἀοίκητα *dz* ‖ βορῆν *L* ‖ ἔστιν *AB* ‖ 22. τοὺς σκύθας τὴν χιόνα *ABCd*

῾Υπερβορέων δὲ πέρι ἀνθρώπων οὔτε τι Σκύθαι λέγουσι 32 οὐδὲν οὔτε τινὲς ἄλλοι τῶν ταύτῃ οἰκημένων, εἰ μὴ ἄρα ᾿Ισσηδόνες. ὡς δὲ ἐγὼ δοκέω, οὐδ᾽ οὗτοι λέγουσι οὐδέν· ἔλεγον γὰρ ἂν καὶ Σκύθαι, ὡς περὶ τῶν μουνοφθάλμων λέγουσι. ἀλλ᾽ ῾Ησιόδῳ μέν ἐστι περὶ ῾Υπερβορέων εἰρημένα, ἔστι δὲ καὶ ῾Ομήρῳ ἐν ᾿Επιγόνοισι, εἰ δὴ τῷ ἐόντι γε ῞Ομηρος ταῦτα τὰ ἔπεα ἐποίησε. πολλῷ δέ τι πλεῖστα περὶ 33 αὐτῶν Δήλιοι λέγουσι, φάμενοι ἱρὰ ἐνδεδεμένα ἐν καλάμῃ πυρῶν ἐξ ῾Υπερβορέων φερόμενα ἀπικνέεσθαι ἐς Σκύθας, ἀπὸ δὲ Σκυθέων ἤδη δεκομένους αἰεὶ τοὺς πλησιοχώρους ἑκάστους κομίζειν αὐτὰ τὸ πρὸς ἑσπέρης ἑκαστάτω ἐπὶ τὸν ᾿Αδρίην, ἐνθεῦτεν δὲ πρὸς μεσαμβρίην προπεμπόμενα πρώτους Δωδωναίους ῞Ελλήνων δέκεσθαι, ἀπὸ δὲ τούτων καταβαίνειν ἐπὶ τὸν Μηλιέα κόλπον καὶ διαπορεύεσθαι ἐς Εὔβοιαν, πόλιν τε ἐς πόλιν πέμπειν μέχρι Καρύστου, τὸ δ᾽ ἀπὸ ταύτης ἐκλιπεῖν ῎Ανδρον· Καρυστίους γὰρ εἶναι τοὺς κομίζοντας ἐς Τῆνον, Τηνίους δὲ ἐς Δῆλον. ἀπικνέεσθαι μέν νυν οὕτω ταῦτα τὰ ἱρὰ λέγουσι ἐς Δῆλον· πρῶτον δὲ τοὺς ῾Υπερβορέους πέμψαι φερούσας τὰ ἱρὰ δύο κόρας, τὰς ὀνομάζουσι Δήλιοι εἶναι ῾Υπερόχην τε καὶ Λαοδίκην· ἅμα δὲ αὐτῇσι ἀσφαλείης εἵνεκεν πέμψαι τοὺς ῾Υπερβορέους τῶν ἀστῶν ἄνδρας πέντε πομπούς, τούτους οἳ νῦν Περφερέες καλέονται τιμὰς μεγάλας ἐν Δήλῳ ἔχοντες. ἐπεὶ δὲ τοῖσι ῾Υπερβορέοισι τοὺς ἀποπεμφθέντας ὀπίσω οὐκ ἀπονοστέειν, δεινὰ ποιευμένους εἴ σφεας αἰεὶ καταλάμψεται ἀποστέλλοντας μὴ ἀπο-

περὶ τῶν λεγομένων ῾Υπερβορέων

22. (Hesychius v. Πέρφερες?)

2. οὐδὲν om. *ABCd* ‖ ἄρα *AB* ‖ 3. δὲ *PR* : δ᾽ ‖ 4. ὥσπερ περὶ *R*, ὡς καὶ περὶ *z* ‖ 5. ἀλλὰ *R* ‖ ὁμήρου et ἡσιόδου *s* ‖ 6. ἐόντι *R* : ὄντι ‖ 7. ἐποίησε] ἐποίησεν ὅμηρος *R* ‖ δέ τι *q* : δ᾽ ἔτι *PRz*, δὴ *ABC*, δὲ *d* ‖ 8. αὐτέων *z* ‖ ἐκδεδεμένα *C* ‖ 11. ἑκαστάτωι *AB*, ἑκάστωι *C*, ἑκάστω *d* ‖ 12. δὲ] δὴ *z* ‖ πρώτους] πρὸς τοὺς *d* ‖ 13. τουτέων *Rz* ‖ 14. τε *CPR* : δὲ *ABd*, δ᾽ *sz* ‖ 15. δὲ *R* ‖ 16. τοὺς – 20 Δήλιοι εἶναι om. *d*[1] ‖ 17. ἀπικνέεσθαι – 18 Δῆλον om. *ABC* ‖ οὕτω post ταῦτα *z* ‖ 18. ὑπερβορείους *AB*[1] 19. οὐνομάζουσι *C*(?)*z* ‖ 20. αὐτοῖσι *z* ‖ 21. εἵνεκα *R* ‖ περφερέες *AB* : περ φέρες *R*, περιφερέες reliqui. Πέρφερες Hes. ‖ 25. ὑποδέκεσθαι *R*

δέκεσθαι, οὕτω δὴ φέροντας ἐς τοὺς οὔρους τὰ ἱρὰ ἐνδεδεμένα
ἐν πυρῶν καλάμῃ τοὺς πλησιοχώρους ἐπισκήπτειν κελεύον-
τας προπέμπειν σφέα ἀπὸ ἑωυτῶν ἐς ἄλλο ἔθνος. καὶ ταῦτα
μὲν οὕτω προπεμπόμενα ἀπικνέεσθαι λέγουσι ἐς Δῆλον· οἶδα
δὲ αὐτὸς τούτοισι τοῖσι ἱροῖσι τόδε ποιεύμενον προσφερές,
τὰς Θρηικίας καὶ τὰς Παιονίδας γυναῖκας, ἐπεὰν θύωσι τῇ
Ἀρτέμιδι τῇ βασιλείῃ, οὐκ ἄνευ πυρῶν καλάμης ἐχούσας τὰ
34 ἱρά. καὶ ταῦτα μὲν δὴ ταύτας οἶδα ποιεύσας· τῇσι δὲ
παρθένοισι ταύτῃσι τῇσι ἐξ Ὑπερβορέων τελευτησάσῃσι ἐν
Δήλῳ κείρονται καὶ αἱ κόραι καὶ οἱ παῖδες οἱ Δηλίων· αἱ
μὲν πρὸ γάμου πλόκαμον ἀποταμνόμεναι καὶ περὶ ἄτρακτον
εἱλίξασαι ἐπὶ τὸ σῆμα τιθεῖσι (τὸ δὲ σῆμά ἐστι ἔσω ἐς τὸ
Ἀρτεμίσιον ἐσιόντι ἀριστερῆς χειρός, ἐπιπέφυκε δέ οἱ ἐλαίη),
ὅσοι δὲ παῖδες τῶν Δηλίων περὶ χλόην τινὰ εἱλίξαντες τῶν
35 τριχῶν τιθεῖσι καὶ οὗτοι ἐπὶ τὸ σῆμα. αὗται μὲν δὴ ταύτην
τιμὴν ἔχουσι πρὸς τῶν Δήλου οἰκητόρων. φασὶ δὲ οἱ αὐτοὶ
οὗτοι καὶ τὴν Ἄργην τε καὶ τὴν Ὦπιν ἐούσας παρθένους ἐξ
Ὑπερβορέων κατὰ τοὺς αὐτοὺς τούτους ἀνθρώπους πορευο-
μένας ἀπικέσθαι ἐς Δῆλον ἔτι πρότερον Ὑπερόχης τε καὶ
Λαοδίκης. ταύτας μέν νυν τῇ Εἰλειθυίῃ ἀποφερούσας ἀντὶ
τοῦ ὠκυτόκου τὸν ἐτάξαντο φόρον ἀπικέσθαι, τὴν δὲ Ἄργην
τε καὶ τὴν Ὦπιν ἅμα αὐτοῖσι τοῖσι θεοῖσι ἀπικέσθαι λέγουσι
καί σφι τιμὰς ἄλλας δεδόσθαι πρὸς σφέων· καὶ γὰρ ἀγείρειν
σφι τὰς γυναῖκας ἐπονομαζούσας τὰ οὐνόματα ἐν τῷ ὕμνῳ
τόν σφι Ὠλὴν ἀνὴρ Λύκιος ἐποίησε, παρὰ δὲ σφέων μαθόν-

---

1. σούρους *R* ‖ ἐνδεδυμένα *z* ‖ 2. τοῖς πλησιοχώροις Wesseling ‖ 3. σφέα *R*: σφέας ‖ ἀπ' *PR* ‖ εἰς *AB* ‖ 6. θρήισσας *P*, θρήσσας *R*, Θρῄσας *z* ‖ θύσωσι *R* ‖ 7. θυούσας *PRz*. ἑρδούσας Eldike, τελεούσας vel ἐπιτελεούσας Reiske ‖ 8. μὲν om. *ABCd* ‖ οἶδα ταύτας *PRz* ‖ 9. τοῖσι *d* ‖ τελευτησάσης *R*, τελευτήσασι *d* ‖ 10. αἱ μὲν - 14 Δηλίων om. *d*[1] ‖ 11. ἀποτεμνόμεναι *Rd*[2] ‖ καὶ] τὸν *d*[3] ‖ 12. σῆμα ἐστὶν *ABd*, σῆμα ἔστι *P*, σῆμα ἔστιν *R* ‖ 13. ἰόντι *Rd*[2] ‖ ἐλαῖα *AB*, ἐλαία *P* ‖ 14. ὅσοι *ABC*: οἱ ‖ 15. προτιθεῖσι *R* ‖ ταύτην τὴν τιμὴν *Rdz* ‖ τὸν *R* ‖ 16. δηλίου *C* ‖ οἱ αὐτοὶ οὗτοι *AB*: οἱ αὐτοὶ *CP*, οἱ αὐτοὶ *dz*, αὐτοὶ *R* ‖ 17. ἄργιν *dz* ‖ 20. λαοδόκης *AB* ‖ εἰλιθυίηι *ABC*, εἰλειθύῃ *R*, εἰληθυίῃ *z* ‖ 21. ὠκυτοκίου Reiske? ‖ ἄργιν *dz* ‖ 22. τὴν om. *ABCd* ‖ 23. προσφέων *R* ‖ 25. ὠλὴν *AB* ‖ λύκιος ἀνὴρ *PR* ‖ δὲ σφεων *ABR*

τας νησιώτας τε καὶ Ἴωνας ὑμνέειν Ὦπίν τε καὶ Ἄργην ὀνομάζοντάς τε καὶ ἀγείροντας (οὗτος δὲ ὁ Ὠλὴν καὶ τοὺς ἄλλους τοὺς παλαιοὺς ὕμνους ἐποίησε ἐκ Λυκίης ἐλθὼν τοὺς ἀειδομένους ἐν Δήλῳ), καὶ τῶν μηρίων καταγιζομένων ἐπὶ τῷ βωμῷ τὴν σποδόν, ταύτην ἐπὶ τὴν θήκην τῆς Ὤπιός τε καὶ Ἄργης ἀναισιμοῦσθαι ἐπιβαλλομένην. ἡ δὲ θήκη αὐτέων ἐστὶ ὄπισθε τοῦ Ἀρτεμισίου, πρὸς ἠῶ τετραμμένη, ἀγχοτάτω τοῦ Κηίων ἱστιητορίου.

Καὶ ταῦτα μὲν Ὑπερβορέων πέρι εἰρήσθω· τὸν γὰρ περὶ 36
Ἀβάριος λόγον τοῦ λεγομένου εἶναι Ὑπερβορέου οὐ λέγω, [λέγων] ὡς τὸν ὀιστὸν περιέφερε κατὰ πᾶσαν γῆν οὐδὲν σιτεόμενος. εἰ δὲ εἰσὶ ὑπερβόρεοί τινες ἄνθρωποι, εἰσὶ καὶ ὑπερνότιοι ἄλλοι. γελῶ δὲ ὁρέων γῆς περιόδους γράψαντας πολλοὺς ἤδη καὶ οὐδένα νοονεχόντως ἐξηγησάμενον· οἳ Ὠκεανόν τε ῥέοντα γράφουσι πέριξ τὴν γῆν ἐοῦσαν κυκλοτερέα ὡς ἀπὸ τόρνου, καὶ τὴν Ἀσίην τῇ Εὐρώπῃ ποιεύντων ἴσην. ἐν ὀλίγοισι γὰρ ἐγὼ δηλώσω μέγαθός τε ἑκάστης αὐτέων καὶ οἵη τις ἐστὶ ἐς γραφὴν ἑκάστη.

Ἀσίην Πέρσαι οἰκέουσι κατήκοντες ἐπὶ τὴν νοτίην θά- 37
λασσαν τὴν Ἐρυθρὴν καλεομένην· τούτων δὲ ὑπεροικέουσι πρὸς βορέην ἄνεμον Μῆδοι, Μήδων δὲ Σάσπειρες, Σασπείρων δὲ Κόλχοι κατήκοντες ἐπὶ τὴν βορηίην θάλασσαν, ἐς τὴν Φᾶσις ποταμὸς ἐκδιδοῖ. ταῦτα τέσσερα ἔθνεα οἰκέει ἐκ θαλάσσης ἐς θάλασσαν. ἐνθεῦτεν δὲ τὸ πρὸς ἑσπέρης ἀκταὶ 38

---

11 sq. Eustathius Dion. 31. — 12 sq. Strabo p. 61. Schol. Apollon. Rhod. β 675. — 15 sq. Eustathius Dion. 41. 1

1. ἄργιν *dz* || 2. δὲ] δὴ *z* || ὁ om. *R* || ὤλην *AB* || 5. ἔποδον *A*[1]*B*[1], σπονδὸν *R* || τῆς] 'an τὴν?' Bekker || 6. ἄργιος *z* || 7. ὄπισθεν *dz* || ἀγχοτάτωι *ABP*, ἀγχοτάτῳ *z*, ἀγχοτάτη *R* || 8. κηῶν ἑστιχτορίου *R* || 10. ὑπερβορέου *B*[2]*PR*: ὑπερβορέω || λέγων eiciebat Reiske, λέγοντα coniecit Schweighaeuser || 11. ἴστὸν *d*[1] || τὴν γῆν *dz* || 12. σιτεόμενον *d* || τινες ὑπερβόρεοι *z* || 13. ὁρέων *R*: ὁρων *AB*, ὁρῶν *Cd*, ὅρεων *P*, ὅρων *z* || 14. νόον ἐχόντως Dobree: νόον ἔχοντες *d*, νόον ἔχοντας ceteri || 15. πέριξ τὴν sine γῆν *C*, πέριξ· τήν τε γῆν *z*, πέριξ τῆς γῆς Eust. || 16. ποιεῦσι *z* || 18. ὅση τέ ἐστι *A*, ὅσηι τέ ἐστι *B*, ὅσῄ τέ ἐστι *Cd* || 19. Ἀσίην Πέρσαι Schweighaeuser: πέρσαι || 20. τουτέων *Rz* || δὲ *BRd*: δ' || 21. βορέω ἀνέμου || σάπειρες· σαπείρων *Ppr.Rdz* || 23. φάσις *dz* || ταῦτα τὰ τέσσαρα *R* || 24. ἑσπέρην *Rz*

διφάσιαι ἀπ᾽ αὐτῆς κατατείνουσι ἐς θάλασσαν, τὰς ἐγὼ ἀπη-
γήσομαι. ἔνθεν μὲν ἡ ἀκτὴ ἡ ἑτέρη τὰ πρὸς βορέην ἀπὸ
Φάσιος ἀρξαμένη παρατέταται ἐς θάλασσαν παρά τε τὸν
Πόντον καὶ τὸν Ἑλλήσποντον μέχρι Σιγείου τοῦ Τρωικοῦ·
τὰ δὲ πρὸς νότου ἡ αὐτὴ αὕτη ἀκτὴ ἀπὸ τοῦ Μυριανδρικοῦ
κόλπου τοῦ πρὸς Φοινίκῃ κειμένου τείνει τὰ ἐς θάλασσαν
μέχρι Τριοπίου ἄκρης. οἰκέει δὲ ἐν τῇ ἀκτῇ ταύτῃ ἔθνεα
39 ἀνθρώπων τριήκοντα. αὕτη μέν νυν ἡ ἑτέρη τῶν ἀκτέων, ἡ
δὲ δὴ ἑτέρη ἀπὸ Περσέων ἀρξαμένη παρατέταται ἐς τὴν
Ἐρυθρὴν θάλασσαν, ἥ τε Περσικὴ καὶ ἀπὸ ταύτης ἐκδεκο-
μένη ἡ Ἀσσυρίη καὶ ἀπὸ Ἀσσυρίης ἡ Ἀραβίη· λήγει δὲ
αὕτη, οὐ λήγουσα εἰ μὴ νόμῳ, ἐς τὸν κόλπον τὸν Ἀράβιον,
ἐς τὸν Δαρεῖος ἐκ τοῦ Νείλου διώρυχα ἐσήγαγε. μέχρι μέν
νυν Φοινίκης ἀπὸ Περσέων χῶρος πλατὺς καὶ πολλός ἐστι·
τὸ δὲ ἀπὸ Φοινίκης παρήκει διὰ τῆσδε τῆς θαλάσσης ἡ ἀκτὴ
αὕτη παρά τε Συρίην τὴν Παλαιστίνην καὶ Αἴγυπτον, ἐς τὴν
40 τελευτᾷ· ἐν τῇ ἔθνεά ἐστι τρία μοῦνα. ταῦτα μὲν ἀπὸ
Περσέων τὰ πρὸς ἑσπέρης τῆς Ἀσίης ἔχοντά ἐστι· τὰ δὲ
κατύπερθε Περσέων καὶ Μήδων καὶ Σασπείρων καὶ Κόλχων,
τὰ πρὸς ἠῶ τε καὶ ἥλιον ἀνατέλλοντα, ἔνθεν μὲν ἡ Ἐρυθρὴ
παρήκει θάλασσα, πρὸς βορέω δὲ ἡ Κασπίη τε θάλασσα καὶ
ὁ Ἀράξης ποταμός, ῥέων πρὸς ἥλιον ἀνίσχοντα. μέχρι δὲ
τῆς Ἰνδικῆς οἰκέεται Ἀσίη· τὸ δὲ ἀπὸ ταύτης ἔρημος ἤδη
τὸ πρὸς τὴν ἠῶ, οὐδὲ ἔχει οὐδεὶς φράσαι οἷον δή τι ἐστί.
41 Τοιαύτη μὲν καὶ τοσαύτη ἡ Ἀσίη ἐστί, ἡ δὲ Λιβύη ἐν
τῇ ἀκτῇ τῇ ἑτέρῃ ἐστί· ἀπὸ γὰρ Αἰγύπτου Λιβύη ἤδη ἐκδέκε-

1. αὐτῆς] ἀντίης *P*m m. rec. itemque Reiz ‖ 2. τὸ πρὸς βορῆν *R* ‖ 3. εἰς *R* ‖ 4. σιγίου *A*[1]*B* ‖ 5. νότον *Rz* ‖ αὕτη om. *R* ‖ Μυριανδρικοῦ Wesseling: μαριανδικοῦ *R*, μαριανδύων *AB*, μαριανδυνῶν *CP*, μαριανδηνῶν *dz* ‖ 6. φοινίκην *Rdz* ‖ 7. τριοπίου *B*[1] ‖ δὲ *R*: δ᾽ ‖ 9. ἐς] τὸ ἐς *R* ‖ 10. καὶ] καὶ ἡ *PRz* ‖ ἐκδομένη *R* ‖ 11. ἡ om. *PRz* ‖ ἀπὸ] ἀπὸ τῆς *R* ‖ 12. αὐτὴ *Pdz*, καὶ αὕτη *R* ‖ τὸν κόλπον] κόλπον *PR* ‖ 14. ἀπὸ - 15 Φοινίκης om. *B*[1] ‖ πολὺς ἐστὶ *d*[1] ‖ 15. δὲ *R*: δ᾽ ‖ 16. Συρίην τὴν] Συρίην τὴν παρὰ τὴν *z* ‖ 18. ἑσπέρην *Rz* ‖ ἐστι om. *ABCd* ‖ 19. σαπείρων *Rdz* ‖ 20. ἠέλιον *R* ‖ 21. πρὸς βορέω - θάλασσα om. *ABCd* ‖ 22. ῥέον *A*[1] ‖ 23. ἡ ἀσίη *R* ‖ ἐρῆμος *CP*, ἐρῆμον *z* ‖ 24. τὸ om. *R* ‖ ἠῶ *R*: ἔω ‖ οὐδὲ *ABd*: οὐδ᾽

ται. κατὰ μέν νυν Αἴγυπτον ἡ ἀκτὴ αὕτη στεινή ἐστι· ἀπὸ γὰρ τῆσδε τῆς θαλάσσης ἐς τὴν Ἐρυθρὴν θάλασσαν δέκα μυριάδες εἰσὶ ὀργυιέων, αὗται δ' ἂν εἶεν χίλιοι στάδιοι· τὸ δὲ ἀπὸ τοῦ στεινοῦ τούτου κάρτα πλατέα τυγχάνει ἐοῦσα ἡ ἀκτὴ ἥτις Λιβύη κέκληται. θωυμάζω ὦν τῶν διουρισάντων καὶ 42 διελόντων Λιβύην τε καὶ Ἀσίην καὶ Εὐρώπην· οὐ γὰρ σμικρὰ τὰ διαφέροντα αὐτέων ἐστί· μήκεϊ μὲν γὰρ παρ' ἀμφοτέρας παρήκει ἡ Εὐρώπη, εὕρεος δὲ πέρι οὐδὲ συμβάλλειν ἀξίη φαίνεταί μοι εἶναι. Λιβύη μὲν γὰρ δηλοῖ ἑωυτὴν ἐοῦσα περίρρυτος, πλὴν ὅσον αὐτῆς πρὸς τὴν Ἀσίην οὐρίζει, Νεκῶ τοῦ Αἰγυπτίων βασιλέος πρώτου τῶν ἡμεῖς ἴδμεν καταδέξαντος· ὃς ἐπείτε τὴν διώρυχα ἐπαύσατο ὀρύσσων τὴν ἐκ τοῦ Νείλου διέχουσαν ἐς τὸν Ἀράβιον κόλπον, ἀπέπεμψε Φοίνικας ἄνδρας πλοίοισι, ἐντειλάμενος ἐς τὸ ὀπίσω δι' Ἡρακλέων στηλέων ἐκπλέειν ἕως ἐς τὴν βορηίην θάλασσαν καὶ οὕτω ἐς Αἴγυπτον ἀπικνέεσθαι. ὁρμηθέντες ὦν οἱ Φοίνικες ἐκ τῆς Ἐρυθρῆς θαλάσσης ἔπλεον τὴν νοτίην θάλασσαν· ὅκως δὲ γίνοιτο φθινόπωρον, προσσχόντες ἂν σπείρεσκον τὴν γῆν, ἵνα ἑκάστοτε τῆς Λιβύης πλέοντες γινοίατο, καὶ μένεσκον τὸν ἄμητον· θερίσαντες δ' ἂν τὸν σῖτον ἔπλεον, ὥστε δύο ἐτέων διεξελθόντων τρίτῳ ἔτεϊ κάμψαντες Ἡρακλέας στήλας ἀπίκοντο ἐς Αἴγυπτον. καὶ ἔλεγον ἐμοὶ μὲν οὐ πιστά, ἄλλῳ δὲ δή τεῳ, ὡς περιπλώοντες τὴν Λιβύην τὸν ἥλιον ἔσχον ἐς τὰ δεξιά. οὕτω μὲν αὕτη ἐγνώσθη τὸ πρῶτον, μετὰ δὲ Καρχηδόνιοί εἰσι οἱ λέγοντες· ἐπεὶ Σατάσπης γε ὁ Τεάσπιος ἀνὴρ 43

---

20. Bekkeri Anecd. p. 99 (?)

1. ἡ αὐτὴ ἀκτὴ *d* ‖ στεινή ἐστι *Rz*, ἐστὶ[β] στεινή[α] *P*: ἐστὶ ἧι ἐστι *AB*, ἔστιν ἧι ἔστιν *C*, ἐστὶν ἧ ἐστὶν *d* ‖ 3. δ' om. *R* ‖ 4. ἡ om. *dz* ‖ 5. θωμάζω *ABRd* ‖ οὖν *d* ‖ διορισάντων *d* ‖ 6. τε καὶ *PR*: καὶ ‖ μικρὰ *R* ‖ 7. αὐτῶν ἐστι *ABCd* ‖ μήκει *AB* ‖ παρ' om. *P¹R* ‖ 8. οὐ συμβαλέειν *R*, οὐδὲ συμβαλέειν *z* ‖ 9. οὖσα *AB*, οὖσαν *C* ‖ 10. νεκῶ *ABd*: νεκὼ ‖ 11. βασιλέως *Cd* ‖ 13. ἔχουσαν *ABCd* ‖ 14. ἡρακληΐων *z* ‖ 15. στηλῶν *d* ‖ διεκπλέειν *R* ‖ βορείην *R* ‖ οὕτω *z*: οὕτως ‖ 16. οἱ om. *C* ‖ 17. ἐρυθρίης *d*, Ερυθρῆς καλεομένης *z* ‖ δὲ om. *R* ‖ 18. γένοιτο *z* ‖ προσσχόντες *AB*: προσίσχοντες *R*, προσχόντες reliqui ‖ 19. γενοίατο *CPdz* ‖ τὸν om. *R* ‖ 20. ἀμητόν *z*, θερισμόν Bekk. An. ‖ δὲ *R* ‖ 21. ἔτει *AB* ‖ ἡρακληΐας *z* ‖ 23. δή om. *PR* ‖ περιπλόοντες *C* ‖ [τὴν] om. *R*, ἐς τὴν *z* ‖ 25. ἐπὶ *R* ‖ τεάσπειος *R*

Ἀχαιμενίδης οὐ περιέπλωσε Λιβύην, ἐπ' αὐτὸ τοῦτο πεμφθείς, ἀλλὰ δείσας τό τε μῆκος τοῦ πλόου καὶ τὴν ἐρημίην ἀπῆλθε ὀπίσω, οὐδ' ἐπετέλεσε τὸν ἐπέταξέ οἱ ἡ μήτηρ ἄεθλον. θυγατέρα γὰρ Ζωπύρου τοῦ Μεγαβύζου ἐβιήσατο παρθένον· ἔπειτα μέλλοντος αὐτοῦ διὰ ταύτην τὴν αἰτίην ἀνασχολοπιεῖσθαι ὑπὸ Ξέρξεω βασιλέος, ἡ μήτηρ τοῦ Σατάσπεος ἐοῦσα Δαρείου ἀδελφεὴ παραιτήσατο, φᾶσά οἱ αὐτὴ μέζω ζημίην ἐπιθήσειν ἤ περ ἐκεῖνον· Λιβύην γάρ οἱ ἀνάγκην ἔσεσθαι περιπλώειν, ἐς ὃ ἂν ἀπίκηται περιπλέων αὐτὴν ἐς τὸν Ἀράβιον κόλπον. συγχωρήσαντος δὲ Ξέρξεω ἐπὶ τούτοισι, ὁ Σατάσπης ἀπικόμενος ἐς Αἴγυπτον καὶ λαβὼν νέα τε καὶ ναύτας παρὰ τούτων ἔπλεε ἐπὶ Ἡρακλέας στήλας· διεκπλώσας δὲ καὶ κάμψας τὸ ἀκρωτήριον τῆς Λιβύης τῷ οὔνομα Σολόεις ἐστί, ἔπλεε πρὸς μεσαμβρίην· περήσας δὲ θάλασσαν πολλὴν ἐν πολλοῖσι μησί, ἐπείτε τοῦ πλεῦνος αἰεὶ ἔδεε, ἀποστρέψας ὀπίσω ἀπέπλεε ἐς Αἴγυπτον. ἐκ δὲ ταύτης ἀπικόμενος παρὰ βασιλέα Ξέρξεα ἔλεγε φὰς τὰ προσωτάτω ἀνθρώπους σμικροὺς παραπλέειν ἐσθῆτι φοινικηίῃ διαχρεωμένους, οἳ ὅκως σφεῖς καταγοίατο τῇ νηὶ φεύγεσκον πρὸς τὰ ὄρεα καταλιπόντες τὰς πόλιας· αὐτοὶ δὲ ἀδικέειν οὐδὲν ἐσιόντες, βρωτὰ δὲ μοῦνα ἐξ αὐτέων λαμβάνειν. τοῦ δὲ μὴ περιπλῶσαι Λιβύην παντελέως αἴτιον τόδε ἔλεγε, τὸ πλοῖον τὸ πρόσω οὐ δυνατὸν ἔτι εἶναι προβαίνειν ἀλλ' ἐνίσχεσθαι. Ξέρξης δὲ οὔ οἱ συγγινώσκων λέγειν ἀληθέα οὐκ ἐπιτελέσαντά τε τὸν προκείμενον ἄεθλον ἀνεσχολόπισε, τὴν ἀρχαίην

---

25. ἀνεσχολόπισε – p. 379, 1 ἐπιτιμῶν Thomas M. p. 120

4. ἐβιάσατο idque post παρθένον *R*, ἐβιήσατο post Ζωπύρου *z* ‖ 5. αὐτοῦ om. *C* ‖ 6. βασιλέως *C*, βασιλῆος *z* ‖ 7. οὖσα *ABd* ‖ παραιτήσατο *R*: παρητήσατο *d*, παρῃτήσατο ceteri ‖ 8. ἐπιθήσιν *A*[1] ‖ 9. ἐσὸ *AB* ‖ ἀφίκηται *ABCd* ‖ 11. σατάσπις *z* ‖ 12. τουτέων *z* ‖ ἔπλε *R* ‖ ἐπὶ *PR*: παρ *AB*, παρ' *d*, παρὰ *Cz* ‖ ἡρακληΐας *z* ‖ 13. ἀκροτήριον *B* ‖ 14. Συλόεις *z* ‖ μεσημβρίην *AB* ‖ 15. μήνεσιν *R* ‖ πλέονος *AB*[1] ‖ 17. ξέρξην *ABCd* ‖ ἔλεγέ σφεας *R* ‖ προσωτάτωι *A*, προσοτάτωι *B* ‖ 18. μικροὺς *L* ‖ χρεωμένους *R*, χρεομένους *P* ‖ 20. οὔρεα *CPdz* ‖ καταλιπόντες *PRz*: λείποντες ‖ πόλιας *PRz*: πόλις *A*, πόλεις *BCd* ‖ 21. ἐσιόντες *P*[t]*R*: σίνοντες ‖ πρόβατα *P*[m]*R* ‖ αὐτῶν *ABd* ‖ 22. παντελῶς *L* ‖ ἔλεγε *R*: ἐλέγε[το] *P*, ἐλέγετο reliqui ‖ 23. ἔστιν *R* ‖ εἶναι om. *ABCd* ‖ 24. δέ οἱ οὐ *Pz*, δὲ οἳ οὐ *R*

δίκην ἐπιτιμῶν. τούτου δὲ τοῦ Σατάσπεος εὐνοῦχος ἀπέδρη ἐς Σάμον, ἐπείτε ἐπύθετο τάχιστα τὸν δεσπότεα τετελευτηκότα, ἔχων χρήματα μεγάλα, τὰ Σάμιος ἀνὴρ κατέσχε, τοῦ ἐπιστάμενος τὸ οὔνομα ἑκὼν ἐπιλήθομαι.

Τῆς δὲ Ἀσίης τὰ πολλὰ ὑπὸ Δαρείου ἐξευρέθη, ὃς βουλόμενος Ἰνδὸν ποταμόν, ὃς κροκοδείλους δεύτερος οὗτος ποταμῶν πάντων παρέχεται, τοῦτον τὸν ποταμὸν εἰδέναι τῇ ἐς θάλασσαν ἐκδιδοῖ, πέμπει πλοίοισι ἄλλους τε τοῖσι ἐπίστευε τὴν ἀληθείην ἐρέειν καὶ δὴ καὶ Σκύλακα ἄνδρα Καρυανδέα. οἱ δὲ ὁρμηθέντες ἐκ Κασπατύρου τε πόλιος καὶ τῆς Πακτυϊκῆς γῆς ἔπλεον κατὰ ποταμὸν πρὸς ἠῶ τε καὶ ἡλίου ἀνατολὰς ἐς θάλασσαν, διὰ θαλάσσης δὲ πρὸς ἑσπέρην πλέοντες τριηκοστῷ μηνὶ ἀπικνέονται ἐς τοῦτον τὸν χῶρον ὅθεν ὁ Αἰγυπτίων βασιλεὺς τοὺς Φοίνικας τοὺς πρότερον εἶπα ἀπέστειλε περιπλώειν Λιβύην. μετὰ δὲ τούτους περιπλώσαντας Ἰνδούς τε κατεστρέψατο Δαρεῖος καὶ τῇ θαλάσσῃ ταύτῃ ἐχρᾶτο. οὕτω καὶ τῆς Ἀσίης, πλὴν τὰ πρὸς ἥλιον ἀνίσχοντα, τὰ ἄλλα ἀνεύρηται ὅμοια παρεχομένη τῇ Λιβύῃ. 44

Ἡ δὲ Εὐρώπη πρὸς οὐδαμῶν φανερή ἐστι γινωσκομένη, 45 οὔτε τὰ πρὸς ἥλιον ἀνατέλλοντα οὔτε τὰ πρὸς βορέην, εἰ περίρρυτός ἐστι· μήκεϊ δὲ γινώσκεται παρ' ἀμφοτέρας παρήκουσα. οὐδ' ἔχω συμβαλέσθαι ἐπ' ὅτευ μιῇ ἐούσῃ γῇ οὐνόματα τριφάσια κέεται ἐπωνυμίας ἔχοντα γυναικῶν, καὶ οὐρίσματα αὐτῇ Νεῖλός τε ὁ Αἰγύπτιος ποταμὸς ἐτέθη καὶ Φᾶσις ὁ Κόλχος (οἱ δὲ Τάναϊν ποταμὸν τὸν Μαιήτην καὶ πορθμήια τὰ Κιμμέρια λέγουσι), οὐδὲ τῶν διουρισάντων τὰ οὐνόματα πυθέσθαι, καὶ ὅθεν ἔθεντο τὰς ἐπωνυμίας. ἤδη

22. οὐδ' - 26 λέγουσι Procopius bell. Goth. IV 6

4. ἐπιλήσομαι *PR* ‖ 6. ὃς] ὡς *R* ‖ 7. πάντων ποταμῶν *Rd* ‖ 8. ἐσδιδοῖ *R* ‖ πλοίοισι πέμπει *d* ‖ 9. ἀληθητίην *z* ‖ δὴ καὶ] δὴ *ABC* ‖ 10. καπύρου *R*, κασταπύρου *z* ‖ 11. κατὰ] κατὰ τὸν *R* ‖ 17. οὕτως *ABC*, οὗτος *dz* ‖ ἠέλιον *R* ‖ 18. τὰ om. *R* ‖ ὁμοῖα *CPdz* ‖ παρεγομένην *Cdz* ‖ 20. ἠέλιον *R* ‖ βορῆν *AB* ‖ 21. μήκει *AB* ‖ 22. οὐδὲ Proc. ‖ ἐπότευ *ABd*, ἀπὸ τοῦ Proc. ‖ ὀνόματα Proc. ‖ 23. κεῖται *AB*, κέαται Proc. ‖ 24. ὁρίσματα Proc. ‖ 25. φάσις *dz* ‖ ποταμὸν καὶ Μαιῶτιν Proc. ‖ 26. διουρησάντων *d* ‖ 27. ἐπονυμίας *A*[1] ‖ ἢ δη *C*

γὰρ Λιβύη μὲν ἐπὶ Λιβύης λέγεται ὑπὸ τῶν πολλῶν Ἑλλήνων ἔχειν τὸ οὔνομα γυναικὸς αὐτόχθονος, ἡ δὲ Ἀσίη ἐπὶ τῆς Προμηθέος γυναικὸς τὴν ἐπωνυμίην. καὶ τούτου μὲν μεταλαμβάνονται τοῦ οὐνόματος Λυδοί, φάμενοι ἐπὶ Ἀσίεω τοῦ Κότυος τοῦ Μάνεω κεκλῆσθαι τὴν Ἀσίην, ἀλλ' οὐκ ἐπὶ τῆς Προμηθέος Ἀσίης· ἀπ' ὅτευ καὶ τὴν ἐν Σάρδισι φυλὴν κεκλῆσθαι Ἀσιάδα. ἡ δὲ δὴ Εὐρώπη οὔτε εἰ περίρρυτός ἐστι γινώσκεται πρὸς οὐδαμῶν ἀνθρώπων, οὔτε ὁκόθεν τὸ οὔνομα ἔλαβε τοῦτο, οὔτε ὅστις οἱ ἦν ὁ θέμενος φαίνεται, εἰ μὴ ἀπὸ τῆς Τυρίης φήσομεν Εὐρώπης λαβεῖν τὸ οὔνομα τὴν χώρην· πρότερον δὲ ἦν ἄρα ἀνώνυμος ὥσπερ αἱ ἕτεραι. ἀλλ' αὕτη γε ἐκ τῆς Ἀσίης τε φαίνεται ἐοῦσα καὶ οὐκ ἀπικομένη ἐς τὴν γῆν ταύτην ἥτις νῦν ὑπὸ Ἑλλήνων Εὐρώπη καλέεται, ἀλλ' ὅσον ἐκ Φοινίκης ἐς Κρήτην, ἐκ Κρήτης δὲ ἐς Λυκίην. ταῦτα μέν νυν ἐπὶ τοσοῦτον εἰρήσθω· τοῖσι γὰρ νομιζομένοισι αὐτῶν χρησόμεθα.

46 Ὁ δὲ Πόντος ὁ Εὔξεινος, ἐπ' ὃν ἐστρατεύετο ὁ Δαρεῖος, χωρέων πασέων παρέχεται ἔξω τοῦ Σκυθικοῦ ἔθνεα ἀμαθέστατα. οὔτε γὰρ ἔθνος τῶν ἐντὸς τοῦ Πόντου οὐδὲν ἔχομεν προβαλέσθαι σοφίης πέρι οὔτε ἄνδρα λόγιον οἴδαμεν γενόμενον, πάρεξ τοῦ Σκυθικοῦ ἔθνεος καὶ Ἀναχάρσιος. τῷ δὲ Σκυθικῷ γένεϊ ἓν μὲν τὸ μέγιστον τῶν ἀνθρωπηίων πρηγμάτων σοφώτατα πάντων ἐξεύρηται τῶν ἡμεῖς ἴδμεν, τὰ μέντοι ἄλλα οὐκ ἄγαμαι· τὸ δὲ μέγιστον οὕτω σφι ἀνεύρηται ὥστε

---

1. - 7 **Eustathius** Dion. 270. — 4. ibidem 620. — 18. - 21 ibidem 669. — 20. οὔτε - 21 Ἀναχάρσιος (Herodianus) in Crameri Anecd. Oxon. I 380. — 21. πάρεξ - ἔθνεος idem περὶ μον. λέξ. p. 25

1. ἀπὸ [ἐ ἱ] *P*, ἀπὸ *Rz*. Eust. || 2. τοὔνομα *z* || ἀπὸ *Pyr*. *Rz* Eust. || 3. γυναικὸς] μητρὸς Eust. || 4. ὀνόματος *z* || ἀπὸ [ἐ ἱ] *P*, ἀπὸ *Rz*. Eust. || ἄσεω *d*, Ασεω *z* || 5. βότυος *R* || κεκλεῖσθαι *B* || ἀπὸ [ἐ ἱ] *P*, ἀπὸ *Rz* || 6. ἀπ' ὅτευ *P*: ἀπότευ *ABd*, ἀπό τευ *Cz*, ἐπ' ὅτευ *R* || φυλακὴν *R* || 7. οὔτε *PR*: οὐδ' || 10. τυρίης *A*[2]*PR*: συρίης || 11. αἱ om. *R* || 13. τὴν om. *PR* || 14. κρίτης *BR* || 15. λυβίην *R*, λιβύην *d* || 16. αὐτέων *Rz* || 17. ὁ om. *PRz* || 19. οὐδὲν om. *d* || 20. παραβαλέσθαι *dz* || λόγιμον *PR*, ἐλλόγιμον Eust. || λεγόμενον *R* || 21. τοῦ τε σκυθίου Herod. loco posteriori || ἔθνους Herod. loco priori || 24. δὲ om. *CR* || οὕτως *d*

ἀποφυγεῖν τε μηδένα ἐπελθόντα ἐπὶ σφέας, μὴ βουλομένους τε ἐξευρεθῆναι καταλαβεῖν μὴ οἷόν τε εἶναι. τοῖσι γὰρ μήτε ἄστεα μήτε τείχεα ᾖ ἐκτισμένα, ἀλλὰ φερέοικοι ἐόντες πάντες ἔωσι ἱπποτοξόται, ζῶντες μὴ ἀπ' ἀρότου ἀλλ' ἀπὸ κτηνέων, οἰκήματά τε σφι ᾖ ἐπὶ ζευγέων, κῶς οὐκ ἂν εἴησαν οὗτοι ἄμαχοί τε καὶ ἄποροι προσμίσγειν; ἐξεύρηται δέ σφι ταῦτα 47 τῆς τε γῆς ἐούσης ἐπιτηδέης καὶ τῶν ποταμῶν ἐόντων σφι συμμάχων. ἥ τε γὰρ γῆ ἐοῦσα πεδιὰς αὕτη ποιώδης τε καὶ εὔυδρός ἐστι, ποταμοί τε δι' αὐτῆς ῥέουσι οὐ πολλῷ τεῳ ἀριθμὸν ἐλάσσονες τῶν ἐν Αἰγύπτῳ διωρύχων. ὅσοι δὲ ὀνομαστοί τε εἰσὶ αὐτῶν καὶ προσπλωτοὶ ἀπὸ θαλάσσης, τούτους ὀνομανέω· Ἴστρος μὲν πεντάστομος, μετὰ δὲ Τύρης τε καὶ Ὕπανις καὶ Βορυσθένης καὶ Παντικάπης καὶ Ὑπάκυρις καὶ Γέρρος καὶ Τάναϊς. ῥέουσι δὲ οἵδε κατὰ τάδε.

Ἴστρος μέν, ἐὼν μέγιστος ποταμῶν πάντων τῶν ἡμεῖς 48 ἴδμεν, ἴσος αἰεὶ αὐτὸς ἑωυτῷ ῥέει καὶ θέρεος καὶ χειμῶνος, πρῶτος δὲ τὸ ἀπ' ἑσπέρης τῶν ἐν τῇ Σκυθικῇ ῥέων κατὰ τοιόνδε μέγιστος γέγονε. ποταμῶν καὶ ἄλλων ἐς αὐτὸν ἐκδιδόντων εἰσὶ δὴ οἵδε οἱ μέγαν αὐτὸν ποιεῦντες, διὰ μέν γε τῆς Σκυθικῆς χώρης πέντε μὲν οἱ ῥέοντες, τόν τε Σκύθαι Πόρατα καλέουσι Ἕλληνες δὲ Πυρετόν, καὶ ἄλλος Τιάραντος καὶ Ἄραρός τε καὶ Νάπαρις καὶ Ὀρδησσός. ὁ μὲν πρῶτος λεχθεὶς τῶν ποταμῶν μέγας καὶ πρὸς ἠῶ ῥέων ἀνακοινοῦται

---

1. ἀποφεύγειν *PR*, ἀποφυγέειν *z* ‖ ἀπελθόντα *R* ‖ 2. μήτε ἄστεα om. *z* ‖ 3. φέροικοι *R* ‖ ἐόντες post ἔωσι *R* ‖ 4. ζώοντες *Pdz*, ζόωντες *C* ‖ τε μὴ *Rz* ‖ ἄρτου *Ppr.R*, ἀρότρου *dz* ‖ ἀλλὰ *R* ‖ 6. προσμίγειν *Rz* ‖ 7. σφισι *R* ‖ 8. γῆ om. *C* ‖ ποιώδης (τε superscr.) *P*, πιώδης τε *z* ‖ 9. ἔνυδρος sine ἐστι *R* ‖ τεω *Pcorr.*, τέω *R*, τεῳ *z*: τε *AB*, τι *Cd* ‖ 10. ὀνομαστοὶ *ABd*: οὐνομαστοί ‖ 11. τέ εἰσι vulgo ‖ αὐτέων *z* ‖ πρὸς πλωτοὶ *AB*, πρὸς, πλωτοὶ *d* ‖ 12. οὐνομανέω *R*. post hanc vocem desiderantur talia fere: εἰσὶ δὲ ὀκτὼ οἵδε ‖ πεντάσμος *d* ‖ 14. γέρρις *R* ‖ δὲ *PR*: γὰρ ‖ οἵδε *AB*, οὗτοι *R* ‖ 15. ποταμὸς ἁπάντων *R* ‖ 18. γέγονε, ποταμῶν et ἐκδιδόντων. εἰσὶ vulgo ‖ ἐσλιδόντων *R* ‖ 19. δὴ scripsi: δὲ ‖ οἵδε *AB*, om. *R* ‖ οἱ *sz*, om. *P* ‖ ποιέοντες *ABd* ‖ 20. μέν οἱ] μεγάλοι Koen, μόνοι Valckenaer. malim συμμίσγονταί οἱ ‖ 21. ποpατὰ *PR*, ποpατας $A^m B^m$ scilicet pro indice, sicut eidem reliqua illa fluminum nomina in margine τιάραντος B^m: τιαραντὸς A^m*PRz*, τισάραντος A^1*corr.BtC*, τισαραντὸς *d* ‖ 22. καὶ Ἄραρός τε om. *R* ‖ ἄραρός *ABP*: ἀραρός ‖ ὀρδησσός *ABtCPcorr.*: ὀρδισσός B^m*dz*, ὄρδησσος *Ppr.*, ὄρδησος *R*

τῷ Ἴστρῳ τὸ ὕδωρ, ὁ δὲ δεύτερος λεχθεὶς Τιάραντος πρὸς ἑσπέρης τε μᾶλλον καὶ ἐλάσσων, ὁ δὲ δὴ Ἄραρός τε καὶ ὁ Νάπαρις καὶ ὁ Ὀρδησσὸς διὰ μέσου τούτων ἰόντες ἐσβάλλουσι
49 ἐς τὸν Ἴστρον. οὗτοι μὲν αὐθιγενέες Σκυθικοὶ ποταμοὶ συμπληθύουσι αὐτόν, ἐκ δὲ Ἀγαθύρσων Μάρις ποταμὸς ῥέων συμμίσγεται τῷ Ἴστρῳ, ἐκ δὲ τοῦ Αἵμου τῶν κορυφέων τρεῖς ἄλλοι μεγάλοι ῥέοντες πρὸς βορέην ἄνεμον ἐσβάλλουσι ἐς αὐτόν, Ἄτλας καὶ Αὔρας καὶ Τίβισις. διὰ δὲ Θρηίκης καὶ Θρηίκων τῶν Κροβύζων ῥέοντες Ἄθρυς καὶ Νόης καὶ Ἀρτάνης ἐκδιδοῦσι ἐς τὸν Ἴστρον· ἐκ δὲ Παιόνων καὶ ὄρεος Ῥοδόπης Κίος ποταμὸς μέσον σχίζων τὸν Αἷμον ἐκδιδοῖ ἐς αὐτόν. ἐξ Ἰλλυριῶν δὲ ῥέων πρὸς βορέην ἄνεμον Ἄγγρος ποταμὸς ἐσβάλλει ἐς πεδίον τὸ Τριβαλλικὸν καὶ ἐς ποταμὸν Βρόγγον, ὁ δὲ Βρόγγος ἐς τὸν Ἴστρον· οὕτω ἀμφοτέρους ἐόντας μεγάλους ὁ Ἴστρος δέκεται. ἐκ δὲ τῆς κατύπερθε χώρης Ὀμβρικῶν Κάρπις ποταμὸς καὶ ἄλλος Ἄλπις ποταμὸς πρὸς βορέην ἄνεμον καὶ οὗτοι ῥέοντες ἐκδιδοῦσι ἐς αὐτόν· ῥέει γὰρ δὴ διὰ πάσης τῆς Εὐρώπης ὁ Ἴστρος, ἀρξάμενος ἐκ Κελτῶν, οἳ ἔσχατοι πρὸς ἡλίου δυσμέων μετὰ Κύνητας οἰκέουσι τῶν ἐν τῇ Εὐρώπῃ· ῥέων δὲ διὰ πάσης τῆς Εὐρώπης ἐς τὰ πλάγια τῆς Σκυθίης ἐσβάλλει.
50 τούτων ὦν τῶν καταλεχθέντων καὶ ἄλλων πολλῶν συμβαλλομένων τὸ σφέτερον ὕδωρ γίνεται ὁ Ἴστρος ποταμῶν μέγιστος, ἐπεὶ ὕδωρ γε ἓν πρὸς ἓν συμβάλλειν

---

2. τῷ Ἴστρῳ ante ἀνακοινοῦται *R* ‖ τιάραντος *ABC*: τιάραυτος *d*, τιαραντὸς *PRz* ‖ 2. ἑσπέρην *PR* ‖ τε] τι *C*, ται *R* ‖ ἀραρός *C* (?) ‖ ὁ om. *R* ‖ 3. καὶ ὁ *Pdz*: καὶ ‖ ὀρδησσὸς *ABPcorr.*: ὄρδησσος *CPpr.*, ὀρδησος *R*, ὀρδισσὸς *dz* ‖ διαμέσου *AB* ‖ τουτέων *z* ‖ ῥέοντες *PRz* ‖ 4. αὐτιγενέες *z* ‖ ποταμοὶ σκυθικοὶ *CPz* ‖ 5. μᾶρις *R* ‖ 6. κορυφαίων *dz* ‖ 7. βορῆν *ABR* ‖ 8. λύρας *R* ‖ τίβησις *dz* ‖ θρηΐκίης *C*, θρήκης *R* ‖ 9. θρηκῶν *R* ‖ τῶν om. *R* ‖ κρωβύζων *ABd* ‖ Ἄθρης *z* ‖ ναίας *R* ‖ ἀρτάνης *ABR*: ἀτάρνης ‖ 10. ἐσδιδοῦσι *R* ‖ τὸν om. *P* ‖ οὔρεος *CPz* ‖ 11. ῥοδώπης *d* ‖ σκίος *R*. Κῖος *z*. Οἴσκιος Thucyd. II 96 ‖ μέσος *ABCd* ‖ ἐσδιδοῖ *ABdz* ‖ 12. ἰλλυρίων *d* ‖ βορῆν *ABR* ‖ ἄνεμος *R* ‖ 13. ἐς τὸ πεδίον *R* ‖ τριβαλικὸν *Cz*, τριβάλλιον *R* ‖ 14. βόγγρον et βόγγρος *d* ‖ 15. διαδέκεται *z* ‖ 16. ὀμβρικῶν *ABR*: ὀμβρίκων ‖ κάρμις *R* ‖ ἄλπις ποταμὸς *ABCd*: ἄλπις ‖ 17. βορῆν *ABR* ‖ ῥέοντες ante ἄνεμον *dz* ‖ ἐσδιδοῦσι *Rz* ‖ 19. πρὸς *PRz*: πρὶν ‖ δυσμέας *z* ‖ 21. πάσης τῆς *PRz*: πάσης ‖ σκυθικῆς *R* ‖ 22. τουτέων *Rz*

ὁ Νεῖλος πλήθεϊ ἀποκρατέει. ἐς γὰρ δὴ τοῦτον οὔτε ποταμὸς οὔτε κρήνη οὐδεμία ἐσδιδοῦσα ἐς πλῆθός οἱ συμβάλλεται. ἴσος δὲ αἰεὶ ῥέει ἔν τε θέρεϊ καὶ χειμῶνι ὁ Ἴστρος κατὰ τοιόνδε τι, ὡς ἐμοὶ δοκέει. τοῦ μὲν χειμῶνος ἐστὶ ὅσος περ ἐστί, ὀλίγῳ τε μέζων τῆς ἑωυτοῦ φύσιος γίνεται· ὕεται γὰρ ἡ γῆ αὕτη τοῦ χειμῶνος πάμπαν ὀλίγῳ, νιφετῷ δὲ πάντα χρᾶται. τοῦ δὲ θέρεος ἡ χιὼν ἡ ἐν τῷ χειμῶνι πεσοῦσα, ἐοῦσα ἀμφιλαφής, τηκομένη πάντοθεν ἐσδιδοῖ ἐς τὸν Ἴστρον. αὕτη τε δὴ ἡ χιὼν ἐσδιδοῦσα ἐς αὐτὸν συμπληθύει καὶ ὄμβροι πολλοί τε καὶ λάβροι σὺν αὐτῇ· ὕει γὰρ δὴ τὸ θέρος. ὅσῳ δὲ πλέον ἐπ' ἑωυτὸν ὕδωρ ὁ ἥλιος ἐπέλκεται ἐν τῷ θέρεϊ ἢ ἐν τῷ χειμῶνι, τοσούτῳ τὰ συμμισγόμενα τῷ Ἴστρῳ πολλαπλήσιά ἐστι τοῦ θέρεος ἤ περ τοῦ χειμῶνος· ἀντιτιθέμενα δὲ ταῦτα ἀντισήκωσις γίνεται, ὥστε ἴσον μιν αἰεὶ φαίνεσθαι ἐόντα.

Εἷς μὲν δὴ τῶν ποταμῶν τοῖσι Σκύθῃσι ἐστὶ ὁ Ἴστρος, 51
μετὰ δὲ τοῦτον Τύρης, ὃς ἀπὸ βορέω μὲν ἀνέμου ὁρμᾶται,
ἄρχεται δὲ ῥέων ἐκ λίμνης μεγάλης ἣ οὐρίζει τήν τε Σκυθικὴν
καὶ Νευρίδα γῆν. ἐπὶ δὲ τῷ στόματι αὐτοῦ κατοίκηνται
Ἕλληνες οἳ Τυρῖται καλέονται. τρίτος δὲ Ὕπανις ποταμὸς 52
ὁρμᾶται μὲν ἐκ τῆς Σκυθικῆς, ῥέει δὲ ἐκ λίμνης μεγάλης
τὴν πέριξ νέμονται ἵπποι ἄγριοι λευκοί· καλέεται δὲ ἡ λίμνη
αὕτη ὀρθῶς μήτηρ Ὑπάνιος. ἐκ ταύτης ὦν ἀνατέλλων ὁ
Ὕπανις ποταμὸς ῥέει ἐπὶ μὲν πέντε ἡμερέων πλόον βραχὺς
καὶ γλυκύς ἐστι, ἀπὸ δὲ τούτου πρὸς θαλάσσης τεσσέρων

---

2. Eustathius Dion. 226. — 20 sqq. (Pomponius Mela II 7). Eustathius Dion. 1143. — 24. - p. 384, 2 Athenaeus p. 43

1. πλήθει *AB* ‖ ἐπικρατέει *PRz* ‖ 2. οὐδεμίη *z* ‖ ἐκδιδοῦσα *A*[2]. Bredovius ‖ συμβάλλεταί οἱ *d*, οἱ συμβάλλεταί οἱ *z*, ἐς συμβάλλεται *R* ‖ 3. δὲ] τε *Cd* ‖ ῥέειν *A*[1] ‖ θέρει *AB* ‖ καὶ ἐν *R* ‖ 5. μείζων *R* ‖ 6. τὰ πάντα *R* ‖ 7. χρέεται *PR* ‖ 8. ἐοῦσα om. *z* ‖ ἐκδιδοῖ Bredovius ‖ 9. δὴ om. *C* ‖ ἐκδιδοῦσα *C*. Bredovius ‖ 10. δὴ om. *P* ‖ 13. πολλαπλάσιά *PR*, πολληπλήσιά *z* ‖ ἀντιθέμενα *d* ‖ 14. ἀντισήκοσις *B* ‖ 16. τοῖσι om. *ABCd* ‖ ὁ om. *R* ‖ 17. βορέου *R* ‖ 18. ἄργεται *R*: ἔργεται ‖ ῥέον *A* ‖ 19. καὶ] καὶ τὴν *R* ‖ 21. μὲν om. *A* ‖ 22. δ' *Pz* ‖ ἡ om. *d* ‖ 25. γλυκὺς ἔτι *R*

ἡμερέων πλόον πικρὸς δεινῶς· ἐκδιδοῖ γὰρ ἐς αὐτὸν κρήνη πικρή, οὕτω δή τι ἐοῦσα πικρή, ἣ μεγάθεϊ σμικρὴ ἐοῦσα κιρνᾷ τὸν Ὕπανιν ἐόντα ποταμὸν ἐν ὀλίγοισι μέγαν. ἔστι δὲ ἡ κρήνη αὕτη ἐν οὔροισι χώρης τῆς τε ἀροτήρων Σκυθέων καὶ Ἀλαζόνων· οὔνομα δὲ τῇ κρήνῃ καὶ ὅθεν ῥέει τῷ χώρῳ σκυθιστὶ μὲν Ἐξαμπαῖος, κατὰ δὲ τὴν Ἑλλήνων γλῶσσαν Ἱραὶ ὁδοί. συνάγουσι δὲ τὰ τέρματα ὅ τε Τύρης καὶ ὁ Ὕπανις κατὰ Ἀλαζόνας, τὸ δὲ ἀπὸ τούτου ἀποστρέψας ἑκάτερος ῥέει εὐρύνων τὸ μέσον.

53 Τέταρτος δὲ Βορυσθένης ποταμός, ὅς ἐστί τε μέγιστος μετὰ Ἴστρον τούτων καὶ πολυαρκέστατος κατὰ γνώμας τὰς ἡμετέρας οὔτι μοῦνον τῶν Σκυθικῶν ποταμῶν ἀλλὰ καὶ τῶν ἄλλων ἁπάντων, πλὴν Νείλου τοῦ Αἰγυπτίου· τούτῳ γὰρ οὐκ οἷά τε ἐστὶ συμβαλεῖν ἄλλον ποταμόν· τῶν δὲ λοιπῶν Βορυσθένης ἐστὶ πολυαρκέστατος, ὃς νομάς τε καλλίστας καὶ εὐκομιδεστάτας κτήνεσι παρέχεται ἰχθύας τε ἀρίστους διακριδὸν καὶ πλείστους, πίνεσθαί τε ἥδιστός ἐστι, ῥέει τε καθαρὸς παρὰ θολεροῖσι, σπόρος τε παρ᾽ αὐτὸν ἄριστος γίνεται, ποίη τε, τῇ οὐ σπείρεται ἡ χώρη, βαθυτάτη. ἅλες τε ἐπὶ τῷ στόματι αὐτοῦ αὐτόματοι πήγνυνται ἄπλετοι· κήτεά τε μεγάλα ἀνάκανθα, τὰ ἀντακαίους καλέουσι, παρέχεται ἐς ταρίχευσιν, ἄλλα τε πολλὰ θωυμάσαι ἄξια. μέχρι μέν νυν

---

1 sq. (Aristoteles meteor. II 3 p. 359b). Pausanias IV 35, 12. Stephanus Byz. v. Ὕπανις. — 10 sq. (Mela II 6). Eustathius Dion. 311. — 15 sqq. (Mela ibidem). — 17 sq. Eustathius ibidem. — 19. - 21 ibidem

1. πικρῶς αἰνῶς *R* ‖ 2. οὕτω - πικρή om. *B* ‖ μεγέθει *AB* ‖ μικρὴ *d* ‖ 4. οὔροισι z ‖ 5. ἀλαζόνων *A*, ἀλιζώνων *R* ‖ τῷ χώρῳ ὅθεν ῥέει *R* ‖ 6. ἐξαμπαῖος *PR*, '*Exampheus*' Mela: αμαξάμπαιος *AB*, ἀμαξάμπαιος *d*, ἀμοξάνπαιος *C*, Αμαξάμπεος z ‖ 8. ἀλάζονας *A*, ἀλάζονας *B*, ἀλαζώνας *R* ‖ 10. δὲ] δὲ ὁ bz ‖ ὅς ἐστί τε μέγιστος *P*, ὅς ἔστι τε μέγιστος *R*: ἔστι μέγιστός γε *AB*, ἐστί, μέγιστός γε *C*, ἔστι sine reliquis *d*, ὅς ἐστί τε μέγιστός τε z ‖ 11. τοῦτον *d*, τουτέων z ‖ 13. πάντων *ABCd* ‖ 14. τέ ἐστι *L* ‖ συμβαλεῖν *AB*: συμβαλέειν *Cdz*, συμβάλλειν *PR* ‖ 16. εὐκομηδεστάτας *d*, εὐνομεδεστάτας Pm *Rz* ‖ παρέχεται καὶ? ‖ ἰχθύς *R* ‖ 17. καὶ om. *ABCd* ‖ 20. κήτεά τε] κάτη ἅτε *R* ‖ 21. εἰς *ABd* ‖ 22. θωμάσαι *ABRd*

Γερρέων χώρου, ἐς τὸν τεσσεράκοντα ἡμερέων πλόος ἐστί, γινώσκεται ῥέων ἀπὸ βορέω ἀνέμου· τὸ δὲ κατύπερθε δι' ὧν ῥέει ἀνθρώπων οὐδεὶς ἔχει φράσαι· φαίνεται δὲ ῥέων δι' ἐρήμου ἐς τῶν γεωργῶν Σκυθέων τὴν χώρην· οὗτοι γὰρ οἱ Σκύθαι παρ' αὐτὸν ἐπὶ δέκα ἡμερέων πλόον νέμονται. μούνου δὲ τούτου τοῦ ποταμοῦ καὶ Νείλου οὐκ ἔχω φράσαι τὰς πηγάς, δοκέω δέ, οὐδὲ οὐδεὶς Ἑλλήνων. ἀγχοῦ τε δὴ θαλάσσης ὁ Βορυσθένης ῥέων γίνεται καί οἱ συμμίσγεται ὁ Ὕπανις ἐς τὠυτὸ ἕλος ἐκδιδούς. τὸ δὲ μεταξὺ τῶν ποταμῶν τούτων ἐὸν ἔμβολον τῆς χώρης Ἱππόλεω ἄκρη καλέεται, ἐν δὲ αὐτῷ ἱρὸν Δήμητρος ἐνίδρυται· πέρην δὲ τοῦ ἱροῦ ἐπὶ τῷ Ὑπάνι Βορυσθενεῗται κατοίκηνται.

Ταῦτα μὲν τὰ ἀπὸ τούτων τῶν ποταμῶν, μετὰ δὲ τού- 54
τους πέμπτος ποταμὸς ἄλλος τῷ οὔνομα Παντικάπης. ῥέει μὲν καὶ οὗτος ἀπὸ βορέω τε καὶ ἐκ λίμνης, καὶ τὸ μεταξὺ τούτου τε καὶ τοῦ Βορυσθένεος νέμονται οἱ γεωργοὶ Σκύθαι, ἐκδιδοῖ δὲ ἐς τὴν Ὑλαίην, παραμειψάμενος δὲ ταύτην τῷ
Βορυσθένεϊ συμμίσγεται. ἕκτος δὲ Ὑπάκυρις ποταμός, ὃς 55
ὁρμᾶται μὲν ἐκ λίμνης, διὰ μέσων δὲ τῶν νομάδων Σκυθέων ῥέων ἐκδιδοῖ κατὰ Καρκινῖτιν πόλιν, ἐς δεξιὴν ἀπέργων τήν
τε Ὑλαίην καὶ τὸν Ἀχιλλήιον δρόμον καλεόμενον. ἕβδομος 56
δὲ Γέρρος ποταμὸς ἀπέσχισται μὲν ἀπὸ τοῦ Βορυσθένεος κατὰ τοῦτο τῆς χώρης ἐς ὃ γινώσκεται ὁ Βορυσθένης· ἀπέσχισται μέν νυν ἐκ τούτου τοῦ χώρου, οὔνομα δὲ ἔχει τό περ ὁ χῶρος αὐτός, Γέρρος, ῥέων δὲ ἐς θάλασσαν οὐρίζει

---

7. δοκέω - Ἑλλήνων Eustathius Dion. 226. — 16. ibidem 311

1. γέρρου τε *R*, Γεῤῥέου *z*. fortasse Γερρίων ‖ τεσσαράκοντα *CRd*. τεσσέρων καὶ δέκα Gatterer, τεσσερεσκαίδεκα Reiz ‖ 2. βορέου *P* ‖ 4. γεωργῶν *R*: γεωργῶν τῶν ‖ σκυθαίων *C* ut fere ‖ 6. τοῦ om. *ABCd* ‖ 7. δοκῶ Eust. ‖ οὐδὲ om. *R* ‖ οὐδὲ εἷς *d* ‖ 9. ὕσπανις *R* ‖ ἐς τὠυτὸ ἕλος Wesseling: ἐς τὠυτὸ τέλος *PRz*, ἐς τὸ τέλος *ABCd* ‖ τὸ μεταξὺ δὲ *PR* ‖ 10. τουτέων *z* ‖ ἐὼν *A*[1] ‖ ἱππολέω *CPR*, ἱππολέων *ABdz* ‖ 11. δήμητρος *PRz*: μητρὸς ‖ ἐπὶ Valckenaer: ὑπὸ ‖ 12. βορυσθενεῗται *R*, βορυσθενῖται ceteri ‖ 13. τουτέων *z* ‖ 15. μὲν correxi: δὲ *PR*, μὲν γὰρ reliqui ‖ τε καὶ *PRz*: τε ‖ 17. παραμείψας *R* ‖ 18. βορυσθένει *AB*, βορυσθένϊ *R* ‖ ὑπάκαρις *ABdz*, ὑπάκρις *C* ‖ 20. καρκίνιτον *ABCd* ‖ 21. ἀχίλλειον *P* ‖ καλεόμενον δρόμον *z* ‖ 22. γέρροντος *C* ‖ μὲν] δὲ *d* ‖ 23. ἐσὸ *AB*. ἐς τὸ Struve ‖ 24. δ' *AB* ‖ 25. δ' ἐς *CPz*, εἰς sine δὲ *R* ‖ οὐρίζει *z* ut solet

τήν τε τῶν νομάδων χώρην καὶ τὴν τῶν βασιληίων Σκυθέων,
57 ἐκδιδοῖ δὲ ἐς τὸν Ὑπάκυριν. ὄγδοος δὲ δὴ Τάναϊς ποταμός, ὃς ῥέει τἀνέκαθεν ἐκ λίμνης μεγάλης ὁρμεόμενος, ἐκδιδοῖ δὲ ἐς μέζω ἔτι λίμνην καλεομένην Μαιῆτιν, ἣ οὐρίζει Σκύθας τε τοὺς βασιληίους καὶ Σαυρομάτας. ἐς δὲ Τάναϊν τοῦτον ἄλλος ποταμὸς ἐσβάλλει τῷ οὔνομά ἐστι Ὕργις.
58 Τοῖσι μὲν δὴ ὀνομαστοῖσι ποταμοῖσι οὕτω δή τι οἱ Σκύθαι ἐσκευάδαται, τοῖσι δὲ κτήνεσι ἡ ποίη ἀναφυομένη ἐν τῇ Σκυθικῇ ἐστι ἐπιχολωτάτη πασέων ποιέων τῶν ἡμεῖς ἴδμεν· ἀνοιγομένοισι δὲ τοῖσι κτήνεσι ἐστὶ σταθμώσασθαι ὅτι τοῦτο οὕτω ἔχει.
59 Τὰ μὲν δὴ μέγιστα οὕτω σφι εὔπορά ἐστι, τὰ δὲ λοιπὰ νόμαια κατὰ τάδε σφι διακέεται. θεοὺς μὲν μούνους τούσδε ἱλάσκονται, Ἱστίην μὲν μάλιστα, ἐπὶ δὲ Δία καὶ Γῆν, νομίζοντες τὴν Γῆν τοῦ Διὸς εἶναι γυναῖκα, μετὰ δὲ τούτους Ἀπόλλωνά τε καὶ Οὐρανίην Ἀφροδίτην καὶ Ἡρακλέα καὶ Ἄρεα. τούτους μὲν πάντες Σκύθαι νενομίκασι, οἱ δὲ καλεόμενοι βασιλήιοι Σκύθαι καὶ τῷ Ποσειδέωνι θύουσι. ὀνομάζονται δὲ σκυθιστὶ Ἱστίη μὲν Ταβιτί, Ζεὺς δὲ ὀρθότατα κατὰ γνώμην γε τὴν ἐμὴν καλεόμενος Παπαῖος, Γῆ δὲ Ἀπί, Ἀπόλλων δὲ Γοιτόσυρος, Οὐρανίη δὲ Ἀφροδίτη Ἀργίμπασα.

περὶ τῶν παρὰ Σκύθαις θεῶν τε καὶ νόμων καὶ ἠθῶν

2. - 4 Arrianus anab. III 30. — 10. Bekkeri Anecd. p. 406. Suidas v. ἀνοίγει. — 14. ἱλάσκονται - 15 γυναῖκα Eustathius Il. p. 978. — 19 sqq. Celsus apud Origenem c. Cels. VI 39. — 20. (ibidem V 41). Eustathius Il. p. 565. — 21. (Hesychius v. Γοιτόσυρον et Ἀρτιμήασαν

2. ἀπάκυριν *R*, ὑπάκαριν *dz* ‖ δὴ om. *Ppr.* ‖ 3. τὰ ἀνέκαθεν *R* ‖ ὁρμεόμενος *P*: ὁρμώμενος *ABR*, ὁρμεώμενος *Cdz* ‖ 5. δὲ] δὲ τὸν *R* ‖ 7. οὐνομαστοῖσι *Pdz* ‖ 8. ἡ ποίη] ποίη *PR*. ποίη ἡ Reiske ‖ 9. ἐστὶν *d*, ἐστι *AB*, ἔστι reliqui ‖ ἐπισχολωτάτη *C*, ἐπιχωλοτάτη *R* ‖ 10. ἐστὶ *Pd*: ἐστι τοῦτ' *z* ‖ 11. οὕτως *L* ‖ 13. νομαῖα *R* ‖ διάκειται *AB* ‖ μὲν *PR*: δὲ ‖ 14. ἡλάσκονται *R* ‖ ἐπὶ δὲ] εἶτα Eust. ‖ καὶ] τε καὶ *C*(?)*Rz* ‖ 16. ἡρακλέα καὶ ἀέρα *C*, ἄρεα καὶ ἡρακλέα *PR* ‖ 17. οἱ σκύθαι *dz* ‖ καλεόμενοι om. *ABCd* ‖ 18. ποσειδέονι *R* ‖ ὀνομάζονται *R*: οὐνομάζονται *P*, οὐνομάζεται reliqui ‖ 19. ὀρθώτατα *d* ‖ 20. γε] τε *d*, om. *Ppr.R* ‖ ἀπὶ *PR*: ἀπία ‖ 21. Γοιτόσυρος Hesychius: οἰτόσυρος *L*, Γογγόσυρος Cels. ‖ ἀργίμπασα *PR*. Cels.: ἀρίππασα *ABCd*, ἀρτίμπασα *sz*, Ἀρτιμήασα Hes.

Ποσειδέων δὲ Θαγιμασάδας. ἀγάλματα δὲ καὶ βωμοὺς καὶ νηοὺς οὐ νομίζουσι ποιέειν πλὴν Ἄρεϊ· τούτῳ δὲ νομίζουσι.

Θυσίη δὲ ἡ αὐτὴ πᾶσι κατέστηκε περὶ πάντα τὰ ἱρὰ 60
ὁμοίως, ἐρδομένη ὧδε. τὸ μὲν ἱρήιον αὐτὸ ἐμπεποδισμένον τοὺς ἐμπροσθίους πόδας ἕστηκε· ὁ δὲ θύων ὄπισθε τοῦ κτήνεος ἑστεὼς σπάσας τὴν ἀρχὴν τοῦ στρόφου καταβάλλει μιν, πίπτοντος δὲ τοῦ ἱρηίου ἐπικαλέει τὸν θεὸν τῷ ἂν θύῃ, καὶ ἔπειτα βρόχῳ περὶ ὦν ἔβαλε τὸν αὐχένα, σκυταλίδα δὲ ἐμβαλὼν περιάγει καὶ ἀποπνίγει, οὔτε πῦρ ἀνακαύσας οὔτε καταρξάμενος οὔτ᾽ ἐπισπείσας· ἀποπνίξας δὲ καὶ ἀποδείρας τράπεται πρὸς ἕψησιν. τῆς δὲ γῆς τῆς Σκυθικῆς αἰνῶς 61
ἀξύλου ἐούσης ὧδέ σφι ἐς τὴν ἕψησιν τῶν κρεῶν ἐξεύρηται. ἐπειδὰν ἀποδείρωσι τὰ ἱρήια, γυμνοῦσι τὰ ὀστέα τῶν κρεῶν, ἔπειτα ἐσβάλλουσι, ἢν μὲν τύχωσι ἔχοντες, ἐς λέβητας ἐπιχωρίους, μάλιστα Λεσβίοισι κρητῆρσι προσεικέλους, χωρὶς ἢ ὅτι πολλῷ μέζονας· ἐς τούτους ἐσβάλλοντες ἕψουσι ὑποκαίοντες τὰ ὀστέα τῶν ἱρηίων. ἢν δὲ μή σφι παρῇ ὁ λέβης, οἱ δὲ ἐς τὰς γαστέρας τῶν ἱρηίων ἐσβάλλοντες τὰ κρέα πάντα καὶ παραμίξαντες ὕδωρ ὑποκαίουσι τὰ ὀστέα· τὰ δὲ αἴθεται κάλλιστα, αἱ δὲ γαστέρες χωρέουσι εὐπετέως τὰ κρέα ἐψιλωμένα τῶν ὀστέων· καὶ οὕτω βοῦς τε ἑωυτὸν ἐξέψει καὶ τἆλλα ἱρήια ἑωυτὸ ἕκαστον. ἐπεὰν δὲ ἑψηθῇ τὰ κρέα, ὁ θύσας τῶν κρεῶν καὶ τῶν σπλάγχνων ἀπαρξάμενος ῥίπτει ἐς τὸ ἔμπροσθε. θύουσι δὲ καὶ τὰ ἄλλα πρόβατα καὶ ἵππους μάλιστα.

---

6. Λέξεις. — 24. θύουσι - μάλιστα Eustathius Od. p. 1649. — Bekkeri Anecd. p. 112. Schol. Il. δ 476

1. θαγιμασάδας correxi: θαγιμασάδα et θατιμασάδα Origenis codd., θαγιμασά *PR*, θαμιμασάδας *ABCd*, Θαμιμασάδης *z* ‖ 2. ἄρηι vel ἄρηϊ *L* ‖ 3. πᾶσα *PR* ‖ παρὰ Reiske ‖ 4. ἐρδομένη *PR*: ερδομένη *AB*, ἐρδομένη *Cdz* ‖ 5. τοὺς δύο πόδας τοὺς ἐμπροσθίους *z* ‖ ὄπισθεν *z* ‖ 7. τῶ θῶ *d* ‖ θύοι *b*, θύει *z* ‖ 8. περιὼν *bz* ‖ ἔβαλλε *d* ‖ 9. καὶ ἀποπνίγει om. *R* ‖ 10. κατευξάμενος *PR* ‖ 13. ἐπειδὰν *Cd*, ἐπειδ᾽ ἂν *AB*: ἐπεὰν ‖ 14. ἔπειτα δὲ *PR*, ἔπειτα δ᾽ *z* ‖ ἐς λέβητας Gronovius: λέβητας ‖ 15. λεβίοισι *AB*[1], γλεσβίοισι *R* ‖ προσεικέλους - 16 ἕψουσι om. *C* ‖ 16. μείζονας *AB* ‖ βαλόντες *R* ‖ ὑποκέοντες *A*[1]*R* ‖ 17. ὀστᾶ *d* ‖ ὁ om. *PRz* ‖ 18. εἰς *d* ‖ 19. ὑποκέουσι *R* ‖ 21. ἑαυτὸν *ABd* ‖ 22. τἆλλα *CPd*, τὰ ἄλλα *R* ‖ 23. ἔμπροσθε *AB*: ἔμπροσθεν ‖ 24. θύουσι - p. 288, 1 ἄλλοισι om. *C* ‖ τἄλλα *R*, τἀλλα *z* ‖ ἵππους δὲ Eust.

62 Τοῖσι μὲν δὴ ἄλλοισι τῶν θεῶν οὕτω θύουσι καὶ ταῦτα τῶν κτηνέων, τῷ δὲ Ἄρεϊ ὧδε. κατὰ νομοὺς ἑκάστοισι τῶν ἀρχηίων ἐσίδρυταί σφι Ἄρεος ἱρὸν τοιόνδε. φρυγάνων φάκελοι συννένέαται ὅσον τ' ἐπὶ σταδίους τρεῖς μῆκος καὶ εὖρος, ὕψος δὲ ἔλασσον· ἄνω δὲ τούτου τετράγωνον ἄπεδον πεποίηται, καὶ τὰ μὲν τρία τῶν κώλων ἐστὶ ἀπότομα, κατὰ δὲ τὸ ἓν ἐπιβατόν. ἔτεος δὲ ἑκάστου ἁμάξας πεντήκοντα καὶ ἑκατὸν ἐπινέουσι φρυγάνων· ὑπονοστέει γὰρ δὴ αἰεὶ ὑπὸ τῶν χειμώνων. ἐπὶ τούτου δὴ τοῦ σηκοῦ ἀκινάκης σιδήρεος ἵδρυται ἀρχαῖος ἑκάστοισι, καὶ τοῦτ' ἐστὶ τοῦ Ἄρεος τὸ ἄγαλμα. τούτῳ δὲ τῷ ἀκινάκῃ θυσίας ἐπετείους προσάγουσι προβάτων καὶ ἵππων, καὶ δὴ καὶ τοῖσιδ' ἔτι πλέω θύουσι ἢ τοῖσι ἄλλοισι θεοῖσι. ὅσους ἂν τῶν πολεμίων ζωγρήσωσι, ἀπὸ τῶν ἑκατὸν ἀνδρῶν ἄνδρα θύουσι, τρόπῳ οὐ τῷ αὐτῷ καὶ τὰ πρόβατα, ἀλλ' ἑτεροίῳ. ἐπεὰν γὰρ οἶνον ἐπισπείσωσι κατὰ τῶν κεφαλέων, ἀποσφάζουσι τοὺς ἀνθρώπους ἐς ἄγγος καὶ ἔπειτα ἀνενείκαντες ἄνω ἐπὶ τὸν ὄγκον τῶν φρυγάνων καταχέουσι τὸ αἷμα τοῦ ἀκινάκεω. ἄνω μὲν δὴ φορέουσι τοῦτο, κάτω δὲ παρὰ τὸ ἱρὸν ποιεῦσι τάδε. τῶν ἀποσφαγέντων ἀνδρῶν τοὺς δεξιοὺς ὤμους πάντας ἀποταμόντες σὺν τῇσι χερσὶ ἐς τὸν ἠέρα ἱεῖσι, καὶ ἔπειτα καὶ τὰ ἄλλα ἀπέρξαντες ἱρήια ἀπαλλάσσονται. χεὶρ δὲ τῇ ἂν πέσῃ κέεται, καὶ χωρὶς ὁ
63 νεκρός. θυσίαι μέν νυν αὗταί σφι κατεστᾶσι. ὑσὶ δὲ οὗτοι οὐδὲν νομίζουσι, οὐδὲ τρέφειν ἐν τῇ χώρῃ τὸ παράπαν θέλουσι.

3. φρυγάνων - 4 συννενέαται Etymol. M. p. 599, 24. (Crameri Anecd. Oxon. I p. 300). Eustathius Il. p. 689

1. τοῖς *AB* ‖ ταῦτα] τἆλλα *R* ‖ 2. δὲ δὴ *R* ‖ ἄρηι vel ἄρηϊ *L* ‖ νόμους *ABdz* ‖ 3. ἀρχηΐων *Cdz*: ἀρχείων *AB*, ἀρχαίων *PR* ‖ ἄρηος *C*(?)*z* ‖ 4. συνενέαται *A*, συνενέαται *P*[1]*dz*, συνέαται *R* ‖ τε *R* ‖ 5. ἐπίπεδον *PR* ‖ 9. ὑπὸ *R* ‖ δὲ *R* ‖ ὄγκου *PRz* ‖ 10. τοῦτό *R* ‖ ἄρηος *C*(?)*z* ‖ 11. ἀκινάκεϊ *z* ‖ 12. δὴ καὶ] δὴ *d* ‖ τοῖσδε *R*, τοῖσδ' ceteri ‖ 13. ἂν Bekker: om. *P*, δ' ἂν ceteri ‖ 14. ἄνδρα] ἄνδρα ἕνα *Rz* ‖ οὐ τῷ] τοιουτῶι *B*, αὐτῶ *d* ‖ αὐτῷ Struve: αὐτῷ ᾧ ‖ 15. ἀλλὰ *AB* ‖ οἷον *d* ‖ 16. κεφαλαίων *CR* ‖ σφάξουσι *R* ‖ 18. ἀκινάκεος *L* ‖ ἀναφέρουσι ταῦτα *R* ‖ κάτωι *B* ‖ 20. ἀποτάμνοντες *PRz* ‖ 21. καὶ τἆλλα *R* ‖ ἀπάρξαντες *P*, ἐπάρξαντες *R* ‖ 22. κέαται *AB*, κεῖται *R* ‖ 23. κατεστεᾶσι *d*, κατεστέασι ceteri ‖ οὗτοι] καὶ οὗτοι? ‖ 24. τὸ παράπαν ἐν τῇ χώρῃ *z*

Τὰ δ' ἐς πόλεμον ἔχοντα ὧδέ σφι διακέεται. ἐπεὰν τὸν 64
πρῶτον ἄνδρα καταβάλῃ ἀνὴρ Σκύθης, τοῦ αἵματος ἐμπίνει. ὅσους δ' ἂν φονεύσῃ ἐν τῇ μάχῃ, τούτων τὰς κεφαλὰς ἀποφέρει τῷ βασιλέϊ· ἀπενείκας μὲν γὰρ κεφαλὴν τῆς ληίης μεταλαμβάνει τὴν ἂν λάβωσι, μὴ ἐνείκας δὲ οὔ. ἀποδείρει δὲ αὐτὴν τρόπῳ τοιῷδε. περιταμὼν κύκλῳ περὶ τὰ ὦτα καὶ λαβόμενος τῆς κεφαλῆς ἐκσείει, μετὰ δὲ σαρκίσας βοὸς πλευρῇ δέψει τῇσι χερσί, ὀργάσας δὲ αὐτὸ ἅτε χειρόμακτρον ἔκτηται, ἐκ δὲ τῶν χαλινῶν τοῦ ἵππου τὸν αὐτὸς ἐλαύνει, ἐκ τούτου ἐξάπτει καὶ ἀγάλλεται· ὃς γὰρ ἂν πλεῖστα δέρματα χειρόμακτρα ἔχῃ, ἀνὴρ ἄριστος οὗτος κέκριται. πολλοὶ δὲ αὐτῶν ἐκ τῶν ἀποδαρμάτων καὶ χλαίνας ἐπείνυσθαι ποιεῦσι, συρράπτοντες κατά περ βαίτας. πολλοὶ δὲ ἀνδρῶν ἐχθρῶν τὰς δεξιὰς χεῖρας νεκρῶν ἐόντων ἀποδείραντες αὐτοῖσι ὄνυξι καλύπτρας τῶν φαρετρέων ποιεῦνται. δέρμα δὲ ἀνθρώπου καὶ παχὺ καὶ λαμπρὸν ἦν ἄρα, σχεδὸν δερμάτων πάντων λαμπρότατον λευκότητι. πολλοὶ δὲ καὶ ὅλους ἄνδρας ἐκδείραντες καὶ διατείναντες ἐπὶ ξύλων ἐπ' ἵππων περιφέρουσι.
ταῦτα μὲν δὴ οὕτω σφι νενόμισται, αὐτὰς δὲ τὰς κεφαλάς, 65
οὔτι πάντων ἀλλὰ τῶν ἐχθίστων, ποιεῦσι τάδε. ἀποπρίσας [ἕκαστος] πᾶν τὸ ἔνερθε τῶν ὀφρύων ἐκκαθαίρει· καὶ ἢν μὲν ᾖ πένης, ὁ δὲ ἔξωθεν ὠμοβοέην μούνην περιτείνας οὕτω χρᾶται, ἢν δὲ ᾖ πλούσιος, τὴν μὲν ὠμοβοέην περιτείνει,

ὅτι κεφαλὰς ἀνθρώπων ἀντὶ ποτηρίων ἔχουσιν

7. Pollux II 233. — 8. Λέξεις

1. δὲ *R* ‖ διακέαται *ABC* ‖ 3. δὲ *R* ‖ τουτέων *z* ‖ 4. βασιλεῖ *ABR* ‖ λείης *R* ‖ 5. ἀποδέρει τὲ *R* ‖ 7. ἐκσείει A^2 marg. *R*: ἐξίμει *C*, ἐξίει reliqui ‖ 8. δέψει *Rz*: δέψεῖ *P*, δεψεῖ *ABC*, ἑψεῖ *d* ‖ ὀργάσας A^2B^2 (gloss.): ὀργήσας *R*, ὀργίσας reliqui ‖ χειρώμακτρον *ABC* ‖ 9. τῶν om. *ABCd* ‖ τὸν ἂν *C*, τὸν ἂν *P* ‖ ἐλαύνῃ *P* ‖ 10. δέρματα om. *R* ‖ 11. χειρώμακτρα *ABC* ‖ ἔχει *B*, ἔχοι *z* ‖ 12. αὐτέων *z* ‖ ἀποδαρμάτων A^1BR: ἀποδερμάτων ‖ ἐπέννυσθαι *PR*, ἐφιέννυσθαι A^m, ἐπιέννυσθαι Wesseling ποιέουσι *R* ‖ 14. χέρας *z* ‖ ἀποδείραντες] ἀποδείραντες καὶ διατείναντες *sz* ‖ 15. δέρματα *Apr.* ‖ 16. λαμπρόν. ἦν *z* ‖ ἆρα *d* ‖ πάντων καὶ *R* 18. ἐφ' *ABd* ‖ 19. οὗτοι *z* ‖ 21. ἕκαστος exclusi ‖ ἔνερθεν *dz* ‖ 22. ὁ δὲ *AB*: ὅδε *R*, ὁ δ' reliqui ‖ 23. ἢν - περιτείνει om. *C* ‖ ᾖ om. *PRz*

ἔσωθεν δὲ καταχρυσώσας οὕτω χρᾶται ποτηρίῳ. ποιεῦσι δὲ τοῦτο καὶ ἐκ τῶν οἰκηίων ἤν σφι διάφοροι γένωνται καὶ ἢν ἐπικρατήσῃ αὐτοῦ παρὰ τῷ βασιλέι. ξείνων δέ οἱ ἐλθόντων τῶν ἂν λόγον ποιέηται, τὰς κεφαλὰς ταύτας παραφέρει καὶ ἐπιλέγει ὥς οἱ ἐόντες οἰκήιοι πόλεμον προσεθήκαντο καί σφεων αὐτὸς ἐπεκράτησε, ταύτην ἀνδραγαθίην λέγοντες.

66 ἅπαξ δὲ τοῦ ἐνιαυτοῦ ἑκάστου ὁ νομάρχης ἕκαστος ἐν τῷ ἑωυτοῦ νομῷ κιρνᾷ κρητῆρα οἴνου, ἀπ' οὗ πίνουσι τῶν Σκυθέων τοῖσι ἄνδρες πολέμιοι ἀραιρημένοι ἔωσι· τοῖσι δ' ἂν μὴ κατεργασμένον ᾖ τοῦτο, οὐ γεύονται τοῦ οἴνου τούτου, ἀλλ' ἠτιμωμένοι ἀποκατέαται· ὄνειδος δέ σφι ἐστὶ μέγιστον τοῦτο. ὅσοι δὲ ἂν αὐτῶν καὶ κάρτα πολλοὺς ἄνδρας ἀραιρηκότες ἔωσι, οὗτοι δὲ σύνδυο κύλικας ἔχοντες πίνουσι ὁμοῦ.

67 Μάντιες δὲ Σκυθέων εἰσὶ πολλοί, οἳ μαντεύονται ῥάβδοισι ἰτεΐνῃσι πολλῇσι ὧδε. ἐπεὰν φακέλους ῥάβδων μεγάλους ἐνείκωνται, θέντες χαμαὶ διεξειλίσσουσι αὐτούς, καὶ ἐπὶ μίαν ἑκάστην ῥάβδον τιθέντες θεσπίζουσι, ἅμα τε λέγοντες ταῦτα συνειλέουσι τὰς ῥάβδους ὀπίσω καὶ αὖτις κατὰ μίαν συντιθεῖσι. αὕτη μέν σφι ἡ μαντικὴ πατρωίη ἐστί. οἱ δὲ Ἐνάρεες οἱ ἀνδρόγυνοι τὴν Ἀφροδίτην σφίσι λέγουσι μαντικὴν δοῦναι· φιλύρης ὦν φλοιῷ μαντεύονται. ἐπεὰν τὴν φιλύρην τρίχα σχίσῃ, διαπλέκων ἐν τοῖσι δακτύλοισι τοῖσι ἑωυτοῦ καὶ

68 διαλύων χρᾷ. ἐπεὰν δὲ βασιλεὺς ὁ Σκυθέων κάμῃ, μεταπέμπεται τῶν μαντίων ἄνδρας τρεῖς τοὺς εὐδοκιμέοντας

---

11. Eustathius Il. p. 234. — 20. Λέξεις

1. καταχρυσώσας *PR*: περιχρυσώσας ‖ ποιέουσι *PR* ‖ 2. τούτω *R* γένωνται *PR*: γίνωνται ‖ ἢν] ἤν τις *rz* ‖ 3. αὐτῶν Reiske ‖ βασιλεῖ *AB* 4. ποιῆται *ABR* ‖ 5. προεθήκαντο *Pcorr.R* ‖ 6. ταύτην τὴν *sz* ‖ λέγεται *PRz* ‖ 7. τοῦ] καὶ τοῦ *R* ‖ ἑκάστου οὐνομάρχης *z* ‖ 8. ἑωυτοῦ *R*: ἑαυτοῦ *ABP*, αὐτοῦ *C*, αὐτῶ *d*, ἑαυτῷ *z* ‖ νόμω *d* ‖ κίρναται *PR* ‖ κρατῆρα *d* ‖ 9. τοῖσι] ὅσοι δὴ *Rz*. τοῖσι ἂν Schweighaeuser ‖ πολέμιοι om. *R* ‖ ἀναιρημένοι *CP* ‖ ἴωσι *d* ‖ 11. ἀποκαθέαται *R*. Eust. ‖ σφί ἐστι *ABR* ‖ 12. ἂν om. *ABCd* ‖ ἀραιρηκότες *R*, ἀναιρηκότες A^2*C*(?)*bz* ‖ 16. ἰτεΐῃσι *dz* ‖ 17. διεξελίσσουσι *L* ‖ 20. μέν σφι] μέντοι *z* ‖ πατρώη *R* ‖ σφι ἐστί *z* ‖ νάρεες *PR*, ἐνάριες reliqui et gloss. ‖ 21. οἱ *PR*: καὶ οἱ ‖ ἀνδρογόνοι *d* ‖ σφίσι scripsi: σφι ‖ 23. τρία *ABCd* ‖ τοῖσι om. *R* ‖ 25. τῶ *R* ‖ μαντηΐων *C*

μάλιστα, οἳ τρόπῳ τῷ εἰρημένῳ μαντεύονται· καὶ λέγουσι οὗτοι ὡς τὸ ἐπίπαν μάλιστα τάδε, ὡς τὰς βασιληίας ἱστίας ἐπιώρκηκε ὃς καὶ ὅς, λέγοντες τῶν ἀστῶν τὸν ἂν δὴ λέγωσι· τὰς δὲ βασιληίας ἱστίας νόμος Σκύθῃσι τὰ μάλιστά ἐστι ὀμνύναι τότε ἐπεὰν τὸν μέγιστον ὅρκον ἐθέλωσι ὀμνύναι. αὐτίκα δὲ διαλελαμμένος ἄγεται οὗτος τὸν ἂν δὴ φῶσι ἐπιορκῆσαι, ἀπιγμένον δὲ ἐλέγχουσι οἱ μάντιες ὡς ἐπιορκήσας φαίνεται ἐν τῇ μαντικῇ τὰς βασιληίας ἱστίας καὶ διὰ ταῦτα ἀλγέει ὁ βασιλεύς· ὁ δὲ ἀρνέεται, οὐ φάμενος ἐπιορκῆσαι, καὶ δεινολογέεται. ἀρνεομένου δὲ τούτου ὁ βασιλεὺς μεταπέμπεται ἄλλους διπλησίους μάντιας· καὶ ἢν μὲν καὶ οὗτοι ἐσορέοντες ἐς τὴν μαντικὴν καταδήσωσι ἐπιορκῆσαι, τοῦ δὲ ἰθέως τὴν κεφαλὴν ἀποτάμνουσι, καὶ τὰ χρήματα αὐτοῦ διαλαγχάνουσι οἱ πρῶτοι τῶν μαντίων· ἢν δὲ οἱ ἐπελθόντες μάντιες ἀπολύσωσι, ἄλλοι πάρεισι μάντιες καὶ μάλα ἄλλοι. ἢν ὦν οἱ πλεῦνες τὸν ἄνθρωπον ἀπολύσωσι, δέδοκται τοῖσι πρώτοισι τῶν μαντίων αὐτοῖσι ἀπόλλυσθαι. ἀπολλῦσι δῆτα 69
αὐτοὺς τρόπῳ τοιῷδε. ἐπεὰν ἅμαξαν φρυγάνων πλήσωσι καὶ ὑποζεύξωσι βοῦς, ἐμποδίσαντες τοὺς μάντιας καὶ χεῖρας ὀπίσω δήσαντες καὶ στομώσαντες κατεργνῦσι ἐς μέσα τὰ φρύγανα, ὑποπρήσαντες δὲ αὐτὰ ἀπιεῖσι φοβήσαντες τοὺς βοῦς. πολλοὶ μὲν δὴ συγκατακαίονται τοῖσι μάντισι βόες, πολλοὶ δὲ περικεκαυμένοι ἀποφεύγουσι, ἐπεὰν αὐτῶν ὁ ῥυμὸς κατακαυθῇ. κατακαίουσι δὲ τρόπῳ τῷ εἰρημένῳ καὶ δι' ἄλλας αἰτίας τοὺς μάντιας, ψευδομάντιας καλέοντες. τοὺς δ'

---

10. Pollux II 124

2. τοεπίπαν *Pz* ‖ ϊεστίας *A*, εστίας *B*[1], ἑστίας *C* ‖ 3. ἐπιόρκησε *sz* ‖ δὴ om. *Ppr.Rd* ‖ 4. ἱστίας *C* ‖ ταμάλιστά *Pz* ‖ 5. τότε – ὀμνύναι om. *Pt* ‖ θέλωσιν *R* ‖ 6. διαλελαμένος *R* ‖ ἄγεται om. *R* ‖ 8. ἱστίας *C* ‖ 10. ἀρνεουμένου *R* ‖ 11. διαπλησίους *R* ‖ 'aut μέν μιν aut μιν' Schweighaeuser ‖ 12. ἐσορῶντες codices, ἐσορέωντες *z* ‖ καταδήσωσι (λω) *A* ‖ ἐφιορκῆσαι *R* ‖ τοῦδε *ABz* ‖ 14. μαντηίων *d* ‖ ἢν] καὶ ἢν *ABpr.Cd* ‖ οἳ *d* ‖ 17. ἀπόλλουσι *R* ‖ δῆτα] δὲ *Pm Rz* ‖ 18. τοιῷδε τρόπῳ *ABd* ‖ ἅμαξαν] ἅμαξαν καμάρης *Pz*, ἄμαξαν καμάρης *R* ‖ 19. ἐμποδήσαντες *d*, ἐμπεδήσαντες *z* ‖ χέρας *z* ‖ 20. κατατείνουσιν *R*, κατειργνῦσι ceteri ‖ 21. τὰς *z* ‖ 22. συγκατακέονται *R* ‖ 23. αὐτέων *z* ‖ 25. καλέουσι *C* ‖ τούσδ' *P*, τοὺς δὲ *R*

ἂν ἀποκτείνῃ βασιλεύς, τούτων οὐδὲ τοὺς παῖδας λείπει, ἀλλὰ πάντα τὰ ἔρσενα κτείνει, τὰ δὲ θήλεα οὐκ ἀδικέει.

70 Ὅρκια δὲ ποιεῦνται Σκύθαι ὧδε πρὸς τοὺς ἂν ποιέωνται. ἐς κύλικα μεγάλην κεραμίνην οἶνον ἐγχέαντες αἷμα συμμίσγουσι τῶν τὸ ὅρκιον ταμνομένων, τύψαντες ὑπέατι ἢ ἐπιταμόντες μαχαίρῃ σμικρὸν τοῦ σώματος καὶ ἔπειτα ἀποβάψαντες ἐς τὴν κύλικα ἀκινάκην καὶ ὀιστοὺς καὶ σάγαριν καὶ ἀκόντιον· ἐπεὰν δὲ ταῦτα ποιήσωσι κατεύχονται πολλὰ καὶ ἔπειτα ἀποπίνουσι αὐτοί τε οἱ τὸ ὅρκιον ποιεύμενοι καὶ τῶν ἑπομένων οἱ πλείστου ἄξιοι.

71 Ταφαὶ δὲ τῶν βασιλέων ἐν Γέρροισί εἰσι [ἐς ὃ ὁ Βορυσθένης ἐστὶ προσπλωτός]· ἐνθαῦτα, ἐπεάν σφι ἀποθάνῃ ὁ βασιλεύς, ὄρυγμα γῆς μέγα ὀρύσσουσι τετράγωνον, ἕτοιμον δὲ τοῦτο ποιήσαντες ἀναλαμβάνουσι τὸν νεκρόν, κατακεκηρωμένον μὲν τὸ σῶμα, τὴν δὲ νηδὺν ἀνασχισθεῖσαν καὶ καθαρθεῖσαν, πλέην κυπέρου κεκομμένου καὶ θυμιήματος καὶ σελίνου σπέρματος καὶ ἀννήσου, συνερραμμένην ὀπίσω, καὶ κομίζουσι ἐν ἁμάξῃ ἐς ἄλλο ἔθνος. οἳ δὲ ἂν παραδέξωνται κομισθέντα τὸν νεκρόν, ποιεῦσι τά περ οἱ βασιλήιοι Σκύθαι· τοῦ ὠτὸς ἀποτάμνονται, τρίχας περικείρονται, βραχίονας περιτάμνονται, μέτωπον καὶ ῥῖνα καταμύσσονται, διὰ τῆς ἀριστερῆς χειρὸς ὀιστοὺς διαβυνέονται. ἐνθεῦτεν δὲ κομίζουσι ἐν τῇ ἁμάξῃ τοῦ βασιλέος τὸν νέκυν ἐς ἄλλο ἔθνος τῶν ἄρχουσι· οἱ δέ σφι ἕπονται ἐς τοὺς πρότερον ἦλθον. ἐπεὰν

---

4. Pollux X 190

1. ἀποκτείνοι *z* ‖ τουτέων *z* ‖ 3. ποιέονται *B* ‖ 4. ἐκχέαντες *B*, ἐσγέαντες *R* ‖ 5. τὰ ὅρκια *PRz* ‖ ὑπέατι ἢ Lobeck: υπέατι ηι *AB*, ὑπέατι ἢ *PRz*, ὑπεατίη *d*, ἐπέατίηι *C*. ὀπέατι ἢ Is. Vossius ‖ ἐπιτάμνοντες *ABCd* ‖ 6. μικρὸν *ABd* ‖ 7. ἐς om. *Bpr.* ‖ ἀκινάκεα *z* ‖ σάγγαριν *R* ‖ 8. καταχεύονται *d* ‖ 11. βασιλήων *z* ‖ γέρροισι εἰσὶ *Rz* ‖ ἐς ὃ - 12 προσπλωτὸς separavi ‖ 13. ἑτοῖμον *CPdz* ‖ 14 κατακεχειρωμένον *d* ‖ 15. καθαρισθεῖσαν *C* ‖ 16. κεκομένου *R* ‖ μιήματος *A*[1] ‖ 17. σπέρματος om. *R* ‖ ἀνήσου *z* ‖ συνεραμμένην *A*, συρρεραμμένην *B*, συῤῥεραμένην *C* ‖ καὶ om. *ABCdz*, :· καὶ *P*[t], :· *P*[m] ‖ 18. ἀμάξῃ *R* ‖ δ' *C* (?) ‖ 20. τρίχας - 21 περιτάμνονται om. *ABCd* ‖ 21. τῆς τε *PRz* ‖ 22. χερὸς *z* ‖ 23. τῇ om. *CPz* ‖ ἐς ἄλλο ἔθνος τὸν νέκυν τοῦ βασιλέος *Pz*, ἐς ἄλλο ἔθνος τὸν νέκυν sine τοῦ βασιλέος *C*

δὲ πάντας περιέλθωσι τὸν νέκυν κομίζοντες, ἔν τε Γέρροισι ἔσχατα κατοικημένοισί εἰσι τῶν ἐθνέων τῶν ἄρχουσι καὶ ἐν τῇσι ταφῇσι. καὶ ἔπειτα, ἐπεὰν θέωσι τὸν νέκυν ἐν τῇσι θήκῃσι ἐπὶ στιβάδος, παραπήξαντες αἰχμὰς ἔνθεν καὶ ἔνθεν τοῦ νεκροῦ ξύλα ὑπερτείνουσι καὶ ἔπειτα ῥιψὶ καταστεγάζουσι, ἐν δὲ τῇ λοιπῇ εὐρυχωρίῃ τῆς θήκης τῶν παλλακέων τε μίαν ἀποπνίξαντες θάπτουσι καὶ τὸν οἰνοχόον καὶ μάγειρον καὶ ἱπποκόμον καὶ διήκονον καὶ ἀγγελιηφόρον καὶ ἵππους καὶ τῶν ἄλλων ἁπάντων ἀπαρχὰς καὶ φιάλας χρυσέας· ἀργύρῳ δὲ οὐδὲν οὐδὲ χαλκῷ χρέωνται. ταῦτα δὲ ποιήσαντες χοῦσι πάντες χῶμα μέγα, ἁμιλλώμενοι καὶ προθυμεόμενοι ὡς μέγιστον ποιῆσαι. ἐνιαυτοῦ δὲ περιφερομένου αὖτις ποιεῦσι 72
τοιόνδε. λαβόντες τῶν λοιπῶν θεραπόντων τοὺς ἐπιτηδεοτάτους (οἱ δέ εἰσι Σκύθαι ἐγγενέες· οὗτοι γὰρ θεραπεύουσι τοὺς ἂν αὐτὸς ὁ βασιλεὺς κελεύσῃ, ἀργυρώνητοι δὲ οὐκ εἰσί σφι θεράποντες), τούτων ὦν τῶν διηκόνων ἐπεὰν ἀποπνίξωσι πεντήκοντα καὶ ἵππους τοὺς καλλίστους πεντήκοντα, ἐξελόντες αὐτῶν τὴν κοιλίην καὶ καθήραντες ἐμπιπλᾶσι ἀχύρων καὶ συρράπτουσι. ἁψῖδος δὲ ἥμισυ ἐπὶ δύο ξύλα στήσαντες ὕπτιον καὶ τὸ ἕτερον ἥμισυ τῆς ἁψῖδος ἐπ' ἕτερα δύο, καταπήξαντες τρόπῳ τοιούτῳ πολλὰ ταῦτα, ἔπειτα τῶν ἵππων κατὰ μήκεα ξύλα παχέα διελάσαντες μέχρι τῶν τραχήλων ἀναβιβάζουσι αὐτοὺς ἐπὶ τὰς ἁψῖδας· τῶν δὲ αἱ μὲν πρότεραι ἁψῖδες ὑπέχουσι τοὺς ὤμους τῶν ἵππων, αἱ δὲ ὄπισθε

---

1. νεκρὸν *PR* ‖ ἔν τε τοῖσιν *R*, ἐν γέρροισι ceteri ‖ 2. εἰσι *Rd* ‖ 3. καὶ om. *R* ‖ τοῖσι θήκοισι et πήξαντες *d* ‖ 5. ῥιψὶ *Rdz*: ῥίψει *ABPcorr.*, ῥίψεϊ *C*, ῥίπει A^2 marg. fortasse ῥίπεσι ‖ 6. παλακέων *CR* ‖ 7. μίην *z* ‖ ἀποπνίγουσι θάπτοντες *B* ‖ 9. πάντων *ABCd* ‖ 10. ἄλλων ἁπάντων post οὐδὲ iterat *R* ‖ χρέονται *P* ‖ 11. μέγα *P*, om. *R* ‖ ἀμιλλεώμενοι *R* ‖ 13. ἐπιτηδεοτάτους *R*: ἐπιτηδειοτάτους *ABd*, ἐπιτηδεωτάτους *CPz* ‖ 14. δὲ εἰσὶ *AB*: δέοι εἰσὶ *C*, δέ εἰσι reliqui ‖ γάρ εἰσι θεραπεύοντες *z* ‖ 16. τουτέων *z* ‖ 17. καλλιστεύοντας *R* ‖ 18. αὐτέων *z* ‖ κοιλίαν *R* ‖ καθάραντες *AB* ‖ 19. ἀψίδος *Adz*, ἀψίδος *R* ‖ ἥμισυ ἐπὶ ξύλα δύο, ἥμισυ στήσαντες *z* ‖ 20. ἀψίδος *dz*, ἀψίδος *R* ‖ ἐπ'] ἐπὶ A^2, om. A^1*BCd* ‖ δύο καταπήξαντες, *ABCd* ‖ 21. τρόπῳ] καὶ τρόπῳ *Cd* ‖ ταῦτα] τοιαῦτα B^2 ‖ 22. κατὰ μήκεα A^2*Rd*: καταμήκεα *CPz*, καὶ τὰ μήκεα A^1*B* ‖ 23. ἀναβιβάζονται *ABCd* ‖ ἀψίδας *ARdz* ‖ πρότερον *d* ‖ 24. ἀψίδες *Rdz* ‖ ὑπερέχουσι *ABCd* ‖ ὄπισθεν *z*

παρὰ τοὺς μηροὺς τὰς γαστέρας ὑπολαμβάνουσι· σκέλεα δὲ ἀμφότερα καταχρέμαται μετέωρα. χαλινοὺς δὲ καὶ στόμια ἐμβαλόντες ἐς τοὺς ἵππους κατατείνουσι ἐς τὸ πρόσθε αὐτῶν καὶ ἔπειτα ἐκ πασσάλων δέουσι. τῶν δὲ δὴ νεηνίσκων τῶν ἀποπεπνιγμένων τῶν πεντήκοντα ἕνα ἕκαστον ἀναβιβάζουσι ἐπὶ τὸν ἵππον, ὧδε ἀναβιβάζοντες, ἐπεὰν νεκροῦ ἑκάστου παρὰ τὴν ἄκανθαν ξύλον ὀρθὸν διελάσωσι μέχρι τοῦ τραχήλου· κάτωθεν δὲ ὑπερέχει τοῦ ξύλου τούτου τὸ ἐς τόρμον πηγνύουσι τοῦ ἑτέρου ξύλου τοῦ διὰ τοῦ ἵππου. ἐπιστήσαντες
73 δὲ κύκλῳ τὸ σῆμα ἱππέας τοιούτους ἀπελαύνουσι. οὕτω μὲν τοὺς βασιλέας θάπτουσι. τοὺς δὲ ἄλλους Σκύθας, ἐπεὰν ἀποθάνωσι, περιάγουσι οἱ ἀγχοτάτω προσήκοντες κατὰ τοὺς φίλους ἐν ἁμάξῃσι κειμένους, τῶν δὲ ἕκαστος ὑποδεκόμενος εὐωχέει τοὺς ἑπομένους, καὶ τῷ νεκρῷ ἁπάντων παραπλησίως παρατίθησι ὅσα τοῖσι ἄλλοισι. ἡμέρας δὲ τεσσεράκοντα οὕτω οἱ ἰδιῶται περιάγονται, ἔπειτα θάπτονται. θάψαντες δὲ οἱ Σκύθαι καθαίρονται τρόπῳ τοιῷδε. σμησάμενοι τὰς κεφαλὰς καὶ ἐκπλυνάμενοι ποιεῦσι περὶ τὸ σῶμα τάδε. ἐπεὰν ξύλα στήσωσι τρία ἐς ἄλληλα κεκλιμένα, περὶ ταῦτα πίλους εἰρινέους περιτείνουσι, συμφράξαντες δὲ ὡς μάλιστα λίθους ἐκ πυρὸς διαφανέας ἐσβάλλουσι ἐς σκάφην κειμένην ἐν μέσῳ
74 τῶν ξύλων τε καὶ τῶν πίλων. ἔστι δέ σφι κάνναβις φυομένη ἐν τῇ χώρῃ πλὴν παχύτητος καὶ μεγάθεος τῷ λίνῳ ἐμφερεστάτη· ταύτῃ δὲ πολλῷ ὑπερφέρει ἡ κάνναβις. αὕτη καὶ αὐτομάτη καὶ σπειρομένη φύεται, καὶ ἐξ αὐτῆς Θρήικες μὲν

---

22. Bekkeri Anecd. p. 105. — 25. Hesychius v. καναβίς

2. καταχρέμανται *R* ‖ καὶ χαλινοὺς *B* ‖ 3. ἐς τοὺς] τοὺς om. *R* ‖ πρόσθεν *L* ‖ αὐτέων z ‖ 6. ἐπὶ ἵππον *P*, ἐπ ἵππον *R*, ἐπ' ἵππων z ‖ ἀναβιβάζοντες· ἐπεὰν vulgo ‖ 8. τραχήλου, κάτωθεν vulgo ‖ κορμὸν *A*² marg., τόρνον vel τόρνιον gloss. ‖ 9. πηγνῦσι *R* ‖ τοῦ διὰ] διὰ *ABCd* ‖ ἐπιστήσαντες] σπείσαντες *R*. rectius περιστήσαντες ‖ 10. τὸ] περὶ τὸ Reiske ‖ 11. βασιλῆας z ‖ 12. ἀγχοτάτωι *ABP* ‖ 13. ἁμάξῃι *A*¹ ‖ 14. πάντων παρατιθεῖ τῶν καὶ τοῖσι ἄλλοισι *R* ‖ 15. τεσσαράκοντα *Rd* ‖ 17. κατχίρονται *C* ‖ 19. ἐριvέους *ABCd* ‖ 20. ἐκπύρους *ABCd* ‖ 22. κάναβις *d* ut infra ‖ 23. μεγέθους *AB* ‖ λινέω *R* ‖ 24. ταῦτα *R* ‖ κάνναβις αὕτη. καὶ ante Schweighaeuserum ‖ 25. θρῆκες *R*, φράσαι Hesych. cod. (i. e. θρᾶσσαι)

καὶ εἵματα ποιεῦνται τοῖσι λινέοισι ὁμοιότατα· οὐδ' ἄν, ὅστις μὴ κάρτα τρίβων εἴη αὐτῆς, διαγνοίη λίνου ἢ καννάβιός ἐστι· ὃς δὲ μὴ εἶδέ κω τὴν κανναβίδα, λίνεον δοκήσει εἶναι τὸ εἷμα. ταύτης ὦν οἱ Σκύθαι τῆς καννάβιος τὸ σπέρμα 75
ἐπεὰν λάβωσι, ὑποδύνουσι ὑπὸ τοὺς πίλους, καὶ ἔπειτα ἐπιβάλλουσι τὸ σπέρμα ἐπὶ τοὺς διαφανέας λίθους τῷ πυρί· τὸ δὲ θυμιᾶται ἐπιβαλλόμενον καὶ ἀτμίδα παρέχεται τοσαύτην ὥστε Ἑλληνικὴ οὐδεμία ἄν μιν πυρίη ἀποκρατήσειε. οἱ δὲ Σκύθαι ἀγάμενοι τῇ πυρίῃ ὠρύονται. τοῦτό σφι ἀντὶ λουτροῦ ἐστι· οὐ γὰρ δὴ λούονται ὕδατι τὸ παράπαν τὸ σῶμα. αἱ δὲ γυναῖκες αὐτῶν ὕδωρ παραχέουσαι κατασώχουσι περὶ λίθον τρηχὺν τῆς κυπαρίσσου καὶ κέδρου καὶ λιβάνου ξύλου, καὶ ἔπειτα τὸ κατασωχόμενον τοῦτο παχὺ ἐὸν καταπλάσσονται πᾶν τὸ σῶμα καὶ τὸ πρόσωπον· καὶ ἅμα μὲν εὐωδίη σφέας ἀπὸ τούτου ἴσχει, ἅμα δὲ ἀπαιρέουσαι τῇ δευτέρῃ ἡμέρῃ τὴν καταπλαστὺν γίνονται καθαραὶ καὶ λαμπραί.

Ξεινικοῖσι δὲ νομαίοισι καὶ οὗτοι αἰνῶς χρᾶσθαι φεύ- 76
γουσι, μήτε τεῶν ἄλλων, Ἑλληνικοῖσι δὲ καὶ ἥκιστα, ὡς διέδεξαν Ἀνάχαρσίς τε καὶ δεύτερα αὖτις Σκύλης. τοῦτο μὲν γὰρ Ἀνάχαρσις ἐπείτε γῆν πολλὴν θεωρήσας καὶ ἀποδεξάμενος κατ' αὐτὴν σοφίην πολλὴν ἐκομίζετο ἐς ἤθεα τὰ Σκυθέων, πλέων δι' Ἑλλησπόντου προσίσχει ἐς Κύζικον· καὶ εὗρε γὰρ τῇ μητρὶ τῶν θεῶν ἀνάγοντας τοὺς Κυζικηνοὺς

περὶ Ἀναχάρσιδος καὶ τῆς αὐτοῦ τελευτῆς

2. Pollux VII 72. — 8. idem VII 168. — 11. Λέξεις

1. εἱματοποιεῦνται *R* ‖ λινέουσι *A*[1] ‖ 2. ἢ *AB* ‖ καννάβεως Poll. ‖ 3. καννάβιδα *AB* ‖ λῖνον *R* ‖ 5. ἐπιβάλλουσι *ABd*: ὑποβάλλουσι ‖ 6. τὸ δὲ] τῷι δὲ *P* ‖ 7. θυμιᾶται *A*[2]*R*: θυμιῆται ‖ ὑποβαλλόμενον *R* ‖ ἀτμῖδα *R* ‖ 8. οὐδεμίη *z* ‖ ἀποκρατήσειε - 9 πυρίῃ om. *R* ‖ 9. ὠρύεται *R* ‖ 10. λούονται *ABR*: λοῦνται ‖ 11. αὐτέων *z* ‖ παραχέουσι *C*, παρέχουσαι *R* ‖ σώχουσι gloss. ‖ 12. λιβανωτοῦ *R* ‖ 13. ἔπειτά τοι *R* ‖ ἐὸν] ἐόν· καὶ *ABCd* ‖ καταπάσσονται *z* ‖ 14. εὐωδίη *A*[1], εὐώδη *R* ‖ 15. ἔχει *R* ‖ 16. καταπλαστὴν *Rqbz* ‖ 17. νομέοισι *R* ‖ φεύγουσι post οὗτοι *ABd* ‖ 18. μήτε τεῶν scripsi: μή τί (vel μή τι vel μήτι) γε ὧν codices, μή τοι γε ὧν *z* ‖ ἄλλων G. Hermann: ἀλλήλων ‖ καὶ om. *CPdz* ‖ 19. ἀναχάρσι *R* ‖ σκύλις *C*, σκύλη *R* ‖ 21. κατατὴν σοφίην *B*[1] ‖ 22. δι' *Pz*: δὲ *R*, δὲ δι' reliqui ‖ προίσχει *B*[1]

ὁρτὴν μεγαλοπρεπέως κάρτα, εὔξατο τῇ μητρὶ ὁ Ἀνάχαρσις, ἤν σῶς καὶ ὑγιὴς ἀπονοστήσῃ ἐς ἑωυτοῦ, θύσειν τε κατὰ ταὐτὰ κατὰ τὰ ὥρα τοὺς Κυζικηνοὺς ποιεῦντας καὶ παννυχίδα στήσειν. ὡς δὲ ἀπίκετο ἐς τὴν Σκυθικήν, καταδὺς ἐς τὴν καλεομένην Ὑλαίην (ἡ δ' ἔστι μὲν παρὰ τὸν Ἀχιλλήιον δρόμον, τυγχάνει δὲ πᾶσα ἐοῦσα δενδρέων παντοίων πλέη), ἐς ταύτην δὴ καταδὺς ὁ Ἀνάχαρσις τὴν ὁρτὴν ἐπετέλεε πᾶσαν τῇ θεῷ, τύμπανόν τε ἔχων καὶ ἐκδησάμενος ἀγάλματα. καὶ τῶν τις Σκυθέων καταφρασθεὶς αὐτὸν ταῦτα ποιεῦντα ἐσήμηνε τῷ βασιλέι Σαυλίῳ· ὁ δὲ καὶ αὐτὸς ἀπικόμενος ὡς εἶδε τὸν Ἀνάχαρσιν ποιεῦντα ταῦτα, τοξεύσας αὐτὸν ἀπέκτεινε. καὶ νῦν ἤν τις εἴρηται περὶ Ἀναχάρσιος, οὔ φασί μιν Σκύθαι γινώσκειν, διὰ τοῦτο ὅτι ἐξεδήμησέ τε ἐς τὴν Ἑλλάδα καὶ ξεινικοῖσι ἔθεσι διεχρήσατο. ὡς δ' ἐγὼ ἤκουσα Τύμνεω τοῦ Ἀριαπείθεος ἐπιτρόπου, εἶναι αὐτὸν Ἰδανθύρσου τοῦ Σκυθέων βασιλέος πάτρων, παῖδα δὲ εἶναι Γνούρου τοῦ Λύκου τοῦ Σπαργαπείθεος. εἰ ὦν ταύτης ἦν τῆς οἰκίης ὁ Ἀνάχαρσις, ἴστω ὑπὸ τοῦ ἀδελφεοῦ ἀποθανών· Ἰδάνθυρσος γὰρ ἦν παῖς Σαυλίου, Σαύλιος δὲ ἦν ὁ ἀποκτείνας Ἀνάχαρσιν.

77 καίτοι τινὰ ἤδη ἤκουσα λόγον ἄλλον ὑπὸ Πελοποννησίων λεγόμενον, ὡς ὑπὸ τοῦ Σκυθέων βασιλέος Ἀνάχαρσις ἀποπεμφθεὶς τῆς Ἑλλάδος μαθητὴς γένοιτο, ὀπίσω τε ἀπονοστήσας φαίη πρὸς τὸν ἀποπέμψαντα Ἕλληνας πάντας ἀσχόλους εἶναι ἐς πᾶσαν σοφίην πλὴν Λακεδαιμονίων, τούτοισι δὲ εἶναι μούνοισι σωφρόνως δοῦναί τε καὶ δέξασθαι λόγον. ἀλλ'

13. ὅτι - 14 διεχρήσατο (Lexicon Vindob. p. 50)

1. μεγαλοπρεπέως κάρτα *P*: μεγαλοπρεπέα κάρτα *z*, κάρτα μεγαλοπρεπέως *R*, μεγαλοπρεπέως reliqui ‖ ηὔξατο *R* ‖ 2. ἀπονοστήσει et θύσει *C* ‖ ἐς] ἕως *d* ‖ 3. κατὰ τὰ *Psv*: κατ' ἃ *ABpr.*, κατὰ *Bcorr.Cdz*, om. *R* ‖ ὅρα *C* ‖ 4. ἀφίκετο *R* ‖ 6. πάντα *R* ‖ 7. δὴ *PRz*: δὲ ‖ ἐπετέλεσε πᾶσαν *C*, πᾶσαν ἐπετέλεε *PRz* ‖ 8. ἐκδημησάμενος *z* ‖ 9. καί τις τῶν *PRz* ‖ 10. ἐσήμαινε *d* ‖ βασιλεῖ *AB* ‖ σαυλαίω *R* ‖ 13. εἰς *R*. Lex. Vind. ‖ 14. ξενικοῖσι Lex. Vind. ‖ ἤθεσι *R* ‖ δὲ *Rd* ‖ τύμνεω *PR*: τοῦ νεὼ *ABd*, τοῦ νεῶ *C*, τίμνεω *sz* ‖ 15. σπαργαπίθεος *PRz* ‖ ἐπίτροπον εἶναι αὐτόν *AB* ἰδανθύρου *R*, ἰνδαθύρσου *dcorr.z* ‖ 16. βασιλέως *d* ‖ γνόρου *d* ‖ 17. σπαργαπίθεος *PRz* ‖ εἰ] εἰς *R* ‖ τῆς οἰκίης - 19 δὲ ἦν om. *R* ‖ ὁ om. *Psz* 18. ἀπὸ *dz* ‖ ἀδελφιδέου *Pd* ‖ ἰνδάθυρσος *ABdz* ‖ 19. ὁ om. *ABd* 21. τοῦ *PRz*: τῶν ‖ βασιλέως *C* ‖ 24. ἐς] πρὸς *z* ‖ δ' *ABd*

οὗτος μὲν ὁ λόγος ἄλλως πέπλασται ὑπ' αὐτῶν Ἑλλήνων, ὁ δ' ὦν ἀνὴρ ὥσπερ πρότερον εἰρέθη διεφθάρη.

Οὗτος μέν νυν οὕτω δή τι ἔπρηξε διὰ ξεινικά τε νόμαια 78
καὶ Ἑλληνικὰς ὁμιλίας. πολλοῖσι δὲ κάρτα ἔτεσι ὕστερον Σκύλης ὁ Ἀριαπείθεος ἔπαθε παραπλήσια τούτῳ. Ἀριαπείθεϊ γὰρ τῷ Σκυθέων βασιλέι γίνεται μετ' ἄλλων παίδων Σκύλης· ἐξ Ἰστριηνῆς δὲ γυναικὸς οὗτος γίνεται καὶ οὐδαμῶς ἐγχωρίης· τὸν ἡ μήτηρ αὐτὴ γλῶσσάν τε Ἑλλάδα καὶ γράμματα ἐδίδαξε. μετὰ δὲ χρόνῳ ὕστερον Ἀριαπείθης μὲν τελευτᾷ δόλῳ ὑπὸ Σπαργαπείθεος τοῦ Ἀγαθύρσων βασιλέος, Σκύλης δὲ τήν τε βασιληίην παρέλαβε καὶ τὴν γυναῖκα τοῦ πατρός, τῇ οὔνομα ἦν Ὀποίη· ἦν δὲ αὕτη ἡ Ὀποίη ἀστή, ἐξ ἧς ἦν Ὄρικος Ἀριαπείθεϊ παῖς. βασιλεύων δὲ Σκυθέων ὁ Σκύλης διαίτῃ μὲν οὐδαμῶς ἠρέσκετο Σκυθικῇ, ἀλλὰ πολλὸν πρὸς τὰ Ἑλληνικὰ μᾶλλον τετραμμένος ἦν ἀπὸ παιδεύσιος τῆς ἐπεπαίδευτο, ἐποίεέ τε τοιοῦτο. εὖτε ἀγάγοι τὴν στρατιὴν τὴν Σκυθέων ἐς τὸ Βορυσθενεϊτέων ἄστυ (οἱ δὲ Βορυσθενεῖται οὗτοι λέγουσι σφέας αὐτοὺς εἶναι Μιλησίους), ἐς τούτους ὅκως ἔλθοι ὁ Σκύλης, τὴν μὲν στρατιὴν καταλίπεσκε ἐν τῷ προαστείῳ, αὐτὸς δὲ ὅκως ἔλθοι ἐς τὸ τεῖχος καὶ τὰς πύλας ἐγκληίσειε, τὴν στολὴν ἀποθέμενος τὴν Σκυθικὴν λάβεσκε ἂν Ἑλληνίδα ἐσθῆτα, ἔχων δ' ἂν ταύτην ἠγόραζε οὔτε δορυφόρων ἑπομένων οὔτε ἄλλου οὐδενός (τὰς δὲ πύλας ἐφύλασσον, μή τίς μιν Σκυθέων ἴδοι ἔχοντα ταύτην τὴν στολήν),

1. οὗτος - Ἑλλήνων Eustathius Od. p. 1594

1. πέπαισται *R*. Eust. ‖ ὑπὸ Ἑλλήνων Eust. ‖ 2. ἠρέθη *C*, ἐρρήθη *Pcorr*. ‖ 3. τι om. *ABCd* ‖ ξενικὰ *R* ‖ 4. ἔτεσι κάρτα *ABd* ‖ 5. ἀριπείθεος *PRdz* ‖ παραπλήσια - 6 βασιλέι om. *d* ‖ ἀριαπείθει *AB*, ἀριπείθεϊ *PRz* ‖ 6. τῶν *R* ‖ βασιλεῖ *AB* ‖ παραγίνεται *d* ‖ μετ'] μὲν *C* ‖ 7. ἰστριηνῆς *AC*: ἰστρηνῆς *B*, ἰστρινῆς *Pdz*, ἰστρίνης *R* ‖ δὲ om. *d* ‖ ἐπιχωρίης Naber ‖ 8. αὐτὴ *R*. Reiske ‖ 9. ἀριπείθης *PRz* ‖ 10. βασιλέως *C*, βασιλῆος *z* ‖ 13. ὅρικος *PRz*. (Herodianus I p. 152 7 Lentz) : ὅριχος ‖ ἀριαπείθει *AB*, ἀριπείθεϊ *Pz*, ἀριπείθει *R* ‖ 14. μὲν om. *ABCd* ‖ 15. ἐπαιδεύετο *d* ‖ 16. τοιοῦτον *R* ‖ στρατιὴν τὴν] στρατιὴν τῶν *Pdz* ‖ 17. βορυσθενειτέων *ABR* ‖ βορυσθενεῖται *ABR* ‖ 18. λέγουσί σφεας *d* ‖ 19. ἔλθη *R* ‖ καταλείπεσκε *R*, κατελίπεσκε ceteri ‖ 21. ἐγκληίσειε A^2B : ἐκκληίσειε *C*, ἐγκλήισειε *P*, ἐγκλήσειε A^1, ἐγκλείσειε *Rd* ‖ 22. δὲ *R* ‖ ἠγόραζε *AB* ‖ 23. ἄλλου] λαοῦ *R*

καὶ τὰ ἄλλα ἐχρᾶτο διαίτῃ Ἑλληνικῇ καὶ θεοῖσι ἱρὰ ἐποίεε κατὰ νόμους τοὺς Ἑλλήνων. ὅτε δὲ διατρίψειε μῆνα ἢ πλέον τούτου, ἀπαλλάσσετο ἐνδὺς τὴν Σκυθικὴν στολήν· ταῦτα ποιέεσκε πολλάκις καὶ οἰκία τε ἐδείματο ἐν Βορυσθένεϊ
79 καὶ γυναῖκα ἔγημε ἐς αὐτὰ ἐπιχωρίην. ἐπείτε δὲ ἔδεέ οἱ κακῶς γενέσθαι, ἐγένετο ἀπὸ προφάσιος τοιῆσδε. ἐπεθύμησε Διονύσῳ Βακχείῳ τελεσθῆναι· μέλλοντι δέ οἱ ἐς χεῖρας ἄγεσθαι τὴν τελετὴν ἐγένετο φάσμα μέγιστον. ἦν οἱ ἐν Βορυσθενεϊτέων τῇ πόλι οἰκίης μεγάλης καὶ πολυτελέος περιβολή, τῆς καὶ ὀλίγῳ τι πρότερον τούτων μνήμην εἶχον, τὴν πέριξ λευκοῦ λίθου σφίγγες τε καὶ γρῦπες ἕστασαν· ἐς ταύτην ὁ θεὸς ἐνέσκηψε βέλος. καὶ ἡ μὲν κατεκάη πᾶσα, Σκύλης δὲ οὐδὲν τούτου εἵνεκα ἧσσον ἐπετέλεσε τὴν τελετήν. Σκύθαι δὲ τοῦ βακχεύειν πέρι Ἕλλησι ὀνειδίζουσι· οὐ γάρ φασι οἰκὸς εἶναι θεὸν ἐξευρίσκειν τοῦτον ὅστις μαίνεσθαι ἐνάγει ἀνθρώπους. ἐπείτε δὲ ἐτελέσθη τῷ Βακχείῳ ὁ Σκύλης, διεπρήστευσε τῶν τις Βορυσθενεϊτέων πρὸς τοὺς Σκύθας λέγων "ἡμῖν γὰρ καταγελᾶτε, ὦ Σκύθαι, ὅτι βακχεύομεν καὶ ἡμέας ὁ θεὸς λαμβάνει· νῦν οὗτος ὁ δαίμων καὶ τὸν ὑμέτερον βασιλέα λελάβηκε, καὶ βακχεύει τε καὶ ὑπὸ τοῦ θεοῦ μαίνεται. εἰ δέ μοι ἀπιστέετε, ἕπεσθε, καὶ ὑμῖν ἐγὼ δέξω." εἵποντο τῶν Σκυθέων οἱ προεστεῶτες, καὶ αὐτοὺς ἀναγαγὼν ὁ Βορυσθενεΐτης λάθρῃ ἐπὶ πύργον κατεῖσε. ἐπείτε δὲ παρήιε

---

15. ὅστις - 16 ἀνθρώπους (Lexicon Vindob. p. 53). — 20. Photius v. λελάβηκεν

1. τὰ ἄλλα *ABd*, τἄλλα *CP*, τἆλλα *z*, ταῦτα *R* ‖ ἐποίησε *R* ‖ 3. ἐσδὺς *R* ‖ 4. ἐποίεσκε *R* ‖ πλεονάκις *R*, πολλά *d* ‖ καὶ om. *PRz* ‖ βορυσθένει *ABR* ‖ 5. ἔδει *ABd* ‖ 6. ἐγίνετο *Acorr.BCd*: ἐγένετο ‖ 7. βακχίῳ *d* ‖ εἰς *d* ‖ 8. τελευτὴν *R* ‖ ἐν τῷ *R* ‖ 9. βορυσθενειτῶν *AB*, βορυσθένει τῶν *R* ‖ πόλῃ *R*, πόλει *d* ‖ 10. ὀλίγον *R* ‖ τουτέων *z* ‖ 11. τὴν] τήν τε *ABCd* ‖ γρύπες *dz* ‖ ἔστασαν *d* ‖ 12. κατακάη *R* ‖ 13. τούτων *P*, τουτέων *z* ‖ ἐπετέλεε τὴν τελευτὴν *R* ‖ 15. εἰκὸς *dz* ‖ εὑρίσκειν *C* ‖ 16. βακχίῳ *d* ‖ διεπρήστευσε *PRz*: ἐπρήστευσε *ABCd*, διεπίστευσε *s*. διεπερίσσευσε Reiz, διεδρήστευσε J. G. Schneider, διεδρηπέτευσε G. Dindorf. ipse tentabam διερπήστευσε ‖ 17 τῶν om. *R* ‖ βορυσθενειτέων *ABR* ‖ 18. γὰρ] δὲ *PRz* ‖ ὦ om. *d* ‖ 19. ὑμέας *z* ‖ 20. λελάληκε *CR* ‖ τε om. *PRz* ‖ 21. ἀπιστέεται *B* ‖ δείξω *L* ‖ 22. προεστῶντες *d* ‖ 23. βορυσθενείτης *ABR* ‖ κατεῖσε *R*: ἐκάτισε *z*, κάτισε ceteri ‖ παρηΐε *AB*, παρῄε *d*

σὺν τῷ θιάσῳ ὁ Σκύλης καὶ εἶδόν μιν βακχεύοντα οἱ Σκύθαι, κάρτα συμφορὴν μεγάλην ἐποιήσαντο, ἐξελθόντες δὲ ἐσήμαινον πάσῃ τῇ στρατιῇ τὰ ἴδοιεν. ὡς δὲ μετὰ ταῦτα ἐξή- 80 λαυνε ὁ Σκύλης ἐς ἤθεα τὰ ἑωυτοῦ, οἱ Σκύθαι προστησάμενοι τὸν ἀδελφεὸν αὐτοῦ Ὀκταμασάδην, γεγονότα ἐκ τῆς Τήρεω θυγατρός, ἐπανιστέατο τῷ Σκύλῃ. ὁ δὲ μαθὼν τὸ γινόμενον ἐπ' ἑωυτῷ καὶ τὴν αἰτίην δι' ἣν ἐποιέετο, καταφεύγει ἐς τὴν Θρηίκην. πυθόμενος δὲ ὁ Ὀκταμασάδης ταῦτα ἐστρατεύετο ἐπὶ τὴν Θρηίκην. ἐπείτε δὲ ἐπὶ τῷ Ἴστρῳ ἐγένετο, ἠντίασάν μιν οἱ Θρήικες, μελλόντων δὲ αὐτῶν συνάψειν ἔπεμψε Σιτάλκης παρὰ τὸν Ὀκταμασάδην λέγων τοιάδε. "τί δεῖ ἡμέας ἀλλήλων πειρηθῆναι; εἷς μέν μευ τῆς ἀδελφεῆς παῖς, ἔχεις δέ μευ ἀδελφεόν. σὺ δέ μοι ἀπόδος τοῦτον, καὶ ἐγὼ σοὶ τὸν σὸν Σκύλην παραδίδωμι· στρατιῇ δὲ μήτε σὺ κινδυνεύσῃς μήτ' ἐγώ." ταῦτά οἱ πέμψας ὁ Σιτάλκης ἐπεκηρυκεύετο· ἦν γὰρ παρὰ τῷ Ὀκταμασάδῃ ἀδελφεὸς Σιτάλκεω πεφευγὼς τοῦτον. ὁ δὲ Ὀκταμασάδης καταινέει ταῦτα, ἐκδοὺς δὲ τὸν ἑωυτοῦ μήτρωα Σιτάλκῃ ἔλαβε τὸν ἀδελφεὸν Σκύλην. καὶ Σιτάλκης μὲν παραλαβὼν τὸν ἀδελφεὸν ἀπήγετο, Σκύλεω δὲ Ὀκταμασάδης αὐτοῦ ταύτῃ ἀπέταμε τὴν κεφαλήν. οὕτω μὲν περιστέλλουσι τὰ σφέτερα νόμαια Σκύθαι, τοῖσι δὲ παρακτωμένοισι ξεινικοὺς νόμους τοιαῦτα ἐπιτίμια διδοῦσι.

Πλῆθος δὲ τὸ Σκυθέων· οὐκ οἷός τε ἐγενόμην ἀτρεκέως 81 πυθέσθαι, ἀλλὰ διαφόρους λόγους περὶ τοῦ ἀριθμοῦ ἤκουον· καὶ γὰρ κάρτα πολλοὺς εἶναί σφεας καὶ ὀλίγους ὡς Σκύθας εἶναι. τοσόνδε μέντοι ἀπέφαινόν μοι ἐς ὄψιν. ἔστι μεταξὺ

---

3. ἐξέλαυνε *ABPd* ‖ 4. σκύθης *d* ‖ ἑωυτοῦ *d* ‖ οἱ om. *R* ‖ 5. τηρέω *CP*, τυρέω *sz* ‖ 6. ἐπανισταίατο *z* ‖ 8. θρήικην *CP*, θρηκίην *R*, Θρηϊκίην *z* ‖ πυθόμενος - 9 Θρηίκην om. *d* ‖ δὲ ὁ om. *C* ‖ 9. θρήικην *CP*, θρηκίην *R*, Θρηϊκίην *z* ‖ ἐγίνετο *ABC* ‖ ἠντιασάμην οἱ *R* ‖ 10. θρήικες *ABP*, θρῆκες *Rd* ‖ αὐτέων *z* ‖ συνάπτειν *PRz* ‖ σιδάλκης *R* ‖ 12. εἷς] ἧς *d* ‖ 13. σύ τέ μοι *Pz* ‖ ἐγώ σοι *Rdz* ‖ 15. μήτε ἐγώ *AB* ‖ σιδάλκης *R* ‖ 16. παρ' αὐτῷ *C* ‖ ὀκταμασσάδηι *A* ‖ σιδάλκεος *R*, σιτάλκεος ceteri ‖ 17. τοῦτον om. *ABCd* ‖ ἐκδιδοὺς *ABCd* ‖ 18. μήτρω *R*, μήτρωα *z* ‖ σιδάλκη *R*, σιτάλκην *Cz* ‖ Σκύλην - 19 ἀδελφεὸν om. *R* ‖ 19. δὲ[ὁ] *C*, δὲ ὁ *d* ‖ 20. ἀπέταμε αὐτοῦ ταύτῃ *R* ‖ 23. τ' *AB* ‖ 26. ἐς ὄψιν, ὡς ἔστι *ABCd*

Βορυσθένεός τε ποταμοῦ καὶ Ὑπάνιος χῶρος. οὔνομα δέ οἱ ἐστὶ Ἐξαμπαῖος· τοῦ καὶ ὀλίγῳ τι πρότερον τούτων μνήμην εἶχον, φάμενος ἐν αὐτῷ κρήνην ὕδατος πικροῦ εἶναι, ἀπ' ἧς τὸ ὕδωρ ἀπορρέον τὸν Ὕπανιν ἄποτον ποιέειν. ἐν τούτῳ τῷ χώρῳ κέεται χαλκήιον, μεγάθεϊ καὶ ἑξαπλήσιον τοῦ ἐπὶ στόματι τοῦ Πόντου κρητῆρος, τὸν Παυσανίης ὁ Κλεομβρότου ἀνέθηκε. ὃς δὲ μὴ εἶδέ κω τοῦτον, ὧδε δηλώσω. ἑξακοσίους ἀμφορέας εὐπετέως χωρέει τὸ ἐν Σκύθῃσι χαλκήιον, πάχος δὲ τὸ Σκυθικὸν τοῦτο χαλκήιόν ἐστι δακτύλων ἕξ. τοῦτο ὦν ἔλεγον οἱ ἐπιχώριοι ἀπὸ ἀρδίων γενέσθαι. βουλόμενον γὰρ τὸν σφέτερον βασιλέα, τῷ οὔνομα εἶναι Ἀριάνταν, τοῦτον εἰδέναι τὸ πλῆθος τὸ Σκυθέων κελεύειν μιν πάντας Σκύθας ἄρδιν ἕκαστον μίαν ἀπὸ τοῦ ὀιστοῦ κομίσαι· ὃς δ' ἂν μὴ κομίσῃ, θάνατον ἀπείλεε. κομισθῆναί τε δὴ χρῆμα πολλὸν ἀρδίων καί οἱ δόξαι ἐξ αὐτέων μνημόσυνον ποιήσαντι λιπέσθαι. ἐκ τουτέων δή μιν τὸ χαλκήιον ποιῆσαι τοῦτο καὶ
82 ἀναθεῖναι ἐς τὸν Ἐξαμπαῖον τοῦτον. ταῦτα δὲ περὶ τοῦ πλήθεος τοῦ Σκυθέων ἤκουον. θωυμάσια δὲ ἡ χώρη αὕτη οὐκ ἔχει, χωρὶς ἢ ὅτι ποταμούς τε πολλῷ μεγίστους καὶ ἀριθμὸν πλείστους. τὸ δὲ ἀποθωυμάσαι ἄξιον καὶ πάρεξ τῶν ποταμῶν καὶ τοῦ μεγάθεος τοῦ πεδίου παρέχεται, εἰρήσεται. ἴχνος Ἡρακλέος φαίνουσι ἐν πέτρῃ ἐνεόν, τὸ οἶκε μὲν βήματι ἀνδρός, ἔστι δὲ τὸ μέγαθος δίπηχυ, παρὰ τὸν Τύρην ποτα-

---

13. ἄρδιν - κομίσαι Lexicon Vindob. p. 23. — Λέξεις||

1. δὲ ἐστί οἱ *P*, δέ ἐστι *Cd*, δ' ἔστι οἱ *z* || 2. ὀλίγον *sz* || 4. ποιέει *PRz* || 5. χαλκήϊον *z*: χαλκίον *Ppr.R*, χαλκεῖον reliqui || μεγάθεος *AB* καὶ om. *dz* || ἐπὶ] ἐπὶ τῷ *z* || 6. Πόντου] πονητοῦ *R* || 8. χωρέει εὐπετέως *Ppr.* || 8. et 9 χαλκήϊον *z*: χαλκίον *R*, χαλκεῖον ceteri || 10. ἀπὸ om. *R* || 11. ἀριάνταν *ABR*: ἀριαντὰν *CPz*, ἀριαντᾶν *d* || 12. τοῦτον] τούτων *d*. τοῦτον βουλόμενον Reiz, seclusit Dindorf || τὸ Σκυθέων - 18 πλήθεος om. *d*[1] || τὸ] τῶν *PRd*[2]*z* || κελεύει μιν πάντα σκύθην *d*[2] || 13. μίην *z* || ὃς δὲ μὴ κομίζῃ *d*[2] || 14. δὴ om. *ABC* || χρήματα *Apr.* || πολλῶν *z* || 15. ἀρκαδίων *C* || αὐτῶν *Rd*[2] || ποιήσας *ABCd* || 16. τούτων *ABC* || χαλκήϊον *z*: χαλκίον *Rd*[2], χαλκεῖον ceteri || 17. δὴ *C*(?)*z* || 18. πλήθεος τῶν *R* || θωμάσια *Rd* || δὲ *CR*: δ' || 20. ὃ *L* || ἀποθωυμάσαι *C*, ἀποθωμάσαι *ABRd* | καὶ om. *PRz* || 22. ἡρακλέους *B* || ἐνεὸν (ἐν *supra* εὸν) *A* || οἶκε *R*: ἔοικε

μόν. τοῦτο μέν νυν τοιοῦτό ἐστι, ἀναβήσομαι δὲ ἐς τὸν κατ' ἀρχὰς ἥια λέξων λόγον.

Παρασκευαζομένου Δαρείου ἐπὶ τοὺς Σκύθας καὶ ἐπι- 83
πέμποντος ἀγγέλους ἐπιτάξοντας τοῖσι μὲν πεζὸν στρατόν, τοῖσι δὲ νέας παρέχειν, τοῖσι δὲ ζεύγνυσθαι τὸν Θρηίκιον Βόσπορον, Ἀρτάβανος ὁ Ὑστάσπεος, ἀδελφεὸς ἐὼν Δαρείου, ἐχρήιζε μηδαμῶς αὐτὸν στρατηίην ἐπὶ Σκύθας ποιέεσθαι, καταλέγων τῶν Σκυθέων τὴν ἀπορίην. ἀλλ' οὐ γὰρ ἔπειθε συμβουλεύων οἱ χρηστά, ὁ μὲν ἐπέπαυτο, ὁ δέ, ἐπειδή οἱ τὰ ἅπαντα παρεσκεύαστο, ἐξήλαυνε τὸν στρατὸν ἐκ Σούσων.
ἐνθαῦτα τῶν Περσέων Οἰόβαζος ἐδεήθη Δαρείου τριῶν ἐόν- 84
των οἱ παίδων καὶ πάντων στρατευομένων ἕνα αὐτῷ καταλειφθῆναι. ὁ δέ οἱ ἔφη ὡς φίλῳ ἐόντι καὶ μετρίων δεομένῳ πάντας τοὺς παῖδας καταλείψειν. ὁ μὲν δὴ Οἰόβαζος περιχαρὴς ἦν, ἐλπίζων τοὺς υἱέας στρατηίης ἀπολελύσθαι· ὁ δὲ ἐκέλευσε τοὺς ἐπὶ τούτων ἐπεστεῶτας ἀποκτεῖναι πάντας τοὺς
Οἰοβάζου παῖδας. καὶ οὗτοι μὲν ἀποσφαγέντες αὐτοῦ ταύτῃ 85
ἐλείποντο· Δαρεῖος δὲ ἐπείτε πορευόμενος ἐκ Σούσων ἀπίκετο τῆς Καλχηδονίης ἐπὶ τὸν Βόσπορον ἵνα ἔζευκτο ἡ γέφυρα, ἐνθεῦτεν ἐσβὰς ἐς νέα ἔπλεε ἐπὶ τὰς Κυανέας καλευμένας, τὰς πρότερον πλαγκτὰς Ἕλληνές φασι εἶναι, ἑζόμενος δὲ ἐπὶ ῥίῳ ἐθηεῖτο τὸν Πόντον ἐόντα ἀξιοθέητον. πελαγέων γὰρ ἁπάντων πέφυκε θωυμασιώτατος· τοῦ τὸ μὲν

ἐξέλασις Δαρείου κατὰ Σκυθῶν

21. Eustathius Dion. 144. — 22 sq. ibidem 147. — 23. Suidas v. Εὔξεινος

1. τοιοῦτόν *R* ‖ δ' *AB* ‖ καταρχὰς *ABPRz* ‖ 2. ἥια λέξων *AB*, ἢ ἀλέξων *C*, ἧα λέξων *d* ‖ 4. ἐπιτάξαντας *Rd* ‖ 5. bis τοῖς *AB* ‖ ζευγνῦναι *R* ‖ 6. ἀτάρβανος *A* ‖ ὢν *PR* ‖ 7. ἐχρηιζε *ABCP*, ἔχρηζε *z*, ἐχρηζε *R*, ἐχρημάτιζε *d* ‖ στρατείην *C*, στρατιὴν ceteri ‖ 9. δ' *ABd* ‖ 10. πάντα *PRz* ‖ παρασκεύαστο *AB* ‖ 11. ὁ ἰόβαζος *C* ‖ 13. οἱ *Rd* ‖ 15. στρατιῆς *ABCd* ‖ 16. κελεύει *PRz* ‖ ἐπὶ τουτέων *z*, om. *ABCd* ‖ ἐπιστεῶτας *R*, ἑστεῶτας *C* ‖ 18. ἐλείποντο *d*. Bekker: ἐλίποντο ‖ 20. ἐκβὰς *z* ‖ 22. ἱζόμενος? ‖ ῥίῳ Corn. de Pauw: ῥωι *A*, τῶι ἱρῶι *Bz*, ἱρὸν *C*, ἱρῶι *P*, ἱρῷ *Rd*. τῷ ἐκρίῳ Valckenaer ‖ ἐθηῆτο *dz* ‖ 23. πέφυκε] ἐστὶ Suid. ‖ θωμασιώτατος *d*, θωυμασιώτατος, θωμασιώτατον *R*, θαυμασιώτατος Suid. ‖ τοῦ τὸ *Pd*: τοῦτο

μῆκος στάδιοί εἰσι ἑκατὸν καὶ χίλιοι καὶ μύριοι, τὸ δὲ εὖρος, τῇ εὐρύτατος αὐτὸς ἑωυτοῦ, στάδιοι τριηκόσιοι καὶ τρισχίλιοι. τούτου τοῦ πελάγεος τὸ στόμα ἐστὶ εὖρος τέσσερες στάδιοι· μῆκος δὲ τοῦ στόματος, ὁ αὐχήν, τὸ δὴ Βόσπορος κέκληται, κατ᾽ ὃ δὴ ἔζευκτο ἡ γέφυρα, ἐπὶ σταδίους εἴκοσι καὶ ἑκατόν ἐστι. τείνει δ᾽ ἐς τὴν Προποντίδα ὁ Βόσπορος· ἡ δὲ Προποντὶς ἐοῦσα εὖρος μὲν σταδίων πενταχοσίων, μῆκος δὲ τετρακοσίων καὶ χιλίων, καταδιδοῖ ἐς τὸν Ἑλλήσποντον ἐόντα στεινότητα μὲν ἑπτὰ σταδίους, μῆκος δὲ τετρακοσίους. ἐκδιδοῖ δὲ ὁ Ἑλλήσποντος ἐς χάσμα πελάγεος τὸ δὴ Αἰγαῖον
86 καλέεται. μεμέτρηται δὲ ταῦτα ὧδε. νηῦς ἐπίπαν μάλιστά κῃ κατανύει ἐν μακρημερίῃ ὀργυιὰς ἑπτακισμυρίας, νυκτὸς δὲ ἑξακισμυρίας. ἤδη ὦν ἐς μὲν Φᾶσιν ἀπὸ τοῦ στόματος (τοῦτο γάρ ἐστι τοῦ Πόντου μακρότατον) ἡμερέων ἐννέα πλόος ἐστὶ καὶ νυκτῶν ὀκτώ· αὗται ἕνδεκα μυριάδες καὶ ἑκατὸν ὀργυιέων γίνονται, ἐκ δὲ τῶν ὀργυιέων τουτέων στάδιοι ἑκατὸν καὶ χίλιοι καὶ μύριοί εἰσι. ἐς δὲ Θεμισκύρην τὴν ἐπὶ Θερμώδοντι ποταμῷ ἐκ τῆς Σινδικῆς (κατὰ τοῦτο γάρ ἐστι τοῦ Πόντου εὐρύτατον) τριῶν τε ἡμερέων καὶ δύο νυκτῶν πλόος· αὗται δὲ τρεῖς μυριάδες καὶ τριήκοντα ὀργυιέων γίνονται, στάδιοι δὲ τριηκόσιοι καὶ τρισχίλιοι. ὁ μέν νυν

διαστήματα καὶ μέτρα τοῦ Εὐξείνου μέχρι τοῦ Αἰγαίου μῆκος τοῦ Πόντου στάδιοι ͵αρ πλάτος ͵γτ τοῦ Βοσπόρου πλάτος στάδιοι δ μῆκος ρκ Προποντίδος πλάτος στάδιοι φ μῆκος ͵αυ Ἑλλησπόντου πλάτος στάδιοι ζ μῆκος υ

3. Eustathius Dion. 142. — 21. ὁ μὲν - p. 403, 2 μεμετρέαται (Crameri Anecd. Oxon. I 287. Etymol. M. p. 578, 43)

1. μῆκος εἰσὶ στάδιοι *Pz*, μῆκός εἰσι στάδιοι *R* ‖ τὸ δὲ εὖρος] τοῦτο δὲ *z* ‖ 2. τῇ om. *d* ‖ τριηκόσιοι *scorr.*: διηκόσιοι ‖ 3. τὸ om. *R* ‖ τέσσαρες *ABRd* ‖ 6. δὲ *R* ‖ τὴν om. *C* ‖ προπόντιδα *AB* ‖ 7. εὖρος om. *B*[1] ‖ 9. στεινότητα Schweighaeuser: στεινότατα *R*, στεινότητι ceteri ‖ ἐσδιδοῖ *R* ‖ 11. νεῦς *R* ‖ 12. κατανεύει *R* ‖ μακρῇ ἡμέρῃ *PRz* ‖ ὀργυὰς *C*, ὀργυιέας *z* ‖ νυκτὸς δὲ ἑξακισμυρίους om. *A*[1]*R* ‖ νύκτωρ *A*[2] ‖ 13. φάσιν *dz* ‖ τοῦ om. *R* ‖ 14. πλόος ἐννέα *d* ‖ 16. τούτων *AB* ‖ 17. θεμίσκυρον *PR*, θεμίσκυραν *z* ‖ 18. θερμόδοντι *d* ‖ Σινδικῆς Wesseling: ἰνδικῆς *L*. γρ. σκυθικῆς cod. Vatic. 122 marg. ‖ 19. δὲ *R* ‖ δύο νυκτῶν πλόον *ABC*, νυκτῶν πλόον δύο *d* ‖ 20. καὶ τριήκοντα μυριάδες *z* ‖ 21. ὁ μὲν οὖν Βόσπορος, καὶ ὁ Πόντος οὕτω, καὶ ὁ Ἑλλήσποντος κατὰ ταὐτά μοι μεμετρέαται Cram. Anecd. tanquam Hecataei, ὁ μὲν οὖν Βόσπορος καὶ ὁ Πόντος κατὰ πάντα μοι μεμετρέαται Et. M. tanquam Hipponactis

Πόντος οὗτος καὶ Βόσπορός τε καὶ Ἑλλήσποντος οὕτω τέ μοι μεμετρέαται καὶ κατὰ τὰ εἰρημένα πεφύκασι, παρέχεται δὲ καὶ λίμνην ὁ Πόντος οὗτος ἐκδιδοῦσαν ἐς αὐτὸν οὐ πολλῷ τεῳ ἐλάσσω ἑωυτοῦ, ἣ Μαιῆτίς τε καλέεται καὶ μήτηρ τοῦ Πόντου.

Ὁ δὲ Δαρεῖος ὡς ἐθεήσατο τὸν Πόντον, ἔπλεε ὀπίσω ἐπὶ 87
τὴν γέφυραν, τῆς ἀρχιτέκτων ἐγένετο Μανδροκλέης Σάμιος· θεησάμενος δὲ καὶ τὸν Βόσπορον στήλας ἔστησε δύο ἐπ' αὐτοῦ λίθου λευκοῦ, ἐνταμὼν γράμματα ἐς μὲν τὴν Ἀσσύρια ἐς δὲ τὴν Ἑλληνικά, ἔθνεα πάντα ὅσα περ ἦγε· ἦγε δὲ πάντα τῶν ἦρχε. τούτων μυριάδες ἐξηριθμήθησαν, χωρὶς τοῦ ναυτικοῦ, ἑβδομήκοντα σὺν ἱππεῦσι, νέες δὲ ἑξακόσιαι συνελέχθησαν. τῇσι μέν νυν στήλῃσι ταύτῃσι Βυζάντιοι κομίσαντες ἐς τὴν πόλιν ὕστερον τούτων ἐχρήσαντο πρὸς τὸν βωμὸν τῆς Ὀρθωσίης Ἀρτέμιδος, χωρὶς ἑνὸς λίθου· οὗτος δὲ κατελείφθη παρὰ τοῦ Διονύσου τὸν νηὸν ἐν Βυζαντίῳ, γραμμάτων Ἀσσυρίων πλέος. τοῦ δὲ Βοσπόρου ὁ χῶρος τὸν ἔζευξε βασιλεὺς Δαρεῖος, ὡς ἐμοὶ δοκέει συμβαλλομένῳ, μέσον ἐστὶ Βυζαντίου τε καὶ τοῦ ἐπὶ στόματι ἱροῦ.

Δαρεῖος δὲ μετὰ ταῦτα ἡσθεὶς τῇ σχεδίῃ τὸν ἀρχι- 88
τέκτονα αὐτῆς Μανδροκλέα τὸν Σάμιον ἐδωρήσατο πᾶσι δέκα· ἀπ' ὧν δὴ Μανδροκλέης ἀπαρχὴν ζῷα γραψάμενος πᾶσαν τὴν ζεῦξιν τοῦ Βοσπόρου καὶ βασιλέα τε Δαρεῖον ἐν προεδρίῃ κατήμενον καὶ τὸν στρατὸν αὐτοῦ διαβαίνοντα, ταῦτα γραψάμενος ἀνέθηκε ἐς τὸ Ἥραιον, ἐπιγράψας τάδε.

---

3 sq. Eustathius Dion. 14. — 7. (Dionysius Byz. apud Petrum Gyllium de Bosp. Thrac. p. 42 Muell.). — 22. Eustathius Il. p. 626 .

1. τε om. *ABCd* ‖ οὗτοί τε *ABCd* ‖ 3. οὗτος om. *ABCd* ‖ ἐσδιδοῦσαν *R* ‖ ἑωυτὸν *Pcorr.Rz* ‖ 4. τέῳ *CRdz* ‖ 6. ἐθηήσατο *Rdz* ‖ ἐπὶ] ἐς *C* ‖ 7. μανδροκλῆς *PR*, *Androcles* Dion. ‖ 8. θηησάμενος *Rz* ‖ 9. αὐτοῦ *PRz*: αὐτὸν *ABCd*, αὐτῷ *q* ‖ τὴν] τὴν ἑτέρην *PRz* ‖ 11. τουτέων *z* ‖ 12. ἑκατὸν *d* ‖ 14. τουτέων *z* ‖ 16. δὲ om. *ABCd* ‖ κατελήφθη *d* ‖ τῶν νηῶν *d* ‖ 17. πλέως *d* ‖ 18. δοκέειν *R* ‖ 19. ἐς μέσον *ABCd* ‖ στόματος *Rpr.* ‖ 21. παισὶ *Pdz* ‖ 22. ζῶα γραψάμενος *R*, ζωαγραψάμενος *Pz*, ζωγραψάμενος *d* ‖ 24. προεδρείη *d* ‖ 25. ἡραῖον *C*

Βόσπορον ἰχθυόεντα γεφυρώσας ἀνέθηκε
Μανδροκλέης Ἥρῃ μνημόσυνον σχεδίης,
αὐτῷ μὲν στέφανον περιθείς, Σαμίοισι δὲ κῦδος,
Δαρείου βασιλέος ἐκτελέσας κατὰ νοῦν.

89 ταῦτα μέν νυν τοῦ ζεύξαντος τὴν γέφυραν μνημόσυνα ἐγέ-
νετο. Δαρεῖος δὲ δωρησάμενος Μανδροκλέα διέβαινε ἐς τὴν
Εὐρώπην, τοῖσι Ἴωσι παραγγείλας πλέειν ἐς τὸν Πόντον
μέχρι Ἴστρου ποταμοῦ, ἐπεὰν δὲ ἀπίκωνται ἐς τὸν Ἴστρον,
ἐνθαῦτα αὐτὸν περιμένειν ζευγνύντας τὸν ποταμόν· τὸ γὰρ
δὴ ναυτικὸν ἦγον Ἴωνές τε καὶ Αἰολέες καὶ Ἑλλησπόντιοι.
ὁ μὲν δὴ ναυτικὸς στρατὸς Κυανέας διεκπλώσας ἔπλεε ἰθὺ
τοῦ Ἴστρου, ἀναπλώσας δὲ ἀνὰ ποταμὸν δυῶν ἡμερέων πλόον
ἀπὸ θαλάσσης, τοῦ ποταμοῦ τὸν αὐχένα, ἐκ τοῦ σχίζεται τὰ
στόματα τοῦ Ἴστρου, ἐζεύγνυε. Δαρεῖος δὲ ὡς διέβη τὸν
Βόσπορον κατὰ τὴν σχεδίην, ἐπορεύετο διὰ τῆς Θρηίκης,
ἀπικόμενος δὲ ἐπὶ Τεάρου ποταμοῦ τὰς πηγὰς ἐστρατοπεδεύ-
90 σατο ἡμέρας τρεῖς. ὁ δὲ Τέαρος λέγεται ὑπὸ τῶν περιοίκων
εἶναι ποταμῶν ἄριστος τά τε ἄλλα ἐς ἄκεσιν φέροντα, καὶ δὴ
καὶ ἀνδράσι καὶ ἵπποισι ψώρην ἀκέσασθαι. εἰσὶ δὲ αὐτοῦ αἱ
πηγαὶ δυῶν δέουσαι τεσσεράκοντα, ἐκ πέτρης τῆς αὐτῆς
ῥέουσαι· καὶ αἱ μὲν αὐτέων εἰσὶ ψυχραὶ αἱ δὲ θερμαί. ὁδὸς
δ' ἐπ' αὐτάς ἐστι ἴση ἐξ Ἡραίου τε πόλιος τῆς παρὰ Περίνθῳ
καὶ ἐξ Ἀπολλωνίης τῆς ἐν τῷ Εὐξείνῳ πόντῳ, δυῶν ἡμερέων
ἑκατέρῃ. ἐκδιδοῖ δὲ ὁ Τέαρος οὗτος ἐς τὸν Κοντάδεσδον

διάβασις Δαρείου διὰ τοῦ Βοσπόρου εἰς τὴν Εὐρώπην — ὅτι ὁ Τέαρος τὰς ψώρας ἰᾶται

1. (Βόσπορον - 3 κῦδος Anthologia Palat. VI 341). — Tzetzes Chiliad. I 861. — 18. τά τε - 19 ἀκέσασθαι Eustathius Il. p. 1263. — 22. Stephanus Byz. v. Ἥραιον

2. Μανδροκρέων et σχεδίας Anthol. ‖ 3. Αὐτῷ z: αυτῶι *AB*, αὐτῷ reliqui, τῷ Anthol. ‖ μὲν δὴ Anthol. ‖ 4. βασιλέως *C*. Anthol. ‖ 6. εἰς *B* ‖ 7. Πόντον] ποταμὸν *R* ‖ 10. ἦγον om. *R* ‖ 11. στρατὸς om. *ABCd* ‖ τὰς κυανέας *Pz* ‖ εὐθὺ *ABd* ‖ 12. ἀνὰ] ἀνὰ τὸν *CPz* ‖ 13. ἐξ οὗ *ABCd* ‖ 15. Βόσπορον] πόντον *R* ‖ θρήικης *AB*, θρηκίης *R* ‖ 18. εἰς *d* ‖ δὴ καὶ] καὶ *ABCd* ‖ 19. δὲ] γὰρ z ‖ τούτου *PRz* ‖ 20. τεσσαράκοντα *Rd* ‖ 21. αὐτῶν *R* ‖ 22. δὲ *R* ‖ ἐξ - 23 Εὐξείνῳ om. *C* ‖ 24. κοντάδεστον *R*

ποταμόν, ὁ δὲ Κοντάδεσδος ἐς τὸν Ἀγριάνην, ὁ δὲ Ἀγριάνης
ἐς τὸν Ἕβρον, ὁ δὲ ἐς θάλασσαν τὴν παρ' Αἴνῳ πόλι. ἐπὶ 91
τοῦτον ὦν τὸν ποταμὸν ἀπικόμενος ὁ Δαρεῖος ὡς ἐστρατο-
πεδεύσατο, ἡσθεὶς τῷ ποταμῷ στήλην ἔστησε καὶ ἐνθαῦτα,
γράμματα ἐγγράψας λέγοντα τάδε. "Τεάρου ποταμοῦ κεφα-
λαὶ ὕδωρ ἄριστόν τε καὶ κάλλιστον παρέχονται πάντων ποτα-
μῶν· καὶ ἐπ' αὐτὰς ἀπίκετο ἐλαύνων ἐπὶ Σκύθας στρατὸν
ἀνὴρ ἄριστός τε καὶ κάλλιστος πάντων ἀνθρώπων, Δαρεῖος ὁ
Ὑστάσπεος, Περσέων τε καὶ πάσης τῆς ἠπείρου βασιλεύς."
ταῦτα δὲ ἐνθαῦτα ἐγράφη.

Δαρεῖος δὲ ἐνθεῦτεν ὁρμηθεὶς ἀπίκετο ἐπ' ἄλλον ποτα- 92
μὸν τῷ οὔνομα Ἀρτησκός ἐστι, ὃς διὰ Ὀδρυσέων ῥέει. ἐπὶ
τοῦτον δὴ τὸν ποταμὸν ἀπικόμενος ἐποίησε τοιόνδε. ἀπο-
δέξας χωρίον τῇ στρατιῇ ἐκέλευε πάντα ἄνδρα λίθον ἕνα
παρεξιόντα τιθέναι ἐς τὸ ἀποδεδεγμένον τοῦτο χωρίον. ὡς
δὲ ταῦτα ἡ στρατιὴ ἐπετέλεσε, ἐνθαῦτα κολωνοὺς μεγάλους
τῶν λίθων καταλιπὼν ἀπήλαυνε τὴν στρατιήν. πρὶν δὲ ἀπι- 93
κέσθαι ἐπὶ τὸν Ἴστρον, πρώτους αἱρέει Γέτας τοὺς ἀθανατί-
ζοντας. οἱ μὲν γὰρ τὸν Σαλμυδησσὸν ἔχοντες Θρήικες καὶ
ὑπὲρ Ἀπολλωνίης τε καὶ Μεσαμβρίης πόλιος οἰκημένοι,
καλεύμενοι δὲ Κυρμιάναι καὶ Νιψαῖοι, ἀμαχητὶ σφέας αὐτοὺς
παρέδοσαν Δαρείῳ· οἱ δὲ Γέται πρὸς ἀγνωμοσύνην τραπό-
μενοι αὐτίκα ἐδουλώθησαν, Θρηίκων ἐόντες ἀνδρηιότατοι καὶ

ὅτι Γέται οἱ ἀθανατίζοντες ἐδουλώθησαν Δαρείῳ καὶ τίνι τρόπῳ ἀθανατίζουσιν

---

5 sq. (Libanius vol. I p. 296 Reiske). — 21. Stephanus Byz. v. Νίψα. — 23 sq. Eustathius Dion. 304

1. κοντάδεστος *R* ‖ 2. εὗρον *d* ‖ πόλει *Cd*, πόλιν *R* ‖ 3. ὁ δαρεῖος ἀπικόμενος *R* ‖ 5. γράψας *ABCd* ‖ κεφάλαιον *d* ‖ 7. στρατὸν om. *d* ‖ 8. κάλλιστος καὶ ἄριστος *ABC*, κάλλιστος στρατὸν καὶ ἄριστος *d* ‖ ἀνων̅ *C* ‖ ὁ om. *d* ‖ 10. ἐνταῦθα *R* ‖ 11. ἐπ' *PR*: ἐς ‖ 12. ἀρτησκός *C*, ἀρτησκος *A*: ἀρτισκός *Pz*, ἀρτίσκος *Bd*, ἀρτικός *R* ‖ διὰ] δὴ διὰ *z* ‖ ὀδρυσέων *R*: ὀδρυσσῶν *d*, ὀδρυσῶν reliqui ‖ 14. χῶρον *ABCd* ‖ 15. τὸν *R* ‖ 16. μεγάλων *ABC* ‖ 17. ἀπέλαυνε *R* ‖ 18. πρώτης *d* ‖ 19. γὰρ] γὰρ δὴ *Rz* ‖ θρήικες *ABP*, θρῆκες *Rd*, Θρῆκες *z* ‖ καὶ om. *C* ‖ 21. καλέμενοι *R* ‖ κυρμιᾶναι *d*, κυρμιᾶναι *qz*, σκυρμιάδαι *R* ‖ νιψαῖοι s. Steph.: νυψαῖοι *R*, μυψαῖοι ceteri ‖ αὐτοὺς om. *R* ‖ 23. ἀνδρειότατοι codices, ἀνδριότατοι *z* ‖ καὶ δικαιότατοι om. *B*

94 δικαιότατοι. ἀθανατίζουσι δὲ τόνδε τὸν τρόπον. οὔτε ἀποθνήσκειν ἑωυτοὺς νομίζουσι ἰέναι τε τὸν ἀπολλύμενον παρὰ Σάλμοξιν δαίμονα· οἱ δὲ αὐτῶν τὸν αὐτὸν τοῦτον ὀνομάζουσι Γεβελέιζιν· διὰ πεντετηρίδος τε τὸν πάλῳ λαχόντα αἰεὶ σφέων αὐτῶν ἀποπέμπουσι ἄγγελον παρὰ τὸν Σάλμοξιν, ἐντελλόμενοι τῶν ἂν ἑκάστοτε δέωνται, πέμπουσι δὲ ὧδε. οἱ μὲν αὐτῶν ταχθέντες ἀκόντια τρία ἔχουσι, ἄλλοι δὲ διαλαβόντες τοῦ ἀποπεμπομένου παρὰ τὸν Σάλμοξιν τὰς χεῖρας καὶ τοὺς πόδας, ἀνακινήσαντες αὐτὸν μετέωρον ῥίπτουσι ἐς τὰς λόγχας. ἢν μὲν δὴ ἀποθάνῃ ἀναπαρείς, τοῖσι δὲ ἵλεος ὁ θεὸς δοκέει εἶναι· ἢν δὲ μὴ ἀποθάνῃ, αἰτιῶνται αὐτὸν τὸν ἄγγελον, φάμενοί μιν ἄνδρα κακὸν εἶναι, αἰτιησάμενοι δὲ τοῦτον ἄλλον ἀποπέμπουσι. ἐντέλλονται δὲ ἔτι ζῶντι. οὗτοι οἱ αὐτοὶ Θρήικες καὶ πρὸς βροντήν τε καὶ ἀστραπὴν τοξεύοντες ἄνω πρὸς τὸν οὐρανὸν ἀπειλέουσι τῷ θεῷ, οὐδένα ἄλλον
95 θεὸν νομίζοντες εἶναι εἰ μὴ τὸν σφέτερον. ὡς δὲ ἐγὼ πυνθάνομαι τῶν τὸν Ἑλλήσποντον οἰκεόντων Ἑλλήνων καὶ Πόντον, τὸν Σάλμοξιν τοῦτον ἐόντα ἄνθρωπον δουλεῦσαι ἐν Σάμῳ, δουλεῦσαι δὲ Πυθαγόρῃ τῷ Μνησάρχου. ἐνθεῦτεν δὲ αὐτὸν γενόμενον ἐλεύθερον χρήματα κτήσασθαι μεγάλα, κτησάμενον δὲ ἀπελθεῖν ἐς τὴν ἑωυτοῦ. ἅτε δὲ κακοβίων τε ἐόντων τῶν Θρηίκων καὶ ὑπαφρονεστέρων, τὸν Σάλμοξιν τοῦ-

περὶ Σαλμόξιδος τοῦ παρὰ Γέταις θεοῦ

14 sq. Eustathius Dion. 304. — 18 sqq. Hesychius v. Ζάλμοξις. — 19. Etymol. M. et Suidas v. Ζάλμοξις

3. ζάλμοξιν *s*, ζάμολξιν *dz* ‖ δαίμονα om. *z*. ‖ αὐτέων *Rz* ‖ ὀνομάζουσι Mehler: νομίζουσι ‖ 4. γεβελεΐζιν *Pz*: γεβελεΐζειν *R*, βελέϊζιν *ABC*, βελεΐξιν *d* ‖ πεντηρίδος *R* ‖ δὲ *PRz* ‖ πάλῳ] παῦλον *d* ‖ αἰεὶ σφέων *P*: ἀεί σφεων *R*, αἰεί σφεων reliqui ‖ 5. αὐτέων *z* ‖ ζάμολξιν *dz* ‖ 6. ἐντελόμενοι *A*[1] ‖ δέονται *d* ‖ ὧιδε *C* ‖ 7. αὐτέων *z* ‖ 8. τοὺς ἀποπεμπομένους *ABCd* ‖ ζάμολξιν *dz* ‖ 9. ῥιπτεῦσι *R* ‖ 10. τοῖς δὲ *AB*, τοῖσδε *R*, τοῖσιδε *z* ‖ ἵλεος *AB*: ἵλεως ‖ 12. αἰτιασάμενοι *ABCd* ‖ 14. θρήικες *AB*, θρῆκες *Rd* ‖ interpungunt ante καὶ πρὸς, non supra ante οὗτοι *ABCd* ‖ πρὸς τὴν *R* ‖ 15. ἄνω om. *R* ‖ ἀπειλεῦσι *R* ‖ ἄλλων *A*[1] ‖ 17. οἰκημένων *d* ‖ καὶ Πόντον om. *ABCd* ‖ 18. ζάμολξιν *dz* ‖ 20. αὐτὸν om. *z* ‖ κτήματα *ABCd* ‖ συχνά *PRz* ‖ 21. ἐπελθεῖν *R* ‖ δὴ *Cd* ‖ 22. θρηικῶν *AB*, θρηκῶν *d* ‖ ὑπ' ἀφρονεστέρων *z* ‖ ζάμολξιν *dz*

τον ἐπιστάμενον δίαιτάν τε Ἰάδα καὶ ἤθεα βαθύτερα ἢ κατὰ
Θρήικας, οἷα Ἕλλησί τε ὁμιλήσαντα καὶ Ἑλλήνων οὐ τῷ
ἀσθενεστάτῳ σοφιστῇ Πυθαγόρῃ, κατασκευάσασθαι ἀνδρεῶνα,
ἐς τὸν πανδοκεύοντα τῶν ἀστῶν τοὺς πρώτους καὶ εὐωχέοντα
ἀναδιδάσκειν ὡς οὔτε αὐτὸς οὔτε οἱ συμπόται αὐτοῦ οὔτε οἱ
ἐκ τούτων αἰεὶ γινόμενοι ἀποθανέονται, ἀλλ᾽ ἥξουσι ἐς χῶρον
τοῦτον ἵνα αἰεὶ περιεόντες ἕξουσι τὰ πάντα ἀγαθά. ἐν ᾧ δὲ
ἐποίεε τὰ καταλεχθέντα καὶ ἔλεγε ταῦτα, ἐν τούτῳ κατάγαιον
οἴκημα ἐποιέετο. ὡς δέ οἱ παντελέως εἶχε τὸ οἴκημα, ἐκ
μὲν τῶν Θρηίκων ἠφανίσθη, καταβὰς δὲ κάτω ἐς τὸ κατά-
γαιον οἴκημα διαιτᾶτο ἐπ᾽ ἔτεα τρία· οἱ δέ μιν ἐπόθεόν τε
καὶ ἐπένθεον ὡς τεθνεῶτα. τετάρτῳ δὲ ἔτεϊ ἐφάνη τοῖσι
Θρήιξι, καὶ οὕτω πιθανά σφι ἐγένετο τὰ ἔλεγε ὁ Σάλμοξις.
ταῦτά φασί μιν ποιῆσαι. ἐγὼ δὲ περὶ μὲν τούτου καὶ τοῦ 96
καταγαίου οἰκήματος οὔτε ἀπιστέω οὔτε ὦν πιστεύω τι λίην,
δοκέω δὲ πολλοῖσι ἔτεσι πρότερον τὸν Σάλμοξιν τοῦτον γενέ-
σθαι Πυθαγόρεω. εἴτε δὲ ἐγένετό τις Σάλμοξις ἄνθρωπος,
εἴτ᾽ ἐστὶ δαίμων τις Γέτῃσι οὗτος ἐπιχώριος, χαιρέτω.

Οὗτοι μὲν δὴ τρόπῳ τοιούτῳ χρεώμενοι ὡς ἐχειρώθησαν 97
ὑπὸ Περσέων, εἵποντο τῷ ἄλλῳ στρατῷ. Δαρεῖος δὲ ὡς ἀπί-
κετο καὶ ὁ πεζὸς ἅμ᾽ αὐτῷ στρατὸς ἐπὶ τὸν Ἴστρον, ἐνθαῦτα
διαβάντων πάντων Δαρεῖος ἐκέλευσε τούς τε Ἴωνας τὴν
σχεδίην λύσαντας ἕπεσθαι κατ᾽ ἤπειρον ἑωυτῷ καὶ τὸν ἐκ
τῶν νεῶν στρατόν. μελλόντων δὲ τῶν Ἰώνων λύειν καὶ

διάβασις Δαρείου πέραν τοῦ Ἴστρου

---

3. **Eustathius Il. p. 479**

1. δίαιτά *C* ‖ 2. θρῆικας *ABP*, θρῆκας *R*, θρήκας *d*, Θρῆκας *z* ‖ 6. τουτέων *z* ‖ 7. ἀεὶ *Rz* ‖ περιόντες *R* ‖ 8. τὰ] ταυτὰ *z* ‖ κατάγεον *R* ‖ 9. ἐποιέετο - οἴκημα om. *R* ‖ παντελῶς *ABCd*, πᾶν τελέως *P* ‖ 10. θρηικῶν ἠφανίσθη *AB* ‖ 11. ἐπὶ *R* ‖ 12. ἔτει *AB* ‖ ἀνεφάνη? ‖ 13. θρηιξὶ *AB*, θραξὶ *d* ‖ ὁ om. *ABC* ‖ ζάμολξις *dz* ‖ 14. τούτου καὶ om. *ABCd* ‖ 15. καταγέου *R* ‖ bis οὔτ᾽ *AB* ‖ ὦν om. *PRz*, οὖν *d* ‖ τι om. *PRz* ‖ 16. ζάμολξιν *dz* ‖ 17. πυθαγόραιων· εἰ δὴ ἐγένετό τις γε *R* ‖ ζάμολξις *dz* ‖ 18. εἰ δέ ἐστι *R* ‖ 19. οὕτω *R* ‖ χρεόμενοι *P* ‖ 20. ὑπὸ] ὑπὸ Δαρείου καὶ *z* ‖ 21. καὶ om. *C* ‖ ἅμα αὐτῷ *d*, om. *PRz* ‖ 22. τούς τε scripsi: τοὺς

ποιέειν τὰ κελευόμενα, Κώης ὁ Ἐρξάνδρου στρατηγὸς ἐὼν Μυτιληναίων ἔλεξε Δαρείῳ τάδε, πυθόμενος πρότερον εἴ οἱ φίλον εἴη γνώμην ἀποδέκεσθαι παρὰ τοῦ βουλομένου ἀποδείκνυσθαι. "ὦ βασιλεῦ, ἐπὶ γῆν γὰρ μέλλεις στρατεύεσθαι τῆς οὔτε ἀρηρομένον φανήσεται οὐδὲν οὔτε πόλις οἰκεομένη· σύ νυν γέφυραν ταύτην ἔα κατὰ χώρην ἑστάναι, φυλάκους αὐτῆς λιπὼν τούτους οἵπερ μιν ἔζευξαν. καὶ ἤν τε κατὰ νόον πρήξωμεν εὑρόντες Σκύθας, ἔστι ἄποδος ἡμῖν, ἤν τε καὶ μή σφεας εὑρεῖν δυνώμεθα, ἥ γε ἄποδος ἡμῖν ἀσφαλής· οὐ γὰρ ἔδεισά κω μὴ ἑσσωθέωμεν ὑπὸ Σκυθέων μάχῃ, ἀλλὰ μᾶλλον μὴ οὐ δυνάμενοί σφεας εὑρεῖν πάθωμέν τι ἀλώμενοι. καὶ τάδε λέγειν φαίη τις ἄν με ἐμεωυτοῦ εἵνεκεν, ὡς καταμένω· ἐγὼ δὲ γνώμην μὲν τὴν εὕρισκον ἀρίστην σοί, βασιλεῦ, ἐς μέσον φέρω, αὐτὸς μέντοι ἕψομαί τοι καὶ οὐκ ἂν λειφθείην." κάρτα τε ἥσθη τῇ γνώμῃ Δαρεῖος καί μιν ἀμείψατο τοῖσιδε. "ξεῖνε Λέσβιε, σωθέντος ἐμεῦ ὀπίσω ἐς οἶκον τὸν ἐμὸν ἐπιφάνηθί μοι πάντως, ἵνα σε ἀντὶ χρηστῆς συμ-
98 βουλίης χρηστοῖσι ἔργοισι ἀμείψωμαι." ταῦτα δὲ εἴπας καὶ ἀπάψας ἅμματα ἑξήκοντα ἐν ἱμάντι, καλέσας ἐς λόγους τοὺς Ἰώνων τυράννους ἔλεγε τάδε. "ἄνδρες Ἴωνες, ἡ μὲν πρότερον γνώμη ἀποδεχθεῖσα ἐς τὴν γέφυραν μετείσθω μοι, ἔχοντες δὲ τὸν ἱμάντα τόνδε ποιέετε τάδε. ἐπεὰν ἐμὲ ἴδητε τάχιστα πορευόμενον ἐπὶ Σκύθας, ἀπὸ τούτου ἀρξάμενοι τοῦ χρόνου λύετε ἅμμα ἓν ἑκάστης ἡμέρης. ἢν δὲ ἐν τούτῳ τῷ χρόνῳ μὴ παρέω ἀλλὰ διεξέλθωσι ὑμῖν αἱ ἡμέραι τῶν ἀμ-

1 sqq. Tzetzes Chiliad. III 466 sqq.

1. ὁ ἐρξάνδρου *d*, ὁρ ἐξάνδρου *R*, Ὀρεξάνδρου Tzetz. ‖ 2. μιτυληναίων *L* ‖ 3. ἀποδέξασθαι *qz* ‖ 5. ἀρηρομένον *A*²*Pm*: ἀρηρέμενον *d*, ἀρηρεμένον reliqui ‖ πόλιος *C* ‖ 6. σὺ νῦν *L* ‖ γεφύρην *z* ‖ 7. αὐτῆς] αὐτοὺς *d* ‖ 8. ἔσται *z* ‖ ἄφοδος *R* ‖ 9. μὴ σφέας *z* ‖ δυνεώμεθα *ABC* ‖ ἄφοδος *R* ‖ 11. τοι *A*¹ ‖ ἀλώμενοι *CRdz* ‖ 12. ἐμεωυτοῦ *ABR*: ἑωυτοῦ ‖ καταμενέω *R* ‖ 13. σοὶ *R*: σοι ‖ 14. φήσω *ABCd* ‖ 15. ὁ δαρεῖος *C* ‖ ἠμείψατο *L* ‖ 16. τοῖσιδε *d*: τοῖσδε ‖ 17. ἐπιφάνητί μοι *ABd*, ἐφάνη τοί μιν *C* ‖ 18. ἀμείψομαι *CR* ‖ δὲ om. *PRz* ‖ 19. ἅμμα^τα *A* ‖ 20. Ἴώνων] ἴωνας *R* ‖ 22. ἐμὲ *ABd*: με ‖ ἴδῃ *d* ‖ 24. ἅμα *R* ‖ ἐν om. *ABCd* ‖ 25. διέλθωσι *ABCd* ‖ ἀμμάντων *R*

μάτων, ἀποπλέετε ἐς τὴν ὑμετέρην αὐτῶν. μέχρι δὲ τούτου, ἐπείτε οὕτω μετέδοξε, φυλάσσετε τὴν σχεδίην, πᾶσαν προθυμίην σωτηρίης τε καὶ φυλακῆς παρεχόμενοι. ταῦτα δὲ ποιεῦντες ἐμοὶ μεγάλως χαριεῖσθε.” Δαρεῖος μὲν ταῦτα εἴπας ἐς τὸ πρόσω ἐπείγετο.

99 Τῆς δὲ Σκυθικῆς γῆς ἡ Θρηίκη τὸ ἐς θάλασσαν προκέεται· κόλπου δὲ ἀγομένου τῆς γῆς ταύτης, ἡ Σκυθική τε ἐκδέκεται καὶ ὁ Ἴστρος ἐκδιδοῖ ἐς αὐτήν, πρὸς εὖρον ἄνεμον τὸ στόμα τετραμμένος. τὸ δὲ ἀπὸ Ἴστρου ἔρχομαι σημανέων τὸ πρὸς θάλασσαν αὐτῆς τῆς Σκυθικῆς χώρης ἐς μέτρησιν. ἀπὸ Ἴστρου αὕτη ἤδη ἡ ἀρχαίη Σκυθίη ἐστί, πρὸς μεσαμβρίην τε καὶ νότον ἄνεμον κειμένη, μέχρι πόλιος Καρκινίτιδος καλεομένης. τὸ δὲ ἀπὸ ταύτης τὴν μὲν ἐπὶ θάλασσαν τὴν αὐτὴν φέρουσαν, ἐοῦσαν ὀρεινήν τε χώρην καὶ προκειμένην τὸ ἐς Πόντον, νέμεται τὸ Ταυρικὸν ἔθνος μέχρι χερσονήσου τῆς τρηχέης καλεομένης· αὕτη δὲ ἐς θάλασσαν τὴν πρὸς ἀπηλιώτην ἄνεμον κατήκει. ἔστι γὰρ τῆς Σκυθικῆς τὰ δύο μέρεα τῶν οὔρων ἐς θάλασσαν φέροντα, τήν τε πρὸς μεσαμβρίην καὶ τὴν πρὸς τὴν ἠῶ, κατά περ τῆς Ἀττικῆς χώρης· καὶ παραπλήσια ταύτῃ καὶ οἱ Ταῦροι νέμονται τῆς Σκυθικῆς, ὡς εἰ τῆς Ἀττικῆς ἄλλο ἔθνος καὶ μὴ Ἀθηναῖοι νεμοίατο τὸν γουνὸν τὸν Σουνιακόν, μᾶλλον ἐς τὸν πόντον [τὴν ἄκρην] ἀνέχοντα, τὸν ἀπὸ Θορικοῦ μέχρι Ἀναφλύστου δήμου· λέγω δὲ ὡς εἶναι ταῦτα σμικρὰ μεγάλοισι συμβάλλειν· τοιοῦτον ἡ Ταυρική ἐστι. ὃς δὲ τῆς Ἀττικῆς ταῦτα

περὶ τῶν ἀπὸ Ἴστρου παραθαλασσίων τῆς Σκυθικῆς

15. νέμεται – 16 καλεομένης Stephanus Byz. v. Χερρόνησος

1. ἀποτελέετε *d* ‖ αὐτέων *z* ‖ 3. δὴ *Cd* ‖ 4. ποιέοντες *ABCd* ‖ χαριεῖσθαι *B* ‖ 5. ἠπείγετο *R* ‖ 6. θρηκίη *R* ‖ πρόκειται *L* ‖ 8. καὶ om. *C* ‖ 9. ἀπὸ τοῦ Ἴστρου *d* ‖ 10. τῆς om. *z* ‖ ἐς μέτρησιν ἀπὸ Ἴστρου. αὔτη *Pdz* ‖ 11. αὐτῇ *C* ‖ ἡ ἀρχαίη Krueger: ἀρχαίη ‖ σκυθίη ἐστί *PRz*: σκυθική ἐστι ‖ 12. καλεομένης καρκινίτιδος *PRz* ‖ 15. νέμονται *z* ‖ χερσοννήσου *C*, χερρονήσου Steph. ‖ 19. ἕω *ABCd* ‖ 21. ἀττικῆς χώρης *R* ‖ 23. τὴν ἄκρην exclusit Krueger ‖ θορίκου *AB*, θωϊκοῦ *R* ‖ 24. δὴ *C* ‖ συμβαλέειν *R* ‖ 25. τοιοῦτο *Pz*

μὴ παραπέπλωκε, ἐγὼ δὲ ἄλλως δηλώσω· ὡς εἰ τῆς Ἰηπυ-
γίης ἄλλο ἔθνος καὶ μὴ Ἰήπυγες ἀρξάμενοι ἐκ Βρεντεσίου
λιμένος ἀποταμοίατο μέχρι Τάραντος καὶ νεμοίατο τὴν ἄκρην.
δύο δὲ λέγων ταῦτα πολλὰ λέγω παρόμοια, τοῖσι ἄλλοισι
100 οἶκε ἡ Ταυρική. τὸ δ' ἀπὸ τῆς Ταυρικῆς ἤδη Σκύθαι τὸ
κατύπερθε τῶν Ταύρων καὶ τὰ πρὸς θαλάσσης τῆς ἠοίης
νέμονται, τοῦ τε Βοσπόρου τοῦ Κιμμερίου τὰ πρὸς ἑσπέρης
καὶ τῆς λίμνης τῆς Μαιήτιδος μέχρι Τανάιδος ποταμοῦ, ὃς
ἐκδιδοῖ ἐς μυχὸν τῆς λίμνης ταύτης. ἤδη ὦν ἀπὸ μὲν Ἴστρου
τὰ κατύπερθε ἐς τὴν μεσόγαιαν φέροντα ἀποκληίεται ἡ Σκυ-
θικὴ ὑπὸ πρώτων Ἀγαθύρσων, μετὰ δὲ Νευρῶν, ἔπειτα δὲ
101 Ἀνδροφάγων, τελευταίων δὲ Μελαγχλαίνων. ἔστι ὦν τῆς
Σκυθικῆς ὡς ἐούσης τετραγώνου, τῶν δύο μερέων κατηκόν-
των ἐς θάλασσαν, πάντῃ ἶσον τό τε ἐς τὴν μεσόγαιαν φέρον
καὶ τὸ παρὰ τὴν θάλασσαν. ἀπὸ γὰρ Ἴστρου ἐπὶ Βορυσθένεα
δέκα ἡμερέων ὁδός, ἀπὸ Βορυσθένεός τε ἐπὶ τὴν λίμνην τὴν
Μαιῆτιν ἑτερέων δέκα· καὶ τὸ ἀπὸ θαλάσσης ἐς μεσόγαιαν
ἐς τοὺς Μελαγχλαίνους τοὺς κατύπερθε Σκυθέων οἰκημένους
εἴκοσι ἡμερέων ὁδός. ἡ δὲ ὁδὸς ἡ ἡμερησίη ἀνὰ διηκόσια
στάδια συμβέβληταί μοι. οὕτω ἂν εἴη τῆς Σκυθικῆς τὰ
ἐπικάρσια τετρακισχιλίων σταδίων καὶ τὰ ὄρθια τὰ ἐς τὴν
μεσόγαιαν φέροντα ἑτέρων τοσούτων σταδίων. ἡ μέν νυν γῆ
αὕτη ἐστὶ μέγαθος τοσαύτη.
102 Οἱ δὲ Σκύθαι δόντες σφίσι λόγον ὡς οὐκ οἷοί τε εἰσὶ τὸν

περὶ τῶν συνελθόντων Σκυθικῶν ἐθνῶν καὶ τῆς αὐτῶν διαίτης καὶ ἐθῶν

---

15 sq. Eustathius Dion. 311

1. παραπέμπλωκεν *C* ‖ εἰ] εἴη *z* ‖ 2. βραντεσίου *d* ‖ 3. ἀποτεμοίατο *AB* ‖ 4. δὲ om. *qz* ‖ 5. ἔοικε *PRz*, ἔοικε μὲν alteri ‖ τὸ om. *R* ‖ 6. ἠοῦς *R* ‖ 7. δὲ *R* ‖ 10. τὰ om. *C* ‖ κατύπερθεν *Rd* ‖ εἰς τὴν μεσόγεαν *R* ‖ ἀποκληίεται *z*: ἀποκλήιεται *ABP*, ἀποκλήεται *Rd*, ἀποκλείεται *C* ‖ 12. τελευταῖον *C*, τελευτέων *z* ‖ 14. ἶσον *d*, ὅσον *C* ‖ μεσόγεαν *R* ‖ 16. τ' *z* ‖ τὴν
τῶι
λίμνην] λίμνην *d* ‖ 17. ἑτέρων *L* ‖ τὸ *C* ‖ μεσόγεαν *C* ‖ 19. ὁδὸς ἡ] ὁδὸς *R* ‖ 20. οὕτως *ABRd* ‖ πρὸς] τῆς *ABCd* ‖ 21. καὶ τὰ - 22 σταδίων om. *R* ‖ 24. τε εἰσὶ *d*: τέ εἰσι

Δαρείου στρατὸν ἰθυμαχίῃ διώσασθαι μοῦνοι, ἔπεμπον ἐς
τοὺς πλησιοχώρους ἀγγέλους· τῶν δὲ καὶ δὴ οἱ βασιλέες
συνελθόντες ἐβούλευόντο ὡς στρατοῦ ἐπελαύνοντος μεγάλου.
ἦσαν δὲ οἱ συνελθόντες βασιλέες Ταύρων καὶ Ἀγαθύρσων
καὶ Νευρῶν καὶ Ἀνδροφάγων καὶ Μελαγχλαίνων καὶ Γελω-
νῶν καὶ Βουδίνων καὶ Σαυροματέων. τούτων Ταῦροι μὲν 103
νόμοισι τοιοῖσιδε χρέωνται. θύουσι μὲν τῇ παρθένῳ τούς τε
ναυηγοὺς καὶ τοὺς ἂν λάβωσι Ἑλλήνων ἐπαναχθέντες τρόπῳ
τοιῷδε. καταρξάμενοι ῥοπάλῳ παίουσι τὴν κεφαλήν. οἱ
μὲν δὴ λέγουσι ὡς τὸ σῶμα ἀπὸ τοῦ κρημνοῦ ὠθέουσι κάτω
(ἐπὶ γὰρ κρημνοῦ ἵδρυται τὸ ἱρόν), τὴν δὲ κεφαλὴν ἀνασταυ-
ροῦσι· οἱ δὲ κατὰ μὲν τὴν κεφαλὴν ὁμολογέουσι, τὸ μέντοι
σῶμα οὐκ ὠθέεσθαι ἀπὸ τοῦ κρημνοῦ λέγουσι ἀλλὰ γῇ
κρύπτεσθαι. τὴν δὲ δαίμονα ταύτην τῇ θύουσι λέγουσι αὐ-
τοὶ Ταῦροι Ἰφιγένειαν τὴν Ἀγαμέμνονος εἶναι. πολεμίους
δὲ ἄνδρας τοὺς ἂν χειρώσωνται ποιεῦσι τάδε. ἀποταμὼν
ἕκαστος κεφαλὴν ἀποφέρεται ἐς τὰ οἰκία, ἔπειτα ἐπὶ ξύλου
μεγάλου ἀναπείρας ἱστᾷ ὑπὲρ τῆς οἰκίης ὑπερέχουσαν πολ-
λόν, μάλιστα δὲ ὑπὲρ τῆς καπνοδόκης. φασὶ δὲ τούτους φυ-
λάκους τῆς οἰκίης πάσης ὑπεραιωρέεσθαι. ζῶσι δὲ ἀπὸ
ληίης τε καὶ πολέμου. Ἀγάθυρσοι δὲ ἁβρότατοι ἀνδρῶν εἰσι 104
καὶ χρυσοφόροι τὰ μάλιστα, ἐπίκοινον δὲ τῶν γυναικῶν τὴν
μῖξιν ποιεῦνται, ἵνα κασίγνητοί τε ἀλλήλων ἔωσι καὶ οἰκήιοι
ἐόντες πάντες μήτε φθόνῳ μήτε ἔχθεϊ χρέωνται ἐς ἀλλήλους.

---

7. 14. Pausanias I 43, 1. — 21. Ἀγάθυρσοι - 24 ἀλλήλους Stobaeus floril. XLIV 43. — 21. - 23 Eustathius Dion. 310

1. ἰθὺ μάχηι *ABC*, ἰθὺ μάχῃ *d* ‖ διασώσασθαι *d*, δηώσασθαι *z* ‖ 2. βασιλῆες *z* ‖ 3. ἐπιόντος *R* ‖ 4. ἔσαν *z* ‖ οἱ om. *ABCd* ‖ βασιλῆες *z* ‖ 7. τοιοῖσιδε *B*²*Rz* : τοιοῖσδε ‖ χρέονται *P* ‖ 8. ἐπαναχθέντες *AB* idemque Lhardy coniectura : ἐπαναθέντας *z*, ἐπαναχθέντας reliqui ‖ 9. καταρξάμενοι *B* : καταρ(ευ)////ξάμενοι *A*, κατευξάμενοι *R*, γρ. καταρεύξάμενοι *B*² marg., καταρευξάμενοι *C*, καταρεύξάμενοι *P*, κατ᾽ ἆρ εὐξάμενοι *d*, κατά ῥ᾽ εὐξάμενοι *z* ‖ 10. ἐπωθέουσι *C*, ἐωθέουσι *d*, διωθέουσι *z* ‖ 13. ἐωθέεσθαι *Cd* ‖ ἀλλὰ - 14 λέγουσι om. *R* ‖ 16. χειρώσονται *R*, χειρώσωσι *qz* ‖ ποιέουσι *R* ‖ 18. ἱστᾷ] εἰς τὰ *C* ‖ οἰκίης πάσης *C* ‖ ὑπερέχουσα *B*¹ ‖ 21. ἄνδρες εἰσὶ *R*. Stob. ‖ 22. ταμάλιστα *Pz* ‖ 23. μίξιν *PRdz* ‖ 24. μήτε *ABd*. Stob. : μήτ᾽ ‖ ἔχθει *AB*. Stob.

105 τὰ δὲ ἄλλα νόμαια Θρήιξι προσκεχωρήκασι. Νευροὶ δὲ
νόμοισι μὲν χρέωνται Σκυθικοῖσι, γενεῇ δὲ μιῇ πρότερόν
σφεας τῆς Δαρείου στρατηλασίης κατέλαβε ἐκλιπεῖν τὴν χώ-
ρην πᾶσαν ὑπὸ ὀφίων· ὄφιας γάρ σφι πολλοὺς μὲν ἡ χώρη
ἀνέφαινε, οἱ δὲ πλεῦνες ἄνωθέν σφι ἐκ τῶν ἐρήμων ἐπέ-
πεσον, ἐς ὃ πιεζόμενοι οἴκησαν μετὰ Βουδίνων τὴν ἑωυτῶν
ἐκλιπόντες. κινδυνεύουσι δὲ οἱ ἄνθρωποι οὗτοι γόητες εἶναι.
λέγονται γὰρ ὑπὸ Σκυθέων καὶ Ἑλλήνων τῶν ἐν τῇ Σκυθικῇ
κατοικημένων ὡς ἔτεος ἑκάστου ἅπαξ τῶν Νευρῶν ἕκαστος
λύκος γίνεται ἡμέρας ὀλίγας καὶ αὖτις ὀπίσω ἐς τὠυτὸ κατί-
σταται. ἐμὲ μέν νυν ταῦτα λέγοντες οὐ πείθουσι, λέγουσι
106 δὲ οὐδὲν ἧσσον, καὶ ὀμνῦσι δὲ λέγοντες. Ἀνδροφάγοι δὲ
ἀγριώτατα πάντων ἀνθρώπων ἔχουσι ἤθεα, οὔτε δίκην νομί-
ζοντες οὔτε νόμῳ οὐδενὶ χρεώμενοι. νομάδες δέ εἰσι, ἐσθῆτά
τε φορέουσι τῇ Σκυθικῇ ὁμοίην, γλῶσσαν δὲ ἰδίην, ἀνδρο-
107 φαγέουσι δὲ μοῦνοι τούτων. Μελάγχλαινοι δὲ εἵματα μὲν
μέλανα φορέουσι πάντες, ἐπ' ὧν καὶ τὰς ἐπωνυμίας ἔχουσι,
108 νόμοισι δὲ Σκυθικοῖσι χρέωνται. Βουδῖνοι δὲ ἔθνος ἐὸν μέγα
καὶ πολλὸν γλαυκόν τε πᾶν ἰσχυρῶς ἐστι καὶ πυρρόν. πόλις
δὲ ἐν αὐτοῖσι πεπόλισται ξυλίνη, οὔνομα δὲ τῇ πόλι ἐστὶ
Γελωνός· τοῦ δὲ τείχεος μέγαθος κῶλον ἕκαστον τριήκοντα
σταδίων ἐστί, ὑψηλὸν δὲ καὶ πᾶν ξύλινον, καὶ οἰκίαι αὐτῶν
ξύλιναι καὶ τὰ ἱρά. ἔστι γὰρ δὴ αὐτόθι Ἑλληνικῶν θεῶν
ἱρὰ Ἑλληνικῶς κατεσκευασμένα ἀγάλμασί τε καὶ βωμοῖσι
καὶ νηοῖσι ξυλίνοισι, καὶ τῷ Διονύσῳ τριετηρίδας ἀνάγουσι

---

9. ἔτεος - 10 κατίσταται Eustathius Dion. 310. — 15. ibidem 309. — 18. - 21 Stephanus Byz. v. Γελωνός

1. δὲ *BR*: δ' ‖ θρηιξὶ *ABC*. θρηΐξὶ *R*, θρηξὶ *d* ‖ 2. χρέονται *P* ‖ τοῖσι Σκυθικοῖσι *z* ‖ σφεας πρότερον *ABd* ‖ 5. ἀνέφηνε (αι) *C* ‖ 6. ἐσὸ *AB*, ἐσοῦ *R* ‖ 7. οὗτοι οἱ ἄνθρωποι *R* ‖ 10. αὖθις] λιθεὶς *R* ‖ ἐς ταυτὰ *ABCd* ‖ καθίσταται *R* ‖ 12. ὀμνύουσι *Rz* ‖ δὲ λέγοντες om. *R* ‖ 14. οὐδὲν *R* ‖ χρεόμενοι *P* ‖ ἐσθῆτά τε *ABd*: ἐσθῆτα δὲ ‖ 15. ἰδίην ἔχουσι Reiske ‖ ἀνδροφαγέουσι δὲ μοῦνοι τούτων primus huc retraxit Wesseling: libri atque Eustathius infra ponunt post ἐπωνυμίας ἔχουσι ‖ ἀνθρωποφαγέουσι *R*. (Eust.) ‖ 16. τούτων] πάντων *d* ‖ μὲν φορέουσι μέλανα μὲν πάντως *R* ‖ 17. ἀπ' *PRz* ‖ 18. χρέονται *P* ‖ 20. πόλει *Rd* ‖ 22. πᾶν] πάνυ *R* ‖ αἱ οἰκίαι Reiske ‖ 24. κατεσκευα//μένα *A*

καὶ βακχεύουσι. εἰσὶ γὰρ οἱ Γελωνοὶ τὸ ἀρχαῖον Ἕλληνες,
ἐκ τῶν δὲ ἐμπορίων ἐξαναστάντες οἴκησαν ἐν τοῖσι Βουδί-
νοισι· καὶ γλώσσῃ τὰ μὲν Σκυθικῇ τὰ δὲ Ἑλληνικῇ χρέων-
ται. Βουδῖνοι δὲ οὐ τῇ αὐτῇ γλώσσῃ χρέωνται καὶ Γελω-
νοί, οὐδὲ δίαιτα ἡ αὐτή. οἱ μὲν γὰρ Βουδῖνοι ἐόντες 109
αὐτόχθονες νομάδες τε εἰσὶ καὶ φθειροτραγέουσι μοῦνοι τῶν
ταύτῃ, Γελωνοὶ δὲ γῆς τε ἐργάται καὶ σιτοφάγοι καὶ κήπους
ἐκτημένοι, οὐδὲν τὴν ἰδέην ὅμοιοι οὐδὲ τὸ χρῶμα. ὑπὸ
μέντοι Ἑλλήνων καλέονται καὶ οἱ Βουδῖνοι Γελωνοί, οὐκ
ὀρθῶς καλεόμενοι. ἡ δὲ χώρη σφέων πᾶσά ἐστι δασέα ἴδῃσι
παντοίῃσι· ἐν δὲ τῇ ἴδῃ τῇ πλείστῃ ἐστὶ λίμνη μεγάλη τε
καὶ πολλὴ καὶ ἕλος καὶ κάλαμος περὶ αὐτήν. ἐν δὲ ταύτῃ
ἐνύδριες ἁλίσκονται καὶ κάστορες καὶ ἄλλα θηρία τετραγωνο-
πρόσωπα, τῶν τὰ δέρματα παρὰ τὰς σισύρνας παραρράπτε-
ται, καὶ οἱ ὄρχιες αὐτοῖσι εἰσὶ χρήσιμοι ἐς ὑστερέων ἄκεσιν.
Σαυροματέων δὲ πέρι ὧδε λέγεται. ὅτε Ἕλληνες Ἀμα- 110
ζόσι ἐμαχέσαντο (τὰς δὲ Ἀμαζόνας καλέουσι Σκύθαι Οἰόρ-
πατα, δύναται δὲ τὸ οὔνομα τοῦτο κατὰ Ἑλλάδα γλῶσσαν
ἀνδροκτόνοι· οἰὸρ γὰρ καλέουσι ἄνδρα, τὸ δὲ πατὰ κτείνειν),
τότε λόγος τοὺς Ἕλληνας νικήσαντας τῇ ἐπὶ Θερμώδοντι
μάχῃ ἀποπλέειν ἄγοντας τρισὶ πλοίοισι τῶν Ἀμαζόνων ὅσας
ἐδυνέατο ζωγρῆσαι, τὰς δ' ἐν τῷ πελάγεϊ ἐπιθεμένας ἐκκόψαι
τοὺς ἄνδρας. πλοῖα δὲ οὐ γινώσκειν αὐτὰς οὐδὲ πηδαλίοισι

---

1. Eustathius Dion. 310. — 6. Arrianus peripl. 27 p. 393 Muell. — 7. Eustathius ibidem. — 14. Λέξεις. — 17. (Hesychius v. ὀρμάται). — 20 sqq. Eustathius Dion. 653

2. ἐκ δὲ τῶν *Pz* ‖ ἐξαναστήσαντες *ABd* ‖ 3. χρέονται *P* ‖ 4. Βουδῖνοι - Γελωνοί om. *s* ‖ χρέονται *P* ‖ 5. ἀλλ' οὐδὲ δίαιτα ἡ αὐτή ἐστι γελωνοῖσι καὶ βουδίνοισι *s* ‖ 6. εἰσι sine τε *d*, τέ εἰσι ceteri ‖ 8. οὐδὲ *sz* ‖ τὴν om. *ABCd* ‖ ὁμοῖοι *CPz*, ὁμοίην *d* ‖ 10. πᾶσα ἐστὶ *PRd* ‖ δασείη *R*, δασέη ceteri ‖ ἴδῃισι παντοίοισι *C*, ἴδη δὲ παντοίη *R* ‖ 12. ἐκ δὲ ταύτης *R* ‖ 13. ἐνύδριες *AB*: ἐνίδρυες ‖ 14. τῶν] ὧν *R*, om. *C* ‖ περὶ *z* ‖ σισύρνας *ABR*: σισύρας reliqui et gloss. ‖ παραράπτεται *AB*, παράπτεται *R* ‖ 15. ὄρχεες *z* ‖ αυτοῦ *R*, αὐτέων *z* ‖ 16. ἀμάζουσιν *R* ‖ 17. οἱ σκύθαι *R* ‖ αἰορπατά (h. e. αἰορπατά pro more scriptoris) *P*, αἰόρπατα *R*, Αἰορπατὰ *z*. ὀρμάται Hes. ‖ 18. κατ' *z* ‖ 19. αἰὸρ *Rz*, αἰὸρ *P* ‖ γὰρ om. *R* ‖ τὸν ἄνδρα *z* ‖ 20. νικήσαντας τοὺς Ἕλληνας *d* ‖ θερμόδοντι *d* ‖ 21. τρισὶ] τοῖσι *d* ‖ 22. ἠδυναίατο *Cz*, ἠδυνέατο ceteri ‖ δὲ ἐν τῶι πελάγει *AB*

χρᾶσθαι οὐδὲ ἱστίοισι οὐδὲ εἰρεσίῃ· ἀλλ' ἐπεὶ ἐξέκοψαν τοὺς ἄνδρας ἐφέροντο κατὰ κῦμα καὶ ἄνεμον, καὶ ἀπικνέονται τῆς λίμνης τῆς Μαιήτιδος ἐπὶ Κρημνούς· οἱ δὲ Κρημνοὶ εἰσὶ γῆς τῆς Σκυθέων τῶν ἐλευθέρων. ἐνθαῦτα ἀποβᾶσαι ἀπὸ τῶν πλοίων αἱ Ἀμαζόνες ὁδοιπόρεον ἐς τὴν οἰκεομένην. ἐντυχοῦσαι δὲ πρώτῳ ἱπποφορβίῳ τοῦτο διήρπασαν, καὶ ἐπὶ
111 τούτων ἱππαζόμεναι ἐληίζοντο τὰ τῶν Σκυθέων. οἱ δὲ Σκύθαι οὐκ εἶχον συμβαλέσθαι τὸ πρῆγμα· οὔτε γὰρ φωνὴν οὔτε ἐσθῆτα οὔτε τὸ ἔθνος ἐγίνωσκον, ἀλλ' ἐν θώυματι ἦσαν ὁκόθεν ἔλθοιεν, ἐδόκεον δ' αὐτὰς εἶναι ἄνδρας τὴν αὐτὴν ἡλικίην ἔχοντας, μάχην τε δὴ πρὸς αὐτὰς ἐποιεῦντο. ἐκ δὲ τῆς μάχης τῶν νεκρῶν ἐκράτησαν οἱ Σκύθαι, καὶ οὕτω ἔγνωσαν ἐούσας γυναῖκας. βουλευομένοισι ὦν αὐτοῖσι ἔδοξε κτείνειν μὲν οὐδενὶ τρόπῳ ἔτι αὐτάς, ἑωυτῶν δὲ τοὺς νεωτάτους ἀποπέμψαι ἐς αὐτάς, πλῆθος εἰκάσαντας ὅσαι περ ἐκεῖναι ἦσαν· τούτους δὲ στρατοπεδεύεσθαι πλησίον ἐκεινέων καὶ ποιέειν τά περ ἂν καὶ ἐκεῖναι ποιέωσι· ἢν δὲ αὐτοὺς διώκωσι, μάχεσθαι μὲν μή, ὑποφεύγειν δέ· ἐπεὰν δὲ παύσωνται, ἐλθόντας αὐτοὺς πλησίον στρατοπεδεύεσθαι. ταῦτα ἐβουλεύσαντο οἱ Σκύθαι βουλόμενοι ἐξ αὐτέων παῖδας ἐκγενήσεσθαι.
112 ἀποπεμφθέντες δὲ οἱ νεηνίσκοι ἐποίευν τὰ ἐντεταλμένα. ἐπεὶ δὲ ἔμαθον αὐτοὺς αἱ Ἀμαζόνες ἐπ' οὐδεμιῇ δηλήσι ἀπιγμένους, ἔων χαίρειν· προσεχώρεον δὲ πλησιαιτέρω τὸ στρατόπεδον τῷ στρατοπέδῳ ἐπ' ἡμέρῃ ἑκάστῃ. εἶχον δὲ οὐδὲν οὐδ' οἱ νεηνίσκοι, ὥσπερ αἱ Ἀμαζόνες, εἰ μὴ τὰ ὅπλα καὶ τοὺς ἵππους· ἀλλὰ ζόην ἔζωον τὴν αὐτὴν ἐκείνῃσι, θηρεύ-
113 οντές τε καὶ ληιζόμενοι. ἐποίευν δὲ αἱ Ἀμαζόνες ἐς τὴν

---

1. χρῆσθαι *L* ‖ 4. τῆς γῆς τῆς *PR*, τῆς γῆς τῶν *z* ‖ 5. ὁδοιπόρεον *AB*: ὡδοιπόρεον ‖ οἰκουμένην *ABd* ‖ 8. et 9 οὔτε] οὐδὲ ter *ABCd* ‖ 9. ἀλλὰ *R* ‖ θώυματι *P*: θωῦματι *z*, θώματι ceteri ‖ ἔσαν *z* ‖ 10. ὁπόθεν *Ad*, ὁποθεν *B* ‖ δὲ *R* ‖ ἄνδρας εἶναι *d* ‖ 11. τε om. *d* ‖ 12. τῶν νεκρῶν] τινὰς τῶν γυναικῶν *dz* ‖ οὕτως *ABd*, οὔτε *R* ‖ 13. βουλομένοισι *R* ‖ 15. εἰκάσαντες *C* (?) ‖ 16. ἔσαν *z* ‖ ἐκείνων *R* ‖ 18. μὴ] καὶ *R* ‖ παύσονται *B* ‖ 20. βουλευόμενοι *R* ‖ παῖδας om. *R* ‖ ἐκγενήσεσθαι Reiske: γενήσεσθαι *d*, ἐγγενήσεσθαι ceteri ‖ 22. οὐδὲ μιῆι *AB* ‖ δηλήσει *AB* ‖ 23. πλησιαιτέρωι *AB*, πλησιαιτέρῳ *z*, πλησιωτέρω *R* ‖ 25. οὐδὲ *R* ‖ ὥσπερ] ὥσπερ οὐδὲ *R* ‖ 26. ζώην *Cd* ‖ 27. ἐποίευν *PR*: ἐποίεον

μεσαμβρίην τοιόνδε. ἐγίνοντο σποράδες κατὰ μίαν τε καὶ δύο, πρόσω δὴ ἀπ' ἀλληλέων ἐς εὐμαρείην ἀποσκιδνάμεναι. μαθόντες δὲ καὶ οἱ Σκύθαι ἐποίευν τὠυτὸ τοῦτο. καί τις μουνωθεισέων τινὶ αὐτέων ἐνεχρίμπτετο, καὶ ἡ Ἀμαζὼν οὐκ ἀπωθέετο ἀλλὰ περιεῖδε χρήσασθαι. καὶ φωνῆσαι μὲν οὐκ εἶχε (οὐ γὰρ συνίεσαν ἀλλήλων), τῇ δὲ χειρὶ ἔφραζε ἐς τὴν ὑστεραίην ἐλθεῖν ἐς τὠυτὸ χωρίον καὶ ἕτερον ἄγειν, σημαίνουσα δύο γενέσθαι, καὶ αὐτὴ ἑτέρην ἄξειν. ὁ δὲ νεηνίσκος, ἐπεὶ ἀπῆλθε, ἔλεξε ταῦτα πρὸς τοὺς λοιπούς· τῇ δὲ δευτεραίῃ ἦλθε ἐς τὸ χωρίον αὐτός τε οὗτος καὶ ἕτερον ἦγε, καὶ τὴν Ἀμαζόνα εὗρε δευτέρην αὐτὴν ὑπομένουσαν. οἱ δὲ λοιποὶ νεηνίσκοι ὡς ἐπύθοντο ταῦτα, καὶ αὐτοὶ ἐκτιλώσαντο τὰς λοιπὰς τῶν Ἀμαζόνων. μετὰ δὲ συμμίξαντες τὰ στρατόπεδα 114
οἴκεον ὁμοῦ, γυναῖκα ἔχων ἕκαστος ταύτην τῇ τὸ πρῶτον συνεμίχθη. τὴν δὲ φωνὴν τὴν μὲν τῶν γυναικῶν οἱ ἄνδρες οὐκ ἐδυνέατο μαθεῖν, τὴν δὲ τῶν ἀνδρῶν αἱ γυναῖκες συνέλαβον. ἐπεὶ δὲ συνῆκαν ἀλλήλων, ἔλεξαν πρὸς τὰς Ἀμαζόνας τάδε οἱ ἄνδρες. "ἡμῖν εἰσὶ μὲν τοκέες, εἰσὶ δὲ κτήσιες. νῦν ὦν μηκέτι πλεῦνα χρόνον ζόην τοιήνδε ἔχωμεν, ἀλλ' ἀπελθόντες ἐς τὸ πλῆθος διαιτώμεθα. γυναῖκας δὲ ἕξομεν ὑμέας καὶ οὐδαμὰς ἄλλας." αἱ δὲ πρὸς ταῦτα ἔλεξαν τάδε. "ἡμεῖς οὐκ ἂν δυναίμεθα οἰκέειν μετὰ τῶν ὑμετερέων γυναικῶν· οὐ γὰρ τὰ αὐτὰ νόμαια ἡμῖν τε καὶ κείνῃσί ἐστι. ἡμεῖς μὲν τοξεύομέν τε καὶ ἀκοντίζομεν καὶ ἱππαζόμεθα, ἔργα δὲ γυναικήια οὐκ ἐμάθομεν· αἱ δὲ ὑμέτεραι γυναῖκες

---

2. Λέξεις. — 12. ἐκτιλώσαντο - 13 Ἀμαζόνων **Eustathius Il. p. 403.** — **(Bekkeri Anecd. p. 258)**

1. μίην z ‖ 2. δὴ om. *PRz* ‖ ἀλλήλων *R* ‖ εὐμαρείην *d*: εὐμαρίην ‖ 3. καὶ οἱ] οἱ *Cd* ‖ ἐποίεον *ABC* ‖ τὸ αὐτὸ *R* ‖ 4. μουνοθεισέων z ‖ αὐτέων τινὶ *Rz*, αὐτῶν τινι *R* ‖ ἐχρίμπτετο *R* ‖ 6. ἔφραξεν *R* ‖ ἐς om. *Apr.* ‖ 8. αὐτὴν *Bz*, αὐτὴ ἔφη *R* ‖ 9. ἔλεξε - 10 ἦλθε om. *R* ‖ ὑστεραίῃ z ‖ 11. αὐτὸν z ‖ 12. ἐκτιλώσαντες *R* ‖ 15. φωνὴν τῶν γυναικῶν μὲν *R* ‖ 16. ἐδυνέατο *C*, ἐδυναίατο z ‖ 18. δὲ] δὲ καὶ *R* ‖ κτήσεις *L* ‖ 19. ζώην *d* ‖ ἔχομεν *R* ‖ 21. οὐδαμέας *ABCd* ‖ ἔδοξαν *R* ‖ 22. δυνάμεθα *R* ‖ ὑμετέρων *L* ‖ 23. ταὐτὰ *AB*, ταῦτα *d* ‖ καὶ κείνῃσί *R*: κακείνῃσί *AB*, κἀκείνῃσί *CPd*, κᾀκείνῃσί z ‖ 24. τε om. *R*

τούτων μὲν οὐδὲν τῶν ἡμεῖς κατελέξαμεν ποιεῦσι, ἔργα δὲ
γυναικήια ἐργάζονται μένουσαι ἐν τῇσι ἁμάξῃσι, οὔτ' ἐπὶ
θήρην ἰοῦσαι οὔτε ἄλλῃ οὐδαμῇ. οὐκ ἂν ὦν δυναίμεθα
ἐκείνῃσι συμφέρεσθαι. ἀλλ' εἰ βούλεσθε γυναῖκας ἔχειν
ἡμέας καὶ δοκέειν εἶναι δίκαιοι, ἐλθόντες παρὰ τοὺς τοκέας
ἀπολάχετε τῶν κτημάτων τὸ μέρος, καὶ ἔπειτα ἐλθόντες
115 οἰκέωμεν ἐπὶ ἡμέων αὐτῶν." ἐπείθοντο καὶ ἐποίησαν ταῦτα
οἱ νεηνίσκοι. ἐπείτε δὲ ἀπολαχόντες τῶν κτημάτων τὸ ἐπι-
βάλλον ἦλθον ὀπίσω παρὰ τὰς Ἀμαζόνας, ἔλεξαν αἱ γυναῖκες
πρὸς αὐτοὺς τάδε. "ἡμέας ἔχει φόβος τε καὶ δέος, ὅκως χρὴ
οἰκέειν ἐν τῷδε τῷ χώρῳ τοῦτο μὲν ὑμέας ἀποστερησάσας
πατέρων, τοῦτο δὲ τὴν γῆν τὴν ὑμετέρην δηλησαμένας πολ-
λά. ἀλλ' ἐπείτε ἀξιοῦτε ἡμέας γυναῖκας ἔχειν, τάδε ποιέετε
ἅμα ἡμῖν· φέρετε ἐξαναστέωμεν ἐκ τῆς γῆς τῆσδε καὶ περή-
116 σαντες Τάναϊν ποταμὸν οἰκέωμεν." ἐπείθοντο καὶ ταῦτα οἱ
νεηνίσκοι, διαβάντες δὲ τὸν Τάναϊν ὁδοιπόρεον πρὸς ἥλιον
ἀνίσχοντα τριῶν μὲν ἡμερέων ἀπὸ τοῦ Τανάιδος ὁδόν, τριῶν
δὲ ἀπὸ τῆς λίμνης τῆς Μαιήτιδος πρὸς βορέην ἄνεμον. ἀπι-
κόμενοι δὲ ἐς τοῦτον τὸν χῶρον ἐν τῷ νῦν κατοίκηνται, οἴκη-
σαν τοῦτον. καὶ διαίτῃ ἀπὸ τούτου χρέωνται τῇ παλαιῇ τῶν
Σαυροματέων αἱ γυναῖκες, καὶ ἐπὶ θήρην ἐπ' ἵππων ἐκφοι-
τέουσαι ἅμα τοῖσι ἀνδράσι καὶ χωρὶς τῶν ἀνδρῶν, καὶ ἐς
πόλεμον φοιτέουσαι καὶ στολὴν τὴν αὐτὴν τοῖσι ἀνδράσι
117 φορέουσαι. φωνῇ δὲ οἱ Σαυρομάται νομίζουσι Σκυθικῇ,
σολοικίζοντες αὐτῇ ἀπὸ τοῦ ἀρχαίου, ἐπεὶ οὐ χρηστῶς ἐξέ-
μαθον αὐτὴν αἱ Ἀμαζόνες. τὰ περὶ γάμων δὲ ὧδέ σφι δια-

---

6. ἀπολάχετε - μέρος Lexicon Vindob. p. 23. — 8. ἐπείτε - 9 Ἀμαζόνας ibidem p. 87. — 10. ἡμέας - δέος Ammonius v. δέος

2. μένουσιν *d*, καὶ μένουσιν *R* ‖ ἁμάξῃσι οὔτε *R* ‖ 5. δίκαιον *d*, δικαιότατοι *R* ‖ 6. ἀπέλαχέ τε Lex. Vind. ‖ 7. οἰκῶμεν *R* ‖ ἐπ' *Pz* ‖ αὐτέων *PRz* ‖ 12. τὴν γῆν] γῆν *ABd* ‖ 13. ἀξιοῦτε γυναῖκας ἔχειν, ἀξιοῦτε ἡμέας *z* ‖ γυναῖκας ἡμέας *d* ‖ 16. ὁδοιπόρεον *ABR*: ὡδοιπόρεον *Pdz*, ὡδοιπόρεον *C* ‖ 18. βορέην *Rdz*: βορῆν ‖ 20. χρέονται *P* ‖ 21. ἐπὶ *Rz* ‖ ἐκφοιτῶσαι codices, ἐκφοιτῶσι *z* ‖ 22. ἅμα om. *C*. fortasse καὶ ἅμα ‖ 23. φοιτῶσαι codices, φοιτῶσι *z* ‖ 24. φορέουσι *z* ‖ 25. ἐπεὶ] ὅτι *R*

χέεται. οὐ γαμέεται παρθένος οὐδεμία πρὶν ἂν τῶν πολεμίων ἄνδρα ἀποκτείνῃ· αἱ δέ τινες αὐτέων καὶ τελευτῶσι γηραιαὶ πρὶν γήμασθαι, οὐ δυνάμεναι τὸν νόμον ἐκπλῆσαι.

118 Ἐπὶ τούτων ὦν τῶν καταλεχθέντων ἐθνέων τοὺς βασιλέας ἁλισμένους ἀπικόμενοι τῶν Σκυθέων οἱ ἄγγελοι ἔλεγον ἐκδιδάσκοντες ὡς ὁ Πέρσης, ἐπειδή οἱ τὰ ἐν τῇ ἠπείρῳ τῇ ἑτέρῃ πάντα κατέστραπται, γέφυραν ζεύξας ἐπὶ τῷ αὐχένι τοῦ Βοσπόρου διαβέβηκε ἐς τήνδε τὴν ἤπειρον, διαβὰς δὲ καὶ καταστρεψάμενος Θρήικας γεφυροῖ ποταμὸν Ἴστρον, βουλόμενος καὶ τάδε πάντα ὑπ' ἑωυτῷ ποιήσασθαι. "ὑμεῖς ὦν μηδενὶ τρόπῳ ἐκ τοῦ μέσου κατήμενοι περιίδητε ἡμέας διαφθαρέντας, ἀλλὰ τὠυτὸ νοήσαντες ἀντιάζωμεν τὸν ἐπιόντα. οὔκων ποιήσετε ταῦτα· ἡμεῖς μὲν πιεζόμενοι ἐκλείψομεν τὴν χώρην ἢ μένοντες ὁμολογίῃ χρησόμεθα. τί γὰρ πάθωμεν μὴ βουλομένων ὑμέων τιμωρέειν; ὑμῖν δὲ οὐδὲν ἐπὶ τούτῳ ἔσται ἐλαφρότερον· ἥκει γὰρ ὁ Πέρσης οὐδέν τι μᾶλλον ἐπ' ἡμέας ἢ οὐ καὶ ἐπ' ὑμέας, οὐδέ οἱ καταχρήσει ἡμέας καταστρεψαμένῳ ὑμέων ἀπέχεσθαι. μέγα δὲ ὑμῖν λόγων τῶνδε μαρτύριον ἐρέομεν. εἰ γὰρ ἐπ' ἡμέας μούνους ἐστρατηλάτεε ὁ Πέρσης τίσασθαι τῆς πρόσθε δουλοσύνης βουλόμενος, χρῆν αὐτὸν πάντων τῶν ἄλλων ἀπεχόμενον ἰέναι οὕτω ἐπὶ τὴν ἡμετέρην, καὶ ἂν ἐδήλου πᾶσι ὡς ἐπὶ Σκύθας ἐλαύνει καὶ οὐκ ἐπὶ τοὺς ἄλλους. νῦν δὲ ἐπείτε τάχιστα διέβη ἐς τήνδε τὴν ἤπειρον, τοὺς αἰεὶ ἐμποδὼν γινομένους ἡμεροῦται πάντας, τούς τε δὴ ἄλλους ἔχει ὑπ' ἑωυτῷ Θρήικας καὶ δὴ καὶ τοὺς ἡμῖν ἐόντας πλησιοχώρους Γέτας." 119 ταῦτα Σκυθέων ἐπαγ-

περὶ ὧν ἀπήγγειλαν οἱ τῶν Σκυθῶν ἄγγελοι τοῖς τῶν ἐθνῶν βασιλεῦσιν

1. οὐδὲ μία *AB*, οὐδεμίη *dz* ‖ 2. αὐτῶν *R* ‖ 5. ἀλλισμένους *R*, ἀλισκομένους *Cd* ‖ 9. θρήικας *AB*, θρῆκας *R* ‖ 10. ὑπὸ *A* ‖ 11. παρίδητε *d* ‖ 12. τωυτὸν *R*, τοῦτο *d* ‖ νομίσαντες *z* ‖ 13. ποιήσεται *R* ‖ ταῦτα· *d*: ταῦτα; *Pz*, ταῦτα, reliqui ‖ ἢ ἐκλείψομεν *ABdz* ‖ 14. πάθομεν *C* ‖ 15. ἐπὶ τούτῳ *z*: ἐπὶ τοῦτο codices. fortasse διὰ τοῦτο ‖ 17. ἢ οὐ καὶ ἐπ' *AB*: ἢ οὐκ ἐπ' *P[t]Rd*, ἢ οὐκ ἐπὶ *C*, ἢ οὐ καὶ ἐπὶ *P[m]*, ἢ καὶ ἐπὶ *sz* ‖ 19. μόνους *C* ‖ 21. οὕτω ἰέναι *z* ‖ 22. καὶ ἀνεδήλου *d* ‖ ἐλαύνειν *R* ‖ 23. διέβη ἐς Dietsch: διέβη ‖ 24. ἐνποδῶν *AB* ‖ 25. δὴ] δὲ δὴ *R* ‖ θρῆικας *AB*

γελλομένων ἐβουλεύοντο οἱ βασιλέες οἱ ἀπὸ τῶν ἐθνέων ἥκοντες, καί σφεων ἐσχίσθησαν αἱ γνῶμαι. ὁ μὲν Γελωνὸς καὶ ὁ Βουδῖνος καὶ ὁ Σαυρομάτης κατὰ τὠυτὸ γενόμενοι ὑπεδέκοντο Σκύθῃσι τιμωρήσειν, ὁ δὲ Ἀγάθυρσος καὶ Νευρὸς καὶ Ἀνδροφάγος καὶ οἱ τῶν Μελαγχλαίνων καὶ Ταύρων τάδε Σκύθῃσι ὑπεκρίναντο. "εἰ μὲν μὴ ὑμεῖς ἔατε οἱ πρότερον ἀδικήσαντες Πέρσας καὶ ἄρξαντες πολέμου, τούτων δεόμενοι τῶν νῦν δέεσθε λέγειν τε ἂν ἐφαίνεσθε ἡμῖν ὀρθά, καὶ ἡμεῖς ὑπακούσαντες τὠυτὸ ἂν ὑμῖν ἐπρήσσομεν. νῦν δὲ ὑμεῖς τε ἐς τὴν ἐκείνων ἐσβαλόντες γῆν ἄνευ ἡμέων ἐπεκρατέετε Περσέων ὅσον χρόνον ὑμῖν ὁ θεὸς παρεδίδου, καὶ ἐκεῖνοι, ἐπεί σφεας ὡυτὸς θεὸς ἐγείρει, τὴν ὁμοίην ὑμῖν ἀποδιδοῦσι. ἡμεῖς δὲ οὔτε τι τότε ἠδικήσαμεν τοὺς ἄνδρας τούτους οὐδὲν οὔτε νῦν πρότεροι πειρησόμεθα ἀδικέειν. ἢν μέντοι ἐπίῃ καὶ ἐπὶ τὴν ἡμετέρην ἄρξῃ τε ἀδικέων, καὶ ἡμεῖς οὐ πεισόμεθα, μέχρι δὲ τοῦτο ἴδωμεν, μενέομεν παρ' ἡμῖν αὐτοῖσι· ἥκειν γὰρ δοκέομεν οὐκ ἐπ' ἡμέας Πέρσας ἀλλ' ἐπὶ τοὺς αἰτίους
120 τῆς ἀδικίης γενομένους." ταῦτα ὡς ἀπενειχθέντα ἐπύθοντο οἱ Σκύθαι, ἐβουλεύοντο ἰθυμαχίην μὲν μηδεμίαν ποιέεσθαι ἐκ τοῦ ἐμφανέος, ὅτε δή σφι οὗτοί γε σύμμαχοι οὐ προσεγίνοντο, ὑπεξιόντες δὲ καὶ ὑπεξελαύνοντες τὰ φρέατα τὰ παρεξίοιεν αὐτοὶ καὶ τὰς κρήνας συγχοῦν, τὴν ποίην τε ἐκ τῆς γῆς ἐκτρίβειν, διχοῦ σφέας διελόντες. καὶ πρὸς μὲν τὴν μίαν τῶν μοιρέων, τῆς ἐβασίλευε Σκώπασις, προσχωρέειν Σαυρομάτας· τούτους μὲν δὴ ὑπάγειν, ἢν ἐπὶ τοῦτο τράπηται

ὑποχώρησις Σκυθῶν

1. βασιλῆες sz ‖ ὑπὸ R ‖ 2. μὲν] μὲν γὰρ CPdz ‖ 3. τοῦτο d ‖ 4. ὑπεδέκετο C ‖ 5. οἱ] ὁ ABCd ‖ 6. ἔαται d ‖ 7. πολέμους R ‖ 8. ἡμῖν] καὶ ἡμῖν d (β α) ‖ 9. ἐπρήσσομεν ὑμῖν P ‖ τε om. R ‖ 10. ἐμβαλόντες d ‖ ἐπεκράτεέ τε R ‖ 11. ὁ om. d ‖ ἐπεὶ σφεας B, ἐπὶ σφέας AC ‖ 12. ωυτὸς AB, ὡυτὸς P, ὡῦτὸς Rdz, αὐτὸς C ‖ 13. δὲ om. ABCd ‖ 14. ἐπείη R ‖ 15. ἄρξει τε R, ἄρξηται sz ‖ οὐκ οἰσόμεθα s. 'an forte οὐ περιοψόμεθα?' Bekker idemque post illum Cobet, vel οἱ ἐποισόμεθα vel οἱ ἐπεισόμεθα Eltz, ἀπωσόμεθα Hoeger ‖ 16. ἴδομεν z ‖ 17. ἐπὶ μέας R ‖ 19. μηδεμίην z ‖ 20. ὅτε ABR: ὅτι ‖ προσεγένοντο sz ‖ 21. τάπερ ἐξίοιεν BR ‖ 23. διχοὺς R, διχῇ z ‖ 24. μίην z ‖ κώπασις R ‖ 25. σαυρομάτης R

ὁ Πέρσης, ἰθὺ Τανάιδος ποταμοῦ παρὰ τὴν Μαιῆτιν λίμνην ὑποφεύγοντας, ἀπελαύνοντός τε τοῦ Πέρσεω ἐπιόντας διώκειν. αὕτη μέν σφι μία ἦν μοῖρα τῆς βασιληίης, τεταγμένη ταύτην τὴν ὁδὸν ᾗ περ εἴρηται· τὰς δὲ δύο τῶν βασιληίων, τήν τε μεγάλην τῆς ἦρχε Ἰδάνθυρσος καὶ τὴν τρίτην τῆς ἐβασίλευε Τάξακις, συνελθούσας ἐς τὠυτὸ καὶ Γελωνῶν τε καὶ Βουδίνων προσγενομένων, ἡμέρης καὶ τούτους ὁδῷ προέχοντας τῶν Περσέων ὑπεξάγειν, ὑπιόντας τε καὶ ποιεῦντας τὰ βεβουλευμένα. πρῶτα μέν νυν ὑπάγειν σφέας ἰθὺ τῶν χωρέων τῶν ἀπειπαμένων τὴν σφετέρην συμμαχίην, ἵνα καὶ τούτους ἐκπολεμώσωσι· εἰ δὲ μὴ ἑκόντες γε ὑπέδυσαν τὸν πόλεμον τὸν πρὸς Πέρσας, ἀλλ' ἀέκοντας ἐκπολεμῶσαι· μετὰ δὲ τοῦτο ὑποστρέφειν ἐς τὴν σφετέρην καὶ ἐπιχειρέειν, ἢν δὴ βουλευομένοισι δοκέῃ.

Ταῦτα οἱ Σκύθαι βουλευσάμενοι ὑπηντίαζον τὴν Δαρείου 121
στρατιήν, προδρόμους ἀποστείλαντες τῶν ἱππέων τοὺς ἀρίστους. τὰς δὲ ἁμάξας ἐν τῇσί σφι διαιτᾶτο τὰ τέκνα καὶ αἱ γυναῖκες πάσας καὶ τὰ πρόβατα πάντα, πλὴν ὅσα σφι ἐς φορβὴν ἱκανὰ ἦν τοσαῦτα ὑπολιπόμενοι, τὰ ἄλλα ἅμα τῇσι ἁμάξῃσι προέπεμψαν, ἐντειλάμενοι αἰεὶ τὸ πρὸς βορέω ἐλαύνειν. ταῦτα μὲν δὴ προεκομίζετο. τῶν δὲ Σκυθέων οἱ πρό- 122
δρομοι ὡς εὗρον τοὺς Πέρσας ὅσον τε τριῶν ἡμερέων ὁδὸν ἀπέχοντας ἀπὸ τοῦ Ἴστρου, οὗτοι μὲν τούτους εὑρόντες, ἡμέρης ὁδῷ προέχοντες, ἐστρατοπεδεύοντο τὰ ἐκ τῆς γῆς φυόμενα λεαίνοντες. οἱ δὲ Πέρσαι ὡς εἶδον ἐπιφανεῖσαν

9. **Bekkeri Anecd. p. 114**

1. τὴν om. *Cd* ‖ 3. μίη *z* ‖ μοίρη *dz* ‖ 4. ᾗπερ *sz* ‖ 'forsan βασιληιέων' Schweighaeuser ‖ 5. τῆς *z*: ᵀῆς *P*, om. *R*, ἧς reliqui ‖ ἰνδάθυρσος *dz* ‖ τῆς om. *R* ‖ 7. προσγενομένων – 8 Περσέων om. *R* ‖ προσγινομένων *ABCd* ‖ 10. χώρεων τῶν ἀπιγμένων *R* ‖ 11. δὲ] γὰρ? ‖ ὑπέδησαν *R* ‖ 12. ἀλλὰ *ABd* ‖ ἄκοντας *L* ‖ 14. δὲ *C* ‖ βουλομένοισι *Rz* ‖ δοκέει *d* ‖ 17. ἁμάξας *R* ‖ ἐδιαιτᾶτο *AB* ‖ τὰ τέκνα τε *Rz*, τά τε τέκνα *d* ‖ 18. πάσας *s*: πᾶσαι ‖ πάντα om. *ABCd* ‖ ὑπολειπόμενοι *B*, ἀπολιπόμενοι *P*, ἀπολιπόμενοι *Rz* ‖ 21. προεκομίζοντο *qz* ‖ 23. τοῦ om. *PRz* ‖ 24. προέχοντας *Rz* ‖ τῆς om. *d*

τῶν Σκυθέων τὴν ἵππον, ἐπήισαν κατὰ στίβον αἰεὶ ὑπαγόντων· καὶ ἔπειτα (πρὸς γὰρ τὴν μίαν τῶν μοιρέων ἴθυσαν) οἱ Πέρσαι ἐδίωκον πρὸς ἠῶ τε καὶ τοῦ Τανάιδος· διαβάντων δὲ τούτων τὸν Τάναϊν ποταμὸν οἱ Πέρσαι ἐπιδιαβάντες ἐδίωκον, ἐς ὃ τῶν Σαυροματέων τὴν χώρην διεξελθόντες ἀπί-
123 κοντο ἐς τὴν τῶν Βουδίνων. ὅσον μὲν δὴ χρόνον οἱ Πέρσαι ἤισαν διὰ τῆς Σκυθικῆς καὶ τῆς Σαυρομάτιδος χώρης, οἱ δὲ εἶχον οὐδὲν σίνεσθαι ἅτε τῆς χώρης ἐούσης χέρσου· ἐπείτε δὲ ἐς τὴν τῶν Βουδίνων χώρην ἐσέβαλλον, ἐνθαῦτα δὴ ἐντυχόντες τῷ ξυλίνῳ τείχεϊ, ἐκλελοιπότων τῶν Βουδίνων καὶ κεκενωμένου τοῦ τείχεος πάντων, ἐνέπρησαν αὐτό. τοῦτο δὲ ποιήσαντες εἵποντο αἰεὶ τὸ πρόσω κατὰ στίβον, ἐς ὃ διεξελθόντες ταύτην ἐς τὴν ἔρημον ἀπίκοντο. ἡ δὲ ἔρημος αὕτη ὑπὸ οὐδαμῶν νέμεται ἀνδρῶν, κέεται δὲ ὑπὲρ τῆς Βουδίνων χώρης ἐοῦσα πλῆθος ἑπτὰ ἡμερέων ὁδοῦ. ὑπὲρ δὲ τῆς ἐρήμου Θυσσαγέται οἰκέουσι, ποταμοὶ δὲ ἐξ αὐτῶν τέσσερες μεγάλοι ῥέοντες διὰ Μαιητέων ἐκδιδοῦσι ἐς τὴν λίμνην τὴν καλεομένην Μαιῆτιν, τοῖσι οὐνόματα κέεται τάδε, Λύκος
124 Ὄαρος Τάναϊς Σύργις. ἐπεὶ ὦν ὁ Δαρεῖος ἦλθε ἐς τὴν ἔρημον, παυσάμενος τοῦ δρόμου ἵδρυσε τὴν στρατιὴν ἐπὶ ποταμῷ Ὀάρῳ. τοῦτο δὲ ποιήσας ὀκτὼ τείχεα ἐτείχεε μεγάλα, ἴσον ἀπ' ἀλλήλων ἀπέχοντα, σταδίους ὡς ἑξήκοντα μάλιστά κῃ· τῶν ἔτι ἐς ἐμὲ τὰ ἐρείπια σόα ἦν. ἐν ᾧ δὲ οὗτος πρὸς ταῦτα ἐτράπετο, οἱ διωκόμενοι Σκύθαι περιελθόντες τὰ κατύπερθε ὑπέστρεφον ἐς τὴν Σκυθικήν. ἀφανισθέντων δὲ τούτων τὸ

ἐπιδίωξις Δαρείου κατὰ Σκυθῶν

16. Stephanus Byz. v. Θυσσαγέται

1. ἐπήεισαν *d* ‖ 2. μίην *z* ‖ 3. καὶ ἐδίωκον *R* ‖ ἠῶ *d* ‖ τοῦ] rectius ἰθὺ vel ἰθὺ τοῦ ‖ 5. ἐς ὃ] ἐς τὸ *C*, ἐς *d* ‖ 7. ἦσαν *BR*, ἤεισαν *d* ‖ 8. σινέεσθαι *R* ‖ 9. ἐσέβαλον *s*, εἰσέβαλον *z* ‖ 10. τείχει *AB* ‖ 12. τὸ] τοῦ *d* ‖ ἐσὸ *AB* ‖ ἐξελθόντες *R* ‖ 13. ἐρῆμον *CP* ‖ ἐρῆμος *CP* ‖ 16. θυσαγέται *R* ‖ αὐτέων *z* ‖ 17. μαητέων *R* ‖ 18. μαῆτιν *R* ‖ ὀνόματα *AB* ‖ 19. ὄαρος *R* ‖ σύργης *R*. Ὕργις Schaefer ‖ ἐρῆμον *CP* ‖ 20. παυσαμένου *ABCd* ‖ 21. ἶσον *d* ‖ 23. ἐρίπια *ABR* ‖ σόα ἦν *ABR*: σῶα ἦν *CPz*, ἦν σῶα *d* ‖ 24. τὰ om. *R* ‖ κατύπερθεν *d* ‖ 25. δὲ τούτων om. *d* ‖ τὸ παράπαν τούτων *R*

παράπαν, ὡς οὐκέτι ἐφαντάζοντό σφι, οὕτω δὴ ὁ Δαρεῖος τείχεα μὲν ἐκεῖνα ἡμίεργα μετῆκε, αὐτὸς δὲ ὑποστρέψας ἤιε πρὸς ἑσπέρην, δοκέων τούτους τε πάντας τοὺς Σκύθας εἶναι καὶ πρὸς ἑσπέρην σφέας φεύγειν. ἐλαύνων δὲ τὴν ταχίστην 125
τὸν στρατὸν ὡς ἐς τὴν Σκυθικὴν ἀπίκετο, ἐνέκυρσε ἀμφοτέρῃσι τῇσι μοίρῃσι τῶν Σκυθέων, ἐντυχὼν δὲ ἐδίωκε ὑπεκφέροντας ἡμέρης ὁδῷ. καὶ οὐ γὰρ ἀνίει ἐπιὼν ὁ Δαρεῖος, οἱ Σκύθαι κατὰ τὰ βεβουλευμένα ὑπέφευγον ἐς τῶν ἀπειπαμένων τὴν σφετέρην συμμαχίην, πρώτην δὲ ἐς τῶν Μελαγχλαίνων τὴν γῆν. ὡς δὲ ἐσβαλόντες τούτους ἐτάραξαν οἵ τε Σκύθαι καὶ οἱ Πέρσαι, κατηγέοντο οἱ Σκύθαι ἐς τῶν Ἀνδροφάγων τοὺς χώρους· ταραχθέντων δὲ καὶ τούτων ὑπῆγον ἐπὶ τὴν Νευρίδα· ταρασσομένων δὲ καὶ τούτων ἤισαν ὑποφεύγοντες οἱ Σκύθαι ἐς τοὺς Ἀγαθύρσους. Ἀγάθυρσοι δὲ ὁρέοντες καὶ τοὺς ὁμούρους φεύγοντας ὑπὸ Σκυθέων καὶ τεταραγμένους, πρὶν ἤ σφι ἐμβαλεῖν τοὺς Σκύθας πέμψαντες κήρυκα ἀπηγόρευον Σκύθῃσι μὴ ἐπιβαίνειν τῶν σφετέρων οὔρων, προλέγοντες ὡς, εἰ πειρήσονται ἐσβαλόντες, σφίσι πρῶτα διαμαχήσονται. Ἀγάθυρσοι μὲν προείπαντες ταῦτα ἐβοήθεον ἐπὶ τοὺς οὔρους, ἐρύκειν ἐν νόῳ ἔχοντες τοὺς ἐπιόντας. Μελάγχλαινοι δὲ καὶ Ἀνδροφάγοι καὶ Νευροὶ ἐσβαλόντων τῶν Περσέων ἅμα Σκύθῃσι οὔτε πρὸς ἀλκὴν ἐτράποντο ἐπιλαθόμενοί τε τῆς ἀπειλῆς ἔφευγον αἰεὶ τὸ πρὸς βορέω ἐς τὴν ἔρημον τεταραγμένοι. οἱ δὲ Σκύθαι ἐς μὲν τοὺς Ἀγαθύρσους οὐκέτι ἀπείπαντας ἀπικνέοντο, οἱ δὲ ἐκ τῆς Νευρίδος χώρης ἐς τὴν σφετέρην κατηγέοντο τοῖσι Πέρσῃσι.

---

11. κατηγέοντο – 12 χώρους Antonius Mon. p. 1168 Tittm.

1. ἐφαντάζετό *R* ‖ 3. γε *AB* ‖ τοὺς om. *R* ‖ 5. ὡς om. *PRz* ‖ ἐς δ ἐνέκυρσε *Pz*, εἰς δ ἐνέκυρσε *R* ‖ 6. ἐπεκφέροντας ἡμέρης ὁδόν *R* ‖ 7. ἀνίει *R*: ἀνίεεν *d*, ἀνίεε ceteri ‖ οἱ Σκύθαι om. *R* ‖ 8. τὰ om. *C* ‖ 11. καθηγέοντο Anton. ‖ 12. ὑπῆγον – 13 τούτων om. *R* ‖ 13. ευρίδα *B*[1] ‖ ἤιεσαν *Ad*, ἠιεσαν *B* ‖ 15. ὁρέοντες *Pd*: ὁρῶντες *ABR*, ὁρέωντες *Cz* ‖ 16. ἐμβαλέειν *z* ‖ 18. οὔρων *z* ut fere ‖ σφισι *AB* ‖ 19. μὲν] δὲ *R* ‖ 20. ἐρύκειν post ἔχοντες *z* ‖ νῶι vel νῶ *L* ‖ 24. ἐρῆμον *CP* ‖ 25. ἀπικνέονται *ABCd* ‖ δ' *ABd*

126 Ὡς δὲ πολλὸν τοῦτο ἐγίνετο καὶ οὐκ ἐπαύετο, πέμψας
Δαρεῖος ἱππέα παρὰ τὸν Σκυθέων βασιλέα Ἰδάνθυρσον ἔλεγε
τάδε. "δαιμόνιε ἀνδρῶν, τί φεύγεις αἰεί, ἐξεόν τοι τῶνδε τὰ
ἕτερα ποιέειν; εἰ μὲν γὰρ ἀξιόχρεος δοκέεις εἶναι σεωυτῷ
τοῖσι ἐμοῖσι πρήγμασι ἀντιωθῆναι, σὺ δὲ στάς τε καὶ παυσά-
μενος πλάνης μάχεσθαι· εἰ δὲ συγγινώσκεαι εἶναι ἥσσων,
σὺ δὲ καὶ οὕτω παυσάμενος τοῦ δρόμου δεσπότῃ τῷ σῷ δῶρα
127 φέρων γῆν τε καὶ ὕδωρ ἐλθὲ ἐς λόγους." πρὸς ταῦτα ὁ
Σκυθέων βασιλεὺς Ἰδάνθυρσος ἔλεγε τάδε. "οὕτω τὸ ἐμὸν
ἔχει, ὦ Πέρσα. ἐγὼ οὐδένα κω ἀνθρώπων δείσας ἔφυγον
οὔτε πρότερον οὔτε νῦν σὲ φεύγω· οὐδέ τι νεώτερόν εἰμι
ποιήσας νῦν ἢ καὶ ἐν εἰρήνῃ ἐώθεα ποιέειν. ὅ τι δὲ οὐκ
αὐτίκα μάχομαί τοι, ἐγὼ καὶ τοῦτο σημανέω. ἡμῖν οὔτε
ἄστεα οὔτε γῆ πεφυτευμένη ἐστί, τῶν πέρι δείσαντες μὴ ἁλῷ
ἢ καρῇ ταχύτερον συμμίσγοιμεν ἂν ἐς μάχην ὑμῖν. εἰ δὲ
δέοι πάντως ἐς τοῦτο κατὰ τάχος ἀπικνέεσθαι, τυγχάνουσι
ἡμῖν ἐόντες τάφοι πατρώιοι. φέρετε, τούτους ἀνευρόντες
συγχέειν πειρᾶσθε αὐτούς, καὶ γνώσεσθε τότε εἴτε ὑμῖν
μαχησόμεθα περὶ τῶν τάφων εἴτε καὶ οὐ μαχησόμεθα. πρό-
τερον δέ, ἢν μὴ ἡμέας λόγος αἱρέῃ, οὐ συμμίξομέν τοι.
ἀμφὶ μὲν μάχῃ τοσαῦτα εἰρήσθω, δεσπότας δὲ ἐμοὺς ἐγὼ
Δία τε νομίζω τὸν ἐμὸν πρόγονον καὶ Ἱστίην τὴν Σκυθέων
βασίλειαν μούνους εἶναι. σοὶ δὲ ἀντὶ μὲν δώρων γῆς τε καὶ
ὕδατος δῶρα πέμψω τοιαῦτα οἷα σοὶ πρέπει ἐλθεῖν, ἀντὶ
δὲ τοῦ ὅτι δεσπότης ἔφησας εἶναι ἐμός, κλαίειν λέγω."
[τοῦτό ἐστι ἡ ἀπὸ Σκυθέων ῥῆσις.]

δήλωσις Δαρείου καὶ Σκυθῶν ἀπόκρισις

1. ἐγένετο *sz* ‖ 2. τῶν (ὸ superscr.) *C*, τῶν *R* ‖ βασιλῆα *z* ‖ ἰνδάθυρσον *dz* ‖ 4. ἀξιόχρεως *Pdz* ‖ 5. πράγμασι *R* ‖ στάς – 7 σὺ δὲ] στῆθι καὶ μάχεο· εἰ δὲ μὴ *z* quippe codicem explens uno versu hiantem ‖ 9. ἰδάνθυρσος *dz* ‖ λέγει *ABCd* ‖ 10. πέρσαι *ABCd* ‖ 11. σε *Rdz* ‖ 12. ἔωθα *PRz* ‖ 14. ἀλώηι *ABP*, ἀλώη *d*, ἀλώιη *C*(?), ἀλῴη *z*, ἀλοίη *R* ‖ 15. τάχιον *qz* ‖ ἂν ὑμῖν συμμίσγοιμεν ἐς μάχην *ABCd* ‖ ὑμῖν om. *R* ‖ 16. δέει? ‖ παντὸς *B* ‖ 17. πατρώιοι *AB*, πατρῷοι *d* ‖ φέρε *R* ‖ 18. συγχεῖν *R* ‖ 20. αἱρῇ *L* ‖ 22. δία τε ἐγὼ *PRz* ‖ ἰστίαν *Rz* ‖ 24. οἷα σοι *P*, οἷά σοι ceteri ‖ πρέπειν *C* ‖ 25. τοῦ om. *R* ‖ λέγων *R* ‖ 26. τοῦτο – ῥῆσις separavit Valckenaer

Ὁ μὲν δὴ κῆρυξ οἰχώκεε ἀγγελέων ταῦτα Δαρείῳ, οἱ δὲ 128
Σκυθέων βασιλέες ἀκούσαντες τῆς δουλοσύνης τὸ οὔνομα
ὀργῆς ἐπλήσθησαν. τὴν μὲν δὴ μετὰ Σαυροματέων μοῖραν
ταχθεῖσαν, τῆς ἦρχε Σκώπασις, πέμπουσι Ἴωσι κελεύοντες
ἐς λόγους ἀπικέσθαι, τούτοισι οἳ τὸν Ἴστρον ἐζευγμένον
ἐφρούρεον· αὐτῶν δὲ τοῖσι ὑπολειπομένοισι ἔδοξε πλανᾶν μὲν
μηκέτι Πέρσας, σῖτα δὲ ἑκάστοτε ἀναιρεομένοισι ἐπιτίθεσθαι.
νωμῶντες ὦν σῖτα ἀναιρεομένους τοὺς Δαρείου ἐποίευν τὰ
βεβουλευμένα. ἡ μὲν δὴ ἵππος τὴν ἵππον αἰεὶ τράπεσκε ἡ
τῶν Σκυθέων, οἱ δὲ τῶν Περσέων ἱππόται φεύγοντες ἐσέ-
πιπτον ἐς τὸν πεζόν, ὁ δὲ πεζὸς ἂν ἐπεκούρεε· οἱ δὲ Σκύθαι
ἐσαράξαντες τὴν ἵππον ὑπέστρεφον, τὸν πεζὸν φοβεόμενοι.
ἐποιέοντο δὲ καὶ τὰς νύκτας παραπλησίας προσβολὰς οἱ
Σκύθαι. τὸ δὲ τοῖσι Πέρσῃσί τε ἦν σύμμαχον καὶ τοῖσι Σκύ- 129
θῃσι ἀντίξοον ἐπιτιθεμένοισι τῷ Δαρείου στρατοπέδῳ, θῶυμα
μέγιστον ἐρέω, τῶν τε ὄνων ἡ φωνὴ καὶ τῶν ἡμιόνων τὸ
εἶδος. οὔτε γὰρ ὄνον οὔτε ἡμίονον γῆ ἡ Σκυθικὴ φέρει, ὡς
καὶ πρότερόν μοι δεδήλωται· οὐδὲ ἔστι ἐν τῇ Σκυθικῇ πάσῃ
χώρῃ τὸ παράπαν οὔτε ὄνος οὔτε ἡμίονος διὰ τὰ ψύχεα.
ὑβρίζοντες ὦν οἱ ὄνοι ἐτάρασσον τὴν ἵππον τῶν Σκυθέων.
πολλάκις δὲ ἐπελαυνόντων ἐπὶ τοὺς Πέρσας μεταξὺ ὅκως
ἀκούσειαν οἱ ἵπποι τῶν ὄνων τῆς φωνῆς, ἐταράσσοντό τε
ὑποστρεφόμενοι καὶ ἐν θώυματι ἔσχον, ὀρθὰ ἱστάντες τὰ ὦτα,
ἅτε οὔτε ἀκούσαντες πρότερον φωνῆς τοιαύτης οὔτε ἰδόντες
τὸ εἶδος. ταῦτα μέν νυν ἐπὶ σμικρόν τι ἐφέροντο τοῦ πολέ- 130
μου. οἱ δὲ Σκύθαι ὅκως τοὺς Πέρσας ἴδοιεν τεθορυβημέ-
νους, ἵνα παραμένοιέν τε ἐπὶ πλέω χρόνον ἐν τῇ Σκυθικῇ καὶ

---

20. Λέξεις

1. κήρυξ *P* ‖ 2. βασιλῆες *sz* ‖ 3. μοίρτην *Rz* ‖ 4. κώπασις *PR* ‖ 7. σιτία *R* ‖ 8. νομῶντες *d* ‖ 9. ἀεὶ *R* ‖ τρέπεσκε *L* ‖ ἡ om. *R* ‖ 11. ἂν] αἰεὶ *z* ‖ 12. ἐπέστρεφον *C* ‖ φοβεούμενοι. ἐποιεῦντο *R* ‖ 15. ἀντίξων *d* ‖ στρατῷ *R* ‖ θῶμα *CRd*, θώϋμα *z* ‖ 18. πρότερον δεδήλωταί μοι *R* ‖ πάσι *R* ‖ 22. ἱππόται *R* ‖ 23. θωύματι *AB*, θώματι *CRd*, θωῦματι *z* ‖ ἱστῶντες *z* ‖ 24. τῆς τοιαύτης *z* ‖ 25. τὸ om. *PR* ‖ 27. πλέον *d*

παραμένοντες ἀνιῴατο τῶν πάντων ἐπιδεέες ἐόντες, ἐποίεον
τοιάδε. ὅκως τῶν προβάτων τῶν σφετέρων αὐτῶν καταλί-
ποιεν μετὰ τῶν νομέων, αὐτοὶ ἂν ὑπεξήλαυνον ἐς ἄλλον
χῶρον· οἱ δὲ ἂν Πέρσαι ἐπελθόντες λάβεσκον τὰ πρόβατα
131 καὶ λαβόντες ἐπηείροντο ἂν τῷ πεποιημένῳ. πολλάκις δὲ
τοιούτου γινομένου, τέλος Δαρεῖός τε ἐν ἀπορίῃσι εἴχετο, καὶ
οἱ Σκυθέων βασιλέες μαθόντες τοῦτο ἔπεμπον κήρυκα δῶρα
Δαρείῳ φέροντα ὄρνιθά τε καὶ μῦν καὶ βάτραχον καὶ ὀιστοὺς
πέντε. Πέρσαι δὲ τὸν φέροντα τὰ δῶρα ἐπειρώτεον τὸν νόον
τῶν διδομένων· ὁ δὲ οὐδὲν ἔφη οἱ ἐπεστάλθαι ἄλλο ἢ δόντα
τὴν ταχίστην ἀπαλλάσσεσθαι· αὐτοὺς δὲ τοὺς Πέρσας ἐκέ-
132 λευε, εἰ σοφοί εἰσι, γνῶναι τὸ θέλει τὰ δῶρα λέγειν. ταῦτα
ἀκούσαντες οἱ Πέρσαι ἐβουλεύοντο. Δαρείου μέν νυν ἡ γνώ-
μη ἦν Σκύθας ἑωυτῷ διδόναι σφέας τε αὐτοὺς καὶ γῆν τε καὶ
ὕδωρ, εἰκάζων τῇδε, ὡς μῦς μὲν ἐν γῇ γίνεται καρπὸν τὸν
αὐτὸν ἀνθρώπῳ σιτεόμενος, βάτραχος δὲ ἐν ὕδατι, ὄρνις δὲ
μάλιστα οἶκε ἵππῳ, τοὺς δὲ ὀιστοὺς ὡς τὴν ἑωυτῶν ἀλκὴν
παραδιδοῦσι. αὕτη μὲν Δαρείῳ ἀπεδέδεκτο ἡ γνώμη. συνε-
στήκεε δὲ ταύτῃ τῇ γνώμῃ ἡ Γοβρύεω, τῶν ἀνδρῶν τῶν
ἑπτὰ ἑνὸς τῶν τὸν Μάγον κατελόντων, εἰκάζοντος τὰ δῶρα
λέγειν "ἢν μὴ ὄρνιθες γενόμενοι ἀναπτῆσθε ἐς τὸν οὐρανόν,
ὦ Πέρσαι, ἢ μύες γενόμενοι κατὰ τῆς γῆς καταδύητε, ἢ
βάτραχοι γενόμενοι ἐς τὰς λίμνας ἐσπηδήσητε, οὐκ ἀπονο-
στήσετε ὀπίσω ὑπὸ τῶνδε τῶν τοξευμάτων βαλλόμενοι."

περὶ τῶν ἀπὸ Σκυθῶν πεμφθέντων Δαρείῳ δώρων

---

8. Athenaeus p. 334. — Schol. Il. Δ 243. Eustathius Od. p. 1570

1. ἀνιῴατο *d*, ἀνιῷντο *PRz* ‖ ἐπιδευέες *ABCd* ‖ ἐποίευν *R* ‖ 2. τοιόνδε *z* ‖ καταλείποιεν *BPR* ‖ 4. ἂν om. *z* ‖ ἐλάβεσκον *L* ‖ 5. ἐπήιροντο *CP*, ἐπήροντο *ABdz*, ἐπειρῷντο *R* ‖ ποιευμένωι *C* ‖ 7. βασιλῆες *dz* ‖ 8. ὄρνιθά – 9 φέροντα om. *R* ‖ βάθραχον Schol. Il. Eust. ‖ 9. ἐπηρώτεον *CPdz* ‖ 10. δεδομένων *Bd* ‖ οἱ om. *d* ‖ 12. θέλει *PRz*: ἐθέλει ‖ 14. ἔην *z* ‖ 15. εἰκάζοντος *z* ‖ ἐν τῇ γῇ *z* ‖ 17. ἔοικε *L* ‖ 18. ἡ γνώμη ἀπεδέδεκτο *PRz* ‖ 19. τῇ γνώμῃ ἡ] ἡ γνώμη *PRz* ‖ γωβρυέω *R* ‖ 20. ἑνὸς om. *R* ‖ 21. ἀναπτῆσθαι *B*, ἀναπτήσεσθε *R* ‖ 22. καταδύετε *Rd* ‖ 23. ἐσπηδήσατε *R*, ἐνπηδήσητε *z*

Πέρσαι μὲν δὴ τὰ δῶρα εἴκαζον. ἡ δὲ Σκυθέων μία 133
μοῖρα ἡ ταχθεῖσα πρότερον μὲν παρὰ τὴν Μαιῆτιν λίμνην
φρουρέειν, τότε δὲ ἐπὶ τὸν Ἴστρον Ἴωσι ἐς λόγους ἐλθεῖν, ὡς
ἀπίκετο ἐπὶ τὴν γέφυραν, ἔλεγε τάδε. "ἄνδρες Ἴωνες, ἐλευθερίην ἥκομεν ὑμῖν φέροντες, ἤν πέρ γε ἐθέλητε ἐσακούειν. πυνθανόμεθα γὰρ Δαρεῖον ἐντείλασθαι ὑμῖν ἑξήκοντα ἡμέρας μούνας φρουρήσαντας τὴν γέφυραν, αὐτοῦ μὴ παραγενομένου ἐν τούτῳ τῷ χρόνῳ, ἀπαλλάσσεσθαι ἐς τὴν ὑμετέρην. νῦν ὦν ὑμεῖς τάδε ποιεῦντες ἐκτὸς μὲν ἔσεσθε πρὸς ἐκείνου αἰτίης, ἐκτὸς δὲ πρὸς ἡμέων. τὰς προκειμένας ἡμέρας παραμείναντες τὸ ἀπὸ τούτου ἀπαλλάσσεσθε." οὗτοι μέν νυν ὑποδεξαμένων Ἰώνων ποιήσειν ταῦτα ὀπίσω τὴν ταχίστην
ἐπείγοντο. Πέρσῃσι δὲ μετὰ τὰ δῶρα τὰ ἐλθόντα Δαρείῳ 134
ἀντετάχθησαν οἱ ὑπολειφθέντες Σκύθαι πεζῷ καὶ ἵπποισι ὡς συμβαλέοντες. τεταγμένοισι δὲ τοῖσι Σκύθῃσι λαγὸς ἐς τὸ μέσον διήιξε· τῶν δὲ ὡς ἕκαστοι ὥρων τὸν λαγὸν ἐδίωκον. ταραχθέντων δὲ τῶν Σκυθέων καὶ βοῇ χρεωμένων, εἴρετο ὁ Δαρεῖος τῶν ἀντιπολεμίων τὸν θόρυβον· πυθόμενος δέ σφεας τὸν λαγὸν διώκοντας, εἶπε ἄρα πρὸς τούς περ ἐώθεε καὶ τὰ ἄλλα λέγειν "οὗτοι ὦνδρες ἡμέων πολλὸν καταφρονέουσι, καί μοι νῦν φαίνεται Γοβρύης εἶπαι περὶ τῶν Σκυθικῶν δώρων ὀρθῶς. ὡς ὦν οὕτω ἤδη δοκεόντων καὶ αὐτῷ μοι ἔχειν, βουλῆς ἀγαθῆς δεῖ, ὅκως ἀσφαλέως ἡ κομιδὴ ἡμῖν ἔσται τὸ ὀπίσω." πρὸς ταῦτα Γοβρύης εἶπε "ὦ βασιλεῦ, ἐγὼ σχεδὸν

ὅτι Σκύθαι Ἴωνας ἔπεισαν ἀναχωρῆσαι τῆς γεφύρας βουλὴ Δαρείου περὶ τῆς ἀπὸ Σκυθῶν ἀναχωρήσεως

23. Λέξεις

1. δὴ] δὴ οὕτω *dz* ‖ ἤικαζον *AB* ‖ μοίη μοίρη *z* ‖ 5. ὑμῖν ἥκομεν *PRz* ‖ εἰσακούειν *AB* ‖ 7. παραγενωμένου *R*, παραγινομένου *ABC* ‖ 8. ὑμετέραν *R* ‖ 9. ἡμεῖς *R* ‖ 10. προσκειμένας *C*, προκειμένας ὦν *d* ‖ 11. ἀπαλλάσσεσθαι *B* ‖ 13. ἠπείγοντο *C*, ἠπείγοντο *R* ‖ 15. λαγὼς *Rd* ‖ 16. διήιξε *ABCP*, διῆξε *Rd*, διῆξε *z* ‖ ὥρων *AB* : ἑώρων *R*, ὥρεων *C*, ὥρεον *Pdz* ‖ λαγὼν *Rd* ‖ 17. χρεομένων *P* ‖ 18. ἀντιπολέμων *R* ‖ 19. λαγὼν *Rd* ‖ 20. ὦινδρες *AB*, ὤνδρες *C*, ὥνδρες *P*, ὤνδρες *d*, ᾧνδρες *z*, οἱ ἄνδρες *R* ‖ καταφρονοῦσι *d* ‖ 21. γωβρύης *AB*, βωβρύης *R* ‖ εἰπεῖν *ABCd* ‖ 22. οὕτως *L* ‖ 23. τὸ om. *PRz* ‖ 24. γωβρύης *R* ‖ . — Ἴωνας scripsi : δαρείους

μὲν καὶ λόγῳ ἠπιστάμην τούτων τῶν ἀνδρῶν τὴν ἀπορίην,
ἐλθὼν δὲ μᾶλλον ἐξέμαθον, ὁρέων αὐτοὺς ἐμπαίζοντας ἡμῖν.
νῦν ὦν μοι δοκέει, ἐπεὰν τάχιστα νὺξ ἐπέλθῃ, ἐκκαύσαντας
τὰ πυρὰ ὡς ἐώθαμεν καὶ ἄλλοτε ποιέειν, τῶν στρατιωτέων
τοὺς ἀσθενεστάτους ἐς τὰς ταλαιπωρίας ἐξαπατήσαντας καὶ
τοὺς ὄνους πάντας καταδήσαντας ἀπαλλάσσεσθαι, πρὶν ἢ καὶ
ἐπὶ τὸν Ἴστρον ἰθῦσαι Σκύθας λύσοντας τὴν γέφυραν, ἤ καί
135 τι Ἴωσι δόξαι τὸ ἡμέας οἷόν τε ἔσται ἐξεργάσασθαι." Γο-
βρύης μὲν ταῦτα συνεβούλευε. μετὰ δὲ νύξ τε ἐγένετο καὶ
Δαρεῖος ἐχρᾶτο τῇ γνώμῃ ταύτῃ· τοὺς μὲν καματηροὺς
τῶν ἀνδρῶν καὶ τῶν ἦν ἐλάχιστος ἀπολλυμένων λόγος, καὶ
τοὺς ὄνους πάντας καταδήσας κατέλιπε αὐτοῦ ἐν τῷ στρατο-
πέδῳ. κατέλιπε δὲ τούς τε ὄνους καὶ τοὺς ἀσθενέας τῆς
στρατιῆς τῶνδε εἵνεκεν, ἵνα οἱ μὲν ὄνοι βοὴν παρέχωνται·
οἱ δὲ ἄνθρωποι ἀσθενείης μὲν εἵνεκεν κατελείποντο, προφά-
σιος δὲ τῆσδε δηλαδή· αὐτὸς μὲν σὺν τῷ καθαρῷ τοῦ στρα-
τοῦ ἐπιθήσεσθαι μέλλοι τοῖσι Σκύθῃσι, οὗτοι δὲ τὸ στρατό-
πεδον τοῦτον τὸν χρόνον ῥυοίατο. ταῦτα τοῖσι ὑπολελειμ-
μένοισι ὑποθέμενος ὁ Δαρεῖος καὶ πυρὰ ἐκκαύσας τὴν ταχί-
στην ἐπείγετο ἐπὶ τὸν Ἴστρον. οἱ δὲ ὄνοι ἐρημωθέντες τοῦ
ὁμίλου οὕτω δὴ μᾶλλον πολλῷ ἵεσαν τῆς φωνῆς· ἀκούσαντες
δὲ οἱ Σκύθαι τῶν ὄνων πάγχυ κατὰ χώρην ἤλπιζον τοὺς
136 Πέρσας εἶναι. ἡμέρης δὲ γενομένης γνόντες οἱ ὑπολειφθέντες
ὡς προδεδομένοι εἶεν ὑπὸ Δαρείου, χεῖράς τε προέτεινον
τοῖσι Σκύθῃσι καὶ ἔλεγον τὰ κατήκοντα· οἱ δὲ ὡς ἤκουσαν
ταῦτα, τὴν ταχίστην συστραφέντες, αἵ τε δύο μοῖραι τῶν

φυγὴ Δαρείου ἀπὸ τῆς Σκυθῶν γῆς — δίωξις Σκυθῶν κατὰ Δαρείου

2. ὁρῶν *ABR* ‖ 3. ἐπὴν *ABCd* ‖ ἔλθῃι *ABCd*, ἐπέλθοι *z* ‖ ἐκκαύσαντες *d* ‖ 4. καὶ ἄλλοτε ἐώθαμεν *z* ‖ 6. καταδήσαντας om. *R* ‖ ἀπαλλάττεσθαι *ABCd* ‖ πρινὴ *ABR* ‖ 7. ἰθύσαι *Pdz* ‖ 8. δόξαιτο ἡμέας *R* ἔσται om. *ABCd* ‖ γωβρύης *R* ‖ 12. αὐτοῦ *PRz*: αὐτοῦ ταύτῃ ‖ 13. κατέλειπε *B* ‖ 14. εἵνεκα *PRz* ‖ 15. μὲν om. *d* ‖ εἵνεκα *Rz* ‖ κατελίποντο *dz* ‖ 16. δηλαδή, ἵν' αὐτὸς Reiske, δηλαδή, ὡς αὐτὸς Reiz ‖ 17. μέλλει *d* ‖ 18. ὑπολειπομένοισι *PRz* ‖ 20. ἠπείγετο *R* ‖ 21. οὕτω μὲν δὴ *Pz*, οὕτω· τῶ μὲν δὴ *R* ‖ ἱεσαν *AB*, ἵεσαν reliqui ‖ ἀκούοντες *R* ‖ 22. χώραν *R* ‖ 24. προετείνοντο *ABCd*

Σκυθέων καὶ ἡ μία καὶ Σαυρομάται καὶ Βουδῖνοι καὶ Γελωνοί, ἐδίωκον τοὺς Πέρσας ἰθὺ τοῦ Ἴστρου. ἅτε δὲ τοῦ Περσικοῦ μὲν τοῦ πολλοῦ ἐόντος πεζοῦ στρατοῦ καὶ τὰς ὁδοὺς οὐκ ἐπισταμένου, ὥστε οὐ τετμημενέων τῶν ὁδῶν, τοῦ δὲ Σκυθικοῦ ἱππότεω καὶ τὰ σύντομα τῆς ὁδοῦ ἐπισταμένου, ἁμαρτόντες ἀλλήλων, ἔφθησαν πολλῷ οἱ Σκύθαι τοὺς Πέρσας ἐπὶ τὴν γέφυραν ἀπικόμενοι. μαθόντες δὲ τοὺς Πέρσας οὔκω ἀπιγμένους ἔλεγον πρὸς τοὺς Ἴωνας ἐόντας ἐν τῇσι νηυσί "ἄνδρες Ἴωνες, αἵ τε ἡμέραι ὑμῖν τοῦ ἀριθμοῦ διοίχηνται καὶ οὐ ποιέετε δίκαια ἔτι παραμένοντες. ἀλλ᾽ ἐπεὶ πρότερον δειμαίνοντες ἐμένετε, νῦν λύσαντες τὸν πόρον τὴν ταχίστην ἄπιτε χαίροντες ἐλεύθεροι, θεοῖσί τε καὶ Σκύθῃσι εἰδότες χάριν. τὸν δὲ πρότερον ἐόντα ὑμέων δεσπότην ἡμεῖς παραστησόμεθα οὕτω ὥστε ἐπὶ μηδαμοὺς ἔτι ἀνθρώπους αὐτὸν στρατεύσασθαι." πρὸς ταῦτα Ἴωνες ἐβουλεύοντο. 137

Μιλτιάδεω μὲν τοῦ Ἀθηναίου, στρατηγέοντος καὶ τυραννεύοντος Χερσονησιτέων τῶν ἐν Ἑλλησπόντῳ, ἦν γνώμη πείθεσθαι Σκύθῃσι καὶ ἐλευθεροῦν Ἰωνίην, Ἱστιαίου δὲ τοῦ Μιλησίου ἐναντίη ταύτῃ, λέγοντος ὡς νῦν μὲν διὰ Δαρεῖον ἕκαστος αὐτῶν τυραννεύει πόλιος, τῆς Δαρείου δὲ δυνάμιος καταιρεθείσης οὔτε αὐτὸς Μιλησίων οἷός τε ἔσεσθαι ἄρχειν οὔτε ἄλλον οὐδένα οὐδαμῶν· βουλήσεσθαι γὰρ ἑκάστην τῶν πολίων δημοκρατέεσθαι μᾶλλον ἢ τυραννεύεσθαι. Ἱστιαίου δὲ γνώμην ταύτην ἀποδεικνυμένου αὐτίκα πάντες ἦσαν τετραμμένοι πρὸς ταύτην τὴν γνώμην, πρότερον τὴν Μιλ-

ὅτι Μιλτιάδης μετὰ τῶν ἐν τῇ γεφύρᾳ Ἰώνων ἦν καὶ ὅτι Χερσονησιτῶν τύραννος ἦν

6. ἔφθησαν – 7 ἀπικόμενοι Lexicon Vindob. p. 92

1. μία καὶ scripsi: μία *L*. μετὰ Σαυροματέων Buttmann ‖ σαυροματέων *so* ‖ 3. ἐόντες *B* ‖ 4. ἐπιστωμένου *B* ‖ τετμημένων *L* ‖ τῶν om. *R* ‖ δὲ om. *d* ‖ 6. ὤφθησαν *C* ‖ 9. ἀριθμοῦ] ἐνιαυτοῦ *R*. ἀρθμίου Meineke ‖ διοίχηνται (η above) *A* ‖ 10. ποιέετέ γε *Cd* ‖ 13. ἰδόντες *C* ‖ ὑμέων ἐόντα *ABd* ‖ 14. οὕτως *AB* ‖ 15. οἱ Ἴωνες *z* ‖ ἐβουλεύσαντο *d* ‖ 16. μὲν *PRz*: δὲ ‖ 17. χερσοννησιτέων *R*, χερσονησιωτέων *qz* ‖ 20. αὐτέων *z* ‖ δυνάμεος *Bz*, δυνάμεως *d* ‖ 21. τ᾽ *R* ‖ ἔσεσθαι Reiz: ἔσται ‖ 22. οὐδαμῶς *R*

138 τιάδεω αἱρεόμενοι. ἦσαν δὲ οὗτοι οἱ διαφέροντές τε τὴν ψῆφον καὶ ἐόντες λόγου πρὸς βασιλέος, Ἑλλησποντίων μὲν τύραννοι Δάφνις τε Ἀβυδηνὸς καὶ Ἵπποκλος Λαμψακηνὸς καὶ Ἡρόφαντος Παριηνὸς καὶ Μητρόδωρος Προκοννήσιος καὶ Ἀρισταγόρης Κυζικηνὸς καὶ Ἀρίστων Βυζάντιος. οὗτοι μὲν ἦσαν οἱ ἐξ Ἑλλησπόντου, ἀπ' Ἰωνίης δὲ Στράττις τε Χῖος καὶ Αἰάκης Σάμιος καὶ Λαοδάμας Φωκαιεὺς καὶ Ἱστιαῖος Μιλήσιος, τοῦ ἦν γνώμη ἡ προκειμένη ἐναντίη τῇ Μιλτιάδεω. Αἰολέων δὲ παρῆν λόγιμος μοῦνος Ἀρισταγόρης Κυ-
139 μαῖος. οὗτοι ὦν ἐπείτε τὴν Ἱστιαίου αἱρέοντο γνώμην, ἔδοξέ σφι πρὸς ταύτῃ τάδε ἔργα τε καὶ ἔπεα προσθεῖναι, τῆς μὲν γεφύρης λύειν τὰ κατὰ τοὺς Σκύθας ἐόντα, λύειν δὲ ὅσον τόξευμα ἐξικνέεται, ἵνα καὶ ποιέειν τι δοκέωσι ποιεῦντες μηδὲν καὶ οἱ Σκύθαι μὴ πειρῴατο βιώμενοι καὶ βουλόμενοι διαβῆναι τὸν Ἴστρον κατὰ τὴν γέφυραν, εἰπεῖν τε λύοντας τῆς γεφύρης τὸ ἐς τὴν Σκυθικὴν ἔχον ὡς πάντα ποιήσουσι τὰ Σκύθῃσι ἐστὶ ἐν ἡδονῇ. ταῦτα μὲν προσέθηκαν τῇ γνώμῃ· μετὰ δὲ ἐκ πάντων ὑπεκρίνατο Ἱστιαῖος τάδε λέγων. "ἄνδρες Σκύθαι, χρηστὰ ἥκετε φέροντες καὶ ἐς καιρὸν ἐπείγεσθε· καὶ τά τε ἀπ' ὑμέων ἡμῖν χρηστῶς ὁδοῦται καὶ τὰ ἀπ' ἡμέων ἐς ὑμέας ἐπιτηδέως ὑπηρετέεται. ὡς γὰρ ὁρᾶτε, καὶ λύομεν τὸν πόρον καὶ προθυμίην πᾶσαν ἕξομεν θέλοντες εἶναι ἐλεύθεροι. ἐν ᾧ δὲ ἡμεῖς τάδε λύομεν, ὑμέας καιρός ἐστι δίζησθαι ἐκείνους, εὑρόντας δὲ ὑπέρ τε ἡμέων καὶ ὑμέων αὐτῶν τίσασθαι οὕτω ὡς κείνους πρέπει."

---

20. (Hesychius v. ὁδοῦται)

1. τε τὴν om. *R* ‖ 2. βασιλέως *d*, βασιλῆος *sz* ‖ 3. ἀβυδινὸς *BC* 6. ἦσαν om. *R* ‖ στράττις *R*: στρατίης *ABdz*, στραττίης *CP* ‖ 7. αἰάκης *R*: αἰακίδης *dz*, αἰακίδας reliqui ‖ φωκεὺς *PRz* ‖ ιστίαιος *AB*, ἱστίαιος *C*, ἱστίαιος *d* ‖ 8. ἡ om. *PRz* ‖ 9. ὁ κυμαῖος *sz* ‖ 11. ταύτῃ] ταῦτα *R* ‖ 14. πειρῴαται *d*, πειρῴατο *z* ‖ καὶ βουλόμενοι om. *C* ‖ 15. post γέφυραν nescio an exciderit tale quid: μὴ ἔχοιεν ‖ ἐπεῖν *d*, λυπεῖν *R* ‖ 16. ἔχειν *d* ‖ ποιήσωσι *R* ‖ 18. ιστίαιος *AB*, ἱστίαιος *C*, ἱστίαιος *d* ‖ 19. ἐπίγεσθε *R* ‖ 20. καὶ τὰ] κατά *Bpr*. ‖ 21. ὑμᾶς *P*, ἡμέας *R* ‖ 23. ἡμέες *sz* ‖ 24. δίζεσθαι *Apr.Rdz* ‖ ὑμέων καὶ ἡμέων *d* ‖ 25. αὐτέων *AB*, αὐτὸν *d* ‖ οὕτως *L* ‖ ἐκείνοισι *Rz*

Σκύθαι μὲν τὸ δεύτερον Ἴωσι πιστεύσαντες λέγειν ἀλη- 140
θέα ὑπέστρεφον ἐπὶ ζήτησιν τῶν Περσέων, καὶ ἡμάρτανον πάσης τῆς ἐκείνων διεξόδου. αἴτιοι δὲ τούτου αὐτοὶ οἱ Σκύθαι ἐγένοντο, τὰς νομὰς τῶν ἵππων τὰς ταύτῃ διαφθείραντες καὶ τὰ ὕδατα συγχώσαντες. εἰ γὰρ ταῦτα μὴ ἐποίησαν, παρεῖχε ἄν σφι, εἰ ἐβούλοντο, εὐπετέως ἐξευρεῖν τοὺς Πέρσας. νῦν δὲ τά σφι ἐδόκεε ἄριστα βεβουλεῦσθαι, κατὰ ταῦτα ἐσφάλησαν. Σκύθαι μέν νυν τῆς σφετέρης χώρης τῇ χιλός τε τοῖσι ἵπποισι καὶ ὕδατα ἦν, ταύτῃ διεξιόντες ἐδίζηντο τοὺς ἀντιπολεμίους, δοκέοντες καὶ ἐκείνους διὰ τοιούτων τὴν ἀπόδρησιν ποιέεσθαι· οἱ δὲ δὴ Πέρσαι τὸν πρότερον ἑωυτῶν γενόμενον στίβον, τοῦτον φυλάσσοντες ἤισαν, καὶ οὕτω μόγις εὗρον τὸν πόρον. οἷα δὲ νυκτός τε ἀπικόμενοι καὶ λελυμένης τῆς γεφύρης ἐντυχόντες, ἐς πᾶσαν ἀρρωδίην ἀπίκοντο μή
σφεας οἱ Ἴωνες ἔωσι ἀπολελοιπότες. ἦν δὲ περὶ Δαρεῖον 141
ἀνὴρ Αἰγύπτιος φωνέων μέγιστον ἀνθρώπων· τοῦτον τὸν ἄνδρα καταστάντα ἐπὶ τοῦ χείλεος τοῦ Ἴστρου ἐκέλευε Δαρεῖος καλέειν Ἱστιαῖον Μιλήσιον. ὁ μὲν δὴ ἐποίεε ταῦτα, Ἱστιαῖος δὲ ἐπακούσας τῷ πρώτῳ κελεύσματι τάς τε νέας ἁπάσας παρεῖχε διαπορθμεύειν τὴν στρατιὴν καὶ τὴν γέφυ-
ραν ἔζευξε. Πέρσαι μὲν ὦν οὕτω ἐκφεύγουσι. Σκύθαι δὲ 142
διζήμενοι καὶ τὸ δεύτερον ἥμαρτον τῶν Περσέων, καὶ τοῦτο μέν, ὡς ἐόντας Ἴωνας ἐλευθέρους, κακίστους τε καὶ ἀνανδροτάτους κρίνουσι εἶναι ἁπάντων ἀνθρώπων, τοῦτο δέ, ὡς δούλων Ἰώνων τὸν λόγον ποιεύμενοι, ἀνδράποδα φιλοδέσποτά

τίνι τρόπῳ Δαρεῖος τὸν Ἴστρον διέβη

---

8. Suidas v. χιλή. — 11. οἱ δὲ - 12 ἤισαν idem v. στιβία. — 15. ἦν - 16 ἀνθρώπων Eustathius Il. p. 607. — 25. (Plutarchus mor. p. 174). Pollux III 74

1. πιστεύοντες *PR* ‖ 4. τὰς ταύτῃ] ταύτῃ *R* ‖ 6. ἐξευρέειν *z* ‖ 7. βουλεῦσθαι *R* ‖ 9. γρ. ταύτην *P*[m], ταύτην *R* ‖ διεξελθόντες *ABCd* ‖ 10. ἀντιπολέμους *R* ‖ τούτων *R* ‖ 11. ποιήσασθαι *qz* ‖ δὴ om. *R* ‖ ἑωυτὸν *z* ‖ 12. τοῦτο *R* ‖ ἤισαν *AB*, ἴησαν *z*, ᾖσαν Suid. ‖ 13. οἷα *R*: οἱ ‖ 14. ἀπίκατο *CR* ‖ 16. τοῦτον δὴ τὸν *Pz* ‖ 18. ιστιαιον *AB*, ἰστίαιον *C*, ἰστίαιον *d* ‖ 19. ιστιαιος *AB*, ἰστίαιος *Cd* ‖ κελεύματι *BC* ‖ 23. ἀνελευθέρους *R* ‖ 24. πάντων *R* ‖ δοῦλον *d*

φασι εἶναι καὶ ἄδρηστα μάλιστα. ταῦτα μὲν δὴ Σκύθῃσι ἐς Ἴωνας ἀπέρριπται.

143 Δαρεῖος δὲ διὰ τῆς Θρηίκης πορευόμενος ἀπίκετο ἐς Σηστὸν τῆς Χερσονήσου· ἐνθεῦτεν δὲ αὐτὸς μὲν διέβη τῇσι νηυσὶ ἐς τὴν Ἀσίην, λείπει δὲ στρατηγὸν ἐν τῇ Εὐρώπῃ Μεγάβαζον ἄνδρα Πέρσην, τῷ Δαρεῖός κοτε ἔδωκε γέρας, τοιόνδε εἴπας ἐν Πέρσῃσι ἔπος. ὁρμημένου Δαρείου ῥοιὰς τρώγειν, ὡς ἄνοιξε τάχιστα τὴν πρώτην τῶν ῥοιέων, εἴρετο αὐτὸν ὁ ἀδελφεὸς Ἀρτάβανος ὅ τι βούλοιτ' ἄν οἱ τοσοῦτο πλῆθος γενέσθαι ὅσοι ἐν τῇ ῥοιῇ κόκκοι· Δαρεῖος δὲ εἶπε Μεγαβάζους ἄν οἱ τοσούτους ἀριθμὸν γενέσθαι βούλεσθαι μᾶλλον ἢ τὴν Ἑλλάδα ὑπήκοον. ἐν μὲν δὴ Πέρσῃσι ταῦτά μιν εἴπας ἐτίμα, τότε δὲ αὐτὸν ὑπέλιπε στρατηγὸν ἔχοντα

144 τῆς στρατιῆς τῆς ἑωυτοῦ ὀκτὼ μυριάδας. οὗτος δὲ ὁ Μεγάβαζος εἴπας τόδε ἔπος ἐλίπετο ἀθάνατον μνήμην πρὸς Ἑλλησποντίων. γενόμενος γὰρ ἐν Βυζαντίῳ ἐπύθετο ἑπτακαίδεκα ἔτεσι πρότερον Καλχηδονίους κτίσαντας τὴν χώρην Βυζαντίων, πυθόμενος δὲ ἔφη Καλχηδονίους τοῦτον τὸν χρόνον τυγχάνειν ἐόντας τυφλούς· οὐ γὰρ ἂν τοῦ καλλίονος παρεόντος κτίζειν χώρου τὸν αἰσχίονα ἑλέσθαι, εἰ μὴ ἦσαν τυφλοί. οὗτος δὴ ὢν τότε ὁ Μεγάβαζος στρατηγὸς λειφθεὶς ἐν τῇ χώρῃ Ἑλλησποντίων τοὺς μὴ μηδίζοντας κατεστρέφετο.

145 Οὗτος μέν νυν ταῦτα ἔπρησσε. τὸν αὐτὸν δὲ τοῦτον χρόνον

ὅτι Δαρεῖος καταλιπὼν Μεγάβαζον ἐν τῇ Εὐρώπῃ διέβη εἰς τὴν Ἀσίαν
περὶ τοῦ εἰς Καλχηδονίους Μεγαβάζου ἀποφθέγματος   ὅτι πρὸ ιζ ἐτῶν ἡ Καλχηδὼν τοῦ Βυζαντίου ἐκτίσθη

8. - 11 **Eustathius Il. p. 240. — 16. - 22 idem Dion. 764**

1. ἄδριστα *B* ‖ 3. θρήκης *R* ‖ 4. χερονήσου *C* ‖ διέβη] δὴ ἔβη *R* ‖ 6. μεγάβυζον *d* ‖ 7. ὁρμημένου *AB*: ὡρμημένου ‖ 8. ῥοιῶν *ABd* ‖ 9. τοσοῦτον *sz* ‖ 11. μεγαβύζους *B*¹*d* ‖ 12. ταυτά *P* ‖ 13. ἑτοίμα *d* ‖ τότε δὲ αὐτὸν ὑπέλιπε om. *B*¹, τότε δὲ αὐτὸν om. *d* ‖ 14. μεγάβυζος *B*¹*d*. Eust. ‖ 15. τόδε *PRz*: τόδε τὸ ‖ ἐλείπετο *C* ‖ 16. ἐρόμενος *ABC*, εἰρόμενος *d* ‖ βυζαντιείω *R* ‖ 17. χαλκηδονίους *dz* ‖ κτήσαντας *B* ‖ 18. χαλκηδονίους *dz* ‖ 21. δὴ] μὲν δὴ *R* ‖ ὁ om. *R* ‖ ληφθεὶς *Pz* ‖ 24. δὴ *dz*

ἐγίνετο ἐπὶ Λιβύην ἄλλος στρατιῆς μέγας στόλος, διὰ πρόφασιν τὴν ἐγὼ ἀπηγήσομαι προδιηγησάμενος πρότερον τάδε. τῶν ἐκ τῆς Ἀργοῦς ἐπιβατέων παίδων παῖδες ἐξελασθέντες ὑπὸ Πελασγῶν τῶν ἐκ Βραυρῶνος ληισαμένων τὰς Ἀθηναίων γυναῖκας, ὑπὸ τούτων ἐξελασθέντες ἐκ Λήμνου οἴχοντο πλέοντες ἐς Λακεδαίμονα, ἱζόμενοι δὲ ἐν τῷ Τηϋγέτῳ πῦρ ἀνέκαιον. Λακεδαιμόνιοι δὲ ἰδόντες ἄγγελον ἔπεμπον πευσόμενοι τίνες τε καὶ ὁκόθεν εἰσί· οἱ δὲ τῷ ἀγγέλῳ εἰρωτέοντι ἔλεγον ὡς εἴησαν μὲν Μινύαι, παῖδες δὲ εἶεν τῶν ἐν τῇ Ἀργοῖ πλεόντων ἡρώων, προσσχόντας δὲ τούτους ἐς Λῆμνον φυτεῦσαί σφεας. οἱ δὲ Λακεδαιμόνιοι ἀκηκοότες τὸν λόγον τῆς γενεῆς τῶν Μινυέων, πέμψαντες τὸ δεύτερον εἰρώτεον τί θέλοντες ἥκοιέν τε ἐς τὴν χώρην καὶ πῦρ αἴθοιεν. οἱ δὲ ἔφασαν ὑπὸ Πελασγῶν ἐκβληθέντες ἥκειν ἐς τοὺς πατέρας· δικαιότατον γὰρ εἶναι οὕτω τοῦτο γίνεσθαι· δέεσθαι δὲ οἰκέειν ἅμα τούτοισι μοῖράν τε τιμέων μετέχοντες καὶ τῆς γῆς ἀπολαχόντες. Λακεδαιμονίοισι δὲ ἕαδε δέκεσθαι τοὺς Μινύας ἐπ' οἷσι θέλουσι αὐτοί. μάλιστα δὲ ἐνῆγέ σφεας ὥστε ποιέειν ταῦτα τῶν Τυνδαριδέων ἡ ναυτιλίη ἐν τῇ Ἀργοῖ. δεξάμενοι δὲ τοὺς Μινύας γῆς τε μετέδοσαν καὶ ἐς φυλὰς διεδάσαντο. οἱ δὲ αὐτίκα μὲν γάμους ἔγημαν, τὰς δὲ ἐκ Λήμνου ἤγοντο ἐξέδοσαν ἄλλοισι. χρόνου δὲ οὐ πολλοῦ διεξελθόντος αὐτίκα 146
οἱ Μινύαι ἐξύβρισαν, τῆς τε βασιληίης μεταιτέοντες καὶ ἄλλα

ἐκ ποίας προφάσεως ἐπὶ Λιβύην Δαρεῖος ἐστρατεύσατο — περὶ τῶν ἐκ τῶν Λημνιάδων τεχθέντων τοῖς ἥρωσιν

3. παῖδες παίδων *R* ‖ ἐξελαθέντες *ABdz* ‖ 4. τῶν om. *qz* ‖ βαύρωνος *R*, βαβρῶνος *d* ‖ 5. τουτέων *z* ‖ ἐξελασθέντες *PR*: ἐξελαθέντες *z*, δὲ ἐξελασθέντες *C*, δὲ ἐξελαθέντες *Ad*, διεξελαθέντες *Bcorr*. δὴ ἐξελαθέντες Wesseling ‖ 6. ἐζόμεοι *R* ‖ ἐν τῶι *A* ‖ πυρὴν ἔκαιον *ABCd* ‖ 7. πευσόμενον *Cyz* ‖ 8. εἰρωτῶντι *ABR* ‖ 9. μὲν om. *Ppr.d* ‖ μιννύαι *R* ‖ 10. προσσχόντας *AB*: προσχῶντας *C*, προσχόντας reliqui ‖ δὲ *PRz*: γὰρ ‖ 11. φυτεῦσαί σφεας *ABR*: φυτεῦσαι σφέας ‖ 12. εἰρώτεον *d*: εἰρώτων *ABR*, ἠρώτεον *CPz* ‖ 13. τε om. *R* ‖ 14. ἐκκληθέντες *C* ‖ 15. δὲ *ABd*: δὲ (τ) *P*, τε *C*(?)*Rz* ‖ 16. μετέχοντας *R* ‖ καὶ τῆς γῆς ἀπολαχόντες *R* ‖ 17. ἕαδε *d*, ἔδεε *R* ‖ μυνύας *R* ‖ 18. ἐνῆγε σφέας *P* ‖ 19. δαριδέων *d* ‖ 20. μετέδωσαν *B* ‖ φυλακὰς *C* ‖ διεδέσαντο (αι) *R* ‖ 21. μὲν om. *ABCd* ‖ ἤγοντο om. *R* ‖ 22. οὐ om. *R* ‖ διελθόντος *R*

ποιέοντες οὐκ ὅσια. τοῖσι ὦν Λακεδαιμονίοισι ἔδοξε αὐτοὺς ἀποκτεῖναι, συλλαβόντες δέ σφεας κατέβαλον ἐς ἑρκτήν. κτείνουσι δὲ τοὺς ἂν κτείνωσι Λακεδαιμόνιοι νυκτός, μετ' ἡμέρην δὲ οὐδένα. ἐπεὶ ὦν ἔμελλόν σφεας καταχρήσασθαι, παραιτήσαντο αἱ γυναῖκες τῶν Μινυέων, ἐοῦσαι ἀσταί τε καὶ τῶν πρώτων Σπαρτιητέων θυγατέρες, ἐσελθεῖν τε ἐς τὴν ἑρκτὴν καὶ ἐς λόγους ἐλθεῖν ἑκάστη τῷ ἑωυτῆς ἀνδρί. οἱ δέ σφεας παρῆκαν, οὐδένα δόλον δοκέοντες ἐξ αὐτέων ἔσεσθαι. αἱ δὲ ἐπείτε ἐσῆλθον, ποιέουσι τοιάδε. πᾶσαν τὴν εἶχον ἐσθῆτα παραδοῦσαι τοῖσι ἀνδράσι αὐταὶ τὴν τῶν ἀνδρῶν ἔλαβον. οἱ δὲ Μινύαι ἐνδύντες τὴν γυναικηίην ἐσθῆτα ἅτε γυναῖκες ἐξήισαν ἔξω, ἐκφυγόντες δὲ τρόπῳ τοιούτῳ ἵζοντο

147 αὖτις ἐς τὸ Τηΰγετον. τὸν δὲ αὐτὸν τοῦτον χρόνον Θήρας ὁ Αὐτεσίωνος τοῦ Τισαμενοῦ τοῦ Θερσάνδρου τοῦ Πολυνείκεος ἔστελλε ἐς ἀποικίην ἐκ Λακεδαίμονος. ἦν δὲ ὁ Θήρας οὗτος, γένος ἐὼν Καδμεῖος, τῆς μητρὸς ἀδελφεὸς τοῖσι Ἀριστοδήμου παισὶ Εὐρυσθένεϊ καὶ Προκλέι. ἐόντων δὲ ἔτι τῶν παίδων τούτων νηπίων ἐπιτροπαίην εἶχε ὁ Θήρας τὴν ἐν Σπάρτῃ βασιληίην. αὐξηθέντων δὲ τῶν ἀδελφιδέων καὶ παραλαβόντων τὴν ἀρχήν, οὕτω δὴ ὁ Θήρας δεινὸν ποιεύμενος ἄρχεσθαι ὑπ' ἄλλων ἐπείτε ἐγεύσατο ἀρχῆς, οὐκ ἔφη μένειν ἐν τῇ Λακεδαίμονι ἀλλ' ἀποπλεύσεσθαι ἐς τοὺς συγγενέας. ἦσαν δὲ ἐν τῇ νῦν Θήρῃ καλεομένῃ νήσῳ, πρότερον δὲ Καλλίστῃ τῇ αὐτῇ ταύτῃ, ἀπόγονοι Μεμβλιάρου τοῦ Ποικίλεω ἀνδρὸς Φοίνικος Κάδμος γὰρ ὁ Ἀγήνορος Εὐρώπην διζήμενος προσέσχε ἐς τὴν νῦν Θήρην καλεομένην· προσσχόντι

περὶ τῆς Θήρα ἀποικίας   περὶ Μεμβλιάρου τοῦ Φοίνικος

1. ποιεῦντες *R* ‖ 2. κατέβαλλον *d* ‖ ἑρκτὴν *C*, εἱρκτὴν *R* ‖ 3. μετημέρην *AB* ‖ 4. καταχρήσεσθαι *Cz* ‖ 6. ἐσελθεῖν *PRz*: ἐσὸ ἐλθεῖν *AB*, ἐς ὃ ἐλθεῖν *Cd* ‖ τε om. *qz* ‖ 7. εἱρκτὴν *R* ‖ 8. δόλον *ABd* ‖ 9. ποιεῦσι *R* ‖ τάδε *Rdz* ‖ 11. μινύαις *R* ‖ 12. τῷ τρόπῳ τούτῳ *PRz* ‖ 13. χρόνον τοῦτον *Cd* ‖ 15. ἐκ om. *R* ‖ παισὶ Αριστοδήμου *z* ‖ 17. εὐρυσθένει καὶ προκλεῖ *ABR* ‖ δὲ ἔτι *ABd*: δέτι *R*, δ' ἔτι *CPz* ‖ 18. ἐπιτροπίην *C*, ἐπιτροπὴν *d* ‖ 19. ἀδελφεῶν *PRdz* ‖ 21. μενεῖν H. Stephanus ‖ 22. ἀποπλεύσασθαι *R* ‖ 24. μεμβλιάρεω *L* ‖ 25. ἄνδρες φοίνικες *R* ‖ ἀγήνωρος *d* ‖ 26. θήραν *d* ‖ καλεομένηι *A*[1], καλεομένη *B* ‖ προσχόντι *L*

δὲ εἴτε δή οἱ ἡ χώρη ἤρεσε, εἴτε καὶ ἄλλως ἠθέλησε ποιῆσαι τοῦτο, καταλείπει γὰρ ἐν τῇ νήσῳ ταύτῃ ἄλλους τε τῶν Φοινίκων καὶ δὴ καὶ τῶν ἑωυτοῦ συγγενέων Μεμβλίαρον. οὗτοι ἐνέμοντο τὴν Καλλίστην καλεομένην ἐπὶ γενεάς, πρὶν ἢ Θήραν ἐλθεῖν ἐκ Λακεδαίμονος, ὀκτὼ ἀνδρῶν. ἐπὶ τού- 148
τους δὴ ὦν ὁ Θήρας λεὼν ἔχων ἀπὸ τῶν φυλέων ἔστελλε, συνοικήσων τούτοισι καὶ οὐδαμῶς ἐξελῶν αὐτοὺς ἀλλὰ κάρτα οἰκηιεύμενος. ἐπείτε δὲ καὶ οἱ Μινύαι ἐκδράντες ἐκ τῆς ἑρκτῆς ἵζοντο ἐς τὸ Τηΰγετον, τῶν Λακεδαιμονίων βουλευομένων σφέας ἀπολλύναι παραιτέεται ὁ Θήρας, ὅκως μήτε φόνος γένηται, αὐτός τε ὑπεδέκετό σφεας ἐξάξειν ἐκ τῆς χώρης. συγχωρησάντων δὲ τῇ γνώμῃ τῶν Λακεδαιμονίων, τρισὶ τριηκοντέροισι ἐς τοὺς Μεμβλιάρου ἀπογόνους ἔπλωσε, οὔτι πάντας ἄγων τοὺς Μινύας ἀλλ᾽ ὀλίγους τινάς. οἱ γὰρ πλεῦνες αὐτῶν ἐτράποντο ἐς τοὺς Παρωρεάτας καὶ Καύκωνας, τούτους δὲ ἐξελάσαντες ἐκ τῆς χώρης σφέας αὐτοὺς ἓξ μοίρας διεῖλον, καὶ ἔπειτα ἔκτισαν πόλιας τάσδε ἐν αὐτοῖσι, Λέπρεον Μάκιστον Φρίξας Πύργον Ἔπιον Νούδιον. τουτέων δὲ τὰς πλεῦνας ἐπ᾽ ἐμέο Ἠλεῖοι ἐπόρθησαν. τῇ δὲ νήσῳ ἐπὶ τοῦ οἰκιστέω Θήρα ἡ ἐπωνυμίη ἐγένετο. ὁ δὲ παῖς οὐ 149
γὰρ ἔφη οἱ συμπλεύσεσθαι, τοιγαρῶν ἔφη αὐτὸν καταλείψειν ὄιν ἐν λύκοισι. ἐπὶ τοῦ ἔπεος τούτου οὔνομα τῷ νεηνίσκῳ τούτῳ Οἰόλυκος ἐγένετο, καί κως τὸ οὔνομα τοῦτο ἐπεκράτησε. Οἰολύκου δὲ γίνεται Αἰγεύς, ἐπὶ οὗ Αἰγεῖδαι καλέονται φυλὴ μεγάλη ἐν Σπάρτῃ. τοῖσι δὲ ἐν τῇ φυλῇ ταύτῃ ἀνδράσι οὐ γὰρ ὑπέμειναν τὰ τέκνα, ἱδρύσαντο ἐκ θεοπροπίου Ἐρινύων τῶν Λαΐου τε καὶ Οἰδιπόδεω ἱρόν· καὶ μετὰ τοῦτο

1. δὴ οἷ *d* ‖ 2. γὰρ om. *z* ‖ 4. πρινὴ *AB* ‖ 5. τούτοις *z* ‖ 6. λαὸν *L* ‖ φυλῶν *d* ‖ 7. συνοικίσων *qz* ‖ ἐξελὼν *Cdz* ‖ 8. οἰκειεύμενος *d* ‖ 9. βουλομένων *qz* ‖ 11. αὐτὸς δὲ *R* ‖ 13. τριηκοντόροισι *d* ‖ μεμβλιάρεω *L* ‖ 14. ὅτι *C* ‖ 16. δ᾽ *z* ‖ σφέας ἑωυτοὺς *ABz*, σφᾶς ἑαυτοὺς *C*, σφέας ἑαυτοὺς *d* ‖ ἐς ἓξ *PRz* ‖ 17. ἔπειτα om. *R* ‖ 18. λέπρειον *R*, λέπρον *d* ‖ μάκιστον *R*: μάγιστον ‖ θριξὰς *PRz* ‖ ἔπειον νούδειον *R* ‖ τούτων *ABd* ‖ 19. τοὺς *d* ‖ ἐμοὶ *R* ‖ ηλεῖοι *AB*, ἠλεῖοι *PR* ‖ 20. ἀπὸ *PRz* ἡ om. *R* ‖ οὐδὲ *d* ‖ 21. οἷ *C* ‖ τοιγαροῦν *PRz* ‖ 22. ἀπὸ *PRz* ‖ τὸ οὔνομα *PRz* ‖ 23. τούτῳ om. *R* ‖ τὸ οὔνομα om. *PRz* ‖ 24. ἀπ᾽ οὗ *Pz*, ἀπὸ τοῦ *R* ‖ γεῖδαι *R* ‖ καλοῦνται *C*, καλεῦνται *z* ‖ 27. ἐριννύων *dz* ‖ τῶ *R*

ὑπέμειναν . . . . τὠυτὸ τοῦτο καὶ ἐν Θήρῃ τοῖσι ἀπὸ τῶν ἀνδρῶν τούτων γεγονόσι.

150 Μέχρι μέν νυν τούτου τοῦ λόγου Λακεδαιμόνιοι Θηραίοισι κατὰ ταὐτὰ λέγουσι, τὸ δὲ ἀπὸ τούτου μοῦνοι Θηραῖοι ὧδε γενέσθαι λέγουσι. Γρῖννος ὁ Αἰσανίου ἐὼν Θήρα τούτου ἀπόγονος καὶ βασιλεύων Θήρης τῆς νήσου ἀπίκετο ἐς Δελφούς, ἄγων ἀπὸ τῆς πόλιος ἑκατόμβην· εἵποντο δέ οἱ καὶ ἄλλοι τῶν πολιητέων καὶ δὴ καὶ Βάττος ὁ Πολυμνήστου, ἐὼν γένος Εὐφημίδης τῶν Μινυέων. χρεωμένῳ δὲ τῷ Γρίννῳ τῷ βασιλέι τῶν Θηραίων περὶ ἄλλων χρᾷ ἡ Πυθίη κτίζειν ἐν Λιβύῃ πόλιν. ὁ δὲ ἀμείβετο λέγων "ἐγὼ μὲν ὦναξ πρεσβύτερός τε ἤδη εἰμὶ καὶ βαρὺς ἀείρεσθαι· σὺ δέ τινα τῶνδε τῶν νεωτέρων κέλευε ταῦτα ποιέειν." ἅμα τε ἔλεγε ταῦτα καὶ ἐδείκνυε ἐς τὸν Βάττον. τότε μὲν τοσαῦτα. μετὰ δὲ ἀπελθόντες ἀλογίην εἶχον τοῦ χρηστηρίου, οὔτε Λιβύην εἰδότες ὅκου γῆς εἴη οὔτε τολμέοντες ἐς ἀφανὲς χρῆμα ἀπο-
151 στέλλειν ἀποικίην. ἑπτὰ δὲ ἐτέων μετὰ ταῦτα οὐκ ὗε τὴν Θήρην, ἐν τοῖσι τὰ δένδρεα πάντα σφι τὰ ἐν τῇ νήσῳ πλὴν ἑνὸς ἐξαυάνθη. χρεωμένοισι δὲ τοῖσι Θηραίοισι προέφερε ἡ Πυθίη τὴν ἐς Λιβύην ἀποικίην. ἐπείτε δὲ κακοῦ οὐδὲν ἦν σφι μῆχος, πέμπουσι ἐς Κρήτην ἀγγέλους διζημένους εἴ τις Κρητῶν ἢ μετοίκων ἀπιγμένος εἴη ἐς Λιβύην. περιπλανώμενοι δὲ αὐτὴν οὗτοι ἀπίκοντο καὶ ἐς Ἴτανον πόλιν, ἐν ταύτῃ δὲ συμμίσγουσι ἀνδρὶ πορφυρέι τῷ οὔνομα ἦν Κορώβιος, ὃς

περὶ Γρίννου τοῦ Θηραίου αὐτοῦ ἀποικίας — περὶ Βάττου καὶ τῆς εἰς Κυρήνην

15. ἀλογίην – χρηστηρίου Thomas M. p. 52

1. ὑπέμειναν scripsi: ὑπέμεινε || lacunam quam signavi ante τὠυτὸ, Dietsch post τοῦτο, minimum velut συνέβη δὲ hausit. ὑπέμεινε. τωὔτὸ τοῦτο συνέβη καὶ Reiske || ταὐτὸ *C* || θήρησι *R* || 2. γεγόνασι *R* || 4. καταυτὰ *C* || μόνοι *d* || 5. γρῖνος *A*, γρῖνος *CPdz* || 8. ἄλλοι *R*: οἱ ἄλλοι || 9. Εὐφημίδης Palmerius ex Pindaro: εὐθυμίδης || χρεομένωι *P* || γρίνῳ *CPdz* || 10. βασιλεῖ *AB* || 11. ἐγώ] ἐμοὶ *R* || ὦναξ *P*, ὤναξ *d* || 12. τῶνδε] τῶν *A* || 13. τάδε ποιέειν *P*, ποιέειν τάδε *Rz* || 16. εἴη] ἢ *R* || τολμῶντες *L* || χρήματα *R* || 18. ἅπαντά σφι *AB* || 19. χρεομένοισι *P* || 20. σφι ἦν *R* || 24. συμμισθοῦσι *R* || πορφυρεῖ *AB* || ἔην *z* || κουρώβιος *R*

ἔφη ὑπ' ἀνέμων ἀπενειχθεὶς ἀπικέσθαι ἐς Λιβύην καὶ Λιβύης ἐς Πλατέαν νῆσον. μισθῷ δὲ τοῦτον πείσαντες ἦγον ἐς Θήρην, ἐκ δὲ Θήρης ἔπλεον κατάσκοποι ἄνδρες τὰ πρῶτα οὐ πολλοί· κατηγησαμένου δὲ τοῦ Κορωβίου ἐς τὴν νῆσον ταύτην δὴ τὴν Πλατέαν, τὸν μὲν Κορώβιον λείπουσι, σιτία καταλιπόντες ὅσων δὴ μηνῶν, αὐτοὶ δὲ ἔπλεον τὴν ταχίστην ἀπαγγελέοντες Θηραίοισι περὶ τῆς νήσου. ἀποδημεόντων δὲ 152
τούτων πλέω χρόνον τοῦ συγκειμένου τὸν Κορώβιον ἐπέλιπε τὰ πάντα. μετὰ δὲ ταῦτα νηῦς Σαμίη, τῆς ναύκληρος ἦν Κωλαῖος, πλέουσα ἐπ' Αἰγύπτου ἀπηνείχθη ἐς τὴν Πλατέαν ταύτην· πυθόμενοι δὲ οἱ Σάμιοι παρὰ τοῦ Κορωβίου τὸν πάντα λόγον, σιτία οἱ ἐνιαυτοῦ καταλείπουσι. αὐτοὶ δὲ ἀναχθέντες ἐκ τῆς νήσου καὶ γλιχόμενοι Αἰγύπτου ἔπλεον, ἀποφερόμενοι ἀπηλιώτῃ ἀνέμῳ· καὶ οὐ γὰρ ἀνίει τὸ πνεῦμα, Ἡρακλέας στήλας διεκπερήσαντες ἀπίκοντο ἐς Ταρτησσόν, θείῃ πομπῇ χρεώμενοι. τὸ δὲ ἐμπόριον τοῦτο ἦν ἀκήρατον τοῦτον τὸν χρόνον, ὥστε ἀπονοστήσαντες οὗτοι ὀπίσω μέγιστα δὴ Ἑλλήνων πάντων τῶν ἡμεῖς ἀτρεκείην ἴδμεν ἐκ φορτίων ἐκέρδησαν, μετά γε Σώστρατον τὸν Λαοδάμαντος Αἰγινήτην· τούτῳ γὰρ οὐκ οἷά τε ἐστὶ ἐρίσαι ἄλλον. οἱ δὲ Σάμιοι τὴν δεκάτην τῶν ἐπικερδίων ἐξελόντες ἓξ τάλαντα ἐποιήσαντο χαλκήιον κρητῆρος Ἀργολικοῦ τρόπον· πέριξ δὲ αὐτοῦ γρυπῶν κεφαλαὶ πρόκροσσοί εἰσι· καὶ ἀνέθηκαν ἐς τὸ Ἥραιον, ὑποστήσαντες αὐτῷ τρεῖς χαλκέους κολοσσοὺς ἑπταπήχεας τοῖσι γούνασι ἐρηρεισμένους. Κυρηναίοισι δὲ καὶ Θηραίοισι

πόθεν ἡ Κυρηναίων πρὸς Σαμίους φιλία

19. Eustathius Dion. 511

1. ἀπενεχθεὶς *ABCR* ‖ ἀπικέεσθαι *R* ‖ 2. πλάταιαν *PRz*, πλατέην *d* ‖ 5. πλάταιαν *PRz* ‖ λείπουσι τία παρακαταλιπόντες *R* ‖ 6. ὅσου δὴ *C*, ὅσον δύο *sz* ‖ τηνταχίστην *P* ‖ 7. ἀπαγγέλλοντες *R* ‖ 8. κορόβιον *A* ‖ ἐπέλειπε *B* ‖ 9. ταῦτα om. *PRz* ‖ ἔην *z* ‖ 10. κολαῖος *d* ‖ ἀπ' *PRz* ‖ ἀπηνέχθη *Rd* ‖ πλάταιαν *PRz* ‖ 12. οἳ *d* ‖ 15. διεκπρήσαντες *C* ‖ ταρτησόν *d* ‖ 16. χρεόμενοι *P* ‖ 18. ἀτρεκίην ἴσμεν *L* ‖ 20. τε ἐστὶν *R*, τέ ἐστι ceteri ‖ τὴν δεκάτην om. *R* ‖ 21. ἐπικερδέων *z* ‖ ἐποίησαν *ABCd* ‖ 22. χαλκίον *R* ‖ αὐτὸ *AB*[1] ‖ 23. οἱ πρόκροσσοί *R* ‖ 25. ἐρηρισμένους *ABCR*

ἐς Σαμίους ἀπὸ τούτου τοῦ ἔργου πρῶτα φιλίαι μεγάλαι συνε-
153 κρήθησαν. οἱ δὲ Θηραῖοι ἐπείτε τὸν Κορώβιον λιπόντες ἐν
τῇ νήσῳ ἀπίκοντο ἐς τὴν Θήρην, ἀπήγγελλον ὥς σφι εἴη
νῆσος ἐπὶ Λιβύῃ ἐκτισμένη. Θηραίοισι δὲ ἕαδε ἀδελφεόν τε
ἀπ' ἀδελφεοῦ πέμπειν πάλῳ λαγχάνοντα καὶ ἀπὸ τῶν χώρων
ἁπάντων ἑπτὰ ἐόντων ἄνδρας, εἶναι δέ σφεων καὶ ἡγεμόνα
καὶ βασιλέα Βάττον. οὕτω δὴ στέλλουσι δύο πεντηκοντέρους
ἐς τὴν Πλατέαν.

154 Ταῦτα δὲ Θηραῖοι λέγουσι, τὰ δ' ἐπίλοιπα τοῦ λόγου
συμφέρονται ἤδη Θηραῖοι Κυρηναίοισι. Κυρηναῖοι γὰρ τὰ
περὶ Βάττον οὐδαμῶς ὁμολογέουσι Θηραίοισι· λέγουσι γὰρ
οὕτω. ἔστι τῆς Κρήτης Ὀαξὸς πόλις, ἐν τῇ ἐγένετο Ἐτέ-
αρχος βασιλεύς, ὃς ἐπὶ θυγατρὶ ἀμήτορι τῇ οὔνομα ἦν Φρο-
νίμη, ἐπὶ ταύτῃ ἔγημε ἄλλην γυναῖκα. ἡ δὲ ἐπεσελθοῦσα
ἐδικαίου καὶ τῷ ἔργῳ εἶναι μητρυιὴ τῇ Φρονίμῃ, παρέχουσά
τε κακὰ καὶ πᾶν ἐπ' αὐτῇ μηχανεομένη, καὶ τέλος μαχλο-
σύνην ἐπενείκασά οἱ πείθει τὸν ἄνδρα ταῦτα ἔχειν οὕτω. ὁ
δὲ ἀναγνωσθεὶς ὑπὸ τῆς γυναικὸς ἔργον οὐκ ὅσιον ἐμηχανᾶτο
ἐπὶ τῇ θυγατρί. ἦν γὰρ δὴ Θεμίσων ἀνὴρ Θηραῖος ἔμπορος
ἐν τῇ Ὀαξῷ· τοῦτον ὁ Ἐτέαρχος παραλαβὼν ἐπὶ ξείνια ἐξορ-
κοῖ ἦ μέν οἱ διηκονήσειν ὅ τι ἂν δεηθῇ. ἐπείτε δὴ ἐξώρ-
κωσε, ἀγαγών οἱ παραδιδοῖ τὴν ἑωυτοῦ θυγατέρα καὶ ταύτην

περὶ Ἐτεάρχου τοῦ Κρητὸς καὶ Φρονίμης τῆς θυγατρὸς ἐξ ἧς ὁ Βάττος (*B*)

---

12. - p. 437, 9 (Suidas v. Βάττος). — 12. Stephanus Byz. v. Ἄξος. — 16 sq. Eustathius Il. p. 1183. — 17. ὁ δὲ - 19 Θηραῖος (Suidas v. ἀναγνωσθείς)

1. συνεκρίθησαν *z* ‖ 3. ἀπήγγελον *Csz* ‖ 4. ἔαδε *d* ‖ τε om. *Apr.* ‖ 5. λαχόντα *PRz* ‖ 6. 'nescio an numerus desit ad ἄνδρας.' Dobree ‖ καὶ βασιλέα καὶ ἡγεμόνα *z* ‖ 8. πλάταιαν *PRz* ‖ 9. δὲ ἐπίλοιπα *R* ‖ 10. τὸ *R* ‖ 12. ὀαξὸς *ABPdz*. Suid.: ὁ ἀξὸς *C*, ἀξὸς *R*, Ἄξος Steph. ‖ 13. ἀμητρὶ *R* ‖ 14. δ' *R* ‖ ἐπεισελθοῦσα *Ad* ‖ 15. ἐδικαίευ *sz* ‖ εἶναι καὶ τῷ ἔργῳ *z* ‖ 16. μηχανωμένη *L* ‖ 17. ἐπενείκασά *PRz*. Eust.: ἐνεικοῦσά *C*, ἐπενεγκοῦσά *ABd*. Suid. ‖ οὕτως Suid. ‖ 18. ἐμηχανήσατο *d* ‖ 19. δὴ om. *R* ‖ 20. ὀαξῶι *C*, ἀξῶ *R* ‖ ξεινίαι *CP*. Suid., ξεινία *d*, ξενίῃ *z* ‖ 21. οἶ *d* ‖ δεηθείη Suid. ‖ δὴ *ABR*. Suid.: δὲ ‖ 22. ἑαυτοῦ Suid.

ἐκέλευε καταποντῶσαι ἀπαγαγόντα. ὁ δὲ Θεμίσων περιημεκτήσας τῇ ἀπάτῃ τοῦ ὅρκου καὶ διαλυσάμενος τὴν ξεινίην ἐποίεε τοιάδε. παραλαβὼν τὴν παῖδα ἀπέπλεε· ὡς δὲ ἐγίνετο ἐν τῷ πελάγεϊ, ἀποσιεύμενος τὴν ἐξόρκωσιν τοῦ Ἐτεάρχου, σχοινίοισι αὐτὴν διαδήσας κατῆκε ἐς τὸ πέλαγος, ἀνασπάσας δὲ ἀπίκετο ἐς τὴν Θήρην. ἐνθεῦτεν δὲ τὴν Φρονίμην παρα- 155
λαβὼν Πολύμνηστος, ἐὼν τῶν Θηραίων ἀνὴρ δόκιμος, ἐπαλλακεύετο. χρόνου δὲ περιιόντος ἐξεγένετό οἱ παῖς ἰσχόφωνος καὶ τραυλός, τῷ οὔνομα ἐτέθη Βάττος, ὡς Θηραῖοί τε καὶ Κυρηναῖοι λέγουσι, ὡς μέντοι ἐγὼ δοκέω, ἄλλο τι· Βάττος δὲ μετωνομάσθη, ἐπείτε ἐς Λιβύην ἀπίκετο, ἀπό τε τοῦ χρηστηρίου τοῦ γενομένου ἐν Δελφοῖσι αὐτῷ καὶ ἀπὸ τῆς τιμῆς τὴν ἔσχε τὴν ἐπωνυμίην ποιεύμενος. Λίβυες γὰρ βασιλέα βάττον καλέουσι, καὶ τούτου εἵνεκα δοκέω θεσπίζουσαν τὴν Πυθίην καλέσαι μιν Λιβυκῇ γλώσσῃ, εἰδυῖαν ὡς βασιλεὺς ἔσται ἐν Λιβύῃ. ἐπείτε γὰρ ἠνδρώθη οὗτος, ἦλθε ἐς Δελφοὺς περὶ τῆς φωνῆς· ἐπειρωτέοντι δέ οἱ χρᾷ ἡ Πυθίη τάδε,

Βάττ', ἐπὶ φωνὴν ἦλθες· ἄναξ δέ σε Φοῖβος Ἀπόλλων
ἐς Λιβύην πέμπει μηλοτρόφον οἰκιστῆρα,

ὥσπερ εἰ εἴποι Ἑλλάδι γλώσσῃ χρεωμένη "ὦ βασιλεῦ, ἐπὶ φωνὴν ἦλθες." ὁ δ' ἀμείβετο τοῖσιδε· "ὦναξ, ἐγὼ μὲν ἦλθον παρὰ σὲ χρησόμενος περὶ τῆς φωνῆς, σὺ δέ μοι ἄλλα ἀδύνατα χρᾷς, κελεύων Λιβύην ἀποικίζειν τέῳ δυνάμι, κοίῃ

---

1. ὁ δὲ - 3 τοιάδε (Suidas v. περιεμεκτήσας). — 4. (idem v. ἀφοσιούμεθα). — 8. Bekkeri Anecd. p. 100. (Plutarchus mor. p. 405). — 13 sq. Schol. Pind. Pyth. IV. — 19. Βάττ' - 20 οἰκιστῆρα (ibidem IV. Tzetzes Chiliad. VI 349)

1. περιημεκτίσας *d*, περιεμεκτήσας Suid. ‖ 2. καὶ om. *CPz* ‖ ξενίην *z*. Suid. ‖ 3. τάδε *R* ‖ ἐγένετο *sz* ‖ 4. πελάγει *AB* ‖ ἀποσιούμενος *R*, ἀποσειεύμενος *dz*, ἀφοσιεύμενος Suidas, ἀφοσιούμενος idem v. Βάττος ‖ ἐξώρκωσιν *z* ‖ 8. περιόντος *Apr*. ‖ ἰσχόφωνος *AB*. Bekk. An.: ἰσχνόφωνος reliqui cum Plut. Suid. ‖ 11. μετουνομάσθη *C* ‖ ἀπό τε τοῦ om. *R* ‖ 12. ἐν Δελφοῖσι - p. 442, 14 χρᾷ τάδε h. e. duo integra folia deerant in *d*, supplevit manus posterior ‖ 13. τῆνδ' ἔσχε *AB*, τὴν δ' ἔσχε *C*, ἣν ἔσχε *z* ‖ 14. τὸν βασιλέα *z* ‖ 17. ἐπειρωτέοντι *Cdz*: ἐπειρωτῶντι ‖ 20. οἰκίζοντα *R*, οἰκηστῆρα *z* ‖ 21. εἰ om. *R* ‖ χρεομένη *P* ‖ 22. τοῖσδε *L* ‖ ὦναξ *Pz* ‖ 23. τῆς om. *PRz* ‖ 24. δυνάμει *L*

χειρί;" ταῦτα λέγων οὐκὶ ἔπειθε ἄλλα οἱ χρᾶν· ὡς δὲ κατὰ
ταὐτὰ ἐθέσπιζέ οἱ καὶ πρότερον, οἴχετο μεταξὺ ἀπολιπὼν ὁ
156 Βάττος ἐς τὴν Θήρην. μετὰ δὲ αὐτῷ τε τούτῳ καὶ τοῖσι
ἄλλοισι Θηραίοισι συνεφέρετο παλιγκότως· ἀγνοεῦντες δὲ τὰς
συμφορὰς οἱ Θηραῖοι ἔπεμπον ἐς Δελφοὺς περὶ τῶν παρεόν-
των κακῶν. ἡ δὲ Πυθίη σφι ἔχρησε συγκτίζουσι Βάττῳ
Κυρήνην τῆς Λιβύης ἄμεινον πρήξειν. ἀπέστελλον μετὰ
ταῦτα τὸν Βάττον οἱ Θηραῖοι δύο πεντηκοντέροισι. πλώ-
σαντες δὲ ἐς τὴν Λιβύην οὗτοι, οὐ γὰρ εἶχον ὅ τι ποιέωσι
ἄλλο, ὀπίσω ἀπαλλάσσοντο ἐς τὴν Θήρην. οἱ δὲ Θηραῖοι
καταγομένους ἔβαλλον καὶ οὐκ ἔων τῇ γῇ προσίσχειν, ἀλλ'
ὀπίσω πλώειν ἐκέλευον. οἱ δὲ ἀναγκαζόμενοι ὀπίσω ἀπέ-
πλεον καὶ ἔκτισαν νῆσον ἐπὶ Λιβύῃ κειμένην, τῇ οὔνομα, ὡς
καὶ πρότερον εἰρέθη, ἐστὶ Πλατέα. λέγεται δὲ ἴση εἶναι ἡ
157 νῆσος τῇ νῦν Κυρηναίων πόλι. ταύτην οἰκέοντες δύο ἔτεα,
οὐδὲν γάρ σφι χρηστὸν συνεφέρετο, ἕνα αὐτῶν καταλιπόντες
οἱ λοιποὶ πάντες ἀπέπλεον ἐς Δελφούς, ἀπικόμενοι δὲ ἐπὶ τὸ
χρηστήριον ἐχρέωντο, φάμενοι οἰκέειν τε τὴν Λιβύην καὶ
οὐδὲν ἄμεινον πρήσσειν οἰκεῦντες. ἡ δὲ Πυθίη σφι πρὸς
ταῦτα χρᾷ τάδε.

αἰ τὺ ἐμεῦ Λιβύην μηλοτρόφον οἶδας ἄμεινον,
μὴ ἐλθὼν ἐλθόντος, ἄγαν ἄγαμαι σοφίην σεῦ.

ἀκούσαντες δὲ τούτων οἱ ἀμφὶ τὸν Βάττον ἀπέπλωον ὀπίσω·
οὐ γὰρ δή σφεας ἀπίει ὁ θεὸς τῆς ἀποικίης, πρὶν δὴ ἀπί-
κωνται ἐς αὐτὴν Λιβύην. ἀπικόμενοι δὲ ἐς τὴν νῆσον καὶ

---

21. Λιβύην - 22 σεῦ (Plutarchus mor. p. 408)

1. οὐκ *C*, οὔ κη *PRz* || οἱ om. *R* || χρᾶιν *P* ut saepe || καὶ ταῦτα *R* || 2. οἱ ἢ οἱ *C*, ἧι οἱ *P*, οἱ ἤ *z* || οἴχοιτο *P* || 4. συνεφέρετο - 5 Θηραῖοι om. *R* || 6. ἔχρηζε *R* || εἰ συγκτίζουσι Reiske || 7. ἄμειβον *R* || ἀπέστελον *C* || 9. λιβύην, οὗτοι γὰρ εἶχον *R* || 11. ἔβαλον *R* || 12. ἀπέπλων *R* || 14. ἠρέθη *C*, ἐρρήθη *Pz*, εἰρήθη A^2 || ἐστι supra post οὔνομα *z* || πλάταια *PRz* || 15. πόλει *ABP*, τῇ πόλει *R* || 16. αὐτῶν *z*. ἑωυτῶν Krueger. malim αὐτοῦ || 17. ἀπέπλωον *R* || 18. ἐχρέοντο *BPR* || 19. οἰκέοντες *AB* || 21. αἰ τυ *AC*, αἰτ' *B*, ἄστυ reliqui || Λιβύαν μαλοτρόφον οἶσθας ἄρειον Plut. 23. δὲ om. *Rz* || ἀπέπλωσαν *C*, ἀπέπλεον *z* || 24. σφεα *R* || δὴ om. *R* || ἀπίκονται *B* || 25. αὐτὴν] αὐτὴν τὴν *C*

ἀναλαβόντες τὸν ἔλιπον, ἔκτισαν αὐτῆς τῆς Λιβύης χῶρον
ἀντίον τῆς νήσου τῷ οὔνομα ἦν Ἄζιρις· τὸν νάπαι τε κάλ-
λισται ἐπ' ἀμφότερα συγκλῄουσι καὶ ποταμὸς τὰ ἐπὶ θάτερα
παραρρέει. τοῦτον οἴκεον τὸν χῶρον ἓξ ἔτεα· ἑβδόμῳ δέ 158
σφεας ἔτεϊ παραιτησάμενοι οἱ Λιβύες ὡς ἐς ἀμείνονα χῶρον
ἄξουσι, ἀνέγνωσαν ἐκλιπεῖν. ἦγον δέ σφεας ἐνθεῦτεν οἱ Λίβυες
ἀναστήσαντες πρὸς ἑσπέρην, καὶ τὸν κάλλιστον τῶν χώρων
ἵνα διεξιόντες οἱ Ἕλληνες μὴ ἴδοιεν, συμμετρησάμενοι τὴν
ὥρην τῆς ἡμέρης νυκτὸς παρῆγον. ἔστι δὲ τῷ χώρῳ τούτῳ
οὔνομα Ἴρασα. ἀγαγόντες δέ σφεας ἐπὶ κρήνην λεγομένην
εἶναι Ἀπόλλωνος εἶπαν "ἄνδρες Ἕλληνες, ἐνθαῦτα ὑμῖν
ἐπιτήδεον οἰκέειν· ἐνθαῦτα γὰρ ὁ οὐρανὸς τέτρηται."
Ἐπὶ μέν νυν Βάττου τε τοῦ οἰκιστέω τῆς ζόης, ἄρξαντος 159
ἐπὶ τεσσεράκοντα ἔτεα, καὶ τοῦ παιδὸς αὐτοῦ Ἀρκεσίλεω
ἄρξαντος ἑκκαίδεκα ἔτεα, οἴκεον οἱ Κυρηναῖοι ἐόντες τοσοῦτοι
ὅσοι ἀρχὴν ἐς τὴν ἀποικίην ἐστάλησαν. ἐπὶ δὲ τοῦ τρίτου,
Βάττου τοῦ εὐδαίμονος καλεομένου, Ἕλληνας πάντας ὥρμη-
σε χρήσασα ἡ Πυθίη πλέειν συνοικήσοντας Κυρηναίοισι
Λιβύην· ἐπεκαλέοντο γὰρ οἱ Κυρηναῖοι ἐπὶ γῆς ἀναδασμῷ.
ἔχρησε δὲ ὧδε ἔχοντα.

ὃς δέ κεν ἐς Λιβύην πολυήρατον ὕστερον ἔλθῃ
γᾶς ἀναδαιομένας, μετά οἵ ποκά φαμι μελήσειν.

συλλεχθέντος δὲ ὁμίλου πολλοῦ ἐς τὴν Κυρήνην, περιταμνό-
μενοι γῆν πολλὴν οἱ περίοικοι Λίβυες καὶ ὁ βασιλεὺς αὐτῶν
τῷ οὔνομα ἦν Ἀδικράν, οἷα τῆς τε χώρης στερισκόμενοι καὶ

περὶ Βάττου τοῦ Ἀρκεσιλάου καὶ τῶν ἐπ' αὐτοῦ γενομένων ἐν Κυρήνῃ

---

10. Stephanus Byz. v. Ἴρασα. — 12. Eustathius Dion. 213. (Il. p. 742)

2. τῷ] τῇ *Rz* ‖ Ἄζιρις, τὸν Wesseling: ἀζάριστον *B*, ἀζίριστον ceteri ‖ 3. συγκλήιουσι *AB*, συγκλήουσι *R*, συγκλείουσι *CPz* ‖ 4. παραρέει *ABR* ‖ 5. ἔτει *AB* ‖ οἱ om. *PRz* ‖ ὡς om. *C* ‖ ἐς om. *z* ‖ 6. ἥξουσιν *R* ‖ ἐκλείπειν *R* ‖ 7. τῶν om. *R* ‖ 9. παρεξῆγον *z* ‖ 10. Ἴρασα *A* ut videtur, ἱρασα *B*, ἱρασά *R* ‖ 11. ὑμῖν] μὲν *AB* ‖ 13. βάττεω sine τε *PRz* ‖ 14. τεσσαράκοντα *R* ‖ ζώης *C* ‖ 17. Βάττεω *z* ‖ τοῦ om. *C* . καλεουμένου *R* ‖ 22. οἱ πόκα *Rz* ‖ 25. ἀδδικρανοία τῆς *R* ‖ . — γενομένου *A*

περιυβριζόμενοι ὑπὸ τῶν Κυρηναίων, πέμψαντες ἐς Αἴγυπτον ἔδοσαν σφέας αὐτοὺς Ἀπρίῃ τῷ Αἰγύπτου βασιλέι. ὁ δὲ συλλέξας στρατὸν Αἰγυπτίων πολλὸν ἔπεμψε ἐπὶ τὴν Κυρήνην. οἱ δὲ Κυρηναῖοι ἐκστρατευσάμενοι ἐς Ἴρασα χῶρον καὶ ἐπὶ κρήνην Θέστην συνέβαλόν τε τοῖσι Αἰγυπτίοισι καὶ ἐνίκησαν τῇ συμβολῇ. ἅτε γὰρ οὐ πεπειρημένοι πρότερον οἱ Αἰγύπτιοι Ἑλλήνων καὶ παραχρεώμενοι διεφθάρησαν οὕτω ὥστε ὀλίγοι τινὲς αὐτῶν ἀπενόστησαν ἐς Αἴγυπτον. ἀντὶ τούτων Αἰγύπτιοι καὶ ταῦτα ἐπιμεμφόμενοι Ἀπρίῃ ἀπέστησαν ἀπ' αὐτοῦ.

160 Τούτου δὲ τοῦ Βάττου παῖς γίνεται Ἀρχεσίλεως· ὃς βασιλεύσας πρῶτα τοῖσι ἑωυτοῦ ἀδελφεοῖσι ἐστασίασε, ἐς ὅ μιν οὗτοι ἀπολιπόντες οἴχοντο ἐς ἄλλον χῶρον τῆς Λιβύης καὶ ἐπ' ἑωυτῶν βαλλόμενοι ἔκτισαν πόλιν ταύτην ἣ τότε καὶ νῦν Βάρκη καλέεται· κτίζοντες δὲ ἅμα αὐτὴν ἀπιστᾶσι ἀπὸ τῶν Κυρηναίων τοὺς Λίβυας. μετὰ δὲ Ἀρχεσίλεως ἐς τοὺς ὑποδεξαμένους τε τῶν Λιβύων καὶ ἀποστάντας τοὺς αὐτοὺς τούτους ἐστρατεύετο· οἱ δὲ Λίβυες δείσαντες αὐτὸν οἴχοντο φεύγοντες πρὸς τοὺς ἠοίους τῶν Λιβύων. ὁ δὲ Ἀρχεσίλεως εἵπετο φεύγουσι, ἐς ὃ ἐν Λεύκωνί τε τῆς Λιβύης ἐγίνετο ἐπιδιώκων καὶ ἔδοξε τοῖσι Λίβυσι ἐπιθέσθαι οἱ. συμβαλόντες δὲ ἐνίκησαν τοὺς Κυρηναίους τοσοῦτο ὥστε ἑπτακισχιλίους ὁπλίτας Κυρηναίων ἐνθαῦτα πεσεῖν. μετὰ δὲ τὸ τρῶμα τοῦτο Ἀρχεσίλεων μὲν κάμνοντά τε καὶ φάρμακον πεπωκότα

περὶ Ἀρχεσιλάου τοῦ Βάττου καὶ τῶν ἐπ' αὐτοῦ συμβάντων Κυρηναίοις καὶ περὶ Βάρκης πόλεως

2. ἔδοσάν σφεας *R* ‖ αὐτοὺς z ‖ βασιλεῖ *AB* ‖ 3. ἔπεμπε *PRz* ‖ 4. ἐκστρατοπεδευσάμενοι *R* ‖ ἤρασα *AB*, ἦρας *C*, ἱρασὰ *R* ‖ 5. θέστιν *PRz* ‖ 6. πειρώμενοι *C* ‖ οἱ om. *PRz* ‖ 7. παραχρεόμενοι *P* ‖ 8. αὐτέων z ‖ 9. καὶ ταῦτα Bekker: κατὰ ταῦτα *R*, καὶ κατὰ ταῦτα b, κατὰ ταῦτὰ ceteri. fortasse καὶ τοιαῦτα ‖ 11. βάττεω sz ‖ πάϊς γίνεται *Cs*, γίνεται πάϊς z ‖ ἀρχεσίλεος *ABR*, Αρχεσίλαος z ‖ 12. ἐστασίεσεν *R* ‖ 14. βαλόμενοι *BR* ‖ 15. δὲ *AB*: δ' ‖ ἀπίστασαν *R* ‖ 16. ὁ ἀρχεσίλεως *C*, ἀρχεσίλεος *ABR*, Αρχεσίλαος z ‖ 19. ἀρχεσίλεος *ABR*, Αρχεσίλαος z ‖ 20. ἐς ὃ z: ἐσοῦ *ABC*, ἐς οὗ *PR* ‖ 21. συμβαλλόντες *R* ‖ 22. τοσοῦτον *R* ‖ 23. ὁπλήτας *B* ‖ πεσέειν *PRz* ‖ στρῶμα *C* ‖ 24. ἀρχεσίλεον *ABR* ‖ πεπτωκότα *R*

ὁ ἀδελφεὸς Ἁλίαρχος ἀποπνίγει, Ἁλίαρχον δὲ ἡ γυνὴ ἡ Ἀρχεσίλεω δόλῳ κτείνει, τῇ οὔνομα ἦν Ἐρυξώ. διεδέξατο 161
δὲ τὴν βασιληίην τοῦ Ἀρχεσίλεω ὁ παῖς Βάττος, χωλός τε ἐὼν καὶ οὐκ ἀρτίπους. οἱ δὲ Κυρηναῖοι πρὸς τὴν καταλαβοῦσαν συμφορὴν ἔπεμπον ἐς Δελφοὺς ἐπειρησομένους ὅντινα τρόπον καταστησάμενοι κάλλιστα ἂν οἰκέοιεν. ἡ δὲ Πυθίη ἐκέλευε ἐκ Μαντινέης τῆς Ἀρκάδων καταρτιστῆρα ἀγαγέσθαι. αἴτεον ὦν οἱ Κυρηναῖοι, καὶ οἱ Μαντινέες ἔδοσαν ἄνδρα τῶν ἀστῶν δοκιμώτατον, τῷ οὔνομα ἦν Δημῶναξ. οὗτος ὦν ὡνὴρ ἀπικόμενος ἐς τὴν Κυρήνην καὶ μαθὼν ἕκαστα τοῦτο μὲν τριφύλους ἐποίησέ σφεας, τῇδε διαθείς. Θηραίων μὲν καὶ τῶν περιοίκων μίαν μοῖραν ἐποίησε, ἄλλην δὲ Πελοποννησίων καὶ Κρητῶν, τρίτην δὲ νησιωτέων πάντων. τοῦτο δὲ τῷ βασιλέι Βάττῳ τεμένεα ἐξελὼν καὶ ἱρωσύνας, τὰ ἄλλα πάντα τὰ πρότερον εἶχον οἱ βασιλέες ἐς μέσον τῷ δήμῳ ἔθηκε.

Ἐπὶ μὲν δὴ τούτου τοῦ Βάττου οὕτω διετέλεε ἐόντα, ἐπὶ 162
δὲ τοῦ τούτου παιδὸς Ἀρχεσίλεω πολλὴ ταραχὴ περὶ τῶν τιμέων ἐγένετο. Ἀρκεσίλεως γὰρ ὁ Βάττου τε τοῦ χωλοῦ καὶ Φερετίμης οὐκ ἔφη ἀνέξεσθαι κατὰ τὰ ὁ Μαντινεὺς Δημῶναξ ἔταξε, ἀλλὰ ἀπαίτεε τὰ τῶν προγόνων γέρεα. ἐνθεῦτεν στασιάζων ἑσσώθη καὶ ἔφυγε ἐς Σάμον, ἡ δὲ μήτηρ οἱ ἐς Σαλαμῖνα τῆς Κύπρου ἔφυγε. τῆς δὲ Σαλαμῖνος τοῦτον τὸν χρόνον ἐπεκράτεε Εὐέλθων, ὃς τὸ ἐν Δελφοῖσι θυμιητή-

περὶ Βάττου τοῦ χωλοῦ — περὶ Δημώνακτος τοῦ Μαντινέως — περὶ Ἀρχεσιλάου παιδὸς Βάττου τοῦ χωλοῦ καὶ Φερετίμης — περὶ Εὐέλθωνος τοῦ Κυπρίου καὶ τῆς ὡς αὐτὸν Φερετίμας καταφυγῆς

24. Eustathius Il. p. 395. 1098. Od. 1383

1. ἀλίαρχος *P*: αλίαρχος *A*, ἀλίαρχος *BC*, Αλίαρχος z, λέαρχος *R* ‖ ἀλίαρχον *CP*: ἀλίαρχον *A*, ἀλίαρχον *B*, Αλίαρχον z, λέαρχον *R* ‖ γυνὴ ἡ] γυνὴ z ‖ 3. τοῦ] τούτου τοῦ *PRz* ‖ ὁ παῖς z, om. *R* ‖ τε om. *PRz* ‖ 6. οἰκέειν *R* ‖ 7. μαντίνης *C*, τῆς μαντινέης z ‖ 9. δημώναξ *PRz* ‖ 10. ὦν om. *ABC* ‖ ὠνὴρ *C*, ὦνὴρ *Pz* ‖ 12. μὲν *R*: μὲν γὰρ *P*, μὲν γὰρ reliqui ‖ μίαν om. *R* ‖ μοίρην *ABz* ‖ 14. βασιλεῖ *AB* ‖ ἱερωσύνας *R* ‖ 15. βασιλῆες z ‖ 17. Βάττεω z ‖ 18. τούτου τοῦ *R* ‖ 19. ἀρκεσίλεος *ABR* ‖ 20. δημώναξ *PRz* ‖ 24. χρόνον] χῶρον *C*

ριον ἐὸν ἀξιοθέητον ἀνέθηκε, τὸ ἐν τῷ Κορινθίων θησαυρῷ κέεται. ἀπικομένη δὲ παρὰ τοῦτον ἡ Φερετίμη ἐδέετο στρατιῆς ἤ κατάξει σφέας ἐς τὴν Κυρήνην. ὁ δὲ Εὐέλθων πᾶν μᾶλλον ἤ στρατιήν οἱ ἐδίδου· ἡ δὲ λαμβάνουσα τὸ διδόμενον καλὸν μὲν ἔφη καὶ τοῦτο εἶναι, κάλλιον δὲ ἐκεῖνο, τὸ δοῦναί οἱ δεομένῃ στρατιήν. τοῦτο ἐπὶ παντὶ γὰρ τῷ διδομένῳ ἔλεγε, τελευταῖόν οἱ ἐξέπεμψε δῶρον ὁ Εὐέλθων ἄτρακτον χρύσεον καὶ ἠλακάτην, προσῆν δέ οἱ καὶ εἴριον. ἐπειπάσης δὲ αὖτις τῆς Φερετίμης τὠυτὸ ἔπος, ὁ Εὐέλθων ἔφη
163 τοιούτοισι γυναῖκας δωρέεσθαι ἀλλ' οὐ στρατιῇ. ὁ δὲ 'Αρκεσίλεως τοῦτον τὸν χρόνον ἐὼν ἐν Σάμῳ συνήγειρε πάντα ἄνδρα ἐπὶ γῆς ἀναδασμῷ· συλλεγομένου δὲ στρατοῦ πολλοῦ, ἐστάλη ἐς Δελφοὺς 'Αρκεσίλεως χρησόμενος τῷ χρηστηρίῳ περὶ κατόδου. ἡ δὲ Πυθίη οἱ χρᾷ τάδε. "ἐπὶ μὲν τέσσερας Βάττους καὶ 'Αρκεσίλεως τέσσερας, ὀκτὼ ἀνδρῶν γενεάς, διδοῖ ὑμῖν Λοξίης βασιλεύειν Κυρήνης· πλέον μέντοι τούτου οὐδὲ πειρᾶσθαι παραινέει. σὺ μέντοι ἥσυχος εἶναι κατελθὼν ἐς τὴν σεωυτοῦ. ἢν δὲ τὴν κάμινον εὕρῃς πλέην ἀμφορέων, μὴ ἐξοπτήσῃς τοὺς ἀμφορέας ἀλλ' ἀπόπεμπε κατ' οὖρον. εἰ δὲ ἐξοπτήσεις τὴν κάμινον, μὴ ἐσέλθῃς ἐς τὴν ἀμφίρρυτον· εἰ δὲ μή, ἀποθανέεαι καὶ αὐτὸς καὶ ταῦρος ὁ καλλιστεύων."
164 ταῦτα ἡ Πυθίη 'Αρκεσίλεῳ χρᾷ. ὁ δὲ παραλαβὼν τοὺς ἐκ τῆς Σάμου κατῆλθε ἐς τὴν Κυρήνην, καὶ ἐπικρατήσας τῶν πρηγμάτων τοῦ μαντηίου οὐκ ἐμέμνητο, ἀλλὰ δίκας τοὺς ἀντιστασιώτας αἴτεε τῆς ἑωυτοῦ φυγῆς. τῶν δὲ οἱ μὲν τὸ παράπαν ἐκ τῆς χώρης ἀπαλλάσσοντο, τοὺς δέ τινας χειρωσάμενος ὁ 'Αρκεσίλεως ἐς Κύπρον ἀπέστειλε ἐπὶ διαφθορῇ.

---

2. - 10 Eustathius Il. p. 657. — 26. Lexicon Vindob. p. 175

2. τοῦτο *z* || 6. γὰρ ἐπὶ παντὶ *z* || 8. ἠλεκάτην *R* || δέ οἱ *PRz*: δὲ εἰρίον *R* || ἐπειπάσης *Psz*: ἐπὶ πάσης *R*, εἰπάσης reliqui || 10. στρατιῇ] στρατιᾷ θνησκούσῃ ἐκ τῶν τρωμάτων Eust. || ἀρκεσίλεος *ABR* || 13. ἀρκεσίλεος *AB*, ὁ ἀρκεσίλεος *R* || 14. οἱ om. *Pz* || τέσσαρας *CR* || 15. τέσσαρας *C* || ἀνδρῶν om. *R* || 16. ἡμῖν *R* || 18. εὑρέης *R* || πλέειν *B* || 20. ἐξοπτήσῃς *z* || εἰσέλθῃς *sz* || ἀμφίρυτον *AB* || 21. ἀποθανέεαι *Pz*: ἀποθάνεαι *d*, ἀποθανέαι reliqui || 22. πυθίηι *AB* || ἀρκεσιλέω *d* || 27. ἀρκεσίλεος *ABR*

τούτους μέν νυν Κνίδιοι ἀπενειχθέντας πρὸς τὴν σφετέρην ἐρρύσαντο καὶ ἐς Θήρην ἀπέστειλαν· ἑτέρους δέ τινας τῶν Κυρηναίων ἐς πύργον μέγαν Ἀγλωμάχου καταφυγόντας ἰδιωτικὸν ὕλην περινήσας ὁ Ἀρκεσίλεως ἐνέπρησε. μαθὼν δὲ ἐπ' ἐξεργασμένοισι τὸ μαντήιον ἐὸν τοῦτο, ὅτι μιν ἡ Πυθίη οὐκ ἔα εὑρόντα ἐν τῇ καμίνῳ τοὺς ἀμφορέας ἐξοπτῆσαι, ἔργετο ἑκὼν τῆς τῶν Κυρηναίων πόλιος, δειμαίνων τε τὸν κεχρησμένον θάνατον καὶ δοκέων ἀμφίρρυτον τὴν Κυρήνην εἶναι. εἶχε δὲ γυναῖκα συγγενέα ἑωυτοῦ, θυγατέρα δὲ τῶν Βαρκαίων τοῦ βασιλέος, τῷ οὔνομα ἦν Ἀλάζειρ· παρὰ τοῦτον ἀπικνέεται, καί μιν Βαρκαῖοί τε ἄνδρες καὶ τῶν ἐκ Κυρήνης φυγάδων τινὲς καταμαθόντες ἀγοράζοντα κτείνουσι, πρὸς δὲ καὶ τὸν πενθερὸν αὐτοῦ Ἀλάζειρα. Ἀρκεσίλεως μέν νυν εἴτε ἑκὼν εἴτε ἀέκων ἁμαρτὼν τοῦ χρησμοῦ ἐξέπλησε μοῖραν τὴν ἑωυτοῦ.

Ἡ δὲ μήτηρ Φερετίμη, ἕως μὲν ὁ Ἀρκεσίλεως ἐν τῇ 165
Βάρκῃ διαιτᾶτο ἐξεργασμένος ἑωυτῷ κακόν, ἡ δὲ εἶχε αὐτὴ τοῦ παιδὸς τὰ γέρεα ἐν Κυρήνῃ καὶ τἆλλα νεμομένη καὶ ἐν βουλῇ παρίζουσα· ἐπείτε δὲ ἔμαθε ἐν τῇ Βάρκῃ ἀποθανόντα οἱ τὸν παῖδα, φεύγουσα οἰχώκεε ἐς Αἴγυπτον· ἦσαν γάρ οἱ ἐκ τοῦ Ἀρκεσίλεω εὐεργεσίαι ἐς Καμβύσεα τὸν Κύρου πεποιημέναι· οὗτος γὰρ ἦν ὁ Ἀρκεσίλεως ὃς Κυρήνην Καμβύσῃ ἔδωκε καὶ φόρον ἐτάξατο. ἀπικομένη δὲ ἐς τὴν Αἴγυπτον ἡ Φερετίμη Ἀρυάνδεω ἱκέτις ἵζετο, τιμωρῆσαι ἑωυτῇ κελεύουσα, προϊσχομένη πρόφασιν ὡς διὰ τὸν μηδισμὸν ὁ παῖς οἱ

10. (Theognostus can. p. 41)

4. ὁ ἀρκεσίλεος *AB*, ἀρκεσίλεος *R*, Αρκεσίλεως *z* ‖ 7. ἔργετο *Rd* ‖ ἑκὼν] ἐκ *AB*, ἐκ *Cd* ‖ τῶν om. *PRz* ‖ δειμένων *R* ‖ 8. κεχρημένον *CRz* ‖ ἀμφίρυτον *AB*. 'rectius forsan τὴν ἀμφίρρυτον, Κυρήνην εἶναι' Schweighaeuser: possis etiam Κυρήνην τὴν ἀμφίρρυτον ‖ 9. τοῦ τῶν Βαρκαίων βασιλῆος *z* ‖ 10. Ἀλάζειρ Lobeck e Theognosto: ἀλαζεὶρ *R*, ἀλαζὶρ *AB*, ἀλαζὶρ ἀλαζὴρ *Pdz*, ἀλαζὴρ *C* ‖ 11. τε] γε *ABCd* ‖ καὶ om. *ABCd* ‖ 13. ἀλάζειρα *R*: ἀλιζάρα *ABC*, ἀλαζῆρα *Pdz* ‖ ἀρκεσίλεος *B*, ἀρκεσίλαος *R* ‖ 14. ἄκων *L* ‖ ἐξαμαρτὼν *z* ‖ 15. μοίρην *z* ‖ 16. ἕως correxi: τέως ‖ ἀρκεσίλεος *ABR* ‖ 17. διητᾶτο *R* ‖ ἐξεργασάμενος *P* ‖ ἥδε *R* ‖ 18. τὰ ἄλλα *R* ‖ 22. ὁ om. *z* ‖ ἀρκεσίλεος *R* ‖ 23. φόρους *qz* ‖ τὴν om. *PRz* ‖ 24. ἀριάνδεω *Rd* ‖ ἵζετο *PRz*: ἕζετο

166 τέθνηκε. ὁ δὲ Ἀρυάνδης ἦν οὗτος τῆς Αἰγύπτου ὕπαρχος ὑπὸ Καμβύσεω κατεστεώς, ὃς ὑστέρῳ χρόνῳ τούτων παρισούμενος Δαρείῳ διεφθάρη. πυθόμενος γὰρ καὶ ἰδὼν Δαρεῖον ἐπιθυμέοντα μνημόσυνον ἑωυτοῦ λιπέσθαι τοῦτο τὸ μὴ ἄλλῳ εἴη βασιλέι κατεργασμένον, ἐμιμέετο τοῦτον, ἐς ὃ ἔλαβε τὸν μισθόν. Δαρεῖος μὲν γὰρ χρυσίον καθαρώτατον ἀπεψήσας ἐς τὸ δυνατώτατον νόμισμα ἐκόψατο, Ἀρυάνδης δὲ ἄρχων Αἰγύπτου ἀργύριον τὠυτὸ τοῦτο ἐποίεε. καὶ νῦν ἐστὶ ἀργύριον καθαρώτατον τὸ Ἀρυανδικόν. μαθὼν δὲ Δαρεῖός μιν ταῦτα ποιεῦντα, αἰτίην οἱ ἄλλην ἐπενείκας ὥς οἱ ἐπανίσταιτο,
167 ἀπέκτεινε. τότε δὲ οὗτος ὁ Ἀρυάνδης κατοικτείρας Φερετίμην διδοῖ αὐτῇ στρατὸν τὸν ἐξ Αἰγύπτου ἅπαντα καὶ τὸν πεζὸν καὶ τὸν ναυτικόν· στρατηγὸν δὲ τοῦ μὲν πεζοῦ Ἄμασιν ἀπέδεξε ἄνδρα Μαράφιον, τοῦ δὲ ναυτικοῦ Βάδρην ἐόντα Πασαργάδην γένος. πρὶν δὲ ἢ ἀποστεῖλαι τὴν στρατιήν, ὁ Ἀρυάνδης πέμψας ἐς τὴν Βάρκην κήρυκα ἐπυνθάνετο τίς εἴη ὁ Ἀρκεσίλεων ἀποκτείνας. οἱ δὲ Βαρκαῖοι αὐτοὶ ὑπεδέκοντο πάντες· πολλά τε γὰρ καὶ κακὰ πάσχειν ὑπ' αὐτοῦ. πυθόμενος δὲ ταῦτα ὁ Ἀρυάνδης οὕτω δὴ τὴν στρατιὴν ἀπέστειλε ἅμα τῇ Φερετίμῃ. αὕτη μέν νυν αἰτίη πρόσχημα τοῦ λόγου ἐγίνετο, ἀπεπέμπετο δὲ ἡ στρατιή, ὡς ἐμοὶ δοκέειν, ἐπὶ Λιβύης καταστροφῇ. Λιβύων γὰρ δὴ ἔθνεα πολλὰ καὶ παντοῖά ἐστι, καὶ τὰ μὲν αὐτῶν ὀλίγα βασιλέος ἦν ὑπήκοα, τὰ δὲ πλέω ἐφρόντιζε Δαρείου οὐδέν.

---

9. (Pollux III 57. VIII 98. Hesychius v. Ἀροαδικόν)

1. ἀριάνδης *R* ‖ 2. τοῦτον *z* ‖ παρισεύμενος *R* ‖ 4. ἑαυτοῦ *R*, ἑωυτῷ ceteri ‖ τοῦτο om. *R* ‖ 5. εἴη βασιλεῖ *AB*, βασιλεῖ εἴη *R* ‖ ἐμιμέατο τοῦτο *R* ‖ ἐσοῦ *AB*, ἐς οὗ *Cd* ‖ 6. ὁ δαρεῖος *R* ‖ ἀφεψήσας *R* ‖ 7. ἀπεκόψατο *d* ‖ 8. ἔστι *AB*, ἔτι *Pz* ‖ 9. Ἀροαδικόν Hes. ‖ δέ μιν δαρεῖος *ABd* ‖ 10. ἐπανίσταιτο Schweighaeuser: ἐπανιστέαιτο *AB*, ἐπανιστέατο *CPRd*, ἐπανισταίατο *z* ‖ 12. τὸν om. *C* ‖ 13. τὸ ναυτικόν *R* ‖ στρατηγὸν μὲν τοῦ πεζοῦ *R* ‖ ἄμασιν ἀπέδειξεν *d* ‖ 14. μάδρην *PR* ‖ 15. ἢ om. *yz* ‖ ὁ om. *PRz* ‖ 17. ἀρκεσίλεον *ABR* ‖ βαρκέοι *B* ‖ αὐτὸν *z* ‖ ὑπεδεκέατο *PRz* ‖ 19. ὁ om. *Cpr*. ‖ ἀπέστελλε *PRz* ‖ 21. ἐπέμπετο *R* ‖ δὴ ἐστὶ *d* ‖ δοκέει *PRz* ‖ 22. λιβύης *ABCd*: λιβύων ‖ δὴ om. *R* ‖ παντοῖα εἰσὶ *C*, παντοῖα ἐστὶ *P* ‖ 23. βασιλέως *AB* ‖ 24. βασιλέος δαρείου *ABCd*. fortasse unum βασιλέος verum

Οἰκέουσι δὲ κατὰ τάδε Λίβυες. ἀπ' Αἰγύπτου ἀρξάμενοι 168
πρῶτοι Ἀδυρμαχίδαι Λιβύων κατοίκηνται, οἳ νόμοισι μὲν τὰ
πλέω Αἰγυπτίοισι χρέωνται, ἐσθῆτα δὲ φορέουσι οἵην περ οἱ
ἄλλοι Λίβυες. αἱ δὲ γυναῖκες αὐτῶν ψέλιον περὶ ἑκατέρῃ
τῶν κνημέων φορέουσι χάλκεον· τὰς κεφαλὰς δὲ κομέουσαι,
τοὺς φθεῖρας ἐπεὰν λάβωσι τοὺς ἑωυτῆς ἑκάστη ἀντιδάκνει
καὶ οὕτω ῥίπτει. οὗτοι δὲ μοῦνοι Λιβύων τοῦτο ἐργάζονται,
καὶ τῷ βασιλέι μοῦνοι τὰς παρθένους μελλούσας συνοικέειν
ἐπιδεικνύουσι· ἣ δὲ ἂν τῷ βασιλέι ἀρεστὴ γένηται, ὑπὸ τού-
του διαπαρθενεύεται. παρήκουσι δὲ οὗτοι οἱ Ἀδυρμαχίδαι
ἀπ' Αἰγύπτου μέχρι λιμένος τῷ οὔνομα Πλυνός ἐστι. τού- 169
των δὲ ἔχονται Γιλιγάμαι, νεμόμενοι τὸ πρὸς ἑσπέρην χώρην
μέχρι Ἀφροδισιάδος νήσου. ἐν δὲ τῷ μεταξὺ χώρῳ τούτῳ
ἥ τε Πλατέα νῆσος ἐπικέεται, τὴν ἔκτισαν οἱ Κυρηναῖοι, καὶ
ἐν τῇ ἠπείρῳ Μενέλαος λιμήν ἐστι καὶ Ἄζιρις, τὴν οἱ Κυρη-
ναῖοι οἴκεον· καὶ τὸ σίλφιον ἄρχεται ἀπὸ τούτου· παρήκει δὲ
ἀπὸ Πλατέης νήσου μέχρι τοῦ στόματος τῆς Σύρτιος τὸ σίλ-
φιον. νόμοισι δὲ χρέωνται οὗτοι παραπλησίοισι τοῖσι ἑτέ-
ροισι. Γιλιγαμέων δὲ ἔχονται τὸ πρὸς ἑσπέρης Ἀσβύσται· 170
οὗτοι ὑπὲρ Κυρήνης οἰκέουσι. ἐπὶ θάλασσαν δὲ οὐ κατή-
κουσι Ἀσβύσται· τὸ γὰρ παρὰ θάλασσαν Κυρηναῖοι νέμονται.

περὶ Λιβύης καὶ τῶν ἐν αὐτῇ ἐθνῶν

2. Stephanus Byz. v. Ἀδαρχίδαι. — 9. ἣ - 10 διαπαρθενεύεται Lexicon Vindob. p. 50. — 10. Pollux III 42. — 12. Stephanus Byz. v. Γιλιγάμαι

1. τάδε om. *R* ‖ λίβυες ἀπ' *Pz* ‖ ἀπ' Αἰγύπτου om. *d* ‖ ἀρξάμενοι. πρῶτοι *P*, ἀρχόμενοι. πρῶτοι *z* ‖ 2. ἀδυρμαγίδαι *C*ᵗ, ἀδαρχίδαι et ἀδυρχίδαι Steph. codd. ‖ κατοίκειντι *R* ‖ 3. χρέονται *P* ‖ 4. δὲ] τε *C* ‖ περ om. *Pz* ‖ ψέλλιον *Pdz* ‖ παρὰ *d* ‖ ἑκάτερον *R* ‖ 5. κομῶσαι *L* ‖ 6. ἑωυτοὺς *z* ‖ 8. βασιλεῖ *AB* ‖ 9. βασιλεῖ *AB*. Lex. Vind. ‖ γένηται ἀρεστὴ Lex. Vind. ‖ 10. ἀδυρμαγίδαι *C* ‖ 11. ἀπὸ *AB* ‖ πλευνός ἐστι *AB*, πλεῦνός ἐστι *Cdz* ‖ 12. Γιλιγάμαι Steph.: τιλιγάμμαι *ABCd*, γιγάμαι *PRz* ‖ τὸ] τὴν *z* 13. ἀφροδησιάδος *R* ‖ χώρῳ τούτῳ *PRz*: τούτου χώρῳ ‖ 14. πλάταιαν *PR* ‖ οἱ om. *PRz* ‖ 15. μενέλεος *R*, Μενελάϊος *z* ‖ ἄζειρις *R* ‖ 16. ἀπὸ] ἐκ *R* ‖ 17. πλαταίης *PR* ‖ 18. χρέονται *P* ‖ 19. γιλιγαμμέων *ABCd*, γιγαμέων alteri ‖ ἀσβύσται *Pdsz*: ἀσβύται ‖ 20. οὗτοι - 21 Ἀσβύσται om. *d* ‖ οὗτοι τοὶ *R*, οὗτοι τὸ *sz* ‖ 21. ἀσβύσται *PRz*: ἀσβύται ‖ παρὰ τὴν θάλασσαν *R*

τεθριπποβάται δὲ οὐκ ἥκιστα ἀλλὰ μάλιστα Λιβύων εἰσί, νόμους δὲ τοὺς πλεῦνας μιμέεσθαι ἐπιτηδεύουσι τοὺς Κυρη-
171 ναίων. Ἀσβυστέων δὲ ἔχονται τὸ πρὸς ἑσπέρης Αὐσχίσαι· οὗτοι ὑπὲρ Βάρκης οἰκέουσι, κατήκοντες ἐπὶ θάλασσαν κατ' Εὐεσπερίδας. Αὐσχισέων δὲ κατὰ μέσον τῆς χώρης οἰκέουσι Βάκαλες, ὀλίγον ἔθνος, κατήκοντες ἐπὶ θάλασσαν κατὰ Ταύχειρα πόλιν τῆς Βαρκαίης· νόμοισι δὲ τοῖσι αὐτοῖσι χρέων-
172 ται τοῖσι καὶ οἱ ὑπὲρ Κυρήνης. Αὐσχισέων δὲ τούτων τὸ πρὸς ἑσπέρης ἔχονται Νασαμῶνες, ἔθνος ἐὸν πολλόν, οἳ τὸ θέρος καταλείποντες ἐπὶ τῇ θαλάσσῃ τὰ πρόβατα ἀναβαίνουσι ἐς Αὔγιλα χῶρον ὀπωριεῦντες τοὺς φοίνικας· οἱ δὲ πολλοὶ καὶ ἀμφιλαφέες πεφύκασι, πάντες ἐόντες καρποφόροι. τοὺς δὲ ἀττελέβους ἐπεὰν θηρεύσωσι, αὐήναντες πρὸς τὸν ἥλιον καταλέουσι καὶ ἔπειτα ἐπὶ γάλα ἐπιπάσσοντες πίνουσι. γυναῖκας δὲ νομίζοντες πολλὰς ἔχειν ἕκαστος ἐπίκοινον αὐτέων τὴν μῖξιν ποιεῦνται τρόπῳ παραπλησίῳ τῷ καὶ Μασσαγέται· ἐπεὰν σκίπωνα προστήσωνται, μίσγονται. πρῶτον δὲ γαμέοντος Νασαμῶνος ἀνδρὸς νόμος ἐστὶ τὴν νύμφην νυκτὶ τῇ πρώτῃ διὰ πάντων διεξελθεῖν τῶν δαιτυμόνων μισγομένην· τῶν δὲ ὡς ἕκαστός οἱ μιχθῇ, διδοῖ δῶρον τὸ ἂν ἔχῃ φερόμενος ἐξ οἴκου. ὁρκίοισι δὲ καὶ μαντικῇ χρέωνται τοιῇδε. ὀμνύουσι μὲν τοὺς παρὰ σφίσι ἄνδρας δικαιοτάτους καὶ ἀρίστους λεγομένους γενέσθαι, τούτους, τῶν τύμβων ἀπτόμενοι· μαντεύονται δὲ ἐπὶ τῶν προγόνων φοιτέοντες τὰ

---

12. - p. 447, 1 (Eustathius Dion. 209). — 15. γυναῖκας ¦- ἕκαστος Lexicon Vindob. p. 127

1. μᾶλλον *d* ‖ εἰσὶν *AB* ‖ 3. ἀσβυστέων *PRdz*: ἀσβυτέων ‖ αὐχίσαι *C*, αὐχισοί *R* ‖ 4. βάκης et κατοίκοντες *R* ‖ κατ' - 6 θάλασσαν om. *d* ‖ 5. εὐεσπρίδας *AB*[1] ‖ 6. βάκαλες *ABC*: κάβαλες ‖ ταύχιρα *AB*, τεύχειραν *d* ‖ 7. χρέονται *P* ‖ 8. κυρίνης *R* ‖ τουτέων *z* ‖ 9. νασαμῶνες *Rd*: νασάμωνες ‖ 10. καταλιπόντες *R* ‖ 11. ἄιγιλα *P*, αἴγιλα *Rz* ‖ 13. ἀττελάβους *R* ‖ 14. ἐπὶ γάλα *R*: γάλα ‖ 15. νομίζουσι *R* ‖ 16. τὴν om. *ABCd* ‖ μίξιν *CPRdz* ut alibi ‖ 17. κίπωνα *C*, σκίμπωνα *sz* ‖ προστήσονται *R* ‖ 18. γαμέοντες *R* ‖ νασαμῶνος *R*: νασάμωνος ‖ 19. πρώτοι *R* ‖ 20. εκαστόι *A*, εκαστό *B*[1] ‖ ἔχοι *d* ‖ 21. ὅρκοισι *PRz* ‖ χρέονται *P* ‖ 22. παρά σφι *R* ‖ 24. δ' *AB* ‖ φοιτέοντες *Pdz*: φοιτῶντες *A*, φοιτῶνταις *B*, φοιτέωντες *CR*

σήματα, καὶ κατευξάμενοι ἐπικατακοιμῶνται· τὸ δ' ἂν ἴδῃ ἐν τῇ ὄψι ἐνύπνιον, τούτῳ χρᾶται. πίστισι δὲ τοιῇσιδε χρέωνται. ἐκ τῆς χειρὸς διδοῖ πιεῖν καὶ αὐτὸς ἐκ τῆς τοῦ ἑτέρου πίνει· ἢν δὲ μὴ ἔχωσι ὑγρὸν μηδέν, οἱ δὲ τῆς χαμᾶθεν σποδοῦ λαβόντες λείχουσι.

Νασαμῶσι δὲ προσόμουροί εἰσι Ψύλλοι. οὗτοι ἐξαπολώλασι τρόπῳ τοιῷδε. ὁ νότος σφι πνέων ἄνεμος τὰ ἔλυτρα τῶν ὑδάτων ἐξηύηνε, ἡ δὲ χώρη σφι ἅπασα ἐντὸς ἐοῦσα τῆς Σύρτιος ἦν ἄνυδρος· οἱ δὲ βουλευσάμενοι κοινῷ λόγῳ ἐστρατεύοντο ἐπὶ τὸν νότον (λέγω δὲ ταῦτα τὰ λέγουσι Λίβυες), καὶ ἐπείτε ἐγίνοντο ἐν τῇ ψάμμῳ, πνεύσας ὁ νότος κατέχωσέ σφεας. ἐξαπολομένων δὲ τούτων ἔχουσι τὴν χώρην οἱ Νασαμῶνες. 173

Τούτων δὲ κατύπερθε πρὸς νότον ἄνεμον ἐν τῇ θηριώδεϊ οἰκέουσι Γαράμαντες, οἳ πάντα ἄνθρωπον φεύγουσι καὶ παντὸς ὁμιλίην, καὶ οὔτε ὅπλον ἐκτέαται ἀρήιον οὐδὲν οὔτε ἀμύνεσθαι ἐπιστέαται. οὗτοι μὲν δὴ κατύπερθε οἰκέουσι Νασαμώνων· τὸ δὲ παρὰ τὴν θάλασσαν ἔχονται τὸ πρὸς ἑσπέρης Μάκαι, οἳ λόφους κείρονται, τὸ μὲν μέσον τῶν τριχῶν ἀνιέντες αὔξεσθαι, τὰ δὲ ἔνθεν καὶ ἔνθεν κείροντες ἐν χροΐ, ἐς δὲ τὸν πόλεμον στρουθῶν καταγαίων δορὰς φορέουσι προβλήματα. διὰ δὲ αὐτῶν Κῖνυψ ποταμὸς ῥέων ἐκ λόφου καλευμένου Χαρίτων ἐς θάλασσαν ἐκδιδοῖ. ὁ δὲ λόφος οὗτος ὁ Χαρίτων δασὺς ἴδῃσί ἐστι, ἐούσης τῆς ἄλλης τῆς προκατα- 174 175

---

6. - 13 Gellius XVI 11. — 6. Νασαμῶσι - Ψύλλοι Stephanus Byz. v. Ψύλλοι. — Photius ac Suidas v. ψύλλα. — 14. - 17 Eustathius Dion. 217. — 15. οἳ - 16 ὁμιλίην Stephanus Byz. v. Γαράμαντες

1. σίματα *B* ‖ ἐπικατακοιμῶνται *R*: ἐπικατακοιμέονται *P*, ἐπικατακοιμέωνται *z*, ἐπικοιμῶνται *AB*, ἐπικοιμέωνται *C*, ἐπικοιμέονται *d* ‖ ἴδῃ ἐν] ἴδοιεν *z* ‖ 2. ὄψει *L* ‖ τοῦτο *R* ‖ χρῶνται *z* ‖ τοιῇισδε *AB*, τοιῇσιδε *d*, τοιῇισι *CP*, τοίησι *R*, τοίῃσι *z* ‖ χρέονται *P* ‖ 3. ποιεῖν *R* ‖ 4. χαμᾶσθε *R*, χαμάθεν *d*, χαμόθεν *z* ‖ 6. νασαμῶσι *R*: νασάμωσι ‖ προσόμοροί *CR* ‖ 7. σφιν *AB* ‖ 8. ἐξηῦνεν *R* ‖ πᾶσα *CRz* ‖ 12. τουτέων *z* ‖ 13. νασαμῶνες *Rd*: νασάμωνες ‖ 14. τουτέων *z* ‖ θηριώδει *AB* ‖ 15. γαράβαντες *C* ‖ 16. ὁμιλίαν Steph. ‖ 17. ἐπιστέαται] οἴδασιν Eust. ‖ κατύπερθεν *Rd* 19. ἑσπέρην *R* ‖ 20. καὶ ἔνθεν om. *R* ‖ κείρονται *Pz* ‖ 21. φέρουσι *ABCd* ‖ 22. κῖνυψ *L* ‖ 23. καλουμένου *z* ‖ 24. ὁ Χαρίτων - προκατα- om. *d*

λεχθείσης Λιβύης ψιλῆς· ἀπὸ θαλάσσης δὲ ἐς αὐτὸν στάδιοι
176 διηκόσιοί εἰσι. Μαχέων δὲ τούτων ἐχόμενοι Γινδᾶνές εἰσι,
τῶν αἱ γυναῖκες περισφύρια δερμάτων πολλὰ ἑκάστη φορέει
κατὰ τοιόνδε τι, ὡς λέγεται· κατ' ἄνδρα ἕκαστον μιχθέντα
περισφύριον περιδέεται· ἣ δὲ ἂν πλεῖστα ἔχῃ, αὕτη ἀρίστη
177 δέδοκται εἶναι ὡς ὑπὸ πλείστων ἀνδρῶν φιληθεῖσα. ἀκτὴν
δὲ προέχουσαν ἐς τὸν πόντον τούτων τῶν Γινδάνων νέμονται
Λωτοφάγοι, οἳ τὸν καρπὸν μοῦνον τοῦ λωτοῦ τρώγοντες
ζώουσι. ὁ δὲ τοῦ λωτοῦ καρπὸς ἐστὶ μέγαθος ὅσον τε τῆς
σχίνου, γλυκύτητα δὲ τοῦ φοίνικος τῷ καρπῷ προσείκελος.
ποιεῦνται δὲ ἐκ τοῦ καρποῦ τούτου οἱ Λωτοφάγοι καὶ οἶνον.
178 Λωτοφάγων δὲ τὸ παρὰ θάλασσαν ἔχονται Μάχλυες, τῷ
λωτῷ μὲν καὶ οὗτοι χρεώμενοι, ἀτὰρ ἧσσόν γε τῶν πρότερον
λεχθέντων. κατήκουσι δὲ ἐπὶ ποταμὸν μέγαν τῷ οὔνομα
Τρίτων ἐστί· ἐκδιδοῖ δὲ οὗτος ἐς λίμνην μεγάλην Τριτωνίδα·
ἐν δὲ αὐτῇ νῆσος ἔνι τῇ οὔνομα Φλά. ταύτην δὲ τὴν νῆσον
179 Λακεδαιμονίοισί φασι λόγιον εἶναι κτίσαι. ἔστι δὲ καὶ ὅδε
λόγος λεγόμενος. Ἰήσονα, ἐπείτε οἱ ἐξεργάσθη ὑπὸ τῷ
Πηλίῳ ἡ Ἀργώ, ἐσθέμενον ἐς αὐτὴν ἄλλην τε ἑκατόμβην
καὶ δὴ καὶ τρίποδα χάλκεον περιπλώειν Πελοπόννησον, βου-
λόμενον ἐς Δελφοὺς ἀπικέσθαι. καί μιν, ὡς πλέοντα γενέ-
σθαι κατὰ Μαλέην, ὑπολαβεῖν ἄνεμον βορέην καὶ ἀποφέρειν
πρὸς τὴν Λιβύην· πρὶν δὲ κατιδέσθαι γῆν, ἐν τοῖσι βράχεσι
γενέσθαι λίμνης τῆς Τριτωνίδος. καί οἱ ἀπορέοντι τὴν ἐξα-

περὶ τῆς Τριτωνίδος λίμνης καὶ τοῦ τρίποδος ὃν ἐν αὐτῇ Ἰάσων ἀνέθηκεν τῷ Τρίτωνι

8. οἳ - 9 ζώουσι (Stephanus Byz. v. Γινδᾶνες). — 9. - 10 Eustathius Od. 1616. — 14. ἐπὶ - 15 Τριτωνίδα Stephanus Byz. v. Φίλα. — Eustathius Dion. 267

2. τουτέων *AB* ‖ γίνδανές εἰσι *CPdz* ‖ 3. περὶ σφύρια *R* ‖ 5. δέεται *PR* ‖ δὲ *ABd*: δ' ‖ ἔχοι *z* ‖ 7. προσέχουσαν *R* ‖ Γινδάνων ἐχόμενοι νέμονται Reiske ‖ 8. μῶνον et ἐσθίοντες Steph. ‖ 9. ζοώουσιν *d*, ζῶσι Steph. ‖ καρπός ἐστι *Ad*, καρπὸς ἔστι reliqui ‖ τε τῆς] τῆς τε *d*, τὸ τῆς *z* ‖ 10. χίνου *B*[1] ‖ 12. τῷ om. *PRz* ‖ 13. χρεόμενοι *P* ‖ 14. ποταμὸν τὸν μέγαν ᾧ Steph. ‖ 15. καὶ ἐκδιδοῖ δὲ *C* ‖ 16. Φίλα Steph. ‖ 17. λακεδαιμόνιοι *Ppr.d* ‖ λόγον *R* ‖ ὅδε] ὧδε *B*, ὁ *d* ‖ 19. ἐσθέμενος *Apr.C* ‖ 20. πελοπονήσου *d* ‖ 22. μελέτην *R* ‖ βορῆν *ABd*, βορᾶν *C* ‖ 23. τραχέσι *R*, βράγχεσι *z* ‖ 24. τριτωνίτιδος *d* ‖ ἀπορρέοντι *B*

γωγὴν λόγος ἐστὶ φανῆναι Τρίτωνα καὶ κελεύειν τὸν Ἰήσονα ἑωυτῷ δοῦναι τὸν τρίποδα, φάμενόν σφι καὶ τὸν πόρον δέξειν καὶ ἀπήμονας ἀποστελέειν. πειθομένου δὲ τοῦ Ἰήσονος, οὕτω δὴ τόν τε διέκπλοον τῶν βραχέων δεικνύναι τὸν Τρίτωνά σφι καὶ τὸν τρίποδα θεῖναι ἐν τῷ ἑωυτοῦ ἱρῷ, ἐπιθεσπίσαντά τε τῷ τρίποδι καὶ τοῖσι σὺν Ἰήσονι σημήναντα τὸν πάντα λόγον, ὡς ἐπεὰν τὸν τρίποδα κομίσηται τῶν ἐκγόνων τις τῶν ἐν τῇ Ἀργοῖ συμπλεόντων, τότε ἑκατὸν πόλιας οἰκῆσαι περὶ τὴν Τριτωνίδα λίμνην Ἑλληνίδας πᾶσαν εἶναι ἀνάγκην. ταῦτα ἀκούσαντας τοὺς ἐπιχωρίους τῶν Λιβύων κρύψαι τὸν τρίποδα.

Τούτων δὲ ἔχονται τῶν Μαχλύων Αὐσέες· οὗτοι δὲ καὶ 180 οἱ Μάχλυες πέριξ τὴν Τριτωνίδα λίμνην οἰκέουσι, τὸ μέσον δέ σφι οὐρίζει ὁ Τρίτων. καὶ οἱ μὲν Μάχλυες τὰ ὀπίσω κομέουσι τῆς κεφαλῆς, οἱ δὲ Αὐσέες τὰ ἔμπροσθε. ὁρτῇ δὲ ἐνιαυσίῃ Ἀθηναίης αἱ παρθένοι αὐτῶν δίχα διαστᾶσαι μάχονται πρὸς ἀλλήλας λίθοισί τε καὶ ξύλοισι, τῷ αὐθιγενέι θεῷ λέγουσαι τὰ πάτρια ἀποτελέειν, τὴν Ἀθηναίην καλέομεν. τὰς δὲ ἀποθνησκούσας τῶν παρθένων ἐκ τῶν τρωμάτων ψευδοπαρθένους καλέουσι. πρὶν δὲ ἀνεῖναι αὐτὰς μάχεσθαι, τάδε ποιεῦσι. κοινῇ παρθένον τὴν καλλιστεύουσαν ἑκάστοτε κοσμήσαντες κυνέῃ τε Κορινθίῃ καὶ πανοπλίῃ Ἑλληνικῇ καὶ ἐπ' ἅρμα ἀναβιβάσαντες περιάγουσι τὴν λίμνην κύκλῳ. ὁτέοισι δὲ τὸ πάλαι ἐκόσμεον τὰς παρθένους πρὶν ἤ σφι Ἕλλη-

περὶ τῆς ἀγομένης τῇ Ἀθηνᾷ ἑορτῆς

---

12. Stephanus Byz. v. Αὐσεῖς

2. φάμενός *dz* ‖ δείξειν *L* ‖ 3. ἀποστέλλειν *d* ‖ 4. βραγχέων *z* ‖ 5. θῆναι *B* ‖ 6. σημάναντα *R* ‖ 7. τῶν ἐγγόνων τις· *AB*, πάντων τις ἐκγόνων *R* ‖ 8. οἰκίσαι *d* ‖ 12. Αὐσέες Struve: αὐσεῖς *ds*. Steph., αὐσεῖ *R*, αὐσῆις *ABP*, αὐσῆς *C*, Αὐσῆς *z* ‖ 14. ὁ om. *C* ‖ 15. κομέουσι *Pz*: κομῶσι *ABR*, κομέωσι *Cd* ‖ αὐσεῖς *ds*, αὐσεῖ *R*, αὐσῆις *BP*, αὐσῆς *AC*, Αὐσῆς *z* ‖ ἔμπροσθεν *PRdz* ‖ ὁρτῇ δὲ ἐνιαυσίῃ Ἀθηναίης. *z* ‖ δ' *R* ‖ 17. ἀλλήλους *B*[1] ‖ αὐθιγενεῖ *ABR*, αὐθιγενέηι *C* ‖ 18. καλέουσι *PRz* ‖ 19. δ' *B* ‖ τῶν παρθένων *ABCd*: παρθένους ‖ τρωυμάτων *q*, τρωϋμάτων *z* ‖ 20. δ' ἀνεῖναι *Pz*, δ' ἂν εἶναι *R* ‖ 21. ποιεῦσι κοινῇ. *ABCd* ‖ παρθένοι *R* ‖ 22. κυνῇ *L* ‖ 23. τὴν λίμνην om. *R* ‖ ὀτέοις *R*

νας παροικισθῆναι, οὐκ ἔχω εἰπεῖν, δοκέω δ' ὦν Αἰγυπτίοισι ὅπλοισι κοσμέεσθαι αὐτάς· ἀπὸ γὰρ Αἰγύπτου καὶ τὴν ἀσπίδα καὶ τὸ κράνος φημὶ ἀπῖχθαι ἐς τοὺς Ἕλληνας. τὴν δὲ Ἀθηναίην φασὶ Ποσειδέωνος εἶναι θυγατέρα καὶ τῆς Τριτωνίδος λίμνης, καί μιν μεμφθεῖσάν τι τῷ πατρὶ δοῦναι ἑωυτὴν τῷ Διί, τὸν δὲ Δία ἑωυτοῦ μιν ποιήσασθαι θυγατέρα ταῦτα μὲν λέγουσι, μῖξιν δὲ ἐπίκοινον τῶν γυναικῶν ποιέονται, οὔτε συνοικέοντες κτηνηδόν τε μισγόμενοι. ἐπεὰν δὲ γυναικὶ τὸ παιδίον ἁδρὸν γένηται, συμφοιτέουσι ἐς τὠυτὸ οἱ ἄνδρες τρίτου μηνός, καὶ τῷ ἂν οἴκῃ τῶν ἀνδρῶν τὸ παιδίον, τούτου παῖς νομίζεται.

181 Οὗτοι μὲν οἱ παραθαλάσσιοι τῶν νομάδων Λιβύων εἰρέαται, ὑπὲρ δὲ τούτων ἐς μεσόγαιαν ἡ θηριώδης ἐστὶ Λιβύη, ὑπὲρ δὲ τῆς θηριώδεος ὀφρύη ψάμμης κατήκει, παρατείνουσα ἀπὸ Θηβέων τῶν Αἰγυπτιέων ἐπ' Ἡρακλέας στήλας. ἐν δὲ τῇ ὀφρύῃ ταύτῃ μάλιστα διὰ δέκα ἡμερέων ὁδοῦ ἁλός ἐστι τρύφεα κατὰ χόνδρους μεγάλους ἐν κολωνοῖσι, καὶ ἐν κορυφῇσι ἑκάστου τοῦ κολωνοῦ ἀνακοντίζει ἐκ μέσου τοῦ ἁλὸς ὕδωρ ψυχρὸν καὶ γλυκύ, περὶ δὲ αὐτὸ ἄνθρωποι οἰκέουσι ἔσχατοι πρὸς τῆς ἐρήμου καὶ ὑπὲρ τῆς θηριώδεος, πρῶτοι μὲν ἀπὸ Θηβέων διὰ δέκα ἡμερέων ὁδοῦ Ἀμμώνιοι, ἔχοντες τὸ ἱρὸν ἀπὸ τοῦ Θηβαιέος Διός· καὶ γὰρ τὸ ἐν Θήβῃσι, ὡς καὶ πρότερον εἴρηταί μοι, κριοπρόσωπον τοῦ Διὸς τὤγαλμά ἐστι. τυγχάνει δὲ καὶ ἄλλο σφι ὕδωρ κρηναῖον ἐόν, τὸ τὸν μὲν ὄρθρον γίνεται χλιαρόν, ἀγορῆς δὲ πληθυούσης ψυχρό-

περὶ τῆς θηριώδους Λιβύης καὶ τῆς ψάμμου   περὶ τῆς ἐν Ἀμμωνίοις ἡλίου κρήνης

3. - 6 Eustathius Dion 267. — 12. idem Il. p. 234

1. εἶπαι *z* ‖ δὲ *R* ‖ 7. μῖξιν *AB*: μίξιν ‖ δ' *AB* ‖ 8. κτηνιδὸν *d* ‖ 9. ἀνδρῶν *R* ‖ συμφοιτέουσι *Pz*: συμφοιτῶσι *ABR*, συμφοιτέωσιν *Cd* ‖ 10. ἤκῃ *z* ‖ 12. ἠρέαται *C* ‖ 13. μεσόγεαν θηριώδης *R* ‖ 14. ψάμμος *PRdz*. ψάμμου Dindorf ‖ κατατείνουσα *ABC* ‖ 15. θηβῶν *AB*[1], θηβαίων *CRz* ‖ αἰγυπτιαίων *C*, αἰγυπτίων *Rd* ‖ ἠρακληΐας *z* ‖ 18. τῶν κολωνῶν *z* ‖ ἀνακοντίζειν *R* ‖ 21. θηβαίων *Rdz* ‖ 23. τὸ ἄγαλμά *R* ‖ 24. ἐστι] ἔχει? ‖ χυρηναῖον *d* ‖ 25. ὄρθρου *R* ‖ λιαρὸν *C* ‖ πληθούσης *d*

τερον, μεσαμβρίη τε ἐστὶ καὶ τὸ κάρτα γίνεται ψυχρόν· τηνικαῦτα δὲ ἄρδουσι τοὺς κήπους· ἀποκλινομένης δὲ τῆς ἡμέρης ὑπίεται τοῦ ψυχροῦ, ἐς ὃ δύεταί τε ὁ ἥλιος καὶ τὸ ὕδωρ γίνεται χλιαρόν· ἐπὶ δὲ μᾶλλον ἰὸν ἐς τὸ θερμὸν ἐς μέσας νύκτας πελάζει, τηνικαῦτα δὲ ζέει ἀμβολάδην· παρέρχονταί τε μέσαι νύκτες καὶ ψύχεται μέχρι ἐς ἠῶ. ἐπίκλησιν δὲ αὕτη ἡ κρήνη καλέεται ἡλίου.

Μετὰ δὲ Ἀμμωνίους διὰ τῆς ὀφρύης τῆς ψάμμου δι᾽ 182
ἀλλέων δέκα ἡμερέων ὁδοῦ κολωνός τε ἁλός ἐστι ὅμοιος τῷ Ἀμμωνίῳ καὶ ὕδωρ, καὶ ἄνθρωποι περὶ αὐτὸν οἰκέουσι· τῷ δὲ χώρῳ τούτῳ οὔνομα Αὔγιλά ἐστι. ἐς τοῦτον τὸν χῶρον οἱ Νασαμῶνες ὀπωριεῦντες τοὺς φοίνικας φοιτέουσι. ἀπὸ δὲ 183
Αὐγίλων διὰ δέκα ἡμερέων ἀλλέων ὁδοῦ ἕτερος ἁλὸς κολωνὸς καὶ ὕδωρ καὶ φοίνικες καρποφόροι πολλοί, κατά περ καὶ ἐν τοῖσι ἑτέροισι· καὶ ἄνθρωποι οἰκέουσι ἐν αὐτῷ τοῖσι οὔνομα Γαράμαντές ἐστι, ἔθνος μέγα ἰσχυρῶς, οἳ ἐπὶ τὴν ἅλα γῆν ἐπιφορέοντες οὕτω σπείρουσι. συντομώτατον δ᾽ ἐστὶ ἐς τοὺς Λωτοφάγους, ἐκ τῶν τριήκοντα ἡμερέων ἐς αὐτοὺς ὁδός ἐστι· ἐν τοῖσι καὶ οἱ ὀπισθονόμοι βόες γίνονται· ὀπισθονόμοι δὲ διὰ τόδε εἰσί. τὰ κέρεα ἔχουσι κεκυφότα ἐς τὸ ἔμπροσθε· διὰ τοῦτο ὀπίσω ἀναχωρέοντες νέμονται· ἐς γὰρ τὸ ἔμπροσθε οὐκ οἷοί τε εἰσὶ προεμβαλλόντων ἐς τὴν γῆν τῶν κερέων. ἄλλο δὲ οὐδὲν διαφέρουσι τῶν ἄλλων βοῶν ὅτι μὴ τοῦτο καὶ

περὶ τῶν ὀπισθονόμων βοῶν

5. Eustathius Il. p. 1241. — Λέξεις. — 7. Eustathius Dion. 211. — 12. ὀπωριεῦντες - φοιτέουσι Lexicon Vindob. p. 135

1. μεσαμβρίης *R* ‖ τέ ἐστι *PRz*: δέ ἐστι ‖ 3. ἐσοῦ *AB*, ἐς οὗ ceteri ‖ τε om. *R* ‖ 4. λιαρόν *C* ‖ ἐπεὶ *R* ‖ ἐς om. *R* ‖ 5. πελαγίζει *Pz* ‖ 6. μέχρις *Cd* ‖ ἠῶ *C* ‖ 7. δὲ om. *d* ‖ 8. τῆς ὀφρύος *d*, om. *R* ‖ 9. ἀλέων *R* ‖ ἁλλός ἐστι *ABd*, ἄλλος ἐστὶ *C* ‖ ὁμοῖος *CPdz* ‖ 11. αἴγιλα *Pz* ‖ 12. νασαμῶνες *R*: νασάμωνες ‖ φοιτέουσι *Pz*: φοιτῶσι *ABR*. Lex. Vind., φοιτέωσι *Cd* ‖ 13. αὐγιλέων *R*, αἰγίλων *Pz* ‖ ἄλλων *R* ‖ ἄλλος *AB*[1]*Cd* ‖ 15. ἐν αὐτῷ τοῖσι om. *Apr*. ‖ 16. γαράμοντές *B*, γαράβαντες *R* ‖ ἔστιν *R*, εἰσὶν *d* ‖ 17. ἐπιφερέοντες *R* ‖ οὕτως *d* ‖ δέ ἐστι *ABd* ‖ 19. ἐν τούτοισι? ‖ καὶ om. *d* ‖ bis ὀπισθόνομοι *d* ‖ 20. ἔμπροσθεν *PRdz* ‖ διὰ τοῦτο δὲ ὀπίσω ἐξαναχωρέοντες *R* ‖ 21. ἔμπροσθε *C*: ἔμπροσθεν ‖ 22. τέ εἰσι *L* ‖ προεμβαλόντων *Cd* ‖ τὴν om. *R*

τὸ δέρμα ἐς παχύτητά τε καὶ τρῖψιν. οἱ Γαράμαντες δὴ οὗτοι τοὺς τρωγλοδύτας Αἰθίοπας θηρεύουσι τοῖσι τεθρίπποισι· οἱ γὰρ τρωγλοδύται Αἰθίοπες πόδας τάχιστοι ἀνθρώπων πάντων εἰσὶ τῶν ἡμεῖς πέρι λόγους ἀποφερομένους ἀκούομεν. σιτέονται δὲ οἱ τρωγλοδύται ὄφις καὶ σαύρους καὶ τὰ τοιαῦτα τῶν ἑρπετῶν· γλῶσσαν δὲ οὐδεμιῇ ἄλλῃ παρομοίην νενομίκασι, ἀλλὰ τετρίγασι κατά περ αἱ νυκτερίδες.

184 Ἀπὸ δὲ Γαραμάντων δι᾽ ἀλλέων δέκα ἡμερέων ὁδοῦ ἄλλος ἁλός τε κολωνὸς καὶ ὕδωρ, καὶ ἄνθρωποι περὶ αὐτὸν οἰκέουσι τοῖσι οὔνομά ἐστι Ἀτάραντες, οἳ ἀνώνυμοί εἰσι μοῦνοι ἀνθρώπων τῶν ἡμεῖς ἴδμεν· ἁλέσι μὲν γάρ σφι ἐστὶ Ἀτάραντες οὔνομα, ἑνὶ δὲ ἑκάστῳ αὐτῶν οὔνομα οὐδὲν κέεται. οὗτοι τῷ ἡλίῳ ὑπερβάλλοντι καταρῶνται καὶ πρὸς τούτοισι πάντα τὰ αἰσχρὰ λοιδορέονται, ὅτι σφέας καίων ἐπιτρίβει, αὐτούς τε τοὺς ἀνθρώπους καὶ τὴν χώρην αὐτῶν. μετὰ δὲ δι᾽ ἀλλέων δέκα ἡμερέων ἄλλος κολωνὸς ἁλὸς καὶ ὕδωρ, καὶ ἄνθρωποι περὶ αὐτὸν οἰκέουσι. ἔχεται δὲ τοῦ ἁλὸς τούτου ὄρος τῷ οὔνομά ἐστι Ἄτλας· ἔστι δὲ στεινὸν καὶ κυκλοτερὲς πάντῃ, ὑψηλὸν δὲ οὕτω δή τι λέγεται ὡς τὰς κορυφὰς αὐτοῦ οὐκ οἷά τε εἶναι ἰδέσθαι· οὐδέκοτε γὰρ αὐτὰς ἀπολείπειν νέφεα οὔτε θέρεος οὔτε χειμῶνος. τοῦτο τὸν κίονα τοῦ οὐρανοῦ λέγουσι οἱ ἐπιχώριοι εἶναι. ἐπὶ τούτου τοῦ ὄρεος οἱ ἄνθρωποι οὗτοι ἐπώνυμοι ἐγένοντο· καλέονται γὰρ δὴ Ἄτλαντες. λέγονται δὲ οὔτε ἔμψυχον οὐδὲν σιτέεσθαι οὔτε ἐνύπνια ὁρᾶν.

3.-7 Eustathius Dion. 180. — 8.-25 ibidem 66. — 10 sqq. (Pomponius Mela I 42. Nicolaus Damascenus apud Stobaeum floril. XLIV 41.) — 24. Pausanias I 33, 5. Stephanus Byz. v. Ἄτλαντες

1. τρίψιν *Cdz* ‖ γαράβαντες *R* ‖ δὲ *CPz* ‖ 2. τρωγοδύτας *A*[1]*B*[1] ‖ 3. τρωγοδύται *A*[1]*B*[1], τρωγλοδῦται *R* ‖ 4. περι *A*, περὶ *B*, om. *R* ‖ 5. τρωγοδύται *A*[1]*B*, τρωγλοδῦται *R* ‖ ὄφεις *R* ‖ σαύρας *P*[m] *R*. Eust. ‖ 6. παρομοίῃ *R* ‖ 7. τετρύγασι *sz* ‖ 8. γαραβάτων *R* ‖ 10. Ἀτάραντες Salmasius ex Rhiano apud Steph. Byz.: ἄτλαντες *L* ac Mela. Ἀφάραντες Nicol. ‖ 11. ἀλέσι *R* ‖ 12. ἄτλαντες *L* ‖ αὐτέων *z* ‖ 13. ὑπερβαλλόντως Eust. ‖ καταρέωνται *C* ‖ 14. ἐσχρὰ *BR* ‖ λοιδοροῦνται *R* ‖ 15. αὐτέων *z* ‖ 16. ἄλλων *R* ‖ ἡμερέων] ἡμερέων ὁδοῦ *CPz* ‖ 18. οὖρος *CPdz* ‖ ἐστι om. *PRz* ‖ 19. δή om. *ABCd* ‖ 21. ἀπολείπει *PRdz*, ἐπιλείπειν Eust. ‖ θέρος *R* ‖ τοῦτον *C* ‖ τὸν om. *qz* ‖ 23. οὔρεος *CPdz* ‖ 24. δὴ om. *ABCd* ‖ 25. οὔτ᾽ *AB* ‖ ἐνύπνιον *d*

Μέχρι μὲν δὴ τῶν Ἀτλάντων τούτων ἔχω τὰ οὐνόματα 185 τῶν ἐν τῇ ὀφρύῃ κατοικημένων καταλέξαι, τὸ δ' ἀπὸ τούτων οὐκέτι. διήκει δ' ὦν ἡ ὀφρύη μέχρι Ἡρακλέων στηλέων καὶ τὸ ἔξω τουτέων. ἔστι δὲ ἁλός τε μέταλλον ἐν αὐτῇ διὰ δέκα ἡμερέων ὁδοῦ καὶ ἄνθρωποι οἰκέοντες. τὰ δὲ οἰκία τούτοισι πᾶσι ἐκ τῶν ἁλίνων χόνδρων οἰκοδομέαται. ταῦτα γὰρ ἤδη τῆς Λιβύης ἄνομβρά ἐστι· οὐ γὰρ ἂν ἠδυνέατο μένειν οἱ τοῖχοι ἐόντες ἅλινοι, εἰ ὗε. ὁ δὲ ἅλς αὐτόθι καὶ λευκὸς καὶ πορφύρεος τὸ εἶδος ὀρύσσεται. ὑπὲρ δὲ τῆς ὀφρύης ταύτης τὸ πρὸς νότου καὶ ἐς μεσόγαιαν τῆς Λιβύης ἔρημος καὶ ἄνυδρος καὶ ἄθηρος καὶ ἄνομβρος καὶ ἄξυλός ἐστι ἡ χώρη, καὶ ἰκμάδος ἐστὶ ἐν αὐτῇ οὐδέν.

Οὕτω μὲν μέχρι τῆς Τριτωνίδος λίμνης ἀπ' Αἰγύπτου 186 νομάδες εἰσὶ κρεοφάγοι τε καὶ γαλακτοπόται Λίβυες, καὶ θηλέων τε βοῶν οὔτι γευόμενοι, διότι περ οὐδὲ Αἰγύπτιοι, καὶ ὗς οὐ τρέφοντες. βοῶν μέν νυν θηλέων οὐδ' αἱ Κυρηναίων γυναῖκες δικαιεῦσι πατέεσθαι διὰ τὴν ἐν Αἰγύπτῳ Ἶσιν, ἀλλὰ καὶ νηστηίας αὐτῇ καὶ ὁρτὰς ἐπιτελέουσι· αἱ δὲ τῶν Βαρκαίων γυναῖκες οὐδὲ ὑῶν πρὸς τῇσι βουσὶ γεύονται. ταῦτα μὲν δὴ οὕτω ἔχει. τὸ δὲ πρὸς ἑσπέρης τῆς Τριτω- 187 νίδος λίμνης οὐκέτι νομάδες εἰσὶ Λίβυες οὐδὲ νόμοισι τοῖσι αὐτοῖσι χρεώμενοι. οὐδὲ κατὰ τὰ παιδία ποιεῦντες οἷόν τι καὶ οἱ νομάδες ἐώθασι ποιέειν. οἱ γὰρ δὴ τῶν Λιβύων νομάδες, εἰ μὲν πάντες, οὐκ ἔχω ἀτρεκέως τοῦτο εἰπεῖν, ποιεῦσι δὲ αὐτῶν συχνοὶ τοιάδε. τῶν παιδίων τῶν σφετέρων, ἐπεὰν τετραέτεα γένηται, οἴσπῃ προβάτων καίουσι τὰς ἐν τῇσι

ὅτι οἱ Λίβυες τὰς φλέβας τῆς κεφαλῆς καίουσιν

---

26. Λέξεις

2. ὀφρύι *Pd* ‖ δὲ *R* ‖ 3. ἡρακληΐων *z* ‖ 4. ἔστι] ἐν *R* ‖ 7. ἂν om. *Rz* ‖ ἠδυναίατο *z* ‖ 10. πρὸς νότον καὶ μεσόγαιαν *PRz* ‖ 11. ἐρῆμος *CP* ‖ 14. κρεωφάγοι *d* ‖ 15. θηλεῶν *PR* ‖ ὅτι *C*, οὗτοι *z* ‖ 16. οὐδὲ *R* ‖ 17. ἅπτεσθαι *ABCd* ‖ 18. ἀλλὰ om. *d* ‖ νηστείας *L* ‖ ἐπιτηδεύουσι *Rz* et *Ppr.* ut videtur ‖ 19. βαρκέων *B* ‖ 20. οὕτως *R* ‖ τὰ *C* ‖ 21. οὐκ ἔστι *R* ‖ 22. χρεόμενοι *P* ‖ πεδία *B* ‖ 23. εἰώθασι *ABCd* ‖ 24. τοῦτο ἀτρεκέως *R* ‖ εἶπαι *z* ‖ 26. γένωνται *C* ‖ οἴσπηι *ABCpr.d.* (gloss.) : οἰσύπῃ

κορυφῇσι φλέβας, μετεξέτεροι δὲ αὐτῶν τὰς ἐν τοῖσι κροτάφοισι, τοῦδε εἵνεκα ὡς μή σφεας ἐς τὸν πάντα χρόνον καταρρέον φλέγμα ἐκ τῆς κεφαλῆς δηλέηται. καὶ διὰ τοῦτό σφεας λέγουσι εἶναι ὑγιηροτάτους. εἰσὶ γὰρ ὡς ἀληθέως οἱ Λίβυες ἀνθρώπων πάντων ὑγιηρότατοι τῶν ἡμεῖς ἴδμεν· εἰ μὲν διὰ τοῦτο, οὐκ ἔχω ἀτρεκέως εἰπεῖν, ὑγιηρότατοι δ' ὦν εἰσί. ἢν δὲ καίουσι τὰ παιδία σπασμὸς ἐπιγένηται, ἐξεύρηταί σφι ἄκος· τράγου γὰρ οὖρον σπείσαντες ῥύονταί σφεα. λέγω δὲ τὰ λέγουσι αὐτοὶ Λίβυες.

188 Θυσίαι δὲ τοῖσι νομάσι εἰσὶ αἵδε. ἐπεὰν τοῦ ὠτὸς ἀπάρξωνται τοῦ κτήνεος, ῥιπτέουσι ὑπὲρ τὸν δόμον, τοῦτο δὲ ποιήσαντες ἀποστρέφουσι τὸν αὐχένα αὐτοῦ. θύουσι δὲ ἡλίῳ καὶ σελήνῃ μούνοισι. τούτοισι μέν νυν πάντες Λίβυες θύουσι, ἀτὰρ οἱ περὶ τὴν Τριτωνίδα λίμνην νέμοντες τῇ Ἀθηναίῃ
189 μάλιστα, μετὰ δὲ τῷ Τρίτωνι καὶ τῷ Ποσειδέωνι. τὴν
δὲ ἄρα ἐσθῆτα καὶ τὰς αἰγίδας τῶν ἀγαλμάτων τῆς Ἀθηναίης ἐκ τῶν Λιβυσσέων ἐποιήσαντο οἱ Ἕλληνες· πλὴν γὰρ ἢ ὅτι σκυτίνη ἡ ἐσθὴς τῶν Λιβυσσέων ἐστὶ καὶ οἱ θύσανοι οἱ ἐκ τῶν αἰγίδων αὐτῇσι οὐκ ὄφιές εἰσι ἀλλὰ ἱμάντινοι, τά γε ἄλλα πάντα κατὰ τὠυτὸ ἔσταλται. καὶ δὴ καὶ τὸ οὔνομα κατηγορέει ὅτι ἐκ Λιβύης ἥκει ἡ στολὴ τῶν Παλλαδίων· αἰγέας γὰρ περιβάλλονται ψιλὰς περὶ τὴν ἐσθῆτα θυσανωτὰς αἱ Λίβυσσαι κεχριμένας ἐρευθεδάνῳ, ἐκ δὲ τῶν αἰγέων του-

περὶ τῶν παρὰ Λίβυσι θυσιῶν

---

12. Eustathius Dion. 185. — 14 sq. idem Il. p. 1265. — 15. τὴν - 19 ἱμάντινοι ibidem p. 603. — 19. Λέξεις. — 21. ὅτι - p. 455, 1 μετωνόμασαν Eustathius Il. p. 603. — 22. Harpocratio v. αἰγίς

1. κορυφοῖσι *C* ‖ αὐτέων *z* ‖ τῇισι *C* ‖ 3. δήλεται *R*, δηλῆται ceteri ‖ 4. ὑγικροτάτους *R* ‖ ἀληθῶς *ABC*, ἀληθῆ *d* ‖ οἱ om. *ABCd* ‖ 5. ὑγικρότατοι *R* ‖ 6. εἶπαι *z* ‖ ὑγροκότατοι *R* ‖ 7. καίωσι *P* ‖ 8. γὰρ om. *C* σφεα *PR*: σφεας ‖ 10. αἶδε *ABR* ‖ 11. τὸν] τῶν *B*[1] ‖ δρόμον *C*. ὦμον Reiske ‖ 17. ἐκ - 18 ἐσθὴς om. *B* ‖ λιβυσέων *R* ‖ ἐποιήσαντο - 18 Λιβυσσέων om. *d* ‖ 18. ἢ om. *z*, γὰρ ἢ om. Eust. ‖ λιβυσέων *AB* ‖ 19. οἱ *ABCd* ‖ αὐτῇσι] αὐτῆι εισι *ABC*, αὐτοὶ εἰσὶν *d*, om. Eust. ‖ ἱμάντινοι - 20 ἄλλα om. *R* ‖ τά γε correxi: τὰ δὲ ‖ 20. τοὔνομα *z* ‖ 22. αἰγίδας *z* ‖ θυσανωτοὺς Eust. ‖ 23. λίβυες *d* ‖ κεχρισμένας *A*. Eust.

τέων αἰγίδας οἱ Ἕλληνες μετωνόμασαν. δοκέει δ᾽ ἔμοιγε
καὶ ὀλολυγὴ ἐν ἱροῖσι ἐνθαῦτα πρῶτον γενέσθαι· κάρτα γὰρ
ταύτῃ χρέωνται καλῶς αἱ Λίβυσσαι. καὶ τέσσερας ἵππους
συζευγνύναι παρὰ Λιβύων οἱ Ἕλληνες μεμαθήκασι. θάπτουσι 190
δὲ τοὺς ἀποθνήσκοντας οἱ νομάδες κατά περ οἱ Ἕλληνες,
πλὴν Νασαμώνων· οὗτοι δὲ κατημένους θάπτουσι, φυλάσ-
σοντες, ἐπεὰν ἀπίῃ τὴν ψυχήν, ὅκως μιν κατίσουσι μηδὲ
ὕπτιος ἀποθανέεται. οἰκήματα δὲ σύμπηκτα ἐξ ἀνθερίκων
ἐνειρμένων περὶ σχοίνους ἐστί, καὶ ταῦτα περιφορητά. νό-
μοισι μὲν τοιούτοισι οὗτοι χρέωνται.

Τὸ δὲ πρὸς ἑσπέρης τοῦ Τρίτωνος ποταμοῦ Αὐσέων 191
ἔχονται ἀροτῆρες ἤδη Λίβυες καὶ οἰκίας νομίζοντες ἐκτῆσθαι,
τοῖσι οὔνομα κέεται Μάξυες· οἳ τὰ ἐπὶ δεξιὰ τῶν κεφαλέων
κομόωσι τὰ δ᾽ ἐπ᾽ ἀριστερὰ κείρουσι, τὸ δὲ σῶμα χρίονται
μίλτῳ. φασὶ δὲ οὗτοι εἶναι τῶν ἐκ Τροίης ἀνδρῶν. ἡ δὲ
χώρη αὕτη τε καὶ ἡ λοιπὴ τῆς Λιβύης ἡ πρὸς ἑσπέρην
πολλῷ θηριωδεστέρη τε καὶ δασυτέρη ἐστὶ τῆς τῶν νομάδων
χώρης. ἡ μὲν γὰρ δὴ πρὸς τὴν ἠῶ τῆς Λιβύης, τὴν οἱ
νομάδες νέμουσι, ἐστὶ ταπεινή τε καὶ ψαμμώδης μέχρι τοῦ
Τρίτωνος ποταμοῦ, ἡ δὲ ἀπὸ τούτου τὸ πρὸς ἑσπέρην ἡ τῶν
ἀροτήρων ὀρεινή τε κάρτα καὶ δασέα καὶ θηριώδης· καὶ γὰρ
οἱ ὄφιες οἱ ὑπερμεγάθεες καὶ οἱ λέοντες κατὰ τούτους εἰσὶ
καὶ οἱ ἐλέφαντές τε καὶ ἄρκτοι καὶ ἀσπίδες τε καὶ ὄνοι οἱ τὰ
κέρεα ἔχοντες καὶ οἱ κυνοκέφαλοι καὶ οἱ ἀκέφαλοι οἱ ἐν τοῖσι

περὶ τῶν ἐν τοῖς νομάσι Λίβυσι διαφόρων καὶ θηρίων

---

1. δοκέει - 3 Λίβυσσαι Eustathius Il. p. 643. — 3 sq. idem Dion. 175. Il. p. 707. — 8. Λέξεις. — 9. Λέξεις

1. δ᾽ ἐμοίγε *B*, δέ μοι γε *C* ‖ 2. καὶ ἡ Eust. ‖ ἐπὶ ἱροῖσι *R*, ἐπὶ τῶν ἱερῶν Eust. ‖ πρῶτα *R* ‖ 3. ταύτῃ χρέονται *P*, χρέωνται ταύτῃ *d* ‖ καλῶς om. *R*. Eust. ‖ Λίβυσσαι] λίβυσσαι καὶ χρέωνται καλῶς *R* ‖ τέσσαρας *R* ‖ 4. συζευγνύμεναι *d*, ζευγνύναι *Pz*. Eust. ‖ 7. κατίσουσι *P*: κατήσουσι *z*, κατίσωσι ceteri ‖ 8. δὲ] δέ σφι *P* ‖ 9. ἐνερμένων *Pz*, ἀνερμένων *R* ‖ 10. χρέονται *P* ‖ 11. ἑσπέρην *z* ‖ 12. ἤδη] οἱ δὲ *R* ‖ 13. μάζυες *d* ‖ ἐπιδεξιὰ *CPz*, ἐπὶ δεξιᾶ *R* ‖ 14. κομῶσι *R* ‖ ἐπαριστερὰ *CPz* ‖ μιλτῷ χρίονται *PRz* 20. ἑσπέρης *PR* ‖ 21. ὀρινὴ *R* ‖ 23. τε] δὲ *R* ‖ καὶ οἱ ἄρκτοι καὶ οἱ ἀσπίδες *d* ‖ 24. καὶ οἱ - p. 456, 1 ἔχοντες om. *d* ‖ καὶ οἱ] καὶ *R* ‖ καὶ οἱ ἀκέφαλοι om. *PRz*

στήθεσι τοὺς ὀφθαλμοὺς ἔχοντες, ὡς δὴ λέγονταί γε ὑπὸ Λιβύων, καὶ οἱ ἄγριοι ἄνδρες καὶ γυναῖκες ἄγριαι καὶ ἄλλα
192 πλήθεϊ πολλὰ θηρία ἀκατάψευστα. κατὰ τοὺς νομάδας δέ ἐστι τούτων οὐδέν, ἀλλ' ἄλλα τοιάδε, πύγαργοι καὶ ζορκάδες καὶ βουβάλιες καὶ ὄνοι, οὐκ οἱ τὰ κέρεα ἔχοντες ἀλλ' ἄλλοι ἄποτοι (οὐ γὰρ δὴ πίνουσι), καὶ ὄρυες, τῶν τὰ κέρεα τοῖσι φοίνιξι οἱ πήχεες ποιεῦνται (μέγαθος δὲ τὸ θηρίον τοῦτο κατὰ βοῦν ἐστι), καὶ βασσάρια καὶ ὕαιναι καὶ ὕστριχες καὶ κριοὶ ἄγριοι καὶ δίκτυες καὶ θῶες καὶ πάνθηρες καὶ βόρυες, καὶ κροκόδειλοι ὅσον τε τριπήχεες χερσαῖοι, τῇσι σαύρῃσι ἐμφερέστατοι, καὶ στρουθοὶ κατάγαιοι, καὶ ὄφιες σμικροί, κέρας ἓν ἕκαστος ἔχοντες· ταῦτά τε δὴ αὐτόθι ἐστὶ θηρία καὶ τά περ τῇ ἄλλῃ, πλὴν ἐλάφου τε καὶ ὑὸς ἀγρίου· ἔλαφος δὲ καὶ ὗς ἄγριος ἐν Λιβύῃ πάμπαν οὐκ ἔστι. μυῶν δὲ γένεα τριξὰ αὐτόθι ἐστί· οἱ μὲν δίποδες καλέονται, οἱ δὲ ζεγέριες (τὸ δὲ οὔνομα τοῦτο ἐστὶ μὲν Λιβυστικόν, δύναται δὲ κατ' Ἑλλάδα γλῶσσαν βουνοί), οἱ δὲ ἐχινέες. εἰσὶ δὲ καὶ γαλαῖ ἐν τῷ σιλφίῳ γινόμεναι τῇσι Ταρτησσίῃσι ὁμοιόταται. τοσαῦτα μέν νυν θηρία ἡ τῶν νομάδων Λιβύων γῆ ἔχει, ὅσον ἡμεῖς ἱστορέοντες ἐπὶ μακρότατον οἷοί τε ἐγενόμεθα ἐξικέσθαι.
193 Μαξύων δὲ Λιβύων Ζαύηκες ἔχονται, τοῖσι αἱ γυναῖκες
194 ἡνιοχεῦσι τὰ ἅρματα ἐς τὸν πόλεμον. τούτων δὲ Γύζαντες ἔχονται, ἐν τοῖσι μέλι πολλὸν μὲν μέλισσαι κατεργάζονται,

περὶ τῶν ἐν τῇ ἐρήμῳ Λιβύῃ παραδόξων θηρίων καὶ κυνοκεφάλων καὶ ἀκεφάλων καὶ ἀγρίων ἀνθρώπων

8. Bachmanni Anecd. I 179. Etymol. M. p. 191. Suidas v. βάσσαρος. — 13. (Aristoteles hist. anim. VIII 28 p. 606a). Eustathius Dion. 175. — 21. Stephanus Byz. v. Ζαύηκες. — 22. idem v. Βύζαντες. Γύζαντες

1. λέγεται *dz* ‖ γε om. *R* ‖ 2. οἱ om. *Pz* ‖ 3. πλήθει *P*, πλήθη *ABd* ‖ ἀκατάψαυστα *d* ‖ 4. τουτέων *z* ‖ ἀλλὰ ἄλλα *Rd* ‖ τάδε *PRz* ‖ πύγαρμοι *d* ‖ δορκέες *R* ‖ 6. τὰ] κατὰ *PRz* ‖ 8. βασάρια *R*. (βάσσαροι testim.) ‖ 10. ἐμφερέστατα *AB* ‖ 11. μικροὶ *L* ‖ 12. ταῦτα δὲ δὴ *R* ‖ τά περ Struve: ἄλλα *P*, ἅπερ ceteri ‖ 13. τε om. *ABCd* ‖ ἀγρίοι *ABpr*. ‖ 15. ζευγέριες *C* ‖ 16. λιβυστικὸν *ABCv*: λιβυστῖνον *s*, λιβυκὸν reliqui ‖ κατὰ *C* ‖ 17. ἐγῖνες *PRz* ‖ γαλαὶ *d* ‖ 18. γενόμεναι *z* ‖ ὁμοιότηται *C* ‖ 20. οἷόν *C* ‖ τ' *ABC* ‖ 21. ζάβυκες *R* ‖ 22. τούτων - 23 πολλὸν om. *Rpr*. ‖ ζύγαντες *PRz* ‖ 23. μὲν πολλὸν *PRz*

πολλῷ δ' ἔτι πλέον λέγεται δημιοεργοὺς ἄνδρας ποιέειν. μιλτοῦνται δ' ὦν πάντες οὗτοι καὶ πιθηκοφαγέουσι· οἱ δέ σφι ἄφθονοι ὅσοι ἐν τοῖσι ὄρεσι γίνονται. κατὰ τούτους δὲ 195 λέγουσι Καρχηδόνιοι κέεσθαι νῆσον τῇ οὔνομα εἶναι Κύραυιν, μῆκος μὲν διηκοσίων σταδίων, πλάτος δὲ στεινήν, διαβατὸν ἐκ τῆς ἠπείρου, ἐλαιέων τε μεστὴν καὶ ἀμπέλων. λίμνην δὲ ἐν αὐτῇ εἶναι, ἐκ τῆς αἱ παρθένοι τῶν ἐπιχωρίων πτεροῖσι ὀρνίθων κεχριμένοισι πίσσῃ ἐκ τῆς ἰλύος ψῆγμα ἀναφέρουσι χρυσοῦ. ταῦτα εἰ μὲν ἔστι ἀληθέως οὐκ οἶδα, τὰ δὲ λέγεται γράφω· εἴη δ' ἂν πᾶν, ὅκου καὶ ἐν Ζακύνθῳ ἐκ λίμνης καὶ ὕδατος πίσσαν ἀναφερομένην αὐτὸς ἐγὼ ὥρων. εἰσὶ μὲν καὶ πλεῦνες αἱ λίμναι αὐτόθι, ἡ δ' ὦν μεγίστη αὐτέων ἑβδομήκοντα ποδῶν πάντῃ, βάθος δὲ διόργυιός ἐστι. ἐς ταύτην κοντὸν κατιεῖσι ἐπ' ἄκρῳ μυρσίνην προσδήσαντες καὶ ἔπειτα ἀναφέρουσι τῇ μυρσίνῃ πίσσαν, ὀδμὴν μὲν ἔχουσαν ἀσφάλτου, τὰ δ' ἄλλα τῆς Πιερικῆς πίσσης ἀμείνω. ἐσχέουσι δὲ ἐς λάκκον ὀρωρυγμένον ἀγχοῦ τῆς λίμνης· ἐπεὰν δὲ ἀθροίσωσι συχνήν, οὕτω ἐς τοὺς ἀμφορέας ἐκ τοῦ λάκκου καταχέουσι. ὅ τι δ' ἂν ἐσπέσῃ ἐς τὴν λίμνην, ὑπὸ γῆν ἰὸν ἀναφαίνεται ἐν τῇ θαλάσσῃ· ἡ δὲ ἀπέχει ὡς τέσσερα στάδια ἀπὸ τῆς λίμνης. οὕτω ὦν καὶ τὰ ἀπὸ τῆς νήσου τῆς ἐπὶ Λιβύῃ κειμένης οἰκότα ἐστὶ ἀληθείῃ.

Λέγουσι δὲ καὶ τάδε Καρχηδόνιοι. εἶναι τῆς Λιβύης 196 χῶρόν τε καὶ ἀνθρώπους ἔξω Ἡρακλέων στηλέων κατοικη-

περὶ τῆς χρυσοφόρου λίμνης   περὶ τῆς ἐν Ζακύνθῳ πισσοφόρου λίμνης

4. Stephanus Byz. v. Κύραυνις. — 23 sqq. Eustathius Dion. 752

1. δὲ *d* || λέγονται *R* || δημιουργοὺς *L* || ποιέειν] κ' ἀλέειν *Ct* || δὲ *ABd* || 3. ὄρεσι *AB* : οὔρεσι || 4. κεῖσθαι *ABR* || κύραυιν *PR* : κυραύην *ABCd*, Κύρανιν z. κυραυνίς (?) κυραυίς καραβίς Steph. codd. || 6. ἐλαιῶν *R* || λιμένα δὲ *R*, λίμνην τε *d* || 7. αἱ om. *ABCd* || 8. πίσῃι *C* || 10. ὅκε *C* || 11. ὥρεων *C*, ὥρεον *Pdz* || μὲν] μὲν γὰρ *d* || 12. αὐτῶν *R* || 15. πίσαν *C* || 16. πίσης *C* || ἔχουσι *C* || 17. ὠρυγμένον *d* || 18. οὕτως *AB* || 19. ἐσπέσοι z || 20. τέσσαρα *R* || 21. τὰ] τὸ *R* || 22. εἰκότα sz || ἀληθηΐῃ z || 24. εξ *B*[1] || ἡρακληΐων z

μένους· ἐς τοὺς ἐπεὰν ἀπίκωνται καὶ ἐξέλωνται τὰ φορτία, θέντες αὐτὰ ἐπεξῆς παρὰ τὴν κυματώγην, ἐσβάντες ἐς τὰ πλοῖα τύφειν καπνόν. τοὺς δ' ἐπιχωρίους ἰδομένους τὸν καπνὸν ἰέναι ἐπὶ τὴν θάλασσαν καὶ ἔπειτα ἀντὶ τῶν φορτίων χρυσὸν τιθέναι καὶ ἐξαναχωρέειν πρόσω ἀπὸ τῶν φορτίων. τοὺς δὲ Καρχηδονίους ἐκβάντας σκέπτεσθαι, καὶ ἢν μὲν φαίνηταί σφι ἄξιος ὁ χρυσὸς τῶν φορτίων, ἀνελόμενοι ἀπαλλάσσονται, ἢν δὲ μὴ ἄξιος, ἐσβάντες ὀπίσω ἐς τὰ πλοῖα κατέαται· οἱ δὲ προσελθόντες ἄλλον πρὸς ὧν ἔθηκαν χρυσόν, ἐς ὃ ἂν πείθωσι. ἀδικέειν δὲ οὐδετέρους· οὔτε γὰρ αὐτοὺς τοῦ χρυσοῦ ἅπτεσθαι πρὶν ἄν σφι ἀπισωθῇ τῇ ἀξίῃ τῶν φορτίων, οὔτ' ἐκείνους τῶν φορτίων ἅπτεσθαι πρότερον ἢ αὐτοὶ τὸ χρυσίον λάβωσι.

197 Οὗτοι μέν εἰσι τοὺς ἡμεῖς ἔχομεν Λιβύων ὀνομάσαι, καὶ τούτων οἱ πολλοὶ βασιλέος τοῦ Μήδων οὔτε τι νῦν οὔτε τότε ἐφρόντιζον οὐδέν. τόσον δὲ ἔτι ἔχω εἰπεῖν περὶ τῆς χώρης ταύτης, ὅτι τέσσερα ἔθνεα νέμεται αὐτὴν καὶ οὐ πλέω τούτων, ὅσον ἡμεῖς ἴδμεν, καὶ τὰ μὲν δύο αὐτόχθονα τῶν ἐθνέων τὰ δὲ δύο οὔ, Λίβυες μὲν καὶ Αἰθίοπες αὐτόχθονες, οἱ μὲν τὰ πρὸς βορέω οἱ δὲ τὰ πρὸς νότου τῆς Λιβύης οἰκέοντες, Φοίνικες δὲ καὶ Ἕλληνες ἐπήλυδες.

198 Δοκέει δέ μοι οὐδ' ἀρετὴν εἶναί τις ἡ Λιβύη σπουδαίη ὥστε ἢ Ἀσίῃ ἢ Εὐρώπῃ παραβληθῆναι, πλὴν Κίνυπος μούνης· τὸ γὰρ δὴ αὐτὸ οὔνομα ἡ γῆ τῷ ποταμῷ ἔχει. αὕτη

περὶ τῆς Εὐεσπεριτῶν γῆς καὶ τῆς Κίνυπος

---

2. Eustathius Od. p. 1540. Λέξεις

2. ἐπ' ἐξῆς *R*, ὑπεξῆς *d*, ἐφεξῆς *z* || κυματώγην *ABCz*. gloss.: κυματωγήν *Pdz*. Eust., κυματογήν *R* || 3. δὲ *R* || 6. ἐσβάντας *Ppr.R* || σκέψασθαι *qz* || μὲν om. *R* || 7. σφιν *AB* || ἀπελόμενοι *ABC* || 8. μὴ] μὴ εἴη *ABCd* || ἐς τὰ πλοῖα ὀπίσω *ABd* || καθέαται *R* || 9. ἄλλο et χρυσίον *R* || προσῶν ἔθηκαν *P*, προσανέθηκαν *d* || ἐσοῦ *AB*, ἐς οὗ reliqui || 10. αὐτου *B*[1]. 'nonne αὐτοὶ?' Bekker || χρυσίου *R* || 11. ἀπισωθείη *z* || ἀξίοι *R* || 12. οὔτε *Acorr.* || ἐκείνους τῶν φορτίων ἅ(πτεσθαι) om. *A*[t] || κείνους *A*[m] || 15. τουτέων *z* || βασιλέως *Cd*, βασιλῆος *z* || τοῦ] τῶν *d* || 16. τόσον δὲ *C*: τοσόνδε *AB*, τοσόνδε δὲ *d*, τοσοῦτον δὲ *PRz* || 17. τέσσαρα *CR* || ταύτην *ABCd* || 18. ὅσων *d* || ἴσμεν *ABCd* || 22. οὐδὲ *d* || ἡ] ἣν *R* || 23. κύνιπος *d* || 24. αὐτοῦ *C*

δὲ ὁμοίη τῇ ἀρίστῃ γέων Δήμητρος καρπὸν ἐκφέρειν οὐδὲ
οἶκε οὐδὲν τῇ ἄλλῃ Λιβύῃ. μελάγγαιός τε γάρ ἐστι καὶ
ἔπυδρος πίδαξι, καὶ οὔτε αὐχμοῦ φροντίζουσα οὐδὲν οὔτε
ὄμβρον πλέω πιοῦσα δεδήληται· ὕεται γὰρ δὴ ταῦτα τῆς
Λιβύης. τῶν δὲ ἐκφορίων τοῦ καρποῦ ταὐτὰ μέτρα τῇ Βα-
βυλωνίῃ γῇ κατίσταται. ἀγαθὴ δὲ γῆ καὶ τὴν Εὐεσπερῖται
νέμονται· ἐπ᾽ ἑκατοστὰ γάρ, ἐπεὰν αὐτὴ ἑωυτῆς ἄριστα
ἐνείκῃ, ἐκφέρει, ἡ δὲ ἐν τῇ Κίνυπι ἐπὶ τριηκόσια. ἔχει δὲ 199
καὶ ἡ Κυρηναίη χώρη, ἐοῦσα ὑψηλοτάτη ταύτης τῆς Λιβύης
τὴν οἱ νομάδες νέμονται, τρεῖς ὥρας ἐν ἑωυτῇ ἀξίας θώυμα-
τος. πρῶτα μὲν γὰρ τὰ παραθαλάσσια τῶν καρπῶν ὀργᾷ
ἀμᾶσθαί τε καὶ τρυγᾶσθαι· τούτων τε δὴ συγκεκομισμένων
τὰ ὑπὲρ τῶν θαλασσιδίων χώρων τὰ μέσα ὀργᾷ συγκομί-
ζεσθαι, τὰ βουνοὺς καλέουσι· συγκεκόμισταί τε οὗτος ὁ μέσος
καρπὸς καὶ ὁ ἐν τῇ κατυπερτάτῃ τῆς γῆς πεπαίνεταί τε καὶ
ὀργᾷ, ὥστε ἐκπέποταί τε καὶ καταβέβρωται ὁ πρῶτος καρπὸς
καὶ ὁ τελευταῖος συμπαραγίνεται. οὕτω ἐπ᾽ ὀκτὼ μῆνας
Κυρηναίους ὀπώρη ἐπέχει. ταῦτα μέν νυν ἐπὶ τοσοῦτον
εἰρήσθω.

Οἱ δὲ Φερετίμης τιμωροὶ Πέρσαι ἐπείτε ἐκ τῆς Αἰγύπτου 200
σταλέντες ὑπὸ Ἀρυάνδεω ἀπίκατο ἐς τὴν Βάρκην, ἐπολιόρ-
κεον τὴν πόλιν ἐπαγγελλόμενοι ἐκδιδόναι τοὺς αἰτίους τοῦ
φόνου τοῦ Ἀρκεσίλεω· τῶν δὲ πᾶν γὰρ ἦν τὸ πλῆθος μεταί-

περὶ τῶν ὑπὲρ Φερετίμας Βαρκαίους πολιορκούντων Περσῶν

---

1. Bekkeri Anecd. p. 86. — 14. Eustathius Od. p. 1854. — 17. idem Dion. 213. — 23. τῶν - p. 460, 1 λόγους Suidas v. μεταίτιον

1. γέων *ABR*: γέῶν *P*, γεῶν *C*, γαιῶν *dz* ‖ 2. ἔοικε *AB*, ἔοικεν *R* ‖ μελάγγεός *ABR*, πελάγγεός *C* ‖ 4. ὄμβρω *d* ‖ πλέον *R* ‖ ποιοῦσα *BR*, ποιεῦσα *sz* ‖ δεδήλωται *C* ‖ οἴεται *A*[1]*B* ‖ 5. τὰ αὐτὰ *R* ‖ βαβυλῶνι ἡ γῆ *R*, Βαβυλωνίων γῆ *z* ‖ 6. κατίσταται - γῆ om. *B*[1] ‖ 7. ἑκατὸν τὰ γὰρ *R* ‖ 8. ἐν om. *R* ‖ κόνιπι *d* ‖ 10. τὴν] τῆς *P*, τῆς *R* ‖ χώρας *PRz* ‖ θώυματος *P*: θωῦματος *z*, θώματος ceteri ‖ 12. τουτέων *z* ‖ συγκεκοσμϊμένοι *R* ‖ 13. τὰ ὑπὲρ θαλασσιδίων *B*, τὰ ὑπερθαλασσιδίων *ACd* ‖ χωρῶν *AB*, χωρέων *Cd* ‖ τὰ μέσα om. *R* ‖ 14. συγκεκόμϊταί *R* ‖ οὕτως *ABC* ‖ 16. ὀργᾷ - τε καὶ om. *R* ‖ τε om. *C* ‖ 17. οὕτως *R* ‖ 18. τοσοῦτο *Pd* ‖ 21. ὑπὸ τοῦ *sz* ‖ ἀπίκοντο *A*[2]*Pdz*

τιον, οὐκ ἐδέκοντο τοὺς λόγους. ἐνθαῦτα δὴ ἐπολιόρκεον τὴν Βάρκην ἐπὶ μῆνας ἐννέα, ὀρύσσοντές τε ὀρύγματα ὑπόγαια φέροντα ἐς τὸ τεῖχος καὶ προσβολὰς καρτερὰς ποιεύμενοι. τὰ μέν νυν ὀρύγματα ἀνὴρ χαλκεὺς ἀνεῦρε ἐπιχάλκῳ ἀσπίδι, ὧδε ἐπιφρασθείς. περιφέρων αὐτὴν ἐντὸς τοῦ τείχεος προσῖσχε πρὸς τὸ δάπεδον τῆς πόλιος. τὰ μὲν δὴ ἄλλα ἔσκε κωφὰ πρὸς τὰ προσῖσχε, κατὰ δὲ τὰ ὀρυσσόμενα ἠχέεσκε ὁ χαλκὸς τῆς ἀσπίδος. ἀντορύσσοντες δ' ἂν ταύτῃ οἱ Βαρκαῖοι ἔκτεινον τῶν Περσέων τοὺς γεωρυχέοντας. τοῦτο μὲν δὴ οὕτω ἐξευρέθη, τὰς δὲ προσβολὰς ἀπεκρούοντο οἱ Βαρ-
201 καῖοι. χρόνον δὲ δὴ πολλὸν τριβομένων καὶ πιπτόντων ἀμφοτέρων πολλῶν καὶ οὐκ ἧσσον τῶν Περσέων, Ἄμασις ὁ στρατηγὸς τοῦ πεζοῦ μηχανᾶται τοιάδε. μαθὼν τοὺς Βαρκαίους ὡς κατὰ μὲν τὸ ἰσχυρὸν οὐκ αἱρετοὶ εἶεν, δόλῳ δὲ αἱρετοί, ποιέει τοιάδε. νυκτὸς τάφρην ὀρύξας εὐρέαν ἐπέτεινε ξύλα ἀσθενέα ὑπὲρ αὐτῆς, κατύπερθε δὲ ἐπιπολῆς τῶν ξύλων χοῦν γῆς ἐπεφόρησε, ποιέων τῇ ἄλλῃ γῇ ἰσόπεδον. ἅμα ἡμέρῃ δὲ ἐς λόγους προεκαλέετο τοὺς Βαρκαίους· οἱ δὲ ἀσπαστῶς ὑπήκουσαν, ἐς ὅ σφι ἕαδε ὁμολογίῃ χρήσασθαι. τὴν δὲ ὁμολογίην ἐποιεῦντο τοιήνδε τινά, ἐπὶ τῆς κρυπτῆς τάφρου τάμνοντες ὅρκια, ἔστ' ἂν ἡ γῆ αὕτη οὕτω ἔχῃ, μένειν τὸ ὅρκιον κατὰ χώρην, καὶ Βαρκαίους τε ὑποτελέειν φάναι ἀξίην βασιλέι καὶ Πέρσας μηδὲν ἄλλο νεοχμοῦν κατὰ Βαρκαίους. μετὰ δὲ τὸ ὅρκιον Βαρκαῖοι μὲν πιστεύσαντες

τίνι τρόπῳ Βαρκαίους ἔλαβον Πέρσαι

4. - 8 Eustathius Il. p. 918. (436). — 15 sq. Suidas v. τάφρος. — 21. Eustathius Il. p. 191

1. ἐπολεόρκεον *A* ‖ 2. ὑπόγεα *R* ‖ 5. προῖσχε *C*, προσίσχε ceteri ‖ 7. πρὸς ἃ *L* ‖ προίσχε *AB*, προσίσχε reliqui ‖ ἠχεσκε codices, ἔχεσκε z ‖ 8. δ' ἐν *ABC*, δὲ ἐν *d* ‖ 10. οὕτως *R* ‖ 11. χρόνων et πολλῶν z ‖ 13. μαθὼν δὲ *R* ‖ 15. τάδε z ‖ τάφρην *AB*. Suid.: τάφρον ‖ ὀρύξαντες τάφρην εὐρέην ἐπέτειναν Suid. ‖ εὐρέαν *R*: εὐρέην ‖ ἀπέκτεινε *R* ‖ 16. ἐπ' αὐτῆς Suid. ‖ κατύπερθεν ἐπὶ πολῆς *R* ‖ 18. δὲ ἡμέρῃ *d* ‖ προεκαλέεται *C*, προσεκαλέετο *Rz* ‖ 19. σφιν *AB* ‖ ἕαδε *d* ‖ 21. οὕτως *R* ‖ 22. ὑποτελέην *A* ‖ 23. φάναι] φόνου? ‖ βασιλεῖ *AB* ‖ 24. βαρκαίων *CPdz*

τούτοισι αὐτοί τε ἐξήισαν ἐκ τοῦ ἄστεος καὶ τῶν πολεμίων ἔων παριέναι ἐς τὸ τεῖχος τὸν βουλόμενον, τὰς πάσας πύλας ἀνοίξαντες· οἱ δὲ Πέρσαι καταρρήξαντες τὴν κρυπτὴν γέφυραν ἔθεον ἔσω ἐς τὸ τεῖχος. κατέρρηξαν δὲ τοῦδε εἵνεκα τὴν ἐποίησαν γέφυραν, ἵνα ἐμπεδορκέοιεν, ταμόντες τοῖσι Βαρκαίοισι χρόνον μένειν αἰεὶ τὸ ὅρκιον ὅσον ἂν ἡ γῆ μένῃ κατὰ τὰ τότε εἶχε· καταρρήξασι δὲ οὐκέτι ἔμενε τὸ ὅρκιον κατὰ χώρην. τοὺς μέν νυν αἰτιωτάτους τῶν Βαρκαίων ἡ 202 Φερετίμη, ἐπείτε οἱ ἐκ τῶν Περσέων παρεδόθησαν, ἀνεσκολόπισε κύκλῳ τοῦ τείχεος, τῶν δέ σφι γυναικῶν τοὺς μαζοὺς ἀποταμοῦσα περιέστιξε καὶ τούτοισι τὸ τεῖχος· τοὺς δὲ λοιποὺς τῶν Βαρκαίων ληίην ἐκέλευσε θέσθαι τοὺς Πέρσας, πλὴν ὅσοι αὐτῶν ἦσαν Βαττιάδαι τε καὶ τοῦ φόνου οὐ μεταίτιοι· τούτοισι δὲ τὴν πόλιν ἐπέτρεψε ἡ Φερετίμη.

Τοὺς ὦν δὴ λοιποὺς τῶν Βαρκαίων οἱ Πέρσαι ἀνδρα- 203 ποδισάμενοι ἀπήισαν ὀπίσω· καὶ ἐπείτε ἐπὶ τῇ Κυρηναίων πόλι ἐπέστησαν, οἱ Κυρηναῖοι λόγιόν τι ἀποσιεύμενοι διεξῆκαν αὐτοὺς διὰ τοῦ ἄστεος. διεξιούσης δὲ τῆς στρατιῆς Βάδρης μὲν ὁ τοῦ ναυτικοῦ στρατοῦ στρατηγὸς ἐκέλευε αἱρέειν τὴν πόλιν, Ἄμασις δὲ ὁ τοῦ πεζοῦ οὐκ ἔα· ἐπὶ Βάρκην γὰρ ἀποσταλῆναι μούνην Ἑλληνίδα πόλιν· ἐς ὃ διεξελθοῦσι καὶ ἱζομένοισι ἐπὶ Διὸς Λυκαίου ὄχθον μετεμέλησέ σφι οὐ σχοῦσι τὴν Κυρήνην. καὶ ἐπειρῶντο τὸ δεύτερον παριέναι ἐς αὐτήν· οἱ δὲ Κυρηναῖοι οὐ περιώρων. τοῖσι δὲ Πέρσῃσι οὐδενὸς μαχομένου φόβος ἐνέπεσε, ἀποδραμόντες τε ὅσον τε ἑξήκοντα στάδια ἵζοντο. ἱδρυθέντι δὲ τῷ στρατοπέδῳ ταύτῃ ἦλθε παρὰ Ἀρυάνδεω ἄγγελος ἀποκαλέων αὐτούς. οἱ δὲ Πέρσαι

---

1. ἐξήεσαν *Rz* ‖ 2. ἁπάσας πύλας *R*, πύλας πάσας *z* ‖ 3. καταρήξαντες *AB* ‖ 4. ἔθεον – 5 γέφυραν om. *C* ‖ ἔξω A^1Bd ‖ 5. ἣν *d* ‖ 6. μένει *d* ‖ 7. κατὰ] κατ' ἃ *R* ‖ εἶχε τότε *d* ‖ καταρήξασι *AB* ‖ 8. αἰτιοτάτους *B* ‖ 10. μαστοὺς *R* ‖ 12. βαρκέων *B* ‖ ἐκέλευε *ABCd* ‖ 13. αὐτέων *Rz* ‖ ἔσαν *z* ‖ 14. ἐπέτραψε *z* ‖ 15. ἐξανδραποδισάμενοι *z* ‖ 16. ἀπίεσαν *ABC*, ἀπήιεσαν *P*, ἀπήεσαν *Rdz* ‖ 17. πόλει *Rd* ‖ ἀποσειεύμενοι *dz* ‖ 18. βάδρης *R*: βάρης ‖ 20. ἄμασις *d* ‖ 22. ὄχθην *z* ‖ 24. οὐ om. *R* ‖ περιώρεον *CPdz* ‖ 25. τε ὅσον τε AB^m: ὅσον τε B^t, τε ὅσον *Cd*, δὲ ὅσον reliqui ‖ 26. ἱδρυνθέντι *Apr.B* ‖ 27. ἀριάνδεω *sz*

Κυρηναίων δεηθέντες ἐπόδιά σφι δοῦναι ἔτυχον, λαβόντες δὲ ταῦτα ἀπαλλάσσοντο ἐς τὴν Αἴγυπτον. παραλαβόντες δὲ τὸ ἐνθεῦτεν αὐτοὺς Λίβυες τῆς τε ἐσθῆτος εἵνεκα καὶ τῆς σκευῆς τοὺς ὑπολειπομένους αὐτῶν καὶ ἐπελκομένους ἐφόνευον, ἐς δ ἐς τὴν Αἴγυπτον ἀπίκοντο.

204 Οὗτος ὁ Περσέων στρατὸς τῆς Λιβύης ἑκαστάτω ἐς Εὐεσπερίδας ἦλθε. τοὺς δὲ ἠνδραποδίσαντο τῶν Βαρκαίων, τούτους δὲ ἐκ τῆς Αἰγύπτου ἀνασπάστους ἐποίησαν παρὰ βασιλέα, βασιλεὺς δέ σφι Δαρεῖος ἔδωκε τῆς Βακτρίης χώρης κώμην ἐγκατοικῆσαι. οἱ δὲ τῇ κώμῃ ταύτῃ οὔνομα ἔθεντο Βάρκην, ἣ περ ἔτι καὶ ἐς ἐμὲ ἦν οἰκεομένη ἐν γῇ τῇ Βακτρίῃ.

205 Οὐ μὲν οὐδὲ ἡ Φερετίμη·εὖ τὴν ζόην κατέπλεξε. ὡς γὰρ δὴ τάχιστα ἐκ τῆς Λιβύης τισαμένη τοὺς Βαρκαίους ἀπενόστησε ἐς τὴν Αἴγυπτον, ἀπέθανε κακῶς· ζῶσα γὰρ εὐλέων ἐξέζεσε, ὡς ἄρα ἀνθρώποισι αἱ λίην ἰσχυραὶ τιμωρίαι πρὸς θεῶν ἐπίφθονοι γίνονται. ἡ μὲν δὴ Φερετίμης τῆς Βάττου τοιαύτη τε καὶ τοσαύτη τιμωρίη ἐγένετο ἐς Βαρκαίους.

τελευτὴ Φερετίμης

---

15. ζῶσα - 16 ἐξέζεσε (Suidas v. εὐλαί). Lexicon Vindob. p. 71

1. ἐπόδιά z: ἐφόδιά ‖ σφίσι? ‖ 4. αὐτέων z ‖ ἐφελκομένους *R* ‖ ἐς οὗ *R* ‖ 5. ἀπίκοντο *AB*: ἀπίκατο *R*, ἀπικέατο *CPz*, ἀπικνέατο *d* ‖ 6. ἑκαστάτωι *AB* ‖ 7. ἠνδραπόδισαν *R* ‖ 8. ἀναστάτους z ‖ ἐποιήσαντο *R* ‖ 9. βασίλα *R*, βασιλῆα z ‖ 10. τῶ *R* ‖ 11. γῇ] τῇ γῇ z ‖ 13. μὴν *ABd* ‖ οὐδ' *R* ‖ ζώην *Opr.Rd* ‖ 16. ἐξέζεσε *PRz*. Suid.: ἔζεσε *ABCd*. Lex. Vind. 18. βατταίου *R*, Βάττεω z ‖ Βαρκαίους] βαρκαίους· οἱ δὲ ἐν τῇ εὐρώπῃ τῶν περσέων *R*

ΗΡΟΔΟΤΟΥ Δ̄ | ΧΧΧΗΗ𐅄ΙΙΙ *AB*, :· ἡροδότου ἱστοριῶν τετάρτη :· *P*, ἱστοριῶν ἡροδότου δ̄ *R*, τέλος ἡροδότου ἱστοριῶν τετάρτης *d*, ΗΡΟΔΟΤΟΥ ΙΣΤΟΡΙΩΝ ΤΕΤΑΡΤΗ. z

---

Impresserunt Breitkopf et Härtel Lipsienses.